Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

The New Covenant

The Greek New Testament

with 8928 notes and 9971 alternative readings, containing all the variations of five printed editions and variants from the manuscripts and ancient versions

---

Bibles.org.uk, London.

Second Edition (draft)

All rights reserved. Copyright © 2002–2005 Bibles.org.uk
Typeset with pdfLaTeX under Linux 31 August, 2008

The Kerkis Greek fonts which were used to typeset this book are
© Department of Mathematics, University of the Ægæan

Introduction

This Second Edition of the Greek New Testament contains the text of five printed editions and all the readings of known Greek manuscripts and ancient versions. The First Edition has been published in September 2005 and contained a full collation of four printed editions but a relatively small number of readings from the manuscripts. Therefore in the present work we are filling in the gap left by the First Edition and presenting *all* textual variants from the manuscripts and ancient versions.

No variations, however strongly supported by the Greek manuscripts and other witnesses, have been introduced into the text, but have been relegated to the footnotes. While the modern chapter and verse numbering has been preserved for the sake of convenient reference, elements that rely on traditions and interpretations, such as capital letters and punctuation, are completely disregarded, as they have no support from the ancient sources.

The following five printed editions are fully collated in the footnotes:

List of Printed Editions

$\mathbb{T}$	Textus Receptus, Stephanus 1550 edition. The text of this edition is used as a base and all the readings differing from it in any way are collated in the footnotes. Obvious errors present in this edition have been silently corrected.
$\mathbb{K}$	F.S.A. Scrivener, Textus Receptus 1881. This is the Greek text underlying the English Authorized Version of 1611 (*K* stands for KJV).
$\mathbb{M}$	Byzantine Majority Text edition according to Zane C. Hodges and Arthur L. Farstad. We have also noted all the differences between this and the Byzantine Textform according to Maurice A. Robinson and William Pierpont (2005 edition), denoting the later text by $\mathbb{M}^*$ where it differs from $\mathbb{M}$.
$\mathbb{V}$	The base text of NA27 and UBS4 editions. In the places (e.g. Heb 9.21) where these differ, we mark the reading of UBS4 text with $\mathbb{V}$ and that of NA27 with $\mathbb{V}^*$.
$\mathbb{N}$	Greek NT text established by means of *Bible Numerics* by Ivan Panin.
$\mathbb{E}$	Abbreviation for $\mathbb{T}\,\mathbb{M}\,\mathbb{K}\,\mathbb{V}\,\mathbb{N}$ where all five editions agree and we included readings from other witnesses.
$\mathbb{T}^*$	Abbreviation for $\mathbb{T}\,\mathbb{M}\,\mathbb{K}$ where *only* these three out of five editions agree.

The total number of footnotes in this book is 8928. The total number

of *alternative* readings recorded in the footnotes is 9971.

The following abbreviations are used for the Greek manuscripts:

LIST OF GREEK MSS

P.Ant.2.54	Papyrus P. Antinoopolis 2.54.
$\mathfrak{P}^n$	Papyrus number 'n' according to the standard enumeration. All known papyri are quoted.
ℵ	(01) Codex Sinaiticus, IV century. The readings of three correctors of this Codex are denoted by: $\aleph^1$ (IV–VI century), $\aleph^2$ (VII century), $\aleph^c$ (XII century). The notation $\aleph^c$ is also used in the more generic sense when it is difficult to establish the specific corrector's hand.
A	(02) Codex Alexandrinus, V century.
B	(03) Codex Vaticanus (no book of Revelation), IV century. The readings of two correctors of this Codex are denoted by: B^1 (contemporary with B), B^2 (VI–VII century).
C	(04) Codex Ephraemi Rescriptus, V century. The readings of three correctors of this Codex are denoted by: C^1 (contemporary with C), C^2 (VI century), C^3 (IX century),
D	(05) Codex Bezae Cantabrigiensis (Gospels, Acts), V century; The readings of three correctors of this Codex are denoted by: D^1 (VI–VII century), D^2 (IX century), D^c (XII century). The readings of the Latin side of this bilingual manuscript are denoted by d.
D	(06) Codex Claromontanus (Pauline Epistles), VI century. The readings of three correctors of this Codex are denoted by: D^1 (VI–VII century), D^2 (IX century), D^c (XII century).
E	(07) Basel (Gospels), VIII century.
E	(08) Oxford Gr. 35 (Acts), VI century.
F	(09) Ultrecht Ms. 1 (Acts), IX century.
F	(010) Cambridge B. XVII. 1 (Epistles), IX century.
G	(011) London Harley 5684 (Gospels), IX century.
G	(012) Dresden A 145b (Epistles), IX century.
H	(013) Hamburg Cod. 91 (Gospels), IX century.
H	(014) Modena G. 196, α. V. 6.3 (Acts), IX century.
H	(015) Athos, VI century.
W	(032) Codex Washington (Gospels), IV–V century.

(continued on the next page)

LIST OF GREEK MSS (continued)

I	(016) Codex Washington (Epistles), V century.
K	(017) Paris Gr. 63 (Gospels), IX century.
K	(018) Moscow V. 93, S. 97 (Epistles), IX century.
L	(019) Paris Gr. 62 (Gospels), VIII century.
L	(020) Rome, 39 (Acts, Epistles), IX century.
M	(021) Paris Gr. 48 (Gospels), IX century.
N	(022) St. Petersburg Gr. 537 (Gospels), VI century.
O	(023) Paris Gr. 1286 (Matthew), VI century.
P	(024) Wolfenbüttel 64 (Gospels), VI century.
P	(025) St. Petersburg Gr. 225 (Acts, Epistles), IX century.
Q	(026) Wolfenbüttel 64 (Luke, John), V century.
R	(027) London, Add. 17211 (Luke), VII century.
S	(028) Vatican, gr. 354 (Gospels), 949 A.D.
T	(029) Vatican, (Luke, John), V century.
U	(030) Venice, Gr. 1,8 (1397) (Gospels), IX century.
V	(031) Moscow, V. 9, S. 399 (Gospels), IX century.
X	(033) München, 2^{o} Cod. ms. 30 (Gospels), X century.
Y	(034) Cambridge, Mss. 6594 (Gospels), IX century.
Z	(035) Dublin, Mss. 32 (Matthew), VI century.
Γ	(036) St. Petersburg, Gr. 33 (Gospels), X century.
Δ	(037) St. Gallen, Stiftsbibl., 48 (Gospels), IX century.
Θ	(038) Codex Tbilisi (Gospels), IX century.
Λ	(039) Oxford. Gallen, Stiftsbibl., 48, (Luke, John) IX century.
Ξ	(040) Cambridge, BFBS Mss., 213 (Luke), VI century.
Π	(041) St. Petersburg, Gr. 34 (Gospels), IX century.
Σ	(042) Rossano, Mus. Diocesano, s.n. (Matthew, Mark), VI century.
Φ	(043) Tirana, Sttatsarchiv, Nr. 1 (Matthew, Mark), VI century.

(continued on the next page)

LIST OF GREEK MSS (continued)

Ψ	(044) Athos, Lavra, B' 52 (Gospels, Acts, Epistles), IX–X century.
Ω	(045) Athos, Dionisiu, 10(55) (Gospels), IX century.
046	Numbers 01–0303 preceded by zero denote the uncial manuscripts in the standard enumeration.
1	Numbers 1–2829 denote the miniscule manuscripts in the standard enumeration.
ℓ32	ℓ32–ℓ2211 denote the lectionaries in the standard enumeration.
f^1	1, 118, 131, 209, 1582 *et al.*, according to the 1902 Cambridge edition of *Codex 1 of the Gospels and its Allies* by K. Lake.
f^{13}	13, 69, 124, 174, 230, 346, 543, 788, 826, 828, 983, 1689, 1709 *et al.*, *(The Ferrar Group)*.
$f^{1,13}$	Whenever the witness of f^1 and f^{13} agree.
$\mathfrak{M}^A$	(Revelation only), large number of mss with the commentary on Revelation by Andreas of Caesarea.
$\mathfrak{M}^K$	(Revelation only), *Koine* Majority text proper.
$\mathfrak{M}$	Majority Text based on the Byzantine mss. In the book of Revelation this means agreement of $\mathfrak{M}^A$ and $\mathfrak{M}^K$.

After the list of *named* Greek manuscripts we sometimes show further support for a textual variant by means of the following Latin abbreviations:

pc *pauci*, i.e. a few manuscripts.

al *alii*, i.e. some manuscripts (more that *pc*), which differ from the Majority text $\mathfrak{M}$.

pm *permulti*, i.e. large number of manuscripts, when $\mathfrak{M}$ is divided.

rell *reliqui*, i.e. the rest of manuscripts including $\mathfrak{M}$. This is normally used when I show explicitly the list of those mss I personally examined but rely on claims of other people to show the rest of the textual variants which I had no chance to confirm personally.

In this edition we often quote the readings from the ancient versions such as Syriac, Latin, Coptic, Armenian, Ethiopic, Georgian, Gothic and Slavonic. The actual textual variants are not shown in their original languages but are translated either into Koine Greek or into English, for the reader's convenience.

The following abbreviations are used for the ancient versions:

LIST OF ANCIENT VERSIONS

sy^{s}	Sinaitic Syriac, IV–V century.
sy^{c}	Curetonian Syriac, V century.
sy^{h}	Harklean Syriac (Joseph White and Bensley editions).
sy^{hmg}	Margin readings in the Harklean Syriac.
sy^{h*}	Alternative readings in the Harklean Syriac.
sy^{p}	The Peshitta version of the Gospels, Acts, Pauline letters, and the longer epistles.
sy^{ph}	The Philoxenian version for the shorter epistles (2Pe, 2–3Jo, Jud) and Revelation (Gwynn's editions).
sy	Used when all Syriac witnesses agree.
it	Old Latin witnesses (*Itala*).
vg^{mss}	Manuscripts of Latin Vulgate.
vg^{ms}	Single manuscript of Latin Vulgate.
vg^{s}	Sixtine edition of Latin Vulgate, 1590.
vg^{cl}	Clementine edition of Latin Vulgate, 1592.
vg^{ww}	Wordsworth/White/Sparks edition of Latin Vulgate, 1889–1954.
vg^{st}	Stuttgart edition of Latin Vulgate, 1975.
vg	Latin Vulgate (when all editions agree).
latt	Used when all Latin witnesses agree.
lat(t)	Used when *almost* all Latin witnesses agree.
lat	Used when vg and part of it witnesses agree.
co^{sa}	Sahidic Coptic.
co^{bo}	Boharic Coptic.
co^{pbo}	Proto-Boharic Coptic.
co^{mae}	Middle Egyptian Coptic.
co^{mf}	Middle Egyptian Fayyumic Coptic.
co^{ac}	Achmimic Coptic.
co^{ac2}	Sub-Achmimic Coptic.
$co^{sa(ms)}$	One Sahidic manuscript witness.

(continued on the next page)

LIST OF ANCIENT VERSIONS (continued)

co$^{sa(mss)}$	Two or more Sahidic manuscripts.
co$^{bo(ms)}$	One Boharic manuscript witness.
co$^{bo(mss)}$	Between two and four Boharic manuscripts.
co$^{bo(pt)}$	Five or more Boharic manuscripts.
co	Used when all Coptic witnesses agree.
arm	Armenian (Mesrob), V century.
eth	Ethiopic, VI century.
geo	Georgian (Blake, Brière, Garitte), V century.
got	Gothic (Streitberg), IV century.
sla	Old Church Slavonic.

The word on which there is a textual variant note has a little circle °. If the textual variant affects multiple words then only the end of the first word is marked with the circle. If the word with a footnote occurs multiple times in a verse but all the footnotes are identical, only the first footnote is printed but the circle is placed on each occurrence (*implicit footnotes*). The ∅ sign in the footnotes indicates that the text is missing. A special symbol ⋄ is used as a verse terminator.

The following symbols are used in the superscript with the manuscripts.

*	the *first hand* of the manuscript (when there was an alteration).
c	a *correction* of the manuscript.
1,2,3	different redactions of a manuscript.
s	(= *supplementum*) a reading of the later addition to a manuscript (e.g. replacing a lost section etc).
vl	(= *varia lectio* a reading recorded in a manuscript as an alternative reading.
txt	(= *textus* a reading recorded in the text of a manuscript which also records an alternative reading.
mg	(= *in margine*) a reading in the margin of a manuscript.
vid	(= *ut videtur*) indicates that the reading cannot be determined with 100% accuracy because of the current state of the manuscript in question.

If any misprints are found in this book, the editor will be glad to be informed of them via email: info@bibles.org.uk. It is a great pleasure to acknowledge the helpful contributions made by the following people (in alphabetical order by first name): Andreas Matthias, Anoush Yavrian, Antonis Tsolomitis, Apostolos Syropoulos, Claudio Estrugo, David Instone-Brewer, Donald Arseneau, Elizabeth Magba, Eric Archibald, Ewan MacLeod, Heiko Oberdiek, Jonathan Melville, Lucy Khachoyan, Mark Shoulson, Piet van Oostrum, Sebastian Rahtz, Taras Dyatlik, Victor Zhuromsky, Vladimir Volovich and Yannis Haralambous.

And, most of all, I thank and praise the LORD God of Israel for providing everything his servant needed for preserving his precious words in this generation. May the LORD use the labours of all his servants to open the eyes of many in Israel and in all nations.

Tigran Aivazian
London, England.

THE GREEK ALPHABET

The Greek letters were 24, and the required number, 27, was made up by using ϛ (called *Stigma*) for 6, and adding two arbitrary symbols called respectively *Koppa*, for 90 and *Sampi*, for 900.

The initial forms are shown in square brackets.

Alpha	α	=	1	Iota	ι	=	10	Rho	[ρ] ρ	=	100
Beta	[β] ϐ	=	2	Kappa	κ	=	20	Sigma	σ ς	=	200
Gamma	γ	=	3	Lambda	λ	=	30	Tau	τ	=	300
Delta	δ	=	4	Mu	μ	=	40	Upsilon	υ	=	400
Epsilon	ε	=	5	Nu	ν	=	50	Phi	[φ] φ	=	500
Stigma	ϛ	=	6	Xi	ξ	=	60	Chi	χ	=	600
Zeta	[ζ] ζ	=	7	Omikron	ο	=	70	Psi	ψ	=	700
Eta	η	=	8	Pi	π	=	80	Omega	ω	=	800
Theta	[ϑ] θ	=	9	Koppa	ϙ	=	90	Sampi	ϡ	=	900

The Books
Of The New Testament

Page

ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ 1
ΚΑΤΑ ΜΑΡΚΟΝ 66
ΚΑΤΑ ΛΟΥΚΑΝ 106
ΚΑΤΑ ΙΩΑΝΝΗΝ 170
ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 216
ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 278
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α′ 300
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β′ 321
ΠΡΟΣ ΓΑΛΑΤΑΣ 335
ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 342
ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ 350
ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ 355
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α′ 361
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β′ 366
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α′ 369
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β′ 375
ΠΡΟΣ ΤΙΤΟΝ 380
ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ 383
ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ 385
ΙΑΚΩΒΟΥ 402
ΠΕΤΡΟΥ Α′ 409
ΠΕΤΡΟΥ Β′ 416
ΙΩΑΝΝΟΥ Α′ 420
ΙΩΑΝΝΟΥ Β′ 426
ΙΩΑΝΝΟΥ Γ′ 427
ΙΟΥΔΑ 428

ΑΠΟΚΑΛΥΨΙΣ 431

ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

βίβλος γενέσεως ἰησοῦ˚ χριστοῦ υἱοῦ δαβὶδ υἱοῦ ἀβραάμ ⸰ **1**
ἀβραὰμ ἐγέννησεν τὸν ἰσαὰκ˚ ἰσαὰκ δὲ ἐγέννησεν τὸν ἰακὼβ ἰα- 2
κὼβ δὲ ἐγέννησεν τὸν ἰούδαν̣ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ⸰ ἰούδας 3
δὲ ἐγέννησεν τὸν φ̣άρὲς καὶ τὸν ζ̣ά̣ρὰ ἐκ τῆς θ̣ά̣μ̣ά̣ρ φ̣άρὲς δὲ
ἐγέννησεν τὸν ἐ̣σ̣ρ̣ὼμ ἐ̣σ̣ρ̣ὼμ δὲ ἐγέννησεν τὸν ἀ̣ρ̣ά̣μ ⸰ ἀ̣ρ̣ὰμ δὲ 4
ἐγέννησεν τὸν ἀ̣μ̣ιναδὰβ ἀ̣μ̣ιναδὰβ δὲ ἐγέννησεν τὸν ναασσὼν
ναασσὼν δὲ ἐγέννησεν τὸν σαλμών ⸰ σαλμὼν δὲ ἐγέννησεν τὸν 5
βο̣ὸ̣ζ ἐκ τῆς ῥ̣αχὰβ β̣ο̣ὸ̣ζ δὲ ἐγέννησεν τὸν ὠβ̣ὴ̣δ ἐκ τῆς ῥ̣ο̣ὺθ
ὠβ̣ὴ̣δ δὲ ἐγέννησεν τὸν ἰ̣ε̣σσαί ⸰ ἰεσσαὶ δὲ ἐγέννησεν τὸν δαβὶδ 6
τὸν βασιλέα δαβὶδ δὲ ὁ˚ βασιλεὺς ἐγέννησεν τὸν σολομῶντ̣α ἐκ
τῆς τοῦ˚ οὐρίου ⸰ σ̣ό̣λομὼν δὲ ἐγέννησεν τὸν ῥ̣οβοὰμ ῥ̣οβοὰμ δὲ 7
ἐγέννησεν τὸν ἀ̣β̣ιὰ ἀ̣β̣ιὰ δὲ ἐγέννησεν τὸν ἀ̣σ̣ά ⸰ ἀ̣σ̣ὰ δὲ ἐγέν- 8
νησεν τὸν ἰωσαφὰτ ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν ἰωρὰμ ἰωρὰμ δὲ
ἐγέννησεν̣ τὸν ὀ̣ζ̣ί̣ά̣ν ⸰ ὀ̣ζ̣ί̣ά̣ς δὲ ἐγέννησεν τὸν ἰωάθ̣ά̣μ ἰωάθ̣ά̣μ δὲ 9
ἐγέννησεν τὸν ἄχ̣ά̣ζ ἄχ̣ά̣ζ δὲ ἐγέννησεν τὸν ἐ̣ζ̣ε̣κ̣ίαν ⸰ ἐ̣ζ̣ε̣κ̣ίας δὲ 10
ἐγέννησεν τὸν μανασσ̣ῆ̣ μανασσῆ̣ς δὲ ἐγέννησεν τὸν ἀ̣μ̣ὼ̣ν̣ ἀ̣μ̣ὼ̣ν̣

ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ 𝕋 ¦ ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ 𝕂 ¦ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ 𝕄 ¦ ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 𝕍 ℕ 𝔎 B ¦ ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ f^{13} 33 𝔐 co^{bo} ¦ [ΕΥ]ΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ W^{c} ¦ ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ L *al* ¦ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ f^{1} *al* co$^{bo(ms)}$ ¦ ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΟΥ ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΥ 1241 *al*. **1.v.1** 𝔼: ιησοῦ χριστοῦ, 𝔓^{1} 𝔎 B E K L M S U W Δ Π Ω f^{1} 2 33 28 118 124 565 579 700 788 1346 1071 1424: ιῡ χῡ. **v.1** 𝔼 𝔎 B W: υἱοῦ, 𝔓^{1} E L M Δ 33 565 1424: ῡῡ. **v.1** 𝕋* 1: δαβὶδ, 𝕍 ℕ 𝔓^{1}: δαυὶδ, 𝔎 *rell*: δαδ̄, B: δαυειδ, W: δα[υε]ιδ. **v.2** 𝔼 𝔎 B: ἰσαὰκ ἰσαὰκ δὲ, 𝔎*: ισακ ισακ. **v.2** 𝔼 𝔎 B D: ἰούδαν, K: ιουδα, W: ιουδα[ν]. **v.3** 𝕋 𝕂 ℕ: φαρὲς, 𝕄 𝕍: φάρες. **v.3** 𝕋 𝕂 ℕ: ζαρὰ, 𝕄 𝕍: ζάρα, 𝔓^{1} B co^{mae}: ζαρε. **v.3** 𝕋 𝕂 ℕ: θάμαρ, 𝕄 𝕍: θαμὰρ. **v.3** 𝕋 𝕂: ἐσρὼμ, 𝕄 𝕍 ℕ: ἐσρὼμ, W: εζρωμ. **v.4** 𝔼 𝔎: ἀμιναδὰβ, 𝔓^{1}: αμμιναδαβ, B: αμειναδαβ. **v.4** 𝔼: ἀμιναδὰβ, 𝔓^{1}: αμμιναδαβ, 𝔎: αμιναδαμ, B: αμειναδαβ. **v.5** 𝕋 𝕂 L W f^{1,13} 𝔐 lat sy^{p}: βοὸζ, 𝕄: βόοζ, 𝕍 ℕ 𝔓^{1} 𝔎 B *ℓ*844 *ℓ*2211 co: βοὲς, C 33 *pc*: βοος. **v.5** 𝕋 𝕂 L f^{1,13} 𝔐 lat sy^{p}: βοὸζ, 𝕄: βόοζ, 𝕍 ℕ 𝔓^{1} 𝔎 B *ℓ*844 *ℓ*2211 co: βοὲς, W: βοαζ, C 33 *pc*: βοος. **v.5** 𝕋* W: ὠβὴδ, 𝕍 ℕ 𝔓^{1} 𝔎 B: ἰωβὴδ. **v.5** 𝔼 𝔓^{1} 𝔎 B: ἰεσσαί, W: ειεσσαι. **v.6** 𝕋*: δαβὶδ, 𝕍 ℕ 𝔓^{1}: δαυὶδ, 𝔎: δαδ̄, B W: δαυειδ. **v.6** 𝕋*: δαβὶδ, 𝕍 ℕ 𝔓^{1}: δαυὶδ, 𝔎 B W: δαυειδ. **v.6** 𝕋* C L W 33 𝔐 lat sy^{h}: ὁ βασιλεὺς, 𝕍 ℕ 𝔓^{1} 𝔎 B Γ f^{1,13} 579 700 *pc* vg^{mss} sy^{s,c,p} co: ∅. **v.6** 𝕋 𝕂: σολομῶντα, 𝕄 𝕍 ℕ 𝔓^{1} B: σολομῶνα, 𝔎*: σαλομων, 𝔎: σαλωμωνα. **v.6** 𝔼 𝔎: τοῦ οὐρίου, 𝔓^{1}: ουρειου, B: του ουρειου. **v.7** 𝔼 𝔓^{1} 𝔎* B: σολομὼν, 𝔎: σαλωμων. **v.7** 𝔼 𝔎 B: ἀβιὰ, 𝔓^{1}: αβεια, f^{13} *pc* it sy^{hmg}: αβιουδ. **v.7** 𝕋* L W 33 𝔐 vg sy: ἀσά, 𝕍 ℕ 𝔓^{1vid} 𝔎 B C f^{1,13} 700 *ℓ*844 *ℓ*2211 *pc* it co: ἀσάφ. **v.8** 𝕋* L W 33 𝔐 𝔎: ἀσὰ, 𝕍 ℕ 𝔓^{1vid} 𝔎* B C f^{1,13} 700 *ℓ*844 *ℓ*2211 *pc* it co: ἀσὰφ. **v.8** 𝔼 𝔎 B: ἐγέννησεν, sy^{c}: εγεννησεν τον οχοζιαν οχοζιας δε εγεννησεν τον ιωας ιωας δε εγεννησεν τον αμασιαν αμασιας δε εγεννησεν. **v.8** 𝔼 𝔎: ὀζίαν, 𝔓^{1} 𝔎* B W: οζειαν. **v.9** 𝔼 𝔎: ὀζίας, 𝔓^{1} B W: οζειας. **v.9** 𝕋 𝕂 ℕ: ἰωάθαμ, 𝕄 𝕍: ἰωαθὰμ. **v.9** 𝕋 𝕂 𝔎 B L W Θ f^{1,13} 33 𝔐 lat: ἄχαζ, 𝕄 𝕍: ἀχὰζ, ℕ C co$^{mae,bo(ms)}$: ἄχας. **v.9** 𝕋 𝕂 B L W Θ f^{1,13} 33 𝔐 lat: ἄχαζ, 𝕄 𝕍: ἀχὰζ, ℕ 𝔎 C co$^{mae,bo(ms)}$: ἄχας. **v.9** 𝕋 𝕂: ἐζεκίαν, 𝕄 𝕍 ℕ: ἐζεκίαν. **v.10** 𝕋 𝕂: ἐζεκίας, 𝕄 𝕍 ℕ: ἐζεκίας. **v.10** 𝔼: μανασσῆ, Δ *pc*: μανασσην, *ℓ*2211*: μανασην. **v.10** 𝔼 𝔎*: μανασσῆς, W: μανασης, 𝔎^{1} B: μανασση. **v.10** 𝕋* L W f^{13} 𝔐 lat sy co^{mae}: ἀμὼν, 𝕍 ℕ 𝔎 B C Γ Δ Θ f^{1} 33 *pc* it vg^{mss} co^{sa,bo}: ἀμὼς.

δὲ ἐγέννησεν τὸν ἰωσίαν ⸰ ἰωσίας δὲ ἐγέννησεν τὸν ἰεχονίαν καὶ
τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας βαβυλῶνος ⸰ μετὰ δὲ
τὴν μετοικεσίαν βαβυλῶνος ἰεχονίας ἐγέννησεν τὸν σαλαθιὴλ
σαλαθιὴλ δὲ ἐγέννησεν τὸν ζοροβάβελ ⸰ ζοροβάβελ δὲ ἐγέννησεν
τὸν ἀβιοὺδ ἀβιοὺδ δὲ ἐγέννησεν τὸν ἐλιακεὶμ ἐλιακεὶμ δὲ ἐ-
γέννησεν τὸν ἀζὼρ ⸰ ἀζὼρ δὲ ἐγέννησεν τὸν σαδὼκ σαδὼκ δὲ
ἐγέννησεν τὸν ἀχεὶμ ἀχεὶμ δὲ ἐγέννησεν τὸν ἐλιούδ ⸰ ἐλιοὺδ δὲ
ἐγέννησεν τὸν ἐλεάζαρ ἐλεάζαρ δὲ ἐγέννησεν τὸν ματθὰν ματθὰν
δὲ ἐγέννησεν τὸν ἰακώβ ⸰ ἰακὼβ δὲ ἐγέννησεν τὸν ἰωσὴφ τὸν˚ ἄν-
δρα μαρίας ἐξ ἧς ἐγεννήθη ἰησοῦς ὁ λεγόμενος χριστός ⸰ πᾶσαι
οὖν αἱ γενεαὶ ἀπὸ ἀβραὰμ ἕως δαβὶδ γενεαὶ δεκατέσσαρες καὶ
ἀπὸ δαβὶδ ἕως τῆς μετοικεσίας βαβυλῶνος γενεαὶ δεκατέσσαρες
καὶ ἀπὸ τῆς μετοικεσίας βαβυλῶνος ἕως τοῦ χριστοῦ γενεαὶ
δεκατέσσαρες ⸰ τοῦ δὲ ἰησοῦ˚ χριστοῦ ἡ γένν̈ησις οὕτως ἦν μνη-
στευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ μαρίας τῷ ἰωσὴφ πρὶν ἢ
συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁ-
γίου ⸰ ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν
παραδειγματίσαι ἐβουλήθη λάθρᾳ ἀπολῦσαι αὐτήν ⸰ ταῦτα δὲ
αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ ἄγγελος κυρίου κατ᾽ ὄναρ ἐφάνη αὐ-
τῷ λέγων ἰωσὴφ υἱὸς δαβὶδ μὴ φοβηθῇς παραλαβεῖν μαριὰμ τὴν

---

v.10 𝔼: ἰωσίαν, ℵ B: ιωσειαν. **v.11** 𝔼: ἰωσίας, ℵ B: ιωσειας. **v.11** 𝔼 ℵ B C L W Δ f^{13} 28 157 180 565 579 597 700 892 1010 1071 1241 1243 1292 1424 vg $sy^{s,c,p}$ co arm eth geo sla: ἐγέννησεν, Θ f^{1} 33 205 1006 1342 1505 sy^{h*}: εγεννησεν τον ιωακιμ ιωακιμ δε εγεννησεν. **v.11** 𝔼: μετοικεσίας, *pc*: μετοικησιας. **v.12** 𝔼: μετοικεσίαν, *pc*: μετοικησιαν. **v.12** 𝕋* 𝕍 ℵ: ἐγέννησεν, ℕ B: γεννᾷ. **v.12** 𝔼 ℵ: σαλαθιὴλ, B: σελαθιηλ. **v.12** 𝕋 𝕂 ℕ: ζοροβάβελ, 𝕄 𝕍: ζοροβαβέλ. **v.13** 𝕋 𝕂 ℕ: ζοροβάβελ, 𝕄 𝕍: ζοροβαβὲλ. **v.13** 𝕋* 𝕍 ℵ: ἐγέννησεν, ℕ B: γεννᾷ. **v.13** 𝔼 B ℵ^{c}: ἀβιοὺδ, ℵ*: αβιουτ. **v.13** 𝕋* ℕ ℵ B: ἐλιακεὶμ, 𝕍: ἐλιακὶμ. **v.14** 𝔼 ℵ B: σαδὼκ, ℵ*: σαδωχ, W: σαδδωκ. **v.14** 𝕋* ℕ $\mathfrak{P}^{1}$ ℵ* B: ἀχεὶμ, 𝕍 ℵ: ἀχὶμ, W: αχειν. **v.14** 𝔼 ℵ B: ἐλιούδ, ℵ*: ελιουτ. **v.15** 𝔼 ℵ B: ἐλιοὺδ, ℵ*: ελιουτ. **v.15** 𝕋* 𝕍 ℵ: ματθὰν, ℕ $\mathfrak{P}^{1}$ B: μαθθὰν. **v.16** 𝔼 $\mathfrak{P}^{1}$ ℵ B C L W 28 33 157 180 205 565 579^{vid} 597 700 892 1006 1010 1071 1241 1243 1292 1424 1505 vg $sy^{p,h}$ co^{sa} (arm) (eth) geo sla: τὸν ἄνδρα μαρίας ἐξ ἧς ἐγεννήθη ἰησοῦς ὁ λεγόμενος χριστός, Δ: ανδρα μαριας εξ ης εγεννηθη ιησους ο λεγομενος χριστος, f^{1}: τον ανδρα μαριας εξ ης εγεννηθη ο λεγομενος χριστος, Θ f^{13} ℓ547 it: ω μνηστευθεισα παρθενος μαριαμ εγεννησεν ιησουν τον λεγομενον χριστον, sy^{s}: Joseph to whom was betrothed Mary the virgin, begot Jesus who is called the Christ, sy^{c}: to whom was betrothed Mary the virgin, she who bore Jesus the Christ, $co^{mae,bo}$: the husband of Mary, who bore Jesus who is called Christ. **v.17** 𝕋*: δαβὶδ, 𝕍 ℕ: δαυὶδ, ℵ: δαδ, B: δαυειδ. **v.17** 𝕋* 𝕍 B: δεκατέσσαρες, ℕ: δέκα τέσσαρες, $\mathfrak{P}^{1}$ ℵ W: ιδ. **v.17** 𝔼 ℵ B: μετοικεσίας, *pc*: μετοικησιας. **v.17** 𝔼: χριστοῦ, $\mathfrak{P}^{1}$ ℵ B: χυ. **v.18** 𝔼 C L Z Δ Θ $f^{1,13}$ 28 33 157 180 205 565 579 597 700 892 1006 1010 1071 1241 1243 1292 1424 1505 $sy^{p,h}$ $co^{sa,mae,bo}$ arm (eth) geo sla: ἰησοῦ χριστοῦ, $\mathfrak{P}^{1}$ ℵ: ιυ χυ, B: χυ ιυ, W: ιησου, *pc* latt $sy^{s,c}$: χριστου. **v.18** 𝕋* L f^{13} 28 33 157 180 205 565 597 700 892 1006 1010 1071 1241 1243 1292 1424 1505 𝔐 vg sla: γέννησις, 𝕍 ℕ $\mathfrak{P}^{1}$ ℵ B C P W Z Δ Θ Σ f^{1} 579 ℓ2211 arm: γένεσις. **v.18** 𝕋*: γὰρ, 𝕍 ℕ $\mathfrak{P}^{1}$ ℵ B: ∅. **v.18** 𝔼 $\mathfrak{P}^{1}$ B: συνελθεῖν, ℵ: συνελθιν. **v.19** 𝕋* C L Θ f^{13} 33 𝔐: παραδειγματίσαι, 𝕍 ℕ $\mathfrak{P}^{1}$ ℵ^{1} B Z f^{1}: δειγματίσαι, ℵ* W: παραδιγματισαι. **v.19** 𝕋 𝕂: λάθρα, 𝕄 𝕍 ℕ: λάθρᾳ. **v.19** 𝔼 B: ἀπολῦσαι, ℵ: απολυσε. **v.20** 𝕋*: δαβὶδ, 𝕍 ℕ: δαυὶδ, B W: δαυειδ. **v.20** 𝕋* ℵ C D W Z Θ f^{13} 33 𝔐: μαριὰμ, 𝕍 B L f^{1} 1241 *pc* co: μαρίαν, ℕ: μαριὰν.

γυναῖκά σου τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν˚ ἁ-
γίου ⸓ τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰησοῦν αὐτὸς 21
γὰρ σώσει τὸν λαὸν˚ αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ⸓ τοῦτο δὲ 22
ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ
προφήτου λέγοντος ⸓ ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται 23
υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ ὅ ἐστιν μεθερ-
μηνευόμενον μεθ᾽ ἡμῶν ὁ θεός ⸓ διεγερθεὶς δὲ ὁ˚ ἰωσὴφ ἀπὸ τοῦ 24
ὕπνου ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου καὶ πα-
ρέλαβεν τὴν γυναῖκα αὐτοῦ ⸓ καὶ οὐκ˚ ἐγίνωσκεν αὐτὴν ἕως οὗ 25
ἔτεκεν τὸν˚ υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐκάλεσεν τὸ ὄνομα
αὐτοῦ ἰησοῦν ⸓

τοῦ δὲ ἰησοῦ γεννηθέντος ἐν βηθλεὲμ τῆς ἰουδαίας ἐν ἡμέ- **2**
ραις ἡρῴδου τοῦ βασιλέως ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγέ-
νοντο εἰς ἰεροσόλυμα ⸓ λέγοντες ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς 2
τῶν ἰουδαίων εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ
ἤλθομεν προσκυνῆσαι αὐτῷ ⸓ ἀκούσας δὲ ἡρῴδης˚ ὁ βασιλεὺς ἐ- 3
ταράχθη καὶ πᾶσα ἰεροσόλυμα μετ᾽ αὐτοῦ ⸓ καὶ συναγαγὼν πάν- 4
τας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ᾽˚
αὐτῶν ποῦ ὁ χριστὸς γεννᾶται ⸓ οἱ δὲ εἶπόν αὐτῷ ἐν βηθλεὲμ 5
τῆς ἰουδαίας οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου ⸓ καὶ σὺ 6
βηθλεὲμ γῆ˚ ἰούδα οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ἰ-
ούδα ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος ὅστις ποιμανεῖ τὸν λα-
όν μου τὸν ἰσραήλ ⸓ τότε ἡρῴδης˚ λάθρα καλέσας τοὺς μάγους 7
ἠκρίβωσεν παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος ⸓ καὶ 8
πέμψας αὐτοὺς εἰς βηθλεὲμ εἶπεν πορευθέντες ἀκριβῶς˚ ἐξετά-
σατε περὶ τοῦ παιδίου ἐπὰν δὲ εὕρητε ἀπαγγείλατέ μοι ὅπως

---

v.20 𝔼 ℵ B: ἐστιν ἁγίου, D: αγιου εστιν. **v.21** 𝔼 ℵ B: υἱὸν, sy^{s,c}: σοι υιον. **v.21** 𝔼 B D: σώσει, ℵ: σωσι. **v.21** 𝔼: λαὸν αὐτοῦ, sy^{c}: κοσμον. **v.22** 𝕋* L 𝔐: τοῦ, 𝕍 ℕ ℵ B C D W Z Δ 071 f^{1,13} 33 892^{vid} ℓ2211 *pc*: ∅. **v.22** 𝔼: τοῦ, D *pc* it sy^{s,c,h} co$^{sa(ms)}$: ησαιου του. **v.23** 𝔼: τέξεται, D: τεξετε. **v.23** 𝔼: καλέσουσιν, D *pc* co$^{bss(mss)}$: καλεσεις. **v.24** 𝕋* C^{3} D L W 087 f^{13} 33 𝔐: διεγερθεὶς, 𝕍 ℕ 𝔓^{1vid} ℵ B C* Z 071 f^{1} *pc*: ἐγερθεὶς. **v.24** 𝔼 B C D L W f^{1} 33 𝔐: ὁ, ℵ K Z Γ Δ f^{13} 565 1241 *al*: ∅. **v.25** 𝔼 ℵ: οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ, B*: ουκ εγεινωσκεν αυτην εως, D: ουκ εγνω αυτην εως ου, sy^{s}: ∅. **v.25** 𝕋* C D W 087 𝔐 vg sy^{p,h}: τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, L d: τον υιον τον πρωτοτοκον, 𝕍 ℕ ℵ B Z^{vid} 071^{vid} f^{1,13} 33 *pc* it co^{mae} sy^{s,c} co^{sa,bo}: υἱὸν. **v.25** 𝔼: ἰησοῦν, ℵ B: ιν, D: ιηνν. **2.v.1** 𝔼: ἰησοῦ, ℵ B D: ιυ. **v.1** 𝕋 𝕂 ℕ: βηθλεὲμ, 𝕄 𝕍: βηθλεεμ. **v.1** 𝕋 𝕂: ἡρώδου, 𝕄 𝕍 ℕ: ἡρῴδου, D: ηρωδους. **v.1** 𝔼: ἰδοὺ, D: ειδου. **v.1** 𝕋* 𝕍: ἱεροσόλυμα, ℕ: ἱεροσόλυμα. **v.3** 𝕋*: ἡρώδης ὁ βασιλεὺς, 𝕍 ℕ ℵ B D: ὁ βασιλεὺς ἡρῴδης. **v.3** 𝔼 ℵ B: πᾶσα, D: ∅. **v.3** 𝕋* 𝕍: ἱεροσόλυμα, ℕ: ἱεροσόλυμα. **v.4** 𝔼: γραμματεῖς, W: γραμματις. **v.4** 𝔼: παρ᾽ αὐτῶν, D Γ *pc*: ∅. **v.5** 𝕋* D: εἶπον αὐτῷ, 𝕍 ℕ ℵ* B: εἶπαν αὐτῷ, ℵ: ειπαν. **v.5** 𝕋 𝕂 ℕ: βηθλεὲμ, 𝕄 𝕍: βηθλέεμ. **v.6** 𝕋 𝕂 ℕ: βηθλεὲμ, 𝕄 𝕍: βηθλέεμ. **v.6** 𝔼: γῆ ἰούδα, D *pc* it sy^{s,c,p}: της ιουδαιας, co$^{bo(ms(s))}$: γη των ιουδαιων. **v.7** 𝕋 𝕂: ἡρώδης λάθρα, 𝕄 𝕍 ℕ: ἡρῴδης λάθρᾳ. **v.7** 𝔼 ℵ: ἠκρίβωσεν, B: ηκρειβωσεν, D: ηκρειβασεν. **v.8** 𝕋 𝕂 ℕ: βηθλεὲμ, 𝕄 𝕍: βηθλέεμ. **v.8** 𝕋* C^{3} L W 0233 𝔐: ἀκριβῶς ἐξετάσατε, 𝕍 ℕ ℵ B C* f^{1,13} 33^{vid} ℓ844 ℓ2211 *pc*: ἐξετάσατε ἀκριβῶς, D: εξετασαται ακρειβως. **v.8** 𝔼 ℵ B: ἐπὰν, D: οταν.

9 κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ ◦ οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως
ἐπορεύθησαν καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆ-
10 γεν αὐτοὺς ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ◦ ἦν τὸ παιδίον ◦ ἰδόντες
11 δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα ◦ καὶ ἐλθόντες
εἰς τὴν οἰκίαν εὗρον τὸ παιδίον μετὰ μαρίας τῆς μητρὸς αὐτοῦ
καὶ πεσόντες προσεκύνησαν αὐτῷ καὶ ἀνοίξαντες τοὺς θησαυ-
ροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα χρυσὸν καὶ λίβανον καὶ
12 σμύρναν ◦ καὶ χρηματισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς
13 ἡρῴδην δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν ◦ ἀνα-
χωρησάντων δὲ αὐτῶν ἰδοὺ ἄγγελος κυρίου φαίνεται ◦ κατ᾽ ὄναρ
τῷ ἰωσὴφ λέγων ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα
αὐτοῦ καὶ φεῦγε εἰς αἴγυπτον καὶ ἴσθι ἐκεῖ ἕως ἂν ε�ίπω σοὶ
14 μέλλει γὰρ ἡρῴδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό ◦ ὁ δὲ
ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ
15 ἀνεχώρησεν εἰς αἴγυπτον ◦ καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς ἡρῴδου
ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου λέ-
16 γοντος ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου ◦ τότε ἡρῴδης ἰδὼν ὅτι
ἐνεπαίχθη ὑπὸ τῶν μάγων ἐθυμώθη λίαν καὶ ἀποστείλας ἀνεῖ-
λεν πάντας τοὺς παῖδας τοὺς ἐν βηθλεὲμ καὶ ἐν πᾶσιν τοῖς ὁρίοις
αὐτῆς ἀπὸ διετοῦς ◦ καὶ κατωτέρω κατὰ τὸν χρόνον ὃν ἠκρίβω-
17 σεν παρὰ τῶν μάγων ◦ τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ ἰερεμίου
18 τοῦ προφήτου λέγοντος ◦ φωνὴ ἐν ῥαμᾶ ἠκούσθη θρῆνος ◦ καὶ
κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς
19 καὶ οὐκ ἤθελεν παρακληθῆναι ὅτι οὐκ εἰσίν ◦ τελευτήσαντος δὲ
τοῦ ἡρῴδου ἰδοὺ ἄγγελος κυρίου κατ᾽ ◦ ὄναρ φαίνεται τῷ ἰω-
20 σὴφ ἐν αἰγύπτῳ ◦ λέγων ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν
μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν ἰσραὴλ τεθνήκασιν γὰρ οἱ
21 ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου ◦ ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ
22 παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ἦλθεν εἰς γῆν ἰσραήλ ◦ ἀκού-

v.8 𝕋* 𝕍: κάγὼ, ℕ: κα᾽ γὼ. **v.9** 𝕋* L W 0233 f^{13} 𝔐: ἔστη, 𝕍 ℕ ℵ B C D f^{1} 33 ℓ2211 *pc*: ἐστάθη. **v.9** 𝔼 ℵ B: οὗ ἦν τὸ παιδίον, D it: του παιδιου. **v.11** 𝕋 474 *al* lat: εὗρον, 𝕂 𝕄 𝕍 ℕ B D: εἶδον, ℵ: ιδον. **v.11** 𝔼 W^{c} ℵ B: σμύρναν, D W*: ζμυρναν. **v.12** 𝕋 𝕂: ἡρῴδην, 𝕄 𝕍 ℕ: ἡρῴδην. **v.13** 𝔼: αὐτῶν, B: αυτων εις την χωραν αυτων. **v.13** 𝕋* 𝕍 ℵ D: φαίνεται κατ᾽ ὄναρ, C K 33 700 892 *pc*: κατ οναρ φαινεται, ℕ B co^{sa,mae}: κατ᾽ ὄναρ ἐφάνη. **v.13** 𝕋 𝕂: ἡρώδης, 𝕄 𝕍 ℕ: ἡρῴδης. **v.13** 𝔼 B D: ἀπολέσαι, ℵ: απολεσε. **v.15** 𝕋 𝕂: ἡρώδου, 𝕄 𝕍 ℕ: ἡρῴδου. **v.15** 𝕋*: τοῦ, 𝕍 ℕ ℵ B D: ∅. **v.15** 𝔼: τοῦ, sy^{s}: του στοματος ησαιου του. **v.16** 𝕋 𝕂: ἡρώδης, 𝕄 𝕍 ℕ: ἡρῴδης. **v.16** 𝔼 ℵ: λίαν, ℵ* B: λειαν. **v.16** 𝕋 𝕂 ℕ: βηθλεὲμ, 𝕄 𝕍: βηθλέεμ. **v.16** 𝔼 ℵ B: διετοῦς καὶ κατωτέρω, D*: διετειας και κατω. **v.17** 𝕋*: ὑπὸ, 𝕍 ℕ: διὰ, D: υπο κυ δια. **v.17** 𝕋: ἱερεμίου, 𝕂 𝕄 𝕍 ℕ: ἱερεμίου, D: ηρεμιου. **v.18** 𝕋* C D L W 0233 f^{13} 33 𝔐 sy^{s,c,h} arm eth geo sla: θρῆνος καὶ, 𝕍 ℕ ℵ B Z 0250 f^{1} ℓ2211 *pc* lat sy^{p} co: ∅. **v.19** 𝕋 𝕂: ἡρώδου, 𝕄 𝕍 ℕ: ἡρῴδου. **v.19** 𝕋* C L W 0233 33 𝔐: κατ᾽ ὄναρ φαίνεται, 𝕍 ℕ ℵ B D Z 0250 f^{1,13} ℓ2211 *pc*: φαίνεται κατ᾽ ὄναρ. **v.20** 𝔼 D B: μητέρα, ℵ: μρα. **v.20** 𝔼 D B: ἰσραὴλ, ℵ: ιηλ. **v.21** 𝕋* D L W 0233 0250 f^{1,13} 33 𝔐: ἦλθεν, 𝕍 ℕ ℵ B C *pc*: εἰσῆλθεν, co^{sa}: επανηλθεν.

σας δὲ ὅτι ἀρχέλαος βασιλεύει ἐπὶ τῆς ἰουδαίας ἀντὶ ἡρῴδου˚
τοῦ πατρὸς αὐτοῦ ἐφοβήθη ἐκεῖ ἀπελθεῖν χρηματισθεὶς δὲ κατ᾽
ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη τῆς γαλιλαίας ⸰ καὶ ἐλθὼν κατῴ- 23
κησεν εἰς πόλιν λεγομένην ναζαρὲτ ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ
τῶν προφητῶν ὅτι ναζωραῖος κληθήσεται ⸰

ἐν δὲ˚ ταῖς ἡμέραις ἐκείναις παραγίνεται ἰωάννης ὁ βαπτι- **3**
στὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς ἰουδαίας ⸰ κἀὶ λέγων μετανοεῖτε 2
ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ⸰ οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς 3
ὑπὸ ἡσαΐου τοῦ προφήτου λέγοντος φωνὴ˚ βοῶντος ἐν τῇ ἐρήμῳ
ἑτοιμάσατε τὴν ὁδὸν κυρίου εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ ⸰
αὐτὸς δὲ ὁ ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου 4
καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ ἡ δὲ τροφὴ αὐ-
τοῦ˚ ἦν ἀκρίδες καὶ μέλι ἄγριον ⸰ τότε ἐξεπορεύετο πρὸς αὐτὸν 5
ἰεροσόλυμα καὶ πᾶσα ἡ ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ ἰορ-
δάνου ⸰ καὶ ἐβαπτίζοντο ἐν τῷ ἰορδάνῃ ὑπ᾽ αὐτοῦ ἐξομολογού- 6
μενοι τὰς ἁμαρτίας αὐτῶν ⸰ ἰδὼν δὲ πολλοὺς τῶν φαρισαίων καὶ 7
σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ εἶπεν αὐτοῖς
γεννήματα ἐχιδνῶν τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλού-
σης ὀργῆς ⸰ ποιήσατε οὖν καρποὺς˚ ἀξίους τῆς μετανοίας ⸰ καὶ 8, 9
μὴ δόξητε λέγειν ἐν˚ ἑαυτοῖς πατέρα ἔχομεν τὸν ἀβραὰμ λέγω
γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα
τῷ ἀβραάμ ⸰ ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων 10
κεῖται πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται
καὶ εἰς πῦρ βάλλεται ⸰ ἐγὼ μὲν βαπτίζω˚ ὑμᾶς ἐν ὕδατι εἰς με- 11
τάνοιαν ὁ δὲ ὀπίσω˚ μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν οὗ
οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι αὐτὸς ὑμᾶς βαπτί-
σει ἐν πνεύματι ἁγίῳ καὶ˚ πυρί ⸰ οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ 12
καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν σῖτον αὐτοῦ˚

---

v.22 $\mathbb{T}^{*}$: ἐπὶ, $\mathbb{V}$ $\mathbb{N}$: ∅. **v.22** $\mathbb{T}$ $\mathbb{K}$ C^{3} D L 0233 0250 $f^{1,13}$ 33 $\mathfrak{M}$ latt: ἡρώδου τοῦ πατρὸς αὐτοῦ, $\mathbb{M}$: ἡρῴδου τοῦ πατρὸς αὐτοῦ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B C^{*} W: τοῦ πατρο῾ς αὐτοῦ ἡρῴδου. **v.23** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D L 33 700 892 1241 1424 ℓ2211 *pm*: ναζαρὲτ, $\mathbb{K}$ C K N W Γ 0233^{vl} 0250 $f^{(1),13}$ 565 *pm* lat co: ναζαρὲθ, $\mathfrak{P}^{70vid}$: ναζαρα. **3.v.1** $\mathbb{E}$ ℵ B C W 0233 $f^{1,13}$ 33 892 1241: δὲ, D K L N^{vid} Γ Δ 565 700 ℓ844 ℓ2211 *pm* it sy^{s} $co^{bo(pt)}$: ∅. **v.2** $\mathbb{T}^{*}$ C D L W 0233 $f^{1,13}$ $\mathfrak{M}$ lat sy: καὶ, $\mathbb{V}$: [καὶ], $\mathbb{N}$ ℵ B co: ∅. **v.3** $\mathbb{T}^{*}$: ὑπὸ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D: διὰ. **v.3** $\mathbb{T}$: ἡσαΐου, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ἡσαΐου, $\mathbb{N}$: ἡσαίου. **v.3** $\mathbb{E}$: φωνὴ . . . ⸰, sy^{s}: ἑτοιμάσατε τὴν ὁδὸν κυρίου. **v.4** $\mathbb{T}^{*}$: αὐτοῦ ἦν, $\mathbb{V}$ $\mathbb{N}$ D: ἦν αὐτοῦ. **v.5** $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἱεροσόλυμα, $\mathbb{N}$: ἱεροσόλυμα. **v.6** $\mathbb{T}^{*}$ C^{3} D L f^{13} $\mathfrak{M}$ lat co^{mae}: ἰορδάνῃ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B C^{*} W Δ 0233 f^{1} 33 579 1424 ℓ2211 *al* sy $co^{sa,bo}$: ἰορδάνῃ ποταμῷ. **v.7** $\mathbb{T}^{*}$ $\mathbb{V}$ ℵ^{1} C D L W 0233 $f^{1,13}$ 33 $\mathfrak{M}$ latt $sy^{s,c,h}$ co^{bo}: αὐτοῦ, $\mathbb{N}$ ℵ* B $co^{sa,mae}$: ∅. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: καρποὺς ἀξίους, $\mathbb{M}$ $\mathbb{V}$ $\mathbb{N}$ ℵ B: καρπὸν ἄξιον. **v.9** $\mathbb{E}$: ἐν ἑαυτοῖς, sy^{s}: ∅. **v.10** $\mathbb{T}^{*}$ L f^{13} 33 $\mathfrak{M}$ sy^{h}: καὶ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B C D^{s} W Δ 0233 f^{1} 700 *pc* sy^{p} co: ∅. **v.10** $\mathbb{E}$: καλὸν, 1506 sy^{s}: ∅. **v.11** $\mathbb{T}^{*}$: βαπτίζω ὑμᾶς, $\mathbb{V}$ $\mathbb{N}$: ὑμᾶς βαπτίζω. **v.11** $\mathbb{E}$: ὀπίσω μου, $\mathfrak{P}^{101}$ $co^{sa(mss)}$: ∅. **v.11** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$ $\mathbb{N}$: καὶ πυρί, $\mathbb{M}$: ∅. **v.12** $\mathbb{E}$ ℵ C D^{s} 0233 f^{1} 33 $\mathfrak{M}$ lat $co^{sa,bo}$: αὐτοῦ εἰς τὴν ἀποθήκην, B W *pc*: autou eis την αποθηκην autou, L 892 1424 ℓ844 ℓ2211 *al* sy co^{mae}: eis την αποθηκην autou, f^{13} *pc*: εις την αποθηκην.

13 εἰς τὴν ἀποθήκην τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ ⸓ τότε
παραγίνεται ὁ ἰησοῦς ἀπὸ τῆς γαλιλαίας ἐπὶ τὸν ἰορδάνην πρὸς
14 τὸν ἰωάνν̣ην τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ ⸓ ὁ δὲ ἰωάνν̣ης διεκώ-
λυεν αὐτὸν λέγων ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι καὶ σὺ
15 ἔρχῃ πρός με ⸓ ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν πρὸς˚ αὐτὸν ἄφες
ἄρτι οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύ-
16 νην τότε ἀφίησιν αὐτόν̣ ⸓ καὶ˚ βαπτισθεὶς ὁ ἰησοῦς ἀνέβη˚ εὐθὺς
ἀπὸ τοῦ ὕδατος καὶ ἰδοὺ ἀν̣εῴχθησαν αὐτ̣ῷ οἱ οὐρανοὶ καὶ εἶδεν
τὸ˚ πνεῦμα τοῦ θεοῦ καταβαῖνον˚ ὡσεὶ περιστερὰν κ̣ὰ̣ὶ ἐρχόμε-
17 νον ἐπ᾽ αὐτόν ⸓ καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσ̣ά̣ οὗτός
ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα ⸓

4 τότε ὁ˚ ἰησοῦς ἀνήχθη εἰς˚ τὴν ἔρημον ὑπὸ τοῦ πνεύμα-
2 τος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου ⸓ καὶ νηστεύσας ἡμέρας τεσ-
3 σ̣ά̣ρακοντα καὶ˚ νύκτας τεσσαράκοντα ὕστερον ἐπείνασεν ⸓ καὶ
προσελθὼν αὐτῷ˚ ὁ πειράζων εἶπεν εἰ υἱὸς εἶ τοῦ θεοῦ εἰπ̣ὲ̣ ἵνα
4 οἱ λίθοι οὗτοι ἄρτοι γένωνται ⸓ ὁ δὲ ἀποκριθεὶς εἶπεν γέγραπται
οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος ἀλλ᾽ ἐπ̣ὶ̣ παντὶ ῥήματι
5 ἐκπορευομένῳ˚ διὰ στόματος θεοῦ ⸓ τότε παραλαμβάνει αὐτὸν ὁ
διάβολος εἰς τὴν ἁγίαν πόλιν καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον
6 τοῦ ἱεροῦ ⸓ καὶ λέγει αὐτῷ εἰ υἱὸς εἶ τοῦ θεοῦ βάλε σεαυτὸν κ̣ά̣τω
γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ καὶ
ἐπὶ χειρῶν ἀροῦσίν σε μήπ̣οτε προσκόψῃς πρὸς λίθον τὸν πόδα
7 σοῦ ⸓ ἔφη αὐτῷ ὁ ἰησοῦς πάλιν γέγραπται οὐκ˚ ἐκπειράσεις κύ-

---

v.13 𝕋* 𝕍: ἰωάννην, ℕ: ἰωάνην. **v.14** 𝕋* 𝕍 𝔓96 ℵ1 C Ds L W 0233 0250 f1,13 33 𝔐 lat(t) sy comae,bo: ἰωάννης, ℕ ℵ* B cosa: ∅. **v.15** 𝕋* 𝕍 𝔓64 ℵ C Ds L W 0233 f1 33 𝔐: πρὸς αὐτὸν, ℕ 𝔓96 B f13 ℓ844 ℓ2211 *pc*: αὐτῷ, 0250 cosa(ms),bo(ms): ∅. **v.15** 𝔼: αὐτόν, sys,(c): αυτον βαπτισθηναι. **v.16** 𝕋*: καὶ βαπτισθεὶς, 𝕍 ℕ: βαπτισθεὶς δὲ. **v.16** 𝕋* C L f13 𝔐 syh: ἀνέβη εὐθὺς, 𝕍 ℕ ℵ B Ds W f1 33vid 700 ℓ844 *pc* lat syp co: εὐθὺς ἀνέβη, 0233: ανεβη ευθεως, 1391 *pc* sys: ανεβη, ℓ2211: ευθεως ανεβη. **v.16** 𝕋*: ἀνεῴχθησαν, 𝕍 ℕ: ἠνεῴχθησαν. **v.16** 𝕋* ℵ1 C Ds L W 0233 f1,13 33 𝔐 lat syp,h comae,bo: αὐτῷ, 𝕍: [αὐτῷ], ℕ ℵ* B ℓ2211 vgmss sys,c cosa: ∅. **v.16** 𝕋* C Ds L W 0233 f1,13 𝔐: τὸ πνεῦμα τοῦ θεοῦ, 𝕍: [τὸ] πνεῦμα [τοῦ] θεοῦ, ℕ ℵ B cobo: πνεῦμα θεοῦ. **v.16** 𝔼: καταβαῖνον ὡσεὶ, D it vgmss syh: καταβαινοντα εκ του ουρανου ως. **v.16** 𝕋* ℵ2 C D L W 0233 f1,13 33 𝔐 vgcl sy: καὶ, 𝕍: [καὶ], ℕ ℵ* B lat: ∅. **v.17** 𝔼: λέγουσα οὗτός ἐστιν, D sys,c: λεγουσα προς αυτον συ ει. **4.v.1** 𝔼 ℵ Cc D E K M P S W Ω f1 2 28 124 157 565 1424: ὁ, B Δ 700 *pc*: ∅. **v.1** 𝔼 𝔓101vid B C D L W 0233 f1,13 33vid 𝔐 latt syh cosa: εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, ℵ K 892 1424 *pc* sys,(c,p): υπο του πνευματος εις την ερημον πειρασθηναι υπο του διαβολου, 713: εις την ερημον πειρασθηναι υπο του πνευματος. **v.2** 𝕋*: τεσσαράκοντα, 𝕍 ℕ: τεσσεράκοντα. **v.2** 𝕋*: καὶ νύκτας τεσσαράκοντα, 𝕍 ℕ B C L W 0233 f13 33 𝔐 syh: καὶ νύκτας τεσσεράκοντα, ℵ D 892: και τεσσερακοντα νυκτας, 𝔓101vid: και $\overline{\mu}$ νυκτας, f1 *pc* syc: ∅. **v.3** 𝕋* C L 0233 𝔐 syh: αὐτῷ ὁ πειράζων εἶπεν, 𝕍 ℕ 𝔓101vid ℵ B W f1,13 33 700 892vid *al* vg syp comae,bo: ὁ πειράζων εἶπεν αὐτῷ, D it: αυτω ο πειραζων και ειπεν αυτω, sys,c: αυτῷ ὁ πειράζων εἶπεν αὐτῷ. **v.3** 𝕋* 𝕍: εἰπὲ, ℕ: εἰπὸν. **v.4** 𝕋*: ἄνθρωπος, 𝕍 ℕ: ὁ ἄνθρωπος. **v.4** 𝔼: ἐπὶ, C D f13 *al*: εν. **v.4** 𝔼: ἐκπορευομένῳ διὰ στόματος, D: ∅. **v.5** 𝕋* L W Θ 0233 f13 𝔐: ἵστησιν, 𝕍 ℕ ℵ B C D Z f1 33 *pc*: ἔστησεν. **v.6** 𝔼: κάτω, C* Θ *pc* sys,hmg cobo: εντευθεν κατω. **v.6** 𝕋* 𝕍: μήποτε, ℕ: μή ποτε. **v.7** 𝔼: οὐκ ἐκπειράσεις, D: ου πειρασεις.

ριον τὸν θεόν σου ⸂πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς 8
ὄρος ὑψηλὸν λίαν καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ
κόσμου καὶ τὴν δόξαν αὐτῶν ⸂καὶ λέγει αὐτῷ ταῦτα˚ πάντα σοι 9
δώσω ἐὰν πεσὼν προσκυνήσῃς μοι ⸂τότε λέγει αὐτῷ ὁ ἰησοῦς ὕ- 10
παγε˙ σατανᾶ γέγραπται γὰρ κύριον τὸν θεόν σου προσκυνήσεις
καὶ αὐτῷ μόνῳ λατρεύσεις ⸂τότε ἀφίησιν αὐτὸν ὁ διάβολος καὶ 11
ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ ⸂ἀκούσας δὲ ὁ˚ ἰ- 12
ησοῦς ὅτι ἰωάνν̣ης παρεδόθη ἀνεχώρησεν εἰς τὴν γαλιλαίαν ⸂καὶ 13
καταλιπὼν τὴν ναζαρὲτ ἐλθὼν κατῴκησεν εἰς καπ̣ερναοὺμ τὴν
παραθαλασσίαν ἐν ὁρίοις ζαβουλὼν καὶ νεφθαλ̣είμ ⸂ἵνα πληρω- 14
θῇ τὸ ῥηθὲν διὰ ἡ̣σ̣αΐου τοῦ προφήτου λέγοντος ⸂γῆ ζαβουλὼν 15
καὶ γῆ νεφθαλ̣ὶμ ὁδὸν θαλάσσης πέραν τοῦ ἰορδάνου γαλιλαία
τῶν ἐθνῶν ⸂ὁ λαὸς ὁ καθήμενος ἐν σκότ̣ει εἶδεν˚ φῶς μέγα καὶ 16
τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐ-
τοῖς ⸂ἀπὸ τότε ἤρξατο ὁ ἰησοῦς κηρύσσειν καὶ λέγειν μετ̣ά̣νοεῖτε 17
ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ⸂περιπ̣ατῶν δὲ ὁ˚ ἰησοῦς 18
παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας εἶδεν δύο ἀδελφοὺς σίμωνα
τὸν˚ λεγόμενον πέτρον καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλον-
τας ἀμφίβληστρον εἰς τὴν θάλασσαν ἦσαν γὰρ ἁλι̣ε̣ῖς ⸂καὶ λέγει 19
αὐτοῖς δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλι̣ε̣ῖς ἀνθρώπων ⸂οἱ 20
δὲ εὐθέως ἀφέντες τὰ δίκτυ̣ά ἠκολούθησαν αὐτῷ ⸂καὶ˚ προβὰς 21
ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφοὺς ἰάκωβον τὸν τοῦ ζεβεδαίου
καὶ ἰωάνν̣ην τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ πλοίῳ μετὰ ζεβεδαίου
τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν καὶ ἐκάλεσεν
αὐτούς ⸂οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐ- 22
τῶν ἠκολούθησαν αὐτῷ ⸂καὶ περιῆγεν ὅλην˚ τὴν γαλιλαίαν ὁ 23

---

v.9 𝕋* L W Θ 0233 f^{1} 𝔐: λέγει, 𝕍 ℕ 𝔎 B C D Z f^{13} 33 *pc*: εἶπεν. **v.9** 𝕋*: ταῦτα πάντα σοι, 𝕍 ℕ: ταῦτά σοι πάντα. **v.10** 𝕋 𝕂 𝕍 ℕ 𝔎 B C*^{vid} K P W Δ 0233 f^{1,13} 565 579* 700 892*^{vid} *al* vg sy^{p} co$^{sa(ms),mae,bo}$: ὕπαγε, 𝕄 C^{2} D L Z 33 𝔐 sy$^{(s),c,h*}$ co$^{sa(mss),bo(mss)}$: ὕπαγε ὀπίσω μου, it: retro. **v.12** 𝕋* C^{2} L W Θ 0233 f^{1,13} 𝔐 it vg^{cl} sy^{c,p,h} co$^{bo(pt)}$: ὁ ἰησοῦς, 𝕍 ℕ 𝔎 B C*^{vid} D Z 33 700 1241 *pc* vgst sy^{s} co$^{sa,mae,bo(pt)}$: ∅. **v.12** 𝕋* 𝕍: ἰωάννης, ℕ: ἰωάνης. **v.13** 𝕋 𝕄 B^{2} L Γ 565 700 892 1241 1424 ℓ844 ℓ2211 *pm*: ναζαρὲτ, 𝕂 𝔎* D K W Θ 0233 f^{1,13} 579 *pm* lat co^{sa,bo}: ναζαρὲθ, 𝕍 ℕ 𝔎^{1} B* Z 33 co^{mae}: ναζαρὰ, C P Δ *pc*: ναζαραθ. **v.13** 𝕋* C L W^{c} f^{1,13} 𝔐: καπερναοὺμ, 𝕍 ℕ 𝔎 B D W* Z 0233 33 *pc* lat(t) co: καφαρναοὺμ, Θ: καπαρναουμ. **v.13** 𝕋* ℕ 𝔎 B D: νεφθαλείμ, 𝕍: νεφθαλίμ. **v.14** 𝕋: ἡσαΐου, 𝕂 𝕄 𝕍: ἡσαΐου, ℕ: ἡσαίου. **v.15** 𝕋* ℕ B 𝔎^{c}: νεφθαλεὶμ, 𝕍 𝔎*: νεφθαλὶμ, D: νεφθαλειν. **v.16** 𝕋* 𝕍 𝔎* C L Θ f^{1,13} 33 𝔐: σκότει, ℕ 𝔎^{1} B D W: σκοτίᾳ. **v.16** 𝕋*: ˜ειδεν φῶς, 𝕍 ℕ: φῶς ˜ειδεν. **v.17** 𝔼: μετανοεῖτε ἤγγικεν γὰρ, sy^{s,c}: ἤγγικεν. **v.18** 𝔼 𝔎 B: περιπατῶν, D it sy^{s}: παραγων. **v.18** 𝕋 𝕂: ὁ ἰησοῦς, 𝕄 𝕍 ℕ: ∅. **v.18** 𝔼 𝔎 B D: τὸν λεγόμενον πέτρον, sy^{s}: ∅. **v.18** 𝕋* 𝕍 D: ἁλιεῖς, ℕ 𝔎 B: ἁλεεῖς. **v.19** 𝔼: ὑμᾶς, 𝔎^{1} D 33 ℓ844 ℓ2211* *pc* lat sy^{p}: υμας γενεσθαι. **v.19** 𝕋* 𝕍 D: ἁλιεῖς, ℕ 𝔎 B: ἁλεεῖς. **v.20** 𝔼: δίκτυα, K W 565 *al* it sy^{s,c,p} co: δικτυα αυτων. **v.21/22** 𝔼: καὶ . . . αὐτῷ, W 33: ∅. **v.21** 𝕋* 𝕍: ἰωάννην, ℕ: ἰωάνην. **v.23** 𝕋* W f^{13} 𝔐: ὅλην τὴν γαλιλαίαν ὁ ἰησοῦς, 𝕍 ℕ B sy^{c} co^{sa,mae}: ἐν ὅλῃ τῇ γαλιλαίᾳ, 𝔎^{1} D f^{1} 33 892 1424 ℓ844 ℓ2211 *pc* lat: ο ιησους ολην την γαλιλαιαν, 𝔎*: ο ιησους εν τη γαλιλαια, C* sy^{s,p,h} co^{bo}: ο ιησους εν ολη τη γαλιλαια, C^{3}: εν ολη τη γαλιλαια ο ιησους.

ἰησοῦς διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ
εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶ-
24 σαν μαλακίαν ἐν τῷ λαῷ ⸰ καὶ ˚ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην
τὴν συρίαν καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας
ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους κἀὶ δαιμονιζομέ-
νους ˚ καὶ σεληνιαζομένους καὶ παραλυτικοὺς καὶ ἐθεράπευσεν
25 αὐτούς ⸰ καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς γαλι-
λαίας καὶ δεκαπόλεως καὶ ἱἐροσολύμων καὶ ἰουδαίας καὶ πέραν
τοῦ ἰορδάνου ⸰

5 ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ
2 προσῆλθὸν αὐτ̣ῷ οἱ μαθηταὶ αὐτοῦ ⸰ καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ
3 ἐδίδασκεν αὐτοὺς λέγων ⸰ μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι
4 αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ⸰ μακάριοι ˚ οἱ πενθοῦντες̣
5 ὅτι αὐτοὶ παρακληθήσονται ⸰ μακάριοι οἱ πρ̣ᾳεῖς ὅτι αὐτοὶ κλη-
6 ρονομήσουσιν τὴν γῆν ⸰ μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν
7 δικαιοσύνην ὅτι αὐτοὶ χορτασθήσονται ⸰ μακάριοι οἱ ἐλεήμονες
8 ὅτι αὐτοὶ ἐλεηθήσονται ⸰ μακάριοι οἱ καθαροὶ τ̣ῇ καρδίᾳ ὅτι αὐ-
9 τοὶ τὸν θεὸν ὄψονται ⸰ μακάριοι οἱ εἰρηνοποιοὶ ὅτι αὐ̣τοὶ υἱοὶ θε-
10 οῦ κληθήσονται ⸰ μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης
11 ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ⸰ μακάριοί ἐστε ὅταν̣ ὀ-
νειδίσωσιν ˚ ὑμᾶς καὶ διώξωσιν καὶ εἴ̈πωσιν πᾶν ˚ πονηρὸν ῥ̣ῆμα
12 καθ᾽ ὑμῶν ψευδόμενοι ἕνεκεν ἐ̣μοῦ ⸰ χαίρετε καὶ ἀγαλλιᾶσθε
ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς οὕτως γὰρ ἐδίωξαν
13 τοὺς προφήτας τοὺς ˚ πρὸ ὑμῶν ⸰ ὑμ̣εῖς ἐστε̣ τὸ ἅλας̣ τῆς γῆς ἐὰν
δὲ τὸ ἅλας̣ μ̣ω̣ρανθῇ ἐν τίνι ἁλισθήσεται εἰς οὐδὲν ἰσχύει ἔ̈τι εἰ
14 μὴ βληθῆναι ˚ ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ⸰ ὑμεῖς

---

v.24 𝔼: καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν συρίαν, ℵ C f^{1} 33 892 *pc* sy^{hmg}: και εξηλθεν η ακοη αυτου εις ολην την συριαν, sy^{s}: ∅. **v.24** 𝕋* ℵ C^{2} D W f^{1} 33 𝔐 latt co^{sa,mae}: καὶ, 𝕍: [καὶ], ℕ B C* f^{13} 892 *pc*: ∅. **v.24** 𝔼: δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικοὺς, sy^{s}: ∅. **v.25** 𝕋* 𝕍: ἱεροσολύμων, ℕ: ἱεροσολύμων. **5.v.1** 𝕋*: προσῆλθον, 𝕍 ℕ: προσῆλθαν. **v.1** 𝔼: αὐτῷ, B *pc*: ∅. **v.4/5** 𝔼 ℵ B: μακάριοι . . . παρακληθήσονται μακάριοι . . . γῆν, D 33 lat sy^{c} co$^{bo(ms)}$: μακαριοι . . . γην μακαριοι . . . παρακληθησονται. **v.4** 𝔼: πενθοῦντες, ℵ^{1} 33 892 ℓ844 *pc* vg^{mss} co$^{sa(ms),bo}$: πενθουντες νυν. **v.5** 𝕋 𝕂: πραεῖς, 𝕄 𝕍 ℕ: πραεῖς. **v.9** 𝔼 B W Θ 0196 f^{1} 33 𝔐 vg^{ww} sy^{s,c,h} co: αὐτοὶ, ℵ C D f^{13} *pc* it vg^{cl,st} sy^{p}: ∅. **v.11** 𝔼: ὅταν, 0133 sy^{s,c}: οταν οι ανθρωποι. **v.11** 𝔼: ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν, 33 co^{mae,bo}: διωξωσιν υμας και ονειδισωσιν, D: διωξουσιν υμας και ονιδισουσιν, ℵ W Δ Θ f^{13} *pc*: ονειδισωσιν υμας και διωξουσιν. **v.11** 𝕋* C W Θ 0196 f^{1,13} 33 𝔐 sy^{p,h} co^{mae}: πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν, 𝕍 ℕ ℵ B lat sy^{s,c} co^{bo}: πᾶν πονηρὸν καθ᾽ ὑμῶν, D: καθ υμων παν πονηρον. **v.11** 𝕋* ℕ ℵ B *rell*: ψευδόμενοι, 𝕍: [ψευδόμενοι], D: ∅. **v.11** 𝔼 ℵ B: ἐμοῦ, D it: δικαιοσυνης, sy^{s,c}: του ονοματος μου. **v.12** 𝔼: τοὺς πρὸ ὑμῶν, D: τους προ υμων υπαρχοντας, D*: τους προ υμων υπαρχοντων, sy$^{s,(c)}$: τους προ υμων οι πατερες αυτων. **v.13** 𝔼 B D W: ὑμεῖς, ℵ: υμις. **v.13** 𝔼 ℵ B D: ἐστε, W: εσται. **v.13** 𝔼 B D^{c}: ἅλας, ℵ D* W: αλα. **v.13** 𝔼 𝔓^{86} B D: ἅλας, ℵ W: αλα. **v.13** 𝔼: μωρανθῇ, 𝔓^{86}: μαρανθη. **v.13** 𝔼 ℵ B: ἔτι, D W it sy^{s,c,p}: ∅. **v.13** 𝕋* D W Θ f^{13} 𝔐: βληθῆναι ἔξω καὶ, 𝕍 ℕ 𝔓^{86*} ℵ B C f^{1} 33 892 *pc*: βληθὲν ἔξω, 𝔓^{86c}: βληθεν εξω και.

ἐστὲ τὸ φῶς τοῦ κόσμου οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄ-
ρους κειμένη ⸰ οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν 15
μόδιον ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ ⸰
οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅπως 16
ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν τὸν
ἐν τοῖς οὐρανοῖς ⸰ μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον 17
ἢ τοὺς προφήτας οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι ⸰ ἀμὴν 18
γὰρ λέγω ὑμῖν ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ ἰῶτα ἓν ἢ
μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμοὺ ἕως ἂν˚ πάντα γέ-
νηται ⸰ ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων 19
καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους ἐλάχιστος κληθήσεται ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν ὃς˚ δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ οὗτος μέγας
κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ⸰ λέγω˚ γὰρ ὑμῖν ὅτι ἐὰν 20
μὴ περισσεύσῃ ἡ˚ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ
φαρισαίων οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ⸰ ἠ- 21
κούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις οὐ φονεύσεις ὃς δ᾽ ἂν φονεύσῃ
ἔνοχος ἔσται τῇ κρίσει ⸰ ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος 22
τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται˚ τῇ κρίσει ὃς δ᾽ ἂν εἴπῃ τῷ
ἀδελφῷ αὐτοῦ ῥακά ἔνοχος ἔσται τῷ συνεδρίῳ ὃς δ᾽ ἂν εἴπῃ μω-
ρὲ ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός ⸰ ἐὰν οὖν προσφέρῃς 23
τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελ-
φός σου ἔχει τι κατὰ σοῦ ⸰ ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν 24
τοῦ θυσιαστηρίου καὶ ὕπαγε πρῶτον διαλλάγηθί τῷ ἀδελφῷ σου
καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου ⸰ ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ 25
σου ταχὺ ἕως ὅτου εἶ ἐν˚ τῇ ὁδῷ μετ᾽ αὐτοῦ μήποτέ σε παραδῷ˚ ὁ
ἀντίδικος τῷ κριτῇ καὶ˚ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ καὶ εἰς
φυλακὴν βληθήσῃ ⸰ ἀμὴν λέγω σοι οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως 26

---

v.14 𝔼 B D: ἐστε, ℵ W: εσται. **v.15** 𝔼: τὸν, 𝔓^{86}: το. **v.16** 𝔼 ℵ B^{c} D: ἔργα, B*: ∅. **v.18** 𝕋* 𝕍 ℵ D W: κεραία, ℕ B: κερέα. **v.18** 𝔼 ℵ B D: νόμου, Θ f^{13} 565 *al*: νομου και των προφητων. **v.18** 𝔼 ℵ B^{c}: ἂν πάντα γένηται, B*: παντα γενηται, D: αν γενηται παντα. **v.19** 𝔼: ὃς … ⸰, ℵ* D W co$^{bo(ms)}$: ∅. **v.20** 𝔼: λέγω … ⸰, D: ∅. **v.20** 𝕋* *pm*: ἡ δικαιοσύνη ὑμῶν, 𝕍 ℕ ℵ B *pm*: ὑμῶν ἡ δικαιοσύνη. **v.21** 𝔼 ℵ B D: φονεύσεις, W: φονευσης. **v.21** 𝔼 ℵ B W: ἔσται, D: εστε. **v.22** 𝔼 ℵ B: ὑμῖν, D: υμειν. **v.22** 𝔼 𝔓^{64} ℵ* B D: ὅτι, ℵ^{1}: ∅. **v.22** 𝕋* ℵ^{2} D L W Θ 0233 f^{1,13} 33 𝔐 it sy co: εἰκῇ, 𝕍 ℕ 𝔓^{64} ℵ* B 1424^{mg} *pc* vg: ∅. **v.22** 𝔼 B W: ἔσται … ἔσται … ἔσται, ℵ: εστε … εσται … εστε, D: εσται … εστε … εσται. **v.22** 𝔼 𝔓^{86} ℵ^{c} B: ῥακά, ℵ* D W co^{mae}: ραχα. **v.22** 𝔼: εἴπῃ, L Θ 0233 f^{1,13} 700 *pc* sy^{s,c} co^{bo}: εἴπη τω αδελφω αυτου. **v.23** 𝔼 ℵ B 𝔓^{86}: ἐπὶ, D: επει. **v.23** 𝕋 𝕂 𝕍 ℵ B 𝔓^{86vid}: κἀκεῖ, 𝕄 D 𝔐: καὶ ἐκεῖ, ℕ: κα᾽ ᾽κεῖ. **v.23** 𝔼 B D: ἔχει, ℵ: εχι. **v.24** 𝔼: ἐκεῖ, ℵ: εκι. **v.24** 𝔼 ℵ B: ἔμπροσθεν, D: ενπροσθεν. **v.24** 𝔼 ℵ B 𝔓^{86}: διαλλάγηθι, W: διαλλαγηθει, D: καταλλαγηθι. **v.25** 𝔼 ℵ B W: ἴσθι, D: ισθει. **v.25** 𝕋* Θ 0233 𝔐 lat sy^{h} co$^{sa(mss),mae}$: ἐν τῇ ὁδῷ μετ᾽ αὐτοῦ, 𝕍 ℕ ℵ B D L W 0275 f^{1,13} 33 892 ℓ844 *pc* it sy^{s,c,p} co$^{sa(mss),bo(pt)}$: μετ᾽ αὐτοῦ ἐν τῇ ὁδῷ. **v.25** 𝕋* 𝕍: μήποτέ, ℕ: μή ποτέ. **v.25** 𝔼: παραδῷ ὁ ἀντίδικος, D: παραδωσει ο αντιδεικος. **v.25** 𝕋* L W Θ 0233 33 𝔐 lat sy$^{c.p.h}$ co: καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, 𝕍 ℕ 𝔓^{64vid} ℵ B 0275 f^{1,13} 892 *pc*: καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ, D: και ο κριτης σε παραδωσει τω υπηρετη, sy^{s}: ∅. **v.26** 𝔼 B D W: ἐκεῖθεν, ℵ: εκιθεν.

27 ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην ⸰ ἠκούσατε ὅτι ἐρρέθη τοῖς˚
28 ἀρχαίοις οὐ μοιχεύσεις ⸰ ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυ-
ναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ
29 καρδίᾳ αὐτοῦ ⸰ εἰ δὲ ὁ ὀφθαλμός σου˚ ὁ δεξιὸς σκανδαλίζει σε
ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ συμφέρει γάρ σοι ἵνα ἀπόληταὶ
ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν ⸰
30 καὶ˚ εἰ ἡ˚ δεξιά σου χειρ σκανδαλίζει σε ἔκκοψον αὐτὴν καὶ
βάλε ἀπὸ σοῦ συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου
31 καὶ˚ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν ⸰ ἐρρέθη δὲ˚ ὅτι ὃς
32 ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ δότω αὐτῇ ἀποστάσιον ⸰ ἐγὼ δὲ
λέγω ὑμῖν ὅτι˚ ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λό-
γου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι καὶ˚ ὃς ἐὰν ἀπολελυμένην
33 γαμήσῃ μοιχᾶται ⸰ πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς˚ ἀρχαίοις
34 οὐκ ἐπιορκήσεις ἀποδώσεις˚ δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου ⸰ ἐ-
γὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως μήτε ἐν τῷ οὐρανῷ ὅτι θρόνος
35 ἐστὶν τοῦ θεοῦ ⸰ μήτε ἐν τῇ γῇ ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν
αὐτοῦ μήτε εἰς ἰεροσόλυμα ὅτι πόλις ἐστὶν τοῦ μεγάλου βασι-
36 λέως ⸰ μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς ὅτι οὐ δύνασαι μίαν˚ τρίχα
37 λευκὴν ἢ μέλαιναν ποιῆσαι ⸰ ἔστὼ δὲ ὁ λόγος ὑμῶν ναὶ˚ ναὶ οὒ
38 οὒ˚ τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν ⸰ ἠκούσατε ὅτι
39 ἐρρέθη ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ κἀὶ ὀδόντα ἀντὶ ὀδόντος ⸰ ἐγὼ

---

v.26 𝔼 ℵ B D: ἂν, L W 1424 *al*: οὗ, 0233: οτου, 33 *pc*: ∅. **v.27** 𝕋 𝕂 L Δ Θ 0233 f^{13} 33 579 892 *pm* lat sy^{c,h*}: τοῖς ἀρχαίοις, 𝕄 𝕍 ℕ 𝔓^{64} ℵ B D W: ∅. **v.28** 𝔼 𝔓^{64} ℵ B W: ὑμῖν, D: υμειν. **v.28** 𝕋 𝕂 ℵ^{1} f^{1} *al*: αὐτῆς, 𝕄 𝕍 ℕ B D L W Θ 0233 f^{13} 33 𝔐: αὐτῇ, 𝔓^{64} ℵ* *pc*: ∅. **v.29** 𝔼 ℵ B W: σου ὁ δεξιὸς, D: ο δεξιος σου. **v.29** 𝔼 B D: σκανδαλίζει, ℵ: σκανδαλιζι. **v.29** 𝔼 B D W: συμφέρει, ℵ: συμφερι. **v.29** 𝔼 ℵ B W: ἀπόληται, D: απολητε. **v.29** 𝔼 ℵ B W: βληθῇ, D 700^{mg} it sy^{s,c} co$^{(mae),bo}$: απελθη. **v.29** 𝔼 ℵ B D: γέενναν, W: την γεενναν. **v.30** 𝔼 ℵ B W: καὶ . . . ⸰, D *pc* vg^{ms} sy^{s} co$^{bo(ms)}$: ∅. **v.30** 𝔼 ℵ B: ἡ δεξιά σου χειρ, Θ: χειρ σου η δεξια, f^{13}: η χειρ σου η δεξια. **v.30** 𝔼 B: σκανδαλίζει, ℵ: σκανδαλιζι. **v.30** 𝔼 ℵ B: ἔκκοψον, W: κοψον. **v.30** 𝔼 B W: συμφέρει, ℵ: συμφερι. **v.30** 𝔼 B ℵ^{c}: καὶ μή, ℵ*: η. **v.30** 𝕋* W Θ 0233 f^{13} 𝔐 vg^{ms} sy^{p,h} co^{sa}: βληθῇ εἰς γέενναν, 𝕍 ℕ ℵ B f^{1} 33 892 *pc* (lat) sy^{c} co$^{(mae),bo}$: εἰς γέενναν ἀπέλθῃ. **v.31** 𝕋* W: δὲ ὅτι, 𝕍 ℕ D ℵ^{c} B: δὲ, ℵ*: ∅. **v.31** 𝔼 ℵ B D: ἂν, W: εαν. **v.32** 𝔼 ℵ B W: ὑμῖν, D: υμειν. **v.32** 𝕋*: ὅτι ὃς ἂν ἀπολύσῃ, 𝕍 ℕ ℵ B W: ὅτι πᾶς ὁ ἀπολύων, D 579 *pm* it sy^{s,c} co$^{sa(ms),bo}$: ος αν απολυση, 0250: οστις αν απολυση. **v.32** 𝔼 B D: πορνείας, ℵ W: πορνιας. **v.32** 𝕋* 𝔐: μοιχᾶσθαι, 𝕍 ℕ ℵ B D W: μοιχευθῆναι. **v.32** 𝔼 L 0250 f$^{1,(13)}$ 33 𝔐 sy^{h} co^{mae,bo}: καὶ ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ μοιχᾶται, ℵ: και ος αν απολελυμενην γαμηση μοιχατε, B *pc*: και ο απολελυμενην γαμησας μοιχαται, W: και ος εαν απολελυμενην γαμηση μοιχατε, Θ: και ος αν απολελυμενην γαμησει μοιχαται, D *pc*: ∅. **v.33** 𝔼 ℵ B^{c}: ἠκούσατε, B*: ηκουσαται. **v.33** 𝔼 ℵ B D W: τοῖς ἀρχαίοις, sy^{s}: ∅. **v.33** 𝔼 B W: ἐπιορκήσεις, ℵ*: εφιορκησεις, ℵ^{c}: εφιρκησεις, D: επειορκησις. **v.33** 𝔼 ℵ B D: ἀποδώσεις δὲ, W: αποδωσης. **v.33** 𝔼: κυρίῳ, ℵ B D: κω̄. **v.34** 𝔼 ℵ B W: ὑμῖν, D: υμειν. **v.34** 𝔼 B D: οὐρανῷ, ℵ: ουνω̄. **v.34** 𝔼: θεοῦ, ℵ B D: θῡ. **v.35** 𝕋* 𝕍: ἰεροσόλυμα, ℕ: ἰεροσόλυμα. **v.36** 𝕋* 𝔐 sy^{h}: μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι, 𝕍 ℕ ℵ^{c} B Θ 33 892 ℓ844 *pc* lat: μίαν τρίχα λευκὴν ποιῆσαι ἢ μέλαιναν, W ℵ*: μιαν τριχαν λευκην ποιησαι η μελαναν, D f^{1}: ποιησαι τριχα μειαν λευκην η μελαιναν, D*: ποιειν τριχα μειαν λευκην η μελαιναν, 0250 f^{13} 700: μιαν τριχα ποιησαι λευκην η μελαιναν, L: μιαν τριχαν λευκην ποιησαι μελαιναν. **v.37** 𝔼 D: ἔστω, B 700 *pc*: εσται. **v.37** 𝔼 ℵ B D W 𝔐: ναὶ ναὶ, L sy^{s,c,p}: ναι ναι και, Θ *pc*: το ναι ναι και το. **v.38** 𝔼 ℵ B W: καὶ, D f^{13} it co^{mae}: ∅.

δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ ἀλλ᾽ ὅστις σε ῥαπίσει ἐπὶ
τὴν δεξιάν˚ σου σιαγόνα στρέψον αὐτῷ καὶ τὴν ἄλλην ⸓ καὶ τῷ˚ 40
θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν ἄφες˚ αὐτῷ καὶ
τὸ ἱμάτιον ⸓ καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν ὕπαγε μετ᾽ αὐτοῦ 41
δύο ⸓ τῷ αἰτοῦντί σε δίδου καὶ τὸν˚ θέλοντα ἀπὸ σοῦ δανείσασθαι 42
μὴ ἀποστραφῇς ⸓ ἠκούσατε ὅτι ἐρρέθη ἀγαπήσεις τὸν πλησίον 43
σου καὶ μισήσεις τὸν ἐχθρόν σου ⸓ ἐγὼ δὲ λέγω ὑμῖν ἀγαπᾶτε 44
τοὺς ἐχθροὺς ὑμῶν εὐλογεῖτε˚ τοὺς καταρωμένους ὑμᾶς καλῶς
ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπη-
ρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς ⸓ ὅπως γένησθε υἱοὶ τοῦ 45
πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ
πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους ⸓
ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς τίνα μισθὸν ἔχετε οὐ- 46
χὶ καὶ οἱ τελῶναι τὸ˚ αὐτὸ ποιοῦσιν ⸓ καὶ˚ ἐὰν ἀσπάσησθε τοὺς 47
ἀδελφοὺς ὑμῶν μόνον τί περισσὸν ποιεῖτε οὐχὶ καὶ οἱ τελῶναι
οὕτως ποιοῦσιν ⸓ ἔσεσθε οὖν ὑμεῖς τέλειοι ὥσπερ ὁ πατὴρ ὑμῶν 48
ὁ˚ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν ⸓

v.39 𝔼 ℵ B W: ὑμῖν, D: υμειν. **v.39** 𝔼 B W: ἀντιστῆναι, ℵ: αντισταθηναι. **v.39** 𝕋* L Θ f$^{1.13}$ 𝔐 co^{mae,bo}: ῥαπίσει, 𝕍 ℕ B W 33 700 1424 ℓ844 *pc*: ῥαπίζει, ℵ: ραπιζι, D: ραπεισει. **v.39** 𝕋* ℵ^{2} D L Θ f$^{1.13}$ 33 𝔐: ἐπὶ, 𝕍 ℕ ℵ* B W ℓ844 *al*: εἰς. **v.39** 𝕋* K L Δ Θ f^{13} 565 579 700 124 ℓ844 *pm*: δεξιάν σου σιαγόνα, 𝕍: δεξιὰν σιαγόνα [σου], ℕ B: δεξιάν σιαγόνα σου, 𝕄* ℵ W f^{1} 33 892 1241 *pm*: δεξιὰν σιαγόνα, D sy^{s,c}: σιαγονα σου. **v.40** 𝔼 ℵ B W: τῷ θέλοντί, D: ο θελων. **v.40** 𝔼 ℵ B W: χιτῶνά, D W: χειτωνα. **v.40** 𝔼 B: λαβεῖν, ℵ: λαβιν. **v.40** 𝔼 B: ἄφες αὐτῷ, ℵ: αφες τουτω, D: αφησεις αυτω. **v.40** 𝔼 B: ἱμάτιον, D: ειματιον, ℵ 33: ιματιον σου. **v.41** 𝔼 B: ἀγγαρεύσει, ℵ: εαν ενγαρευση, W: ανγαρευση, D: αγγαρευει, Δ: εαν αγγερευση, 33 *pc*: αν αγγαρευση, ℓ844: αν αγγαρευσει, 892*: εαν αγγαρευση. **v.41** 𝔼 ℵ W: μίλιον, B D: μειλιον. **v.41** 𝔼 ℵ B W: δύο, D it vg^{cl} sy^{s}: ετι αλλα δυο, lat sy^{c}: αλλα. **v.42** 𝔼 ℵ^{1} B D: σε, ℵ*: σοι. **v.42** 𝕋* L Θ f^{1} 33 𝔐: δίδου, 𝕍 ℕ ℵ B D W f^{13} 892 *pc*: δός. **v.42** 𝕋* B^{1}: τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, 𝕍 ℕ ℵ B* W: τὸν θέλοντα ἀπὸ σοῦ δανίσασθαι, D: τω θελοντι δανισασθαι. **v.43** 𝔼 ℵ B: ἐρρέθη, D: ερρηθη. **v.43** 𝔼 ℵ B D: ἀγαπήσεις, W: αγαπησις. **v.43** 𝔼 ℵ: μισήσεις, B D: μεισησεις, W: μισησης. **v.44** 𝔼 ℵ B W: ὑμῖν, D: υμειν. **v.44** 𝔼 ℵ B D: τοὺς, W: του. **v.44** 𝕋 𝕂: εὐλογεῖτε ... τοὺς μισοῦντας ... ⸓, 𝕄 L Θ f^{13} 33 𝔐 lat sy$^{(p),h}$ co^{mae}: εὐλογεῖτε ... τοῖς μισοῦσιν ... ⸓, 𝕍 ℕ B f^{1} *pc* sy^{s,c} co$^{sa,bo(pt)}$: καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς, ℵ: και προσευχεσθαι υπερ των διωκοντων υμας, D: ευλογειτε τους καταρωμενους υμειν καλως ποιειτε τοις μεισουσιν υμας και προσευχεσθαι υπερ των επηριαζοντων και διωκοντων υμας, W: ευλογειται ... ποιειται τοις μισουσιν υμας προσευχεσθαι υπερ των επηρεαζοντων υμας και διωκοντων υμας. **v.45** 𝔼 ℵ B D: γένησθε, W: γενησθαι. **v.45** 𝔼 B D: πατρὸς, ℵ: $\overline{\text{πρς}}$. **v.45** 𝕋 𝕂 𝕍 ℕ ℵ B D: ἐν, 𝕄: ἐν τοῖς. **v.45** 𝔼 ℵ B D W: ὅτι, 1573 *pc* lat?: οστις, lat?: ος. **v.45** 𝔼 B D W: ἀνατέλλει, ℵ: ανατελλι. **v.45** 𝔼 B D W: βρέχει, ℵ: βρεχι. **v.46** 𝔼 ℵ B: ἀγαπήσητε, D W: αγαπησηται. **v.46** 𝔼 ℵ B: μισθὸν, D: μεισθον. **v.46** 𝔼 ℵ B: ἔχετε, W: εχεται, D: εξεται. **v.46** 𝔼 ℵ B: τὸ αὐτὸ, D Z 33 sy^{s,c} co$^{sa?,bo}$: ουτως, f^{1} *pc* lat co^{mae}: τουτο. **v.46** 𝔼 ℵ D: ποιοῦσιν, B: ποιουσι. **v.47** 𝔼: καὶ ... ⸓, sy^{s}: ∅. **v.47** 𝔼 ℵ B: ἀσπάσησθε, D W: ασπασησθαι. **v.47** 𝕋 𝕂 𝕍 ℕ ℵ B D Z f$^{1.13}$ 892 *pc* lat sy^{c,p} co: ἀδελφοὺς, 𝕄 L W Θ 33 𝔐 sy^{h}: φίλους, 1424: ασπαζομενους υμας. **v.47** 𝔼 B D: ποιεῖτε, ℵ W: ποιειται. **v.47** 𝕋* L W Θ f^{13} 𝔐 sy^{p}: τελῶναι, 𝕍 ℕ ℵ B D Z f^{1} 33 892 1241 1424 *pc* lat sy^{c,h} co: ἐθνικοὶ. **v.47** 𝕋* K L Δ Θ 565 579 𝔐 sy^{c,h} co^{bo}: οὕτως, 𝕍 ℕ ℵ B D W: τὸ αὐτο. **v.48** 𝔼 D: ἔσεσθε, W: εσεσθαι. **v.48** 𝔼 B D: ὑμεῖς, ℵ: υμις. **v.48** 𝔼 B D: τέλειοι, ℵ W: τελιοι. **v.48** 𝕋* D K W Δ Θ 565 579 𝔐: ὥσπερ, 𝕍 ℕ ℵ B: ὡς. **v.48** 𝔼 B D: πατὴρ, ℵ: $\overline{\text{πηρ}}$. **v.48** 𝕋* K Δ Θ 565 579 700 *pm* it: ὁ ἐν τοῖς οὐρανοῖς, 𝕍 ℕ ℵ B W: ὁ οὐράνιος, D: εν ουρανοις. **v.48** 𝔼 B: τέλειός, ℵ W D: τελιος.

6 προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν
ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς εἰ δὲ μήγε μισθὸν οὐκ ἔ-
2 χετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς ◦ ὅταν οὖν ποιῇς
ἐλεημοσύνην μὴ σαλπίσῃς ἔμπροσθέν σου ὥσπερ οἱ ὑποκριταὶ
ποιοῦσιν ἐν ταῖς◦ συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις ὅπως δοξασθῶ-
σιν ὑπὸ τῶν ἀνθρώπων ἀμὴν λέγω ὑμῖν ἀπέχουσιν τὸν μισθὸν
3 αὐτῶν ◦ σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά
4 σου τί ποιεῖ ἡ δεξιά σου ◦ ὅπως ᾖ◦ σου ἡ ἐλεημοσύνη ἐν τῷ
κρυπτῷ καὶ ὁ πατὴρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς ἀπο-
5 δώσει σοι ἐν◦ τῷ φανερῷ ◦ καὶ◦ ὅταν προσεύχῃ◦ οὐκ ἔσῃ ὥσπερ
οἱ ὑποκριταὶ ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνί-
αις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι ὅπως ἂν φανῶσιν τοῖς
ἀνθρώποις ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσιν τὸν μισθὸν αὐτῶν ◦
6 σὺ δὲ ὅταν προσεύχῃ εἴσελθε εἰς τὸ ταμιεῖόν σου καὶ κλείσας
τὴν θύραν σου πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ καὶ
ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν◦ τῷ φα-
7 νερῷ ◦ προσευχόμενοι δὲ μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοὶ
δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται ◦

6.v.1 $\mathbb{T}^*$ B W 0250 f^{13} $\mathfrak{M}$ lat sy^c $co^{mae,bo(mss)}$: προσέχετε, $\mathbb{V}$: προσέχετε [δὲ], $\mathbb{N}$ ℵ L Z Θ f^1 33 892 1241 1424 *al* $sy^{p,h}$ co^{bo}: προσέχετε δὲ, D: προσεχεται. **v.1** $\mathbb{T}^*$ L W Z Θ f^{13} 33 $\mathfrak{M}$ $sy^{p,h}$ co^{mae}: ελεημοσύνην, $\mathbb{V}$ $\mathbb{N}$ ℵ^{*,2} B D 0250 f^1 892 *pc* lat: δικαιοσύνην, ℵ^1 sy^c co^{bo}: δοσειν. **v.1** $\mathbb{E}$ ℵ B W: ἔμπροσθεν, D: ενπροσθεν. **v.1** $\mathbb{E}$ B D: ἀνθρώπων, ℵ: $\overline{\text{ανων}}$. **v.1** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{N}$: μήγε, $\mathbb{M}$ $\mathbb{V}$: μή γε. **v.1** $\mathbb{E}$ B D: ἔχετε, W: εχεται. **v.1** $\mathbb{E}$ B D: πατρὶ, ℵ: $\overline{\text{πρι}}$. **v.1** $\mathbb{E}$ ℵ^2 B L W Θ f^{13} $\mathfrak{M}$: τοῖς, ℵ* D Z 0250 f^1 33 *pc*: ∅. **v.1** $\mathbb{E}$ B D: οὐρανοῖς, ℵ: $\overline{\text{ουνοις}}$. **v.2** $\mathbb{E}$ ℵ B D: ὑποκριταὶ, W: υποκριτε. **v.2** $\mathbb{E}$ B D: ταῖς συναγωγαῖς, ℵ: τες συναγωγες. **v.2** $\mathbb{E}$ B D: ἀνθρώπων, ℵ: $\overline{\text{ανων}}$. **v.2** $\mathbb{E}$ ℵ^1 B D W: ἀμὴν, ℵ* 13 *pc*: αμην αμην. **v.2** $\mathbb{E}$ ℵ W: ὑμῖν, D: υμειν. **v.3** $\mathbb{E}$ B D W: ἐλεημοσύνην, ℵ: ελαιημοσυνην. **v.3** $\mathbb{E}$ ℵ B W: δεξιά, D: δεξεια. **v.4** $\mathbb{E}$ ℵ^2 B L W Z^{vid} Θ 0250 $f^{1,13}$ (33) $\mathfrak{M}$: ᾖ σου ἡ ἐλεημοσύνη, D: η ελεημοσυνη σου η, ℵ*: η σου ελεημοσυνη η. **v.4** $\mathbb{E}$ B D: πατήρ, ℵ: $\overline{\text{πηρ}}$. **v.4** $\mathbb{T}^*$ D W f^1 (700) $\mathfrak{M}$ $sy^{p,h}$: αὐτὸς, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B K L Z Θ 0250 f^{13} 33 892 1424 ℓ844 *al* lat $sy^{s,c}$: ∅. **v.4** $\mathbb{E}$ B D: ἀποδώσει, ℵ W: αποδωσι. **v.4** $\mathbb{T}^*$ L W Θ 0250 $\mathfrak{M}$ it $sy^{s,p,h}$: ἐν τῷ φανερῷ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D Z $f^{1,13}$ 33 *al* vg sy^c co: ∅. **v.5** $\mathbb{E}$: και ... ◦, sy^s: ∅. **v.5** $\mathbb{T}^*$ D L W Θ f^{13} 33 $\mathfrak{M}$ $sy^{c,p,h}$: προσεύχῃ οὐκ ἔσῃ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ^2 B Z f^1 892 lat sy^{hmg} co: προσεύχησθε οὐκ ἔσεσθε, ℵ*: προσευχη ουκ εσεσθε. **v.5** $\mathbb{T}^*$ W: ὥσπερ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D: ὡς. **v.5** $\mathbb{E}$ ℵ B W: ἐν, D it: στηναι εν. **v.5** $\mathbb{E}$ B D: πλατειῶν, ℵ W: πλατιων. **v.5** $\mathbb{E}$ B W: προσεύχεσθαι, D: και προσευχομενοι, ℵ: προσευχεσθε. **v.5** $\mathbb{T}^*$ W Δ Θ 565 700 1241 ℓ844 $\mathfrak{M}$: ἂν, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D: ∅. **v.5** $\mathbb{E}$ ℵ D W: φανῶσιν, B: φανωσι. **v.5** $\mathbb{E}$ ℵ B W: ὑμῖν, D: υμειν. **v.5** $\mathbb{T}^*$ K L W Δ Θ 565 579 1241 1424 ℓ844 $\mathfrak{M}$: ὅτι, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D: ∅. **v.5** $\mathbb{E}$ ℵ D W: ἀπέχουσιν, B: απεχουσι. **v.6** $\mathbb{T}^*$ $\mathbb{N}$: ταμιεῖόν, $\mathbb{V}$ B: ταμεῖόν, ℵ D W: ταμιον. **v.6** $\mathbb{E}$ B D: κλείσας, ℵ W: κλισας. **v.6** $\mathbb{E}$ B D: πρόσευξαι, ℵ W: προσευξε. **v.6** $\mathbb{E}$ B D: πατρί, ℵ: $\overline{\text{πρι}}$. **v.6** $\mathbb{E}$ ℵ B W: τῷ, D: ∅. **v.6** $\mathbb{E}$ B D: πατήρ, ℵ: $\overline{\text{πηρ}}$. **v.6** $\mathbb{E}$ B D: ἀποδώσει, ℵ: αποδωσι, W: αποδωση. **v.6** $\mathbb{T}^*$ L W Δ Θ f^{13} 28 33 157 180 565 579 597 700 892 1006 1010 1071 1241 1243 1292 1342 1424 1505 $\mathfrak{M}$ it $sy^{p,h}$ arm eth geo sla: ἐν τῷ φανερῷ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D Z f^1 205 vg $sy^{s,c}$ $co^{sa,mae,bo}$: ∅. **v.7** $\mathbb{T}^*$: βαττολογήσητε, $\mathbb{V}$ $\mathbb{N}$ B: βατταλογήσητε, ℵ: βατταλογησηται, D: βλαττολογησηται, W: βαταλογειται. **v.7** $\mathbb{E}$ D: ἐθνικοὶ, B 1424 sy^c co^{mae}: υποκριται. **v.7** $\mathbb{E}$ ℵ B D W^c: ὅτι, W*: ∅.

μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν 8
ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν ⸰ οὕτως οὖν προσεύχεσθε ὑ- 9
μεῖς πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τὸ ὄνομά σου ⸰
ἐλθέτω ἡ βασιλεία σου γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ 10
καὶ ἐπὶ τῆς γῆς ⸰ τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμε- 11
ρον ⸰ καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν 12
τοῖς ὀφειλέταις ἡμῶν ⸰ καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν 13
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ ὅτι σοῦ ἐστιν ἡ βασιλεία
καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν ⸰ ἐὰν γὰρ ἀ- 14
φῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν ἀφήσει καὶ ὑμῖν
ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ⸰ ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ 15
παραπτώματα αὐτῶν οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώ-
ματα ὑμῶν ⸰ ὅταν δὲ νηστεύητε μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ 16
σκυθρωποὶ ἀφανίζουσιν γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως φανῶσιν
τοῖς ἀνθρώποις νηστεύοντες ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσιν τὸν
μισθὸν αὐτῶν ⸰ σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ 17
τὸ πρόσωπόν σου νίψαι ⸰ ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νη- 18
στεύων ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ καὶ ὁ πατήρ σου

---

v.8 𝔼 ℵ B D: ὁμοιωθῆτε, W: ομοιωθηται. **v.8** 𝕋* 𝕍 D L W Z Δ Θ 0170^{vid} f^{13} 33 157 180 565 579 597 700 892* 1006 1010 1071 1241 1243 1292 1342 𝔐 latt sy^{s,c,p} co^{bo} arm geo sla: ὁ πατὴρ ὑμῶν, ℕ co^{sa,mae}: ὁ θεὸς ὁ πατὴρ ὑμῶν, B: ο θς ο πατηρ υμων, ℵ*: ο πηρ υμων, ℵ^{1}: ο θς ο πηρ υμων, f^{1} 205 ℓ184 ℓ387 ℓ859 ℓ1074: ο πατηρ ημων, 047 28 892^{mg} 1424 1505 sy^{h} eth geo^{B}: ο πατηρ υμων ο ουρανιος. **v.8** 𝔼 B D W: χρείαν, ℵ: χριαν. **v.8** 𝔼 ℵ B: ἔχετε, D W: εχεται. **v.8** 𝔼 ℵ B W: αἰτῆσαι αὐτόν, D: ανοιξε το στομα. **v.9** 𝔼 B: προσεύχεσθε, ℵ D W: προσευχεσθαι. **v.9** 𝔼 B D: πάτερ, ℵ: περ. **v.9** 𝔼 B D: τοῖς οὐρανοῖς, ℵ: τοις ουνοις, co^{mae}: τω ουρανω. **v.10** 𝕋* 𝕍 B: ἐλθέτω, ℕ ℵ D W: ἐλθάτω. **v.10** 𝔼 B D W: βασιλεία, ℵ: βασιλια. **v.10** 𝔼 P.Ant.2.54 ℵ B W: ὡς, D* co$^{bo(mss)}$: ∅. **v.10** 𝕋* P.Ant.2.54 D L Θ f^{13} 𝔐: τῆς, 𝕍 ℕ ℵ B W Z Δ f^{1} *pc*: ∅. **v.11** 𝔼 P.Ant.2.54 ℵ B D W: ἐπιούσιον, it vg^{mss}: cottidianum, vg: supersubstantialem, sy^{c}: περπετυυμ, sy$^{(p),h}$: νεχεσσαριυμ, co^{sa}: ενιεντεμ, co^{mae,bo}: ϛραστινυμ. **v.11** 𝔼 ℵ B W: ἡμῖν, D: ημειν, P.Ant.2.54: ημας. **v.12** 𝔼 ℵ B W: ἡμῖν, D: ημειν. **v.12** 𝔼 B: τὰ ὀφειλήματα, P.Ant.2.54: το οφειλημ, D: τα οφιλεματα, ℵ W: τα οφιληματα, Didache: την οφειλην, Or: τα παραπτωματα. **v.12** 𝔼 B D W: ἡμεῖς, ℵ: ημις. **v.12** 𝕋* ℵ^{1} f^{13} 𝔐 co? Didache: ἀφίεμεν, 𝕍 ℕ ℵ* B Z f^{1} *pc* vgst sy^{p,h}: ἀφήκαμεν, D W Δ Θ 565 *pc*: αφιομεν, L: αφιωμεν. **v.12** 𝔼 B: ὀφειλέταις, ℵ D W: οφιλεταις. **v.13** 𝔼 B D W: πειρασμόν, ℵ: πιρασμον. **v.13** 𝕋* L W Θ 0233 f^{13} 33 𝔐 sy co$^{sa,bo(pt)}$ Didache: ὅτι . . . ⸰, 𝕍 ℕ ℵ B D Z 0170 f^{1} ℓ2211 *pc* lat co$^{mae,bo(pt)}$: ∅, 1253 *(pc)*: οτι σου εστιν η βασιλεια του πατρος και του υιου και του αγιου πνευματος εις τους αιωνας αμην. **v.13** 𝕋*: δύναμις, W: δυναμεις. **v.14** 𝔼 ℵ B: γὰρ, D* L *pc* co$^{sa(ms)}$: ∅. **v.14** 𝔼 B D: ἀφῆτε, ℵ W: αφηται. **v.14** 𝔼 B D: ἀνθρώποις, ℵ: ανοις. **v.14** 𝔼 B D W: ἀφήσει, ℵ: αφησι. **v.14** 𝔼 W: καὶ ὑμῖν, D: υμειν και. **v.14** 𝔼 B D: πατὴρ, ℵ: πηρ. **v.14** 𝔼 D W: οὐράνιος, Θ 700 it: εν τοις ουρανοις, L f^{13} ℓ844 *pc* lat co$^{sa(mss),bo,mae}$: ουρανιος τα παραπτωματα υμων. **v.15** 𝔼 ℵ B D: ἀφῆτε, W: αφηται. **v.15** 𝔼 B D: ἀνθρώποις, ℵ: ανοις. **v.15** 𝕋* ℕ B L W Θ 0233 f^{13} 33 𝔐 co$^{sa,bo(pt)}$: τὰ παραπτώματα ἀυτῶν, 𝕍 ℵ D f^{1} 892* *pc* lat sy^{p} co$^{mae,bo(pt)}$: ∅. **v.15** 𝔼 B D: πατὴρ, ℵ: πηρ. **v.15** 𝔼: ὑμῶν ἀφήσει, ℵ *pc*: υμιν αφησι, D: υμων αφησει υμειν, 1241 *pc* it vg^{cl} sy^{p,h}: υμων αφησει υμιν, sy^{c}: αφησει υμιν. **v.16** 𝔼: νηστεύητε, W: νηστευηται. **v.16** 𝔼: γίνεσθε, W: γινεσθαι. **v.16** 𝕋* L W Θ 0233 f^{13} 33 𝔐: ὥσπερ, 𝕍 ℕ ℵ B D Δ f^{1} 892 ℓ2211 *pc*: ὡς. **v.16** 𝔼: αὐτῶν, B *pc*: εαυτων. **v.16** 𝕋* L W Θ 33 𝔐 lat: ὅτι, 𝕍 ℕ ℵ B D 0233 0250 f^{1,13} 565 700 ℓ844 ℓ2211 *al* it: ∅. **v.17** 𝔼: ἄλειψαί, W: αλιψε. **v.17** 𝔼: νίψαι, W: νιψε. **v.18** 𝔼: τοῖς ἀνθρώποις νηστεύων, B: νηστευων τοις ανθρωποις. **v.18** 𝕋* L W Θ 0233 0250 f^{13} 33 𝔐: κρυπτῷ, 𝕍 ℕ ℵ B f^{1} *pc*: κρυφαίῳ.

19 ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν˚ τῷ φανερῷ ⸰ μὴ θη-
σαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς ὅπου σὴς καὶ βρῶσις
20 ἀφανίζει καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν ⸰ θη-
σαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ ὅπου οὔτε σὴς οὔτε
βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ˚ κλέ-
21 πτουσιν ⸰ ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν ἐκεῖ ἔσται καὶ ἡ
22 καρδία ὑμῶν ⸰ ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός ἐὰν οὖν
ὁ˚ ὀφθαλμός σου ἁπλοῦς ᾖ ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται ⸰
23 ἐὰν δὲ ὁ˚ ὀφθαλμός σου πονηρὸς ᾖ ὅλον τὸ σῶμά σου σκοτεινὸν
24 ἔσται εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος˚ ἐστὶν τὸ σκότος πόσον ⸰ οὐ-
δεὶς δύναται δυσὶ κυρίοις δουλεύειν ἢ γὰρ τὸν ἕνα μῖσήσει καὶ
τὸν ἕτερον ἀγαπήσει ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρο-
25 νήσει οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμμωνᾷ ⸰ διὰ τοῦτο λέγω
ὑμῖν μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε καὶ˚ τί πίητε μηδὲ
τῷ σώματι ὑμῶν τί ἐνδύσησθε οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστιν τῆς τρο-
26 φῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος ⸰ ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ
οὐρανοῦ ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν
εἰς ἀποθήκας καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτὰ οὐχ ὑ-
27 μεῖς μᾶλλον διαφέρετε αὐτῶν ⸰ τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται
28 προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα ⸰ καὶ περὶ ἐνδύμα-
τος τί μεριμνᾶτε˚ καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει˚
29 οὐ κοπιᾷ οὐδὲ νήθει ⸰ λέγω δὲ ὑμῖν ὅτι οὐδὲ σολομὼν ἐν πάσῃ
30 τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων ⸰ εἰ δὲ τὸν χόρτον τοῦ
ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ θε-
31 ὸς οὕτως ἀμφιέννυσιν οὐ πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι ⸰ μὴ
οὖν μεριμνήσητε λέγοντες τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβα-

---

v.18 𝔼: ἀποδώσει, W: αυτος αποδωσι. **v.18** 𝕋 𝕂 Δ 0233 579 1241 ℓ2211 *pm* it: ἐν τῷ φανερῷ, 𝕄 𝕍 ℕ W: ∅. **v.19** 𝔼: θησαυρίζετε, W: θησαυριζεται. **v.20** 𝔼: θησαυρίζετε, W: θησαυριζεται. **v.20** 𝔼: οὐδὲ κλέπτουσιν, ℵ f^{1} ℓ844 *pc* it sy^{c}: και κλεπτουσιν, W: ∅. **v.21** 𝕋* L W Θ 0233 f^{1,13} 33 𝔐 sy co$^{bo(pt)}$: ὑμῶν, 𝕍 ℕ ℵ B *pc* lat co: σου. **v.21** 𝔼 W: καὶ, B co$^{bo(ms)}$: ∅. **v.22** 𝔼: οὖν, ℵ *pc* lat sy^{c} co$^{mae,bo(ms)}$: ∅. **v.22** 𝕋* L Θ f^{1,13} 33 𝔐 it: ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, 𝕍 ℕ ℵ B W *pc* lat: ᾖ ὁ ὀφθαλμός σου ἁπλοῦς. **v.22** 𝕋* 𝕍: φωτεινὸν, ℕ W: φωτινὸν. **v.23** 𝔼: ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ℵ* W 33 *pc*: η ο οφθαλμος σου πονηρος. **v.23** 𝕋* 𝕍: σκοτεινὸν, ℕ W: σκοτινὸν. **v.23** 𝔼: σκότος ἐστὶν, W: εστιν σκοτος. **v.24** 𝔼: οὐδεὶς, L Δ 1241 *pc*: ουδεις οικετης. **v.24** 𝔼: μισήσει, W: μεισησει. **v.24** 𝕋 𝕂: μαμμωνᾷ, 𝕄 𝕍 ℕ W: μαμωνᾷ. **v.25** 𝔼: μεριμνᾶτε, W: μεριμναται. **v.25** 𝔼: φάγητε, W: φαγηται. **v.25** 𝕋* L Θ 0233 𝔐 sy^{p,h}: καὶ τί πίητε, 𝕍: [ἢ τί πίητε], ℕ B f^{13} 33 *al* it co$^{sa(mss),mae,bo}$: ἢ τί πίητε, ℵ f^{1} 892 ℓ2211 *pc* vg sy^{c} co$^{sa(mss)}$: ∅, W: η τι πιηται. **v.25** 𝔼: ἐνδύσησθε, W: ενδυσησθαι. **v.26** 𝔼: πετεινὰ, W: πετινα. **v.26** 𝔼: σπείρουσιν, W: σπιρουσιν. **v.26** 𝔼: εἰς, ℵ^{1} L ℓ2211 *pc*: εις τας. **v.26** 𝔼: οὐχ, W: ουχει. **v.26** 𝔼: διαφέρετε, W: διαφερεται. **v.27** 𝔼: ἡλικίαν, W: ηλικειαν. **v.28** 𝔼: μεριμνᾶτε καταμάθετε, W: μεριμναται καταμαθεται. **v.28** 𝕋* L W 0233 0281 f^{13} 𝔐: αὐξάνει οὐ κοπιᾷ οὐδὲ νήθει, 𝕍 ℕ ℵ^{1} f^{1}: αὐξάνουσιν οὐ κοπιῶσιν οὐδὲ νήθουσιν, ℵ*: ου ξαινουσιν ουδε νηθουσιν ουδε κοπιωσιν, B: αυξανουσιν ου κοπιουσιν ουδε νηθουσιν, 33: αυξανουσιν ου κοπιουσιν ουδε νηφουσιν. **v.29** 𝔼: ὅτι, W: ∅. **v.30** 𝔼: σήμερον, W: σημερον εν αγρω. **v.30** 𝔼: κλίβανον, W: κλειβανον. **v.31** 𝔼: μεριμνήσητε, W: μεριμνησηται.

λώμεθα ⸂ πάντα˚ γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ οἶδεν γὰρ ὁ πατὴρ 32
ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων ⸂ ζητεῖτε δὲ πρῶτον 33
τὴν βασιλείαν˚ τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα
πάντα προστεθήσεται ὑμῖν ⸂ μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον 34
ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία
αὐτῆς ⸂

μὴ κρίνετε ἵνα μὴ κριθῆτε ⸂ ἐν ᾧ γὰρ κρίματι κρίνετε κρι- **7**, 2
θήσεσθε καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν ⸂ τί δὲ 3
βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου τὴν δὲ
ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς ⸂ ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ 4
σου ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου καὶ ἰδοὺ ἡ
δοκὸς ἐν τῷ ὀφθαλμῷ σου ⸂ ὑποκριτὰ ἔκβαλε πρῶτον τὴν˚ δοκὸν 5
ἐκ τοῦ ὀφθαλμοῦ σου καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος
ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου ⸂ μὴ δῶτε τὸ ἅγιον τοῖς κυ- 6
σὶν μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων
μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ στρα-
φέντες ῥήξωσιν ὑμᾶς ⸂ αἰτεῖτε καὶ δοθήσεται ὑμῖν ζητεῖτε καὶ 7
εὑρήσετε κρούετε καὶ ἀνοιγήσεται ὑμῖν ⸂ πᾶς γὰρ ὁ αἰτῶν λαμ- 8
βάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται ⸂ ἢ τίς 9
ἐστὶν ἐξ ὑμῶν ἄνθρωπος ὃν ἐὰν˚ αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον μὴ
λίθον ἐπιδώσει αὐτῷ ⸂ καὶ˚ ἐὰν ἰχθὺν αἰτήσῃ μὴ ὄφιν ἐπιδώσει 10
αὐτῷ ⸂ εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα˚ ἀγαθὰ διδόναι 11
τοῖς τέκνοις ὑμῶν πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς
δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν ⸂ πάντα οὖν ὅσα ἂν θέλητε ἵνα 12

---

v.32 𝔼: πάντα γαρ ταυτα, ℵ N Δ Θ f^{13} 892 1241 *al* lat sy^{c}: ταυτα γαρ παντα. **v.32** 𝕋* L W 0233 𝔐: ἐπιζητεῖ, 𝕍 ℕ ℵ B Θ f^{1,13} 33 ℓ844 *pc*: ἐπιζητοῦσιν. **v.32** 𝔼: χρῄζετε, W: χρηζεται. **v.33** 𝔼: ζητεῖτε, W: ζητειται. **v.33** 𝕋* L Θ 0233 f^{1,13} 33 𝔐 lat sy co^{mae}: βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην, 𝕍: βασιλείαν [τοῦ θεοῦ] καὶ τὴν δικαιοσύνην, ℕ ℵ co^{sa,bo}: βασιλείαν καὶ τὴν δικαιοσύνην, B: δικαιοσυνην και την βασιλειαν, W: βασιλειαν του θεου και την δικαιωσυνην. **v.34** 𝔼: μεριμνήσητε, W: μεριμνησηται. **v.34** 𝕋* K N 0233 f^{1,13} 33 579 1241 1424 *pm* sy^{h}: τὰ ἑαυτῆς, 𝕍 ℵ B^{2} W 892 *pm*: ἑαυτῆς, ℕ B* L: αὑτῆς, Θ 565: το εαυτης, Δ: τα περι αυτης, 700: εαυτη(ν), *pc*: εαυτη. **7.v.1** 𝔼: κρίνετε, W: κρινεται. **v.1** 𝔼: κριθῆτε, W: κριθηται. **v.2** 𝔼: κρίνετε, W: κρινεται. **v.2** 𝔼: κριθήσεσθε, W: κριθησεσθαι. **v.2** 𝔼: μετρεῖτε, W: μετριται. **v.2** 𝕋 𝕂 Θ 0233 f^{13} *al* it vg^{cl}: ἀντιμετρηθήσεται, 𝕄 𝕍 ℕ W: μετρηθήσεται. **v.4** 𝔼 W: ἐρεῖς, ℵ* Θ 0233 700 lat co^{mae}: λεγεις. **v.4** 𝕋* K W Δ Θ 565 579 700 𝔐: ἀπὸ, 𝕍 ℕ: ἐκ. **v.5** 𝕋* L W Θ 0233 f^{1,13} 33 𝔐 latt: τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, 𝕍 ℵ B C^{vid} 0281: ε᾽κ τοῦ ὀφθαλμοῦ σοῦ τὴν δοκὸν, ℕ: ε᾽κ τοῦ ὀφθαλμοῦ σου τὴν δοκὸν. **v.6** 𝕋* 𝕍: μήποτε, ℕ: μή ποτε. **v.6** 𝕋* ℵ 0281 f^{1} 𝔐: καταπατήσωσιν, 𝕍 ℕ B C L N W Θ f^{13} 33 *al*: καταπατήσουσιν. **v.7** 𝔼: αἰτεῖτε, W: αιτιτε. **v.7** 𝔼: εὑρήσετε, W: ευρησεται. **v.7** 𝔼: κρούετε, W: κρουεται. **v.7** 𝔼: ἀνοιγήσεται, W: ανυγησεται. **v.8** 𝕋* 𝕍 W: ἀνοιγήσεται, ℕ B: ἀνοίγεται, Θ: ανοιχθησεται. **v.9** 𝔼: ἐστιν, B* L 565 1241 1424 *al* it: ∅. **v.9** 𝕋* ℵ^{1} L W 0281 f^{1,13} 33 𝔐 lat sy^{h}: ἐὰν αἰτήσῃ, 𝕍 ℕ ℵ* B C Θ sy$^{c.p}$: αἰτήσει. **v.9** 𝔼: ἐπιδώσει, W: επιδωση. **v.10** 𝕋* 𝔐 sy$^{p.h}$: καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, 𝕍 ℕ ℵ B C 0281 33 1241 ℓ844 ℓ2211 *pc* (co): ἢ καὶ ἰχθὺν αἰτήσει, 𝕂^{c} f^{13} 565 *al*: η και εαν ιχθυν αιτηση, W: και εαν ιχθυν αιτησει, L: και αν ιχθυν αιτησει. **v.11** 𝔼: δόματα ἀγαθὰ, f^{1} it vg^{cl}: αγαθα δοματα, L *pc* vgst: αγαθα. **v.12** 𝔼: οὖν, ℵ* L 1424 *pc* sy^{p} co$^{bo(mss)}$: ∅. **v.12** 𝕋*: ἂν, 𝕍 ℕ W: ἐὰν. **v.12** 𝔼: θέλητε, W: θεληται.

ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς οὗτος
13 γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται ⸰ εἰσέλθετε διὰ τῆς στενῆς
πύλης ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα
14 εἰς τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς ⸰ ὅτι
στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν
15 καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν ⸰ προσέχετε δὲ ἀπὸ τῶν
ψευδοπροφητῶν οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασιν προ-
16 βάτων ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες ⸰ ἀπὸ τῶν καρπῶν αὐτῶν
ἐπιγνώσεσθε αὐτοὺς μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν
17 ἢ ἀπὸ τριβόλων σῦκα ⸰ οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς κα-
18 λοὺς ποιεῖ τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ ⸰ οὐ
δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν οὐδὲ δέν-
19 δρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν ⸰ πᾶν δένδρον μὴ ποιοῦν
20 καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται ⸰ ἄραγε ἀπὸ
21 τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς ⸰ οὐ πᾶς ὁ λέγων μοι
κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἀλλ'
22 ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς ⸰ πολλοί
ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κύριε κύριε οὐ τῷ σῷ ὀνόματι
προεφητεύσαμεν καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν καὶ
23 τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν ⸰ καὶ τότε ὁμολο-
γήσω αὐτοῖς ὅτι οὐδέποτε ἔγνων ὑμᾶς ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ
24 ἐργαζόμενοι τὴν ἀνομίαν ⸰ πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λό-
γους τούτους καὶ ποιεῖ αὐτοὺς ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ
25 ὅστις ᾠκοδόμησεν τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν ⸰ καὶ κα-
τέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ

---

v.12 𝔼: ποιεῖτε, W: ποιειται. **v.13** 𝕋*: εἰσέλθετε, 𝕍 ℕ W: εἰσέλθατε. **v.13** 𝔼: ὅτι, 118*: και τι, vg^{mss}: τι. **v.13** 𝔼: πλατεῖα, W: πλατια. **v.13** 𝕋* 𝕍: ἡ πύλη, ℕ 𝔎* *pc*: ∅. **v.13** 𝔼: εἰσὶν, 𝔎*: ∅. **v.14** 𝕋 𝕂 ℕ 𝔎* N^{c} 700^{c} *pc* co$^{sa(mss),mae,bo}$: ὅτι, 𝕄 𝕍 𝔎^{2} C L W Θ f^{1,13} 𝔐 lat sy: τὶ, B* co$^{sa(mss)}$: οτι δε, B^{2}: τι δε, 209: και. **v.14** 𝔼: ἡ πύλη, 544 *pc*: ∅. **v.14** 𝔼: ὀλίγοι, W: ολειγοι. **v.15** 𝔼: προσέχετε, W: προσεχεται. **v.15** 𝕋* C L W Θ 0281 f^{1,13} 33 𝔐 sy^{h} co$^{sa(mss),bo}$: δὲ, 𝕍 ℕ 𝔎 B 0250 565 1424 *al* lat sy^{c,p} co$^{mae,sa(mss)}$: ∅. **v.16** 𝔼: ἐπιγνώσεσθε, W: επιγνωσεσθαι. **v.16** 𝕋*: σταφυλὴν, 𝕍 ℕ: σταφυλὰς. **v.18** 𝕋* 𝕍 𝔎 C L W Z Θ 0250 0281 f^{1,13} 33 𝔐 latt sy: ποιεῖν, ℕ B: ἐνεγκεῖν. **v.18** 𝔼 𝔎^{1} B C L W Z Θ 0250 f^{1,13} 33 𝔐 lat sy: ποιεῖν, 𝔎*: ενεγκειν. **v.19** 𝔼: πᾶν, C^{vid} L Z f^{13} 33 1241 *al* it sy^{c} co$^{sa,mae,bo(mss)}$: παν ουν. **v.20** 𝕋 𝕂: ἄραγε, 𝕄 𝕍 ℕ: ἄρα γε. **v.20** 𝔼: ἐπιγνώσεσθε, W: επιγνωσεσθ(αι). **v.21** 𝕋* L W f^{13} 𝔐: ἐν, 𝕍 ℕ 𝔎 B C Z Θ 0281^{vid} f^{1} 33 892 1424 *al* Didache: ἐν τοῖς. **v.21** 𝔼: οὐρανοῖς, C^{2} 33 *pc*: outos εισελευσεται εις την βασιλειαν των ουρανων, W Θ 1241 *pc* lat sy^{c}: αυτος εισελευσεται εις την βασιλειαν των ουρανων. **v.22** 𝔼: κύριε, sy^{c}: κυριε ου τω ονοματι σου εφαγομεν και επιομεν και. **v.22** 𝕋*: προεφητεύσαμεν, 𝕍 ℕ W: ἐπροφητεύσαμεν. **v.22** 𝔼: δαιμόνια, 𝔎*: δαιμονια πολλα. **v.23** 𝔼: ἀποχωρεῖτε, Θ f^{13} *pc*: αναχωρειτε, W: αποχωριται. **v.23** 𝔼: οἱ, L Θ f^{13} 1424 *al* vg^{s}: παντες οι. **v.24** 𝔼: τούτους, B* 1424 *pc* co$^{mae,bo(ms)}$: ∅. **v.24** 𝕋* C L W 𝔐 sy$^{c.h}$ co^{bo}: ὁμοιώσω αὐτὸν, 𝕍 ℕ 𝔎 B Z Θ 0281 f$^{(1),13}$ 33 700 892 1241 ℓ844 *al* vg $^{p.hmg}$ co^{sa,mae} Didache: ὁμοιωθήσεται. **v.24** 𝕋*: τὴν οἰκίαν αὐτοῦ, 𝕍 ℕ W: αὐτοῦ τὴν οἰκίαν. **v.25** 𝕋* 𝕍: ἦλθον, ℕ: ἦλθαν.

προσέπεσὸν τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἔπεσεν τεθεμελίωτο γὰρ
ἐπὶ τὴν πέτραν ⸰ καὶ πᾶς ὁ˚ ἀκούων μου τοὺς λόγους τούτους 26
καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ ὅστις ᾠκοδό-
μησεν τὴν˚ οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον ⸰ καὶ κατέβη ἡ βροχὴ 27
καὶ ἦλθὸν οἱ ποταμοὶ καὶ˚ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέκοψαν
τῇ οἰκίᾳ ἐκἐίνῃ καὶ ἔπεσεν καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλὴ ⸰ καὶ 28
ἐγένετο ὅτε συνἐτέλεσεν ὁ ἰησοῦς τοὺς λόγους τούτους ἐξεπλήσ-
σοντο οἱ˚ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ ⸰ ἦν γὰρ διδάσκων αὐτοὺς 29
ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖὲ ⸰

καταβάντι˚ δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὅ- **8**
χλοι πολλοί ⸰ καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέγων 2
κύριε ἐὰν θέλῃς δύνασαί με καθαρίσαι ⸰ καὶ ἐκτἐίνας τὴν χεῖρα 3
ἥψατο αὐτοῦ ὁ˚ ἰησοῦς λέγων θέλω καθαρίσθητι καὶ εὐθέως
ἐκαθἀρίσθη αὐτοῦ ἡ λέπρα ⸰ καὶ λέγει αὐτῷ ὁ ἰησοῦς ὅρα μη- 4
δενὶ εἴπῃς ἀλλ᾽ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκἐ
τὸ δῶροῦ ὃ προσέταξεν μὠσῆς εἰς μαρτύριον αὐτοῖς ⸰ εἰσελθόντι 5
δὲ τῷ˚ ἰησοῦ εἰς καπερναοὺμ προσῆλθεν αὐτῷ ἑκατόνταρχος
παρακαλῶν αὐτόν ⸰ καὶ λέγων κὑριε ὁ παῖς μου βέβληται ἐν τῇ 6
οἰκίᾳ παραλυτικὸς δεινῶς βασανιζόμενος ⸰ κἀὶ λέγει αὐτῷ ὁ˚ ἰη- 7
σοῦς ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν ⸰ καὶ˚ ἀποκριθεὶς ὁ ἑκατόνταρχος 8
ἔφη κύριε οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς ἀλ-
λὰ μόνον εἰπὲ λόγοῦ καὶ ἰαθήσεται ὁ˚ παῖς μου ⸰ καὶ γὰρ ἐγὼ 9
ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας καὶ
λέγω τούτῳ πορεύθητι καὶ πορεύεται καὶ ἄλλῳ ἔρχου καὶ ἔρχε-
ται καὶ τῷ δούλῳ μου ποίησον τοῦτο καὶ ποιεῖ ⸰ ἀκούσας δὲ ὁ 10

---

v.25 $\mathbb{T}^*$: προσέπεσον, $\mathbb{V}$ $\mathbb{N}$: προσέπεσαν, W: προσεκρουσαν, Θ Σ 579 *pc*: προσερρηξαν, 1424 *pc*: προσεκοψαν. **v.25** $\mathbb{E}$: οἰκίᾳ, W: οικεια. **v.26** $\mathbb{E}$: ὁ ἀκούων, Θ f^{13} *pc*: οστις ακουει. **v.26** $\mathbb{T}^*$ C L f^{13} $\mathfrak{M}$: τὴν οἰκίαν αὐτοῦ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B Z f^1 700 892 1241 *pc*: αὐτοῦ τὴν οἰκίαν, W: αυτου την οικειαν. **v.27** $\mathbb{T}^*$ $\mathbb{V}$ B: ἦλθὸν, $\mathbb{N}$ ℵ: ἦλθαν. **v.27** $\mathbb{E}$ ℵ^c B *rell*: καὶ ἔπνευσαν οἱ ἄνεμοι, ℵ*: ∅. **v.27** $\mathbb{E}$: οἰκίᾳ, W: οικεια. **v.27** $\mathbb{E}$: ἐκεἰνῃ, ℵ: εκινη. **v.27** $\mathbb{E}$: μεγάλη, Θ f^{13} 33 788 1241^c *al* co^{mae}: μεγαλη σφοδρα. **v.28** $\mathbb{T}^*$ L Θ $\mathfrak{M}$: συνετέλεσεν, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B C W Z^{vid} $f^{1,13}$ 33 565 700 892 1424 *al*: ἐτέλεσεν. **v.28** $\mathbb{E}$: οἱ ὄχλοι, 998: παντες, Δ Θ f^1 *pc*: παντες οι οχλοι. **v.29** $\mathbb{T}^*$ L Γ: γραμματεῖς, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B K Δ Θ Π $f^{1,13}$ 579: γραμματεῖς αὐτῶν, C*: και οι φαρισαιοι, C^c W 33: γραμματεις αυτων και οι φαρισαιοι. **8.v.1** $\mathbb{T}^*$ ℵ* K L 565 579 1241 1424 $\mathfrak{M}$: καταβάντι δὲ αὐτῷ, $\mathbb{V}$ $\mathbb{N}$ W: καταβάντος δὲ αὐτοῦ. **v.2** $\mathbb{T}^*$ C K L W 33 579 1241 $\mathfrak{M}$: ἐλθὼν, $\mathbb{V}$ $\mathbb{N}$: προσελθὼν, 1424: ∅. **v.3** $\mathbb{E}$: ἐκτείνας, ℵ N W 2: εκτινας. **v.3** $\mathbb{T}^*$: ὁ ἰησοῦς, $\mathbb{V}$ $\mathbb{N}$: ∅. **v.3** $\mathbb{T}^*$ $\mathbb{V}$: ἐκαθαρίσθη, $\mathbb{N}$ B* E L N 2: ἐκαθερίσθη. **v.4** $\mathbb{T}$ $\mathbb{K}$: ἀλλ᾽, $\mathbb{M}$ $\mathbb{V}$ $\mathbb{N}$ W: αλλα. **v.4** $\mathbb{E}$: δεῖξον, W: διξον. **v.4** $\mathbb{T}^*$: προσένεγκε, $\mathbb{V}$ $\mathbb{N}$ B: προσένεγκον. **v.4** $\mathbb{E}$: δῶρον, N: δωρον σου. **v.4** $\mathbb{T}^*$: μωσῆς, $\mathbb{V}$ W: μωϋσῆς, N: μωυσῆς. **v.5** $\mathbb{T}^*$: εἰσελθόντι, $\mathbb{V}$ $\mathbb{N}$: εἰσελθόντος. **v.5** $\mathbb{T}$ $\mathbb{K}$: τῷ ἰησοῦ, $\mathbb{M}$: αὐτῷ, $\mathbb{V}$ $\mathbb{N}$: αὐτοῦ. **v.5** $\mathbb{T}^*$: καπερναοὺμ, $\mathbb{V}$ $\mathbb{N}$: καφαρναοὺμ. **v.5** $\mathbb{E}$: ἑκατόνταρχος, sy^{s,hmg}: χιλιαρχος. **v.6** $\mathbb{E}$: κύριε, ℵ* sy^{s,c}: ∅. **v.7** $\mathbb{T}^*$ $\mathbb{V}$ ℵ C : καὶ, $\mathbb{N}$ B 700 it vg^{ww} sy^{s,c,p} $co^{sa,mae,bo(mss)}$: ∅. **v.7** $\mathbb{T}^*$: ὁ ἰησοῦς, $\mathbb{V}$ $\mathbb{N}$: ∅. **v.8** $\mathbb{T}^*$ $\mathbb{V}$ ℵ^1 C L W Θ 0233 $f^{1,13}$ $\mathfrak{M}$ lat sy^h co^{bo}: καὶ ἀποκριθεὶς, $\mathbb{N}$ ℵ* B 33 *pc* co^{sa}: ἀποκριθεὶς δὲ. **v.8** $\mathbb{E}$: ἑκατόνταρχος, sy^s: χιλιαρχος. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: λόγον, $\mathbb{M}$ $\mathbb{V}$ $\mathbb{N}$: λόγῳ. **v.8** $\mathbb{E}$: ὁ παῖς μου, f^1 $co^{sa,mae,bo(mss)}$: ∅. **v.9** $\mathbb{T}^*$ $\mathbb{V}$: ἐξουσίαν, $\mathbb{N}$ ℵ B *pc* it vg^{cl}: ἐξουσίαν τασσόμενος.

ἰησοῦς ἐθαύμασεν καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν ἀμὴν λέγω ὑ-
11 μῖν οὐδὲ᾽ ἐν τῷ ἰσραὴλ τοσαύτην πίστιν εὗρον ⸰ λέγω δὲ ὑμῖν ὅτι
πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσιν καὶ ἀνακλιθήσονται
μετὰ ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ⸰
12 οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον
13 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ⸰ καὶ εἶπεν ὁ
ἰησοῦς τῷ ἑκατοντάρχῳ ὕπαγε κἀὶ ὡς ἐπίστευσας γενηθήτω σοι
14 καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ ⸰ καὶ ἐλθὼν ὁ ἰησοῦς
εἰς τὴν οἰκίαν πέτρου εἶδεν τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ
15 πυρέσσουσαν ⸰ καὶ ἥψατο τῆς χειρὸς αὐτῆς καὶ ἀφῆκεν αὐτὴν ὁ
16 πυρετὸς καὶ ἠγέρθη καὶ διηκόνει αὐτοῖς ⸰ ὀψίας᾽ δὲ γενομένης
προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλοὺς καὶ ἐξέβαλεν τὰ
πνεύματα λόγῳ καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν ⸰
17 ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ ἡσαΐου τοῦ προφήτου λέγοντος
αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβεν καὶ τὰς νόσους ἐβάστασεν ⸰
18 ἰδὼν δὲ ὁ ἰησοῦς πολλοὺς᾽ ὄχλους περὶ αὐτὸν ἐκέλευσεν ἀπελ-
19 θεῖν εἰς τὸ πέραν ⸰ καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐτῷ
20 διδάσκαλε ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ ⸰ καὶ λέγει αὐτῷ ὁ
ἰησοῦς αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρα-
νοῦ κατασκηνώσεις ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν
21 κεφαλὴν κλίνῃ ⸰ ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ κύριε
22 ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου ⸰ ὁ δὲ
ἰησοῦς εἶπεν αὐτῷ ἀκολούθει μοι καὶ ἄφες τοὺς νεκροὺς θάψαι
23 τοὺς ἑαυτῶν νεκρούς ⸰ καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον ἠκολού-
24 θησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ⸰ καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο
ἐν τῇ θαλάσσῃ ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων

---

v.10 𝕋* ℵ C L Θ 0233 0250 f^{13} 33 𝔐 lat sy$^{(s),p,h}$: οὐδὲ ἐν τῷ ἰσραὴλ τοσαύτην πίστιν, 𝕍 ℕ B W *pc* sy$^{c,(hmg)}$ co: παρ᾽ οὐδενὶ τοσαύτην πίστιν ἐν τῷ ἰσραὴλ. **v.12** 𝔼: ἐκβληθήσονται, ℵ* 0250 sy^{s,c,p}: ἐξελευσονται. **v.13** 𝕋 𝕂: ἑκατοντάρχῳ, 𝕄 𝕍 ℕ: ἑκατοντάρχῃ, sy^{s}: χιλιαρχω. **v.13** 𝕋* C L Θ 0233 f^{1,13} 33 𝔐 lat sy^{h} co$^{bo(ms)}$: καὶ, 𝕍 ℕ ℵ B W 0250 0281 *pc* it sy^{s,c,p} co: ∅. **v.13** 𝕋* C L W Θ 0233 f^{13} 𝔐 sy co^{sa}: αὐτοῦ, 𝕍: [αὐτοῦ], ℕ ℵ B 0250 0281 f^{1} 33 *pc* latt co^{mae,bo}: ∅. **v.13** 𝔼: ὥρᾳ, W 700: ημερα. **v.13** 𝔼: ἐκείνῃ, ℵ*,2 C Θ f^{1} *al* sy^{h}: εκεινη και υποστρεψας ο εκατονταρχος εις τον οικον αυτου εν αυτη τη ωρα ευρεν τον παιδα υγιαινοντα, N 33 1241: εκεινη και υποστρεψας ο εκατονταρχος εις τον οικον αυτου εν αυτη τη ωρα ευρεν αυτον υγιαινοντα, 0250: εκεινη και υποστρεψας εκατονταρχα αρχης εις τον οικον αυτου εν αυτη τη ωρα ευρεν τον παιδα υγιενοντα. **v.15** 𝕋 𝕂 ℵ^{1} L Δ f^{1,13} 33 565 892 1424 ℓ844 ℓ2211 *pm* lat sy^{s,c} co^{bo}: αὐτοῖς, 𝕄 𝕍 ℕ: αὐτῷ. **v.16** 𝔼: ὀψίας δὲ γενομένης, W: οψειας δε γονομενης. **v.17** 𝕋: ἡσαΐου, 𝕂 𝕄 𝕍: ἠσαΐου, ℕ: ἡσαίου. **v.17** 𝔼: λέγοντος, W: λεγοντος οτι. **v.17** 𝔼: ἀσθενείας, W: ασθενιας. **v.18** 𝕋* ℵ^{2} C L Θ 0233 f^{13} 33 𝔐 lat sy^{h}: πολλοὺς ὄχλους, 𝕍 ℕ B co$^{sa(mss)}$: ὄχλον, σρsΩ.πς: οχλον πολυν, 1424 *al* co$^{sa(ms),mae}$: πολυν οχλον, ℵ* f^{1} *pc* co^{bo}: οχλους. **v.19** 𝔼: ἐὰν, W: αν. **v.20** 𝔼: φωλεοὺς, W: φωλαιους. **v.20** 𝔼: πετεινὰ, W: πετινα. **v.21** 𝕋* C L W Θ 0250 f^{1,13} 𝔐 lat sy co^{mae,bo}: αὐτοῦ, 𝕍: [αὐτοῦ], ℕ ℵ B 33 *pc* it co^{sa}: ∅. **v.22** 𝔼: ἰησοῦς, ℵ 33 sy^{s}: ∅. **v.22** 𝕋* L W Θ f^{13} 𝔐: εἶπεν, 𝕍 ℕ ℵ B C f^{1} 33 892 ℓ844 ℓ2211 *al*: λέγει. **v.23** 𝔼: ἐμβάντι, W: ενβαντι. **v.23** 𝕋* 𝕍 ℵ*,2 L W Θ 𝔐: τὸ, ℕ ℵ^{1} B C f^{1,13} 33 565 892 ℓ844 ℓ2211 *pc*: ∅. **v.24** 𝔼: σεισμὸς, W: σισμος.

αὐτὸς δὲ ἐκάθευδεν ⸓ καὶ προσελθόντες οἱ˚ μαθηταὶ αὐτοῦ ἤ- 25
γειραν αὐτὸν λέγοντες κύριε σῶσον ἡμᾶς ἀπολλύμεθα ⸓ καὶ λέ- 26
γει αὐτοῖς τί δειλοί ἐστε ὀλιγόπιστοι τότε ἐγερθεὶς ἐπετίμησεν
τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ ἐγένετο γαλήνη μεγάλη ⸓ οἱ δὲ 27
ἄνθρωποι ἐθαύμασαν λέγοντες ποταπός ἐστιν οὗτος˚ ὅτι καὶ οἱ
ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν˚ αὐτῷ ⸓ καὶ ἐλθόντι˚ αὐτῷ 28
εἰς τὸ πέραν εἰς˚ τὴν χώραν τῶν γεῤγεσηνῶν ὑπήντησαν αὐτῷ
δύο δαιμονιζόμενοι ἐκ τῶν μνημείων ἐξερχόμενοι χαλεποὶ λίαν
ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης ⸓ καὶ ἰδοὺ 29
ἔκραξαν λέγοντες τί ἡμῖν καὶ σοὶ ἰησοῦ υἱὲ τοῦ θεοῦ ἦλθες ὧδε
πρὸ˚ καιροῦ βασανίσαι ἡμᾶς ⸓ ἦν δὲ μακρὰν˚ ἀπ᾽ αὐτῶν ἀγέλη 30
χοίρων ἱκανῶν βοσκομένη ⸓ οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν 31
λέγοντες εἰ ἐκβάλλεις ἡμᾶς ἐπίτρεψον˚ ἡμῖν ἀπελθεῖν εἰς τὴν
ἀγέλην τῶν χοίρων ⸓ καὶ εἶπεν αὐτοῖς ὑπάγετε˙ οἱ δὲ ἐξελθόντες 32
ἀπῆλθον εἰς τὴν˚ ἀγέλην τῶν χοίρων καὶ ἰδοὺ ὥρμησεν πᾶσα ἡ
ἀγέλη τῶν˚ χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν καὶ ἀ-
πέθανον ἐν τοῖς ὕδασιν ⸓ οἱ δὲ βόσκοντες ἔφυγον καὶ ἀπελθόντες 33
εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων ⸓ καὶ 34
ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ˚ ἰησοῦ καὶ ἰδόντες
αὐτὸν παρεκάλεσαν ὅπως˚ μεταβῇ ἀπὸ τῶν˚ ὁρίων αὐτῶν ⸓

καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασεν καὶ ἦλθεν εἰς τὴν ἰδίαν **9**
πόλιν ⸓ καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βε- 2
βλημένον καὶ ἰδὼν ὁ ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπεν τῷ παρα-
λυτικῷ θάρσει τέκνον ἀφέωνταί˚ σοι αἱ ἁμαρτίαι σου ⸓ καὶ ἰδοὺ 3
τινὲς τῶν γραμματέων εἶπόν ἐν ἑαυτοῖς οὗτος βλασφημεῖ ⸓ καὶ 4

---

v.25 𝕋 𝕂 C* W Θ f¹ 1424 *al* vg^cl sy co^mae: οἱ μαθηταὶ αὐτοῦ, 𝕄 C² L f¹³ 𝔐: οἱ μαθηταί, 𝕍 ℕ ℵ B 33^vid 892 ℓ844 ℓ2211 lat co^sa,bo: ∅. **v.25** 𝕋* L W Θ 0242^vid 𝔐 latt sy: ἡμᾶς, 𝕍 ℕ ℵ B C f^1,13 33 892 *pc* co^bo(mss): ∅. **v.27** 𝔼: οὗτος, W *pc*: outos o ⸀ανος. **v.27** 𝕋*: ὑπακούουσιν αὐτῷ, 𝕍 ℕ W: αὐτῷ ὑπακούουσιν. **v.28** 𝕋* K L W Δ 565 579 700 1424 𝔐: ἐλθόντι αὐτῷ, 𝕍 ℕ: ἐλθόντος αὐτοῦ, ℵ*: ελθοντων αυτων. **v.28** 𝔼: εἰς τὴν χώραν, W: ∅. **v.28** 𝕋* ℵ² L W f^1,13 𝔐 co^bo: γεργεσηνῶν, 𝕍 ℕ B C Θ *al* sy^s,p,h: γαδαρηνῶν, 892^c latt sy^hmg co^sa,mae: γερασηνων, ℵ*: γαζαρηνων, Δ: γαραδηνων. **v.28** 𝔼: μνημεῖων, W: μνημιων. **v.29** 𝔼: ἔκραξαν, W: εκραζον. **v.29** 𝕋* C³ W Θ 0242^vid f¹³ 𝔐 it vg^cl sy^p,h co^sa,bo(pt): ἰησοῦ, 𝕍 ℕ ℵ B C* L f¹ 33 892 *al* vg^st sy^s co^mae,bo(pt): ∅. **v.29** 𝔼: πρὸ καιροῦ βασανίσαι ἡμᾶς, ℵ* *pc* vg^mss co^bo(pt): ημας απολεσαι προ καιρου, W: απολεσαι ημας και προ καιρου βασανισαι ημας. **v.30** 𝔼 B W Θ 565 *rell*: μακρὰν ἀπ᾽ αὐτῶν, 1071: απ αυτων μακραν, lat: ου μακραν απ αυτων. **v.30** 𝔼 W: ἀγέλη, 13: αγελοι. **v.30** 𝔼: πολλῶν, Θ 565 1071 *pc*: ∅. **v.30** 𝔼: βοσκομένη, W: βοσκομενων, 579: βοσκομενον. **v.31** 𝕋* C L W f¹³ 𝔐 sy^p,h: ἐπίτρεψον ἡμῖν ἀπελθεῖν, 𝕍 ℕ ℵ B Θ 0242^vid f¹ 33 892* ℓ844 ℓ2211 *pc* lat sy^s co: ἀπόστειλον ἡμᾶς. **v.32** 𝔼: ὑπάγετε, W: υπαγεται. **v.32** 𝕋* C³ L W Θ f¹³ 𝔐 sy^h: τὴν ἀγέλην τῶν χοίρων, 𝕍 ℕ ℵ B C* 0242 f¹ 33 892 *pc* lat sy^s,p co: τοὺς χοίρους. **v.32** 𝕋* C³ K L 565 579 700 𝔐 co^mae,bo: τῶν χοίρων, 𝕍 ℕ: ∅. **v.34** 𝕋* C L W 0242^vid f¹³ 𝔐: συνάντησιν, 𝕍 ℕ ℵ B Θ f¹ 33 ℓ844 *pc*: ὑπάντησιν. **v.34** 𝔼: τῷ, ℵ C 33 892 *pc*: του. **v.34** 𝔼: ὅπως μεταβῇ, B W: ινα μεταβη, f¹ 892: μεταβηναι. **v.34** 𝔼: τῶν ὁρίων, sy^s: ∅. **9.v.1** 𝔼: ἐμβὰς, C³ F Θ^c f¹³ *al* vg^s: εμβας ο ιησους. **v.1** 𝕋* C* W 0233 𝔐 co^bo: τὸ, 𝕍 ℕ ℵ B C³ L Θ f^1,13 33 565 892 ℓ844 ℓ2211 *al* co^sa,mae: ∅. **v.2** 𝕋*: ἀφέωνταί σοι, 𝕍 ℕ: ἀφίενταί σου. **v.2** 𝕋*: σου, 𝕍 ℕ: ∅. **v.3** 𝕋*: εἶπον, 𝕍 ℕ: εἶπαν.

ἰδὼν ὁ ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν ἱνατὶ ὑμεῖς ἐνθυμεῖ-
5 σθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν ◦ τί γάρ ἐστιν εὐκοπώτερον
εἰπεῖν ἀφέωνταί σοι αἱ ἁμαρτίαι ἢ εἰπεῖν ἔγειραι καὶ περιπάτει ◦
6 ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς
ἀφιέναι ἁμαρτίας τότε λέγει τῷ παραλυτικῷ ἐγερθεὶς ἆρόν σου
7 τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου ◦ καὶ ἐγερθεὶς ἀπῆλθεν
8 εἰς τὸν οἶκον αὐτοῦ ◦ ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν καὶ ἐδόξα-
9 σαν τὸν θεὸν τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις ◦ καὶ
παράγων ὁ ἰησοῦς ἐκεῖθεν εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ
τελώνιον ματθαῖον λεγόμενον καὶ λέγει αὐτῷ ἀκολούθει μοι καὶ
10 ἀναστὰς ἠκολούθησεν αὐτῷ ◦ καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν
τῇ οἰκίᾳ καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συ-
11 νανέκειντο τῷ ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ ◦ καὶ ἰδόντες οἱ
φαρισαῖοι εἶπον τοῖς μαθηταῖς αὐτοῦ διατὶ μετὰ τῶν τελωνῶν
12 καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν ◦ ὁ δὲ ἰησοῦς ἀκού-
σας εἶπεν αὐτοῖς οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ᾽ οἱ
13 κακῶς ἔχοντες ◦ πορευθέντες δὲ μάθετε τί ἐστιν ἔλεον θέλω καὶ
οὐ θυσίαν οὐ γὰρ ἦλθον καλέσαι δικαίους ἀλλ᾽ ἁμαρτωλοὺς εἰς
14 μετάνοιαν ◦ τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ ἰωάννου λέγον-
τες διατὶ ἡμεῖς καὶ οἱ φαρισαῖοι νηστεύομεν πολλὰ οἱ δὲ μαθη-
15 ταί σου οὐ νηστεύουσιν ◦ καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς μὴ δύνανται
οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ᾽ ὅσον μετ᾽ αὐτῶν ἐστιν ὁ νυμ-
φίος ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος
16 καὶ τότε νηστεύσουσιν ◦ οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀ-
γνάφου ἐπὶ ἱματίῳ παλαιῷ αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ
17 ἱματίου καὶ χεῖρον σχίσμα γίνεται ◦ οὐδὲ βάλλουσιν οἶνον νέον

---

v.4 𝕋* 𝕍 𝔎 C D L W 0233 0281 f^{13} 33 𝔐 latt sy^{s} co^{bo}: ἰδὼν, ℕ B f^{1} 565 700 1424 ℓ844 ℓ2211 *al* sy^{p,h} co^{sa,mae}: εἰδὼς. **v.4** 𝔼: εἶπεν, D N Θ f^{13} 579 *pc* sy^{s,p} co$^{sa,mae,bo(mss)}$: ειπεν αυτοις. **v.4** 𝕋* 𝕍: ἱνατὶ, ℕ: ἱνα τί. **v.4** 𝕋* L W Θ 0233^{vid} f^{13} 𝔐 sy^{h}: ὑμεῖς, 𝕍 ℕ 𝔎 B C D 0281 f^{1} 33 892 *pc* co^{mae,bo}: ∅. **v.5** 𝕋* C L W Θ 0233 f^{1,13} 33 𝔐 it: ἀφέωνταί, 𝕍 ℕ B *pc* lat: ἀφίενταί, 𝔎* D: αφιονται. **v.5** 𝕋 𝕂: σοι, 𝕄 𝕍 ℕ: σου. **v.5** 𝕋* B: ἔγειραι, 𝕍 ℕ 𝔎: ἔγειρε. **v.6** 𝕋* 𝕍 𝔎 C L W Θ 0233 f^{1,13} 33 𝔐: ἐγερθεὶς, ℕ B 0281 *pc*: ἔγειρε, D: εγειρε και. **v.8** 𝕋* C L Θ 0233 f^{13} 𝔐 sy^{h}: ἐθαύμασαν, 𝕍 ℕ 𝔎 B D W 0281 f^{1} 33 892 1424 *al* lat sy^{s,p} co: ἐφοβήθησαν. **v.9** 𝔼: ὁ ἰησοῦς ἐκεῖθεν, D N Θ f^{13} 565 *pc*: εκειθεν ο ιησους, 𝔎* L *pc* co$^{bo(ms)}$: ο ιησους. **v.9** 𝕋*: ματθαῖον, 𝕍 ℕ: μαθθαῖον. **v.9** 𝔼: ἠκολούθησεν, 𝔎 C^{vid} D f^{1} 892 *pc*: ηκολουθει. **v.10** 𝔼: καὶ ἰδοὺ, 𝔎 D 892 *pc* lat co: και, 700: ∅. **v.11** 𝕋* D Θ 0233 f^{13} 𝔐: εἶπον, 𝕍 ℕ 𝔎 B C L W f^{1} 33 892 *al*: ἔλεγον. **v.11** 𝕋 𝕂: διατὶ, 𝕄 𝕍 ℕ: διὰ τί. **v.11** 𝔼: ἐσθίει ὁ διδάσκαλος ὑμῶν, sy^{s}: εσθιετε και πινετε, M 565 *al* co^{mae}: εσθιει και πινει ο διδασκαλος υμων. **v.12** 𝕋* C L W Θ 0233^{c} f^{1,13} 33 𝔐 lat sy^{p,h} co^{bo}: ἰησοῦς, 𝕍 ℕ 𝔎 B D 0233* 0281 892 ℓ844 *pc* sy^{s} co^{sa,mae}: ∅. **v.12** 𝕋* C^{3} L W Θ 0233 f^{1,13} 33 𝔐 vg^{mss} sy^{p,h} co^{mae,bo}: αὐτοῖς, 𝕍 ℕ 𝔎 B C* 892 1424 *pc* lat sy^{s} co^{sa}: ∅. **v.12** 𝕋* 𝕍: ἀλλ᾽, ℕ: ἀλλὰ. **v.13** 𝕋* C^{c} L W Δ Π: ἔλεον, 𝕍 ℕ 𝔎 B C* D Θ: ἔλεος, 1346: ελαιον. **v.13** 𝕋 𝕂: ἀλλ᾽, 𝕄 𝕍 ℕ: ἀλλὰ. **v.13** 𝕋* C L Θ 0281 f^{13} 𝔐 sy^{s,hmg} co$^{sa,mae,bo(pt)}$: εἰς μετάνοιαν, 𝕍 ℕ 𝔎 B N W Γ* Δ 0233 f^{1} 33 565 ℓ844 ℓ2211 *al* lat sy^{p,h} co$^{bo(pt)}$: ∅. **v.14** 𝕋 𝕂: διατὶ, 𝕄 𝕍 ℕ: διὰ τί. **v.14** 𝕋* M 𝔐: πολλὰ, 𝕍: [πολλὰ], ℕ 𝔎* B 0281 *pc* co$^{sa(ms)}$: ∅, 𝔎^{1}: πυκνα.

εἰς ἀσκοὺς παλαιοὺς εἰ δὲ μήγε ῥήγνυνται οἱ ἀσκοὶ καὶ ὁ οἶνος
ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς
ἀσκοὺς καινοὺς καὶ ἀμφότερά συντηροῦνται ⸰ ταῦτα αὐτοῦ λα- 18
λοῦντος αὐτοῖς ἰδοὺ ἄρχων ἐλθὼν προσεκύνει αὐτῷ λέγων ὅτι ἡ
θυγάτηρ μου ἄρτι ἐτελεύτησεν ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου
ἐπ᾽ αὐτὴν καὶ ζήσεται ⸰ καὶ ἐγερθεὶς ὁ ἰησοῦς ἠκολούθησεν αὐ- 19
τῷ καὶ οἱ μαθηταὶ αὐτοῦ ⸰ καὶ ἰδοὺ γυνὴ αἱμορρόουσα δώδεκα 20
ἔτη προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κραῦπέδου τοῦ ἱματίου
αὐτοῦ ⸰ ἔλεγεν γὰρ ἐν ἑαυτῇ ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐ- 21
τοῦ σωθήσομαι ⸰ ὁ δὲ ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν εἶπεν 22
θάρσει θύγατερ ἡ πίστις σου σέσωκέν σε καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ
τῆς ὥρας ἐκείνης ⸰ καὶ ἐλθὼν ὁ ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχον- 23
τος καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον ⸰ λέγει 24
αὐτοῖς ἀναχωρεῖτε οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον ἀλλὰ καθεύδει
καὶ κατεγέλων αὐτοῦ ⸰ ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος εἰσελθὼν ἐκρά- 25
τησεν τῆς χειρὸς αὐτῆς καὶ ἠγέρθη τὸ κοράσιον ⸰ καὶ ἐξῆλθεν ἡ 26
φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην ⸰ καὶ παράγοντι ἐκεῖθεν τῷ 27
ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες
ἐλέησον ἡμᾶς υἱὲ δαβίδ ⸰ ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον 28
αὐτῷ οἱ τυφλοὶ καὶ λέγει αὐτοῖς ὁ ἰησοῦς πιστεύετε ὅτι δύνα-
μαι τοῦτο ποιῆσαι λέγουσιν αὐτῷ ναὶ κύριε ⸰ τότε ἥψατο τῶν 29
ὀφθαλμῶν αὐτῶν λέγων κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν ⸰
καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ 30
ἰησοῦς λέγων ὁρᾶτε μηδεὶς γινωσκέτω ⸰ οἱ δὲ ἐξελθόντες διεφή- 31
μισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ ⸰ αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ 32
προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον ⸰ καὶ ἐκ- 33
βληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφὸς καὶ ἐθαύμασαν οἱ
ὄχλοι λέγοντες ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ ἰσραήλ ⸰ οἱ δὲ 34

---

v.17 𝕋 𝕂 ℕ: μήγε, 𝕄 𝕍: μή γε, B co: μη. **v.17** 𝕋*: ἀπολοῦνται, 𝕍 ℕ: ἀπόλλυνται. **v.17** 𝕋 𝕂 ℕ: ἀμφότερα, 𝕄 𝕍: ἀμφότεροι. **v.18** 𝕋: ἐλθὼν, 𝕂 𝕄 𝕍 33 𝔐: εἷς ἐλθὼν, ℕ ℵ¹ B lat: εἷς προσελθὼν, L f¹³ *al*: τις προσελθων, ℵ* 157: προσελθων, Γ *pc*: τις ελθων, ℵ² C* D N W Θ: εισελθων. **v.18** 𝔼 *rell*: αὐτῷ, 1424: αυτον. **v.19** 𝕋* 𝕍 B L W Θ f¹·¹³ 𝔐: ἠκολούθησεν, ℕ ℵ C D 33 *pc* lat: ἠκολούθει. **v.20** 𝔼: αἱμορροοῦσα, ℵ*: αιμαροουσα, ℵᶜ W Ω: αιμοροουσα, K: αιμορρουσα, L: αιμορουσα. **v.20** 𝔼: ἔτη, L *pc*: ετη εχουσα εν τη ασθενεια. **v.20** 𝔼: κρασπέδου, W: κρασσπεδου. **v.20** 𝔼: ἱματίου, D: ματιου. **v.22** 𝔼: ἰησοῦς, ℵ* D *pc* it sy^s: ∅. **v.22** 𝕋* C L Θ f¹ 𝔐: ἐπιστραφεὶς, 𝕍 ℕ ℵ B N f¹³ 33 892 ℓ844 ℓ2211 *al*: στραφεὶς, D: εστη στραφεις. **v.22** 𝔼: θύγατερ, D L N W Θ *pc*: θυγατηρ. **v.24** 𝕋* C L W Θ 𝔐 sy: λέγει αὐτοῖς, 𝕍 ℕ ℵ B D f¹·¹³ 33 892 *pc* lat co: ἔλεγεν, N *pc*: λεγει. **v.24** 𝔼: κατεγέλων, W: κατεγελουν. **v.26** 𝔼 f¹³ 𝔐 lat sy: αὕτη, ℵ N^vid Θ f¹ 33 *pc* co^mae,bo: αυτης, D 1424 *pc* co^sa,bo(ms): αυτου. **v.27** 𝕋* ℵ C L W Θ 0250 f¹·¹³ 33 𝔐 lat sy: αὐτῷ, 𝕍: [αὐτῷ]: ℕ B D 892 *pc*: ∅. **v.27** 𝕋 𝕂: υἱὲ δαβίδ, 𝕄: υἱὸς δαβίδ, 𝕍: υἱὸς δαυίδ, ℕ: υἱὲ δαυίδ. **v.30** 𝕋*: ἀνεῴχθησαν, 𝕍 ℕ: ἠνεῴχθησαν. **v.30** 𝕋* B² C D L W Θ 0250 f¹³ 𝔐: ἐνεβριμήσατο, 𝕍 ℕ ℵ B* f¹ 892 *pc*: ἐνεβριμήθη. **v.31** 𝔼: ὅλῃ, ℵ*: ∅. **v.32** 𝕋* 𝕍 C D L W Θ f¹ 33 𝔐 latt sy^h: ἄνθρωπον, ℕ ℵ B f¹³ 892 *pc* sy^s,p co: ∅. **v.33** 𝕋 Θ 1454: ὅτι, 𝕂 𝕄 𝕍 ℕ *rell*: ∅. **v.34** 𝔼: οἱ . . . ⸰, D sy^s: ∅.

φαρισαῖοι ἔλεγον ἐν̓ τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαι-
35 μόνια ⸰ καὶ περιῆγεν ὁ ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας
διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγ-
γέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν
36 μαλακίαν ἐν˚ τῷ λαῷ ⸰ ἰδὼν δὲ τοὺς ὄχλους ἐσ̓πλαγχνίσθη πε-
ρὶ αὐτῶν ὅτι ἦσαν ἐκ̓λελυμένοι καὶ ἐῤριμμένοι ὡσεὶ πρόβατα
37 μὴ ἔχοντα ποιμένα ⸰ τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ ὁ μὲν θερι-
38 σμὸς πολὺς οἱ δὲ ἐργάται ὀλίγοι ⸰ δεήθητε οὖν τοῦ κυρίου τοῦ
θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ ⸰

10 καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν
αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτὰ
2 καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ⸰ τῶν δὲ˚ δώ-
δεκα ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα πρῶτος σίμων ὁ λε-
γόμενος πέτρος καὶ ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ ἰάκ̓ωβος ὁ τοῦ
3 ζεβεδαίου καὶ ἰωάνν̓ης ὁ ἀδελφὸς αὐτοῦ ⸰ φίλιππος καὶ βαρθο-
λομαῖος θωμᾶς καὶ ματ̓θαῖος ὁ τελώνης ἰάκωβος ὁ τοῦ ἁλφαίου
4 καὶ λεββαῖος˚ ὁ ἐπικληθεὶς θαδδαῖος ⸰ σίμων ὁ κανανί̓της καὶ
5 ἰούδας ἰ̓σκαριώτης ὁ καὶ παραδοὺς αὐτόν ⸰ τούτους τοὺς δώ-
δεκα ἀπέστειλεν ὁ ἰησοῦς παραγγείλας αὐτοῖς λέγων εἰς ὁδὸν
ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν σαμαῤειτῶν μὴ εἰσέλθητε ⸰
6 πορεύεσθε˚ δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλ̓ότα οἴκου
7 ἰ̓σραήλ ⸰ πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι ἤγγικεν ἡ βα-
8 σιλεία τῶν οὐρανῶν ⸰ ἀσθενοῦντας θεραπεύετε λεπροὺς˚ καθα-
ρίζετε νεκροὺς ἐγείρετε δαιμόνια ἐκβάλλετε δωρεὰν ἐλάβετε δω-
9 ρεὰν δότε ⸰ μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν
10 εἰς τὰς ζώνας ὑμῶν ⸰ μὴ πήραν εἰς ὁδὸν μηδὲ δύο χιτῶνας μη-
δὲ ὑ̓ποδήματα μηδὲ ῥ̓άβδον ἄξιος γὰρ ὁ ἐργάτης τῆς˚ τροφῆς

---

v.34 𝔼: ἐν, ℵ* W: ∅. **v.35** 𝕋* C³ K Γ Θ 579 700 *pm* vg^mss: ἐν τῷ λαῷ, 𝕍 ℕ: ∅, L f¹³ 1424 *al*: εν τω λαω και πολλοι ηκολουθησαν αυτω, ℵ*: εν τω λαω και ηκολουθησαν αυτω. **v.36** 𝔼: ἐσπλαγχνίσθη, C N f¹³ *al* sy^p co^mae: ο ιησους εσπλαγχνισθη. **v.36** 𝕋 𝕂 L V 1424 *pc*: ἐκλελυμένοι, 𝕄 𝕍 ℕ ℵ B W C D Θ f¹: ἐσκυλμένοι. **v.36** 𝕋* 𝕍 Θ f¹ 124 157 565 1424: ἐρριμμένοι, ℕ ℵ B W C D^c: ἐριμμένοι, D*: ρεριμμενοι, L: ερημενοι, Ω: ερρημενοι. **10.v.2** 𝔼: δὲ, D* Θ f¹³ *pc*: ∅. **v.2** 𝕋* ℵ^c C D L W Θ f^1,13 33 𝔐 lat sy^h co: ἰάκωβος, 𝕍 ℕ ℵ* B Γ *pc* sy^hmg: καὶ ἰάκωβος. **v.2** 𝕋* 𝕍: ἰωάννης, ℕ: ἰωάνης. **v.3** 𝕋*: ματθαῖος, 𝕍 ℕ: μαθθαῖος. **v.3** 𝕋* C² L W Θ f¹ 33 𝔐 sy^p,h: λεββαῖος ὁ ἐπικληθεὶς θαδδαῖος, 𝕍 ℕ ℵ B f¹³ 892 ℓ2211 *pc* lat co: θαδδαῖος, D: λεββαιος, 13 *pc*: θαδδαῖος ὁ ἐπικληθεὶς λεββαῖος, it: Judas Zelotes, sy^s: ∅. **v.4** 𝕋* ℵ W Θ f¹³ 𝔐 sy^h: κανανίτης, 𝕍 ℕ B C L N f¹ 33 892 *pc* latt co^mae: καναναῖος, D: χαναναιος. **v.4** 𝕋* ℵ¹ L W Γ f¹³ 565 579 892 ℓ2211 *pm* vg^cl: ἰσκαριώτης, 𝕍 ℕ: ὁ ἰσκαριώτης, D it: ο σκαριωτης, C 1424: ισκαριωθ. **v.5** 𝔼: λέγων, D it vg^s,st,ww: και λεγων, ℵ* 1424: ∅. **v.5** 𝕋* ℕ: σαμαρειτῶν, 𝕍: σαμαριτῶν. **v.6** 𝔼: πορεύεσθε δὲ, D: υπαγετε. **v.6** 𝔼 B W *rell*: ἀπολωλότα, 2*: απολωτα. **v.6** 𝔼 B Δ *rell*: ἰ̓σραήλ, D: εισραηλ. **v.7** 𝔼: ὅτι, 251 *pc* co^sa(mss): μετανοειτε οτι, B sy^s: ∅. **v.8** 𝕋 𝕂: λεπροὺς καθαρίζετε νεκροὺς ἐγείρετε, 𝕄: λεπροὺς καθαρίζετε, 𝕍 ℕ: νεκροὺς ἐγείρετε λεπροὺς καθαρίζετε. **v.10** 𝕋 𝕍 ℕ ℵ B D Θ f¹ 33 892 1424 ℓ2211 *al* lat sy^p co^sa(mss),mae,bo: ῥάβδον, 𝕂 𝕄 C L W f¹³ 𝔐 sy^h co^bo(ms): ῥάβδους. **v.10** 𝔼: τῆς τροφῆς, K 565 892 *al* it sy^hmg: του μισθου.

αὐτοῦ ἐστίν ⸂ εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην εἰσέλθητε ἐξετάσατε 11
τίς ἐν αὐτῇ ἄξιός ἐστιν κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε ⸂ εἰσερ- 12
χόμενοι δὲ εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτήν ⸂ καὶ ἐὰν μὲν ᾖ ἡ 13
οἰκία ἀξία ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτὴν ἐὰν δὲ μὴ ᾖ ἀξία
ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω ⸂ καὶ ὃς ἐὰν μὴ δέξηται 14
ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν ἐξερχόμενοι ἔξω τῆς οἰκίας ἢ
τῆς πόλεως ἐκείνης ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν ⸂
ἀμὴν λέγω ὑμῖν ἀνεκτότερον ἔσται γῇ σοδόμων καὶ γομόρρων 15
ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ ⸂ ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς 16
ὡς πρόβατα ἐν μέσῳ λύκων γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις
καὶ ἀκέραιοι ὡς αἱ περιστεραί ⸂ προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων 17
παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγωγαῖς
αὐτῶν μαστιγώσουσιν ὑμᾶς ⸂ καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς 18
ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν ⸂
ὅταν δὲ παράδιδῶσιν ὑμᾶς μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε 19
δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε ⸂ οὐ γὰρ ὑμεῖς 20
ἐστε οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν
ἐν ὑμῖν ⸂ παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ 21
τέκνον καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν
αὐτούς ⸂ καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου ὁ 22
δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται ⸂ ὅταν δὲ διώκωσιν ὑμᾶς 23
ἐν τῇ πόλει ταύτῃ φεύγετε εἰς τὴν ἄλλην ἀμὴν γὰρ λέγω ὑμῖν
οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ ἰσραὴλ ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ
ἀνθρώπου ⸂ οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον οὐδὲ δοῦ- 24
λος ὑπὲρ τὸν κύριον αὐτοῦ ⸂ ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς 25
ὁ διδάσκαλος αὐτοῦ καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ εἰ τὸν οἰ-
κοδεσπότην βεελζεβοὺλ ἐκάλεσαν πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς
αὐτοῦ ⸂ μὴ οὖν φοβηθῆτε αὐτοὺς οὐδὲν γάρ ἐστιν κεκαλυμμέ- 26
νον ὃ οὐκ ἀποκαλυφθήσεται καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται ⸂
ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτὶ καὶ ὃ εἰς τὸ οὖς 27
ἀκούετε κηρύξατε ἐπὶ τῶν δωμάτων ⸂ καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν 28

---

v.10 𝕋*: ἐστιν, 𝕍 ℕ: ∅. **v.11** 𝕋* 𝕍: κἀκεῖ, ℕ: κα᾽ ᾽κεῖ. **v.13** 𝕋*: ἐλθέτω, 𝕍 ℕ: ἐλθάτω. **v.14** 𝕋*: ἐὰν, 𝕍 ℕ: ἄν. **v.14** 𝕋*: τῆς, 𝕍 ℕ: ἔξω τῆς. **v.19** 𝕋* C Θ f[13] 𝔐: παραδιδῶσιν, 𝕍 ℕ ℵ B 0171[vid] f[1] *pc*: παραδῶσιν, D L N W 33 579 1424 *al* lat: παραδωσουσιν, Φ 892 ℓ2211 *al*: παραδωσωσιν. **v.19** 𝔼: δοθήσεται . . . ⸂, D L *pc* vg[mss]: ∅. **v.19** 𝕋* ℕ: λαλήσετε, 𝕍: λαλήσητε. **v.23** 𝕋* C D L Θ 0171[vid] 𝔐: ἄλλην, 𝕍 ℕ ℵ B W f[1,13] 33 892 1424 *pc*: ἑτέραν. **v.23** 𝔼: τοῦ, B D: ∅. **v.23** 𝕋* 𝕍 C D L W Θ f[1,13] 33 𝔐: ἂν, ℕ ℵ* B *pc*: ∅, ℵ[2]: οὗ. **v.24** 𝔼: διδάσκαλον, ℵ W f[13] 1424 ℓ2211 *al* sy co: διδασκαλον αυτου. **v.25** 𝔼: γένηται, D: τενηται. **v.25** 𝕋 𝕄 𝕍 ℕ C W Θ f[1,13] 33 𝔐 it sy[h] co: βεελζεβοὺλ, 𝕂 vg sy[s,p]: βεελζεβοὺβ, ℵ B *pc*: βεεζεβουλ, D L: βελζεβουλ. **v.25** 𝕋 𝕂 Θ 0171 f[1] 700 1424 *pm*: ἐκάλεσαν, 𝕄 𝕍 ℕ: ἐπεκάλεσαν, ℵ* L N *pc*: επεκαλεσαντο, D: καλουσιν. **v.25** 𝕋 𝕂 𝕍 ℕ: οἰκιακοὺς, 𝕄: οἰκειακοὺς. **v.27** 𝔼: κηρύξατε, D Θ: κηρυσσεται, L: κηρυχθησεται. **v.28** 𝕋 𝕂 ℕ B D N W Θ f[1] 33 892 1424 ℓ2211 *pm*: φοβηθῆτε, 𝕄 𝕍 ℵ C K L Γ Δ f[13] 565 579 700 *pm*: φοβεῖσθε.

ἀποκτεινόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι
φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπο-
29 λέσαι ἐν γεέννῃ ◦ οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται καὶ ἓν
30 ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν ◦ ὑμῶν
31 δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν ◦ μὴ οὖν
32 φοβηθῆτε πολλῶν στρουθίων διαφέρετε ὑμεῖς ◦ πᾶς οὖν ὅστις ὁ-
μολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων ὁμολογήσω κἀγὼ
33 ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς ◦ ὅστις δ
ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων ἀρνήσομαι αὐτὸν
34 κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς ◦ μὴ νομίσητε
ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν οὐκ ἦλθον βαλεῖν εἰρήνην
35 ἀλλὰ μάχαιραν ◦ ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς
αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς καὶ νύμφην κατὰ
36 τῆς πενθερᾶς αὐτῆς ◦ καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐ-
37 τοῦ ◦ ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος
38 καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος ◦ καὶ
ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου
39 οὐκ ἔστιν μου ἄξιος ◦ ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτὴν
καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν ◦
40 ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν
41 ἀποστείλαντά με ◦ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου
μισθὸν προφήτου λήψεται καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα
42 δικαίου μισθὸν δικαίου λήψεται ◦ καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μι-
κρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ ἀμὴν
λέγω ὑμῖν οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ ◦

11 καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς διατάσσων τοῖς δώδεκα
μαθηταῖς αὐτοῦ μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν
2 ταῖς πόλεσιν αὐτῶν ◦ ὁ δὲ ἰωάνν̣ης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ
3 ἔργα τοῦ χριστοῦ πέμψας δύο̣ τῶν μαθητῶν αὐτοῦ ◦ εἶπεν αὐτῷ
4 σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν ◦ καὶ ἀποκριθεὶς ὁ ἰη-

---

v.28 𝕋 𝕂 ℕ: ἀποκτεινόντων, 𝕄: ἀποκτενόντων, 𝕍: ἀποκτεννόντων. **v.28** 𝕋* D L Θ^vid f^1,13 33 𝔐: φοβήθητε, 𝕍 ℕ ℵ B C W 892 ℓ2211 *pc*: φοβεῖσθε. **v.28** 𝕋 𝕂 𝕍 ℕ: καὶ ψυχὴν καὶ σῶμα, 𝕄: καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, ℵ*: και ψυχην και το σωμα, ℵ^c: και την ψυχην και το σωμα. **v.30** 𝔼: ὑμῶν δὲ, D: αλλα. **v.30** 𝔼: κεφαλῆς, D: κεφαλης υμων. **v.31** 𝕋* C Θ f^13 𝔐: φοβηθῆτε, 𝕍 ℕ ℵ B D L W f^1 892 ℓ844^vid ℓ2211 *pc*: φοβεῖσθε. **v.32** 𝕋* 𝕍: κἀγὼ, ℕ: κα᾽ γὼ. **v.32** 𝕋* 𝔓^19vid ℵ D L W Θ f^1 𝔐: ἐν, 𝕍: ἐν [τοῖς], ℕ B C K f^13 565 892 *al*: ἐν τοῖς. **v.33** 𝕋* 𝕍: ὅστις δ᾽ ἂν, ℕ: ὅστις δὲ, W: και οστις. **v.33** 𝕋*: αὐτὸν κἀγὼ, 𝕍: κἀγὼ αὐτὸν, ℕ: κα᾽ γὼ αὐτὸν. **v.33** 𝕋* 𝔓^19vid ℵ C D L W Θ f^1 𝔐: ἐν, 𝕍: ἐν [τοῖς], ℕ B f^13 892 1424 *al*: ἐν τοῖς. **v.34** 𝔼: μάχαιραν, 28: μαχην και μαχαιραν, sy^c: διαμερισμον των διανοιων και μαχαιραν. **v.36** 𝕋 𝕂 𝕍 ℕ: οἰκιακοι, 𝕄: οἰκειακοί. **v.41** 𝕋*: λήψεται, 𝕍 ℕ: λήμψεται. **v.42** 𝕋*: ἐὰν, 𝕍 ℕ: ἂν. **11.v.2** 𝕋* 𝕍: ἰωάννης, ℕ: ἰωάννης. **v.2** 𝕋* C^3 L f^1 𝔐 lat sy^hmg co^bo: δύο, 𝕍 ℕ ℵ B C* D P W Z Δ Θ 0233 f^13 33 ℓ844 ℓ2211 *pc* sy^p,h co^sa,mae: διὰ. **v.3** 𝔼: ἐρχόμενος, D*: εργαζομενος.

σοῦς εἶπεν αὐτοῖς πορευθέντες ἀπαγγείλατε ἰωάνῃ ἃ ἀκούετε
καὶ βλέπετε ⸰ τυφλοὶ ἀναβλέπουσιν καὶ˚ χωλοὶ περιπατοῦσιν λε- 5
προὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσιν νεκροὶ ἐγείρονται καὶ
πτωχοὶ εὐαγγελίζονται ⸰ καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδα- 6
λισθῇ ἐν ἐμοί ⸰ τούτων δὲ πορευομένων ἤρξατο ὁ ἰησοῦς λέγειν 7
τοῖς ὄχλοις περὶ ἰωάνου τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι
κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον ⸰ ἀλλὰ τί ἐξήλθετε ἰδεῖν ἄν- 8
θρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον ἰδοὺ οἱ τὰ μαλακὰ
φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν ⸰ ἀλλὰ τί ἐξήλθετε 9
ἰδεῖν˚ προφήτην ναὶ λέγω ὑμῖν καὶ περισσότερον προφήτου ⸰
οὗτος γάρ ἐστιν περὶ οὗ γέγραπται ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγ- 10
γελόν μου πρὸ προσώπου σου ὃς κατασκευάσει τὴν ὁδόν σου
ἔμπροσθέν σου ⸰ ἀμὴν λέγω ὑμῖν οὐκ ἐγήγερται ἐν γεννητοῖς 11
γυναικῶν μείζων ἰωάνου τοῦ βαπτιστοῦ ὁ δὲ μικρότερος ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν ⸰ ἀπὸ δὲ τῶν ἡμερῶν 12
ἰωάνου τοῦ βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιά-
ζεται καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν ⸰ πάντες γὰρ οἱ προφῆται 13
καὶ˚ ὁ νόμος ἕως ἰωάνου προἐφήτευσαν ⸰ καὶ εἰ θέλετε δέξα- 14
σθαι αὐτός ἐστιν ἠλίας ὁ μέλλων ἔρχεσθαι ⸰ ὁ ἔχων ὦτα ἀκούειν 15
ἀκουέτω ⸰ τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην ὁμοία ἐστὶν παιδα- 16
ρίοις˚ ἐν ἀγοραῖς καθημένοις καὶ προσφωνοῦσιν τοῖς ἑταίροις
αὐτῶν ⸰ κἀι λέγουσιν ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε ἐ- 17
θρηνήσαμεν ὑμῖν καὶ οὐκ ἐκόψασθε ⸰ ἦλθεν γὰρ ἰωάνης μήτε 18
ἐσθίων μήτε πίνων καὶ λέγουσιν δαιμόνιον ἔχει ⸰ ἦλθεν ὁ υἱ- 19
ὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων καὶ λέγουσιν ἰδοὺ ἄνθρω-
πος φάγος καὶ οἰνοπότης τελωνῶν φίλος καὶ ἁμαρτωλῶν καὶ

---

v.4 $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἰωάννῃ, $\mathbb{N}$: ἰωάνει. **v.5** $\mathbb{E}$: καὶ χωλοὶ περιπατοῦσιν, Z Δ 892 *pc* lat co: χωλοι περιπατουσιν, D *pc*: ∅. **v.5** $\mathbb{T}^{*}$: νεκροὶ, $\mathbb{V}$ $\mathbb{N}$: καὶ νεκροὶ. **v.6** $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἐὰν, $\mathbb{N}$: ἂν, 0233: ∅. **v.7** $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἰωάννου, $\mathbb{N}$: ἰωάνου. **v.7** $\mathbb{T}^{*}$: ἐξήλθετε, $\mathbb{V}$ $\mathbb{N}$: ἐξήλθατε. **v.8** $\mathbb{T}^{*}$: ἐξήλθετε, $\mathbb{V}$ $\mathbb{N}$: ἐξήλθατε. **v.8** $\mathbb{T}^{*}$ C L W Θ 0233 $f^{1,13}$ 33 $\mathfrak{M}$ sy co: ἱματίοις, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D Z *pc* lat: ∅. **v.8** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$ $\mathbb{N}$: βασιλέων, $\mathbb{M}$ K N 565^{c} 579^{c} *pm*: βασιλείων. **v.8** $\mathbb{T}^{*}$ $\mathbb{V}$ ℵ^{2} C D L W Z Θ 0233 $f^{1,13}$ 33 $\mathfrak{M}$ latt: εἰσίν, $\mathbb{N}$ ℵ* B: ∅. **v.9** $\mathbb{T}^{*}$: ἐξήλθετε, $\mathbb{V}$ $\mathbb{N}$: ἐξήλθατε. **v.9** $\mathbb{T}^{*}$ $\mathbb{V}$ ℵ^{1} B^{*,2} C D L Θ 0233 $f^{1,13}$ 33 $\mathfrak{M}$ latt sy co^{sa}: ἰδεῖν προφήτην, $\mathbb{N}$ ℵ* B^{1} W Z 0281^{vid} 892 *pc*: προφήτην ἰδεῖν. **v.10** $\mathbb{T}^{*}$ C L W Θ 0233 $f^{1,13}$ 33 $\mathfrak{M}$ lat sy^{p,h} co: γάρ, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D Z 892 sy^{s,c} co$^{bo(mss)}$: ∅. **v.11** $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἰωάννου, $\mathbb{N}$: ἰωάνου. **v.12** $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἰωάννου, $\mathbb{N}$: ἰωάνου. **v.13** $\mathbb{E}$: καὶ ὁ νόμος, sy^{s} co$^{bo(ms)}$: ∅. **v.13** $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἰωάννου, $\mathbb{N}$: ἰωάνου. **v.13** $\mathbb{T}^{*}$: προεφήτευσαν, $\mathbb{V}$ $\mathbb{N}$: ἐπροφήτευσαν. **v.14** $\mathbb{T}$ B^{c} 700 28* *rell*: ἡλίας, $\mathbb{M}$ $\mathbb{K}$ $\mathbb{V}$: ἡλίας, $\mathbb{N}$ B* D: ἡλείας. **v.15** $\mathbb{T}^{*}$ ℵ C L W Z Θ $f^{1,13}$ 33 $\mathfrak{M}$ lat sy^{c,p,h} co: ἀκούειν, $\mathbb{V}$ $\mathbb{N}$ B D 700 *pc* sy^{s}: ∅. **v.16** $\mathbb{T}$ $\mathbb{K}$: παιδαρίοις ἐν ἀγοραῖς καθημένοις καὶ προσφωνοῦσιν τοῖς ἑτάιροις αὐτῶν, $\mathbb{M}$: παιδίοις ἐν ἀγοραῖς καθημένοις καὶ προσφωνοῦσιν τοῖς ἑτέροις αὐτῶν, $\mathbb{V}$ $\mathbb{N}$: παιδίοις καθημένοις ἐν ταῖς ἀγοραῖς ἃ προσφωνοῦντα τοῖς ἑτέροις. **v.17** $\mathbb{T}^{*}$: καὶ, $\mathbb{V}$ $\mathbb{N}$: ∅. **v.17** $\mathbb{T}^{*}$ C L W Θ f^{13} 33 $\mathfrak{M}$ it sy: ὑμῖν, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D Z f^{1} 892 *pc* lat co: ∅. **v.18** $\mathbb{E}$: γὰρ, Θ f^{13} *al* sy^{c,h}: προς υμας. **v.18** $\mathbb{T}^{*}$ $\mathbb{V}$: ἰωάννης, $\mathbb{N}$: ἰωάνης.

20 ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν˚ τέκνων αὐτῆς ⸓ τότε ἤρξατὸ ὀνει-
δίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ
21 ὅτι οὐ μετενόησαν ⸓ οὐαί σὸι χὸραζὶν οὐαί˚ σοι βηθσαϊδὰν ὅτι
εἰ ἐν τύρῳ καὶ σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑ-
22 μῖν πάλαι ἂν ἐν σάκκῳ καὶ σπὸδῷ μετενόησαν ⸓ πλὴν λέγω ὑμῖν
τύρῳ˚ καὶ σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν ⸓
23 καὶ σὺ καπερναοὺμ˚ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα ἕως ᾅδου
καταβιβᾶσθήσῃ ὅτι εἰ ἐν σοδόμοις ἐγένὸντο αἱ δυνάμεις αἱ γε-
24 νόμεναι ἐν σοὶ ἔμεινὰν ἂν μέχρι τῆς σήμερον ⸓ πλὴν λέγω ὑμῖν
ὅτι γῇ σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ˚ σοί ⸓
25 ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν ἐξομολογοῦμαί
σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὅτι ἀπὲκρυψας ταῦτα
26 ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις ⸓ ναὶ ὁ
27 πατὴρ ὅτι οὕτως ἐγένετο˚ εὐδοκία ἔμπροσθέν σου ⸓ πάντα μοι
παρεδόθη ὑπὸ τοῦ πατρός μου καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱ-
ὸν˚ εἰ μὴ ὁ πατὴρ οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς
28 καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι ⸓ δεῦτε πρός με πάντες
29 οἱ κοπιῶντες καὶ πεφορτισμένὸι κἀγὼ ἀναπαύσω ὑμᾶς ⸓ ἄρατε
τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽˚ ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ
ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν ⸓
30 ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν ⸓

12 ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ ἰησοῦς ̔τοῖς σάββασιν διὰ τῶν
σπορίμων οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν καὶ ἤρξαντο τίλλειν˚
2 στάχυας καὶ ἐσθίειν ⸓ οἱ δὲ φαρισαῖοι ἰδόντες̓ εἶπὸν αὐτῷ ἰδοὺ οἱ

---

v.19 𝕋* B² C D L Θ f¹ 33 𝔐 lat sy^{s,c,hmg} co$^{sa(mss),mae}$: τῶν τέκνων, 𝕍 ℕ ℵ B* W *pc* sy^{p,h} co$^{sa(ms),bo}$: τῶν ἔργων, f¹³ *pc*: παντων των εργων. **v.20** 𝔼: ἤρξατο, C K L N W Θ f^{1,13} 565 579 892 *pm* vg^{mss} sy co$^{sa(mss)}$: ηρξατο ο ιησους. **v.21** 𝔼 ℵ B C D L W Δ Θ Π f^{1,13}: σοι, Ω: σου. **v.21** 𝕋* 𝕍 N U f¹ 579 700: χοραζιν, ℕ ℵ B C E Y K M W Δ Θ Π Ω 2 33 788: χοραζεὶν, D: χοραζαιν, G S f¹³ 157 1071 1346 1424: χωραζειν, L: χοραζζη, 28: χωραζει, 565: χοραζει. **v.21** 𝔼: οὐαί σοι, Ω: ουαι σου, D it: και. **v.21** 𝕋 B W Δ Θ f¹³ 700 788 1346 𝔐: βηθσαϊδὰν, 𝕂 𝕄 𝕍 C N f¹ 33 157 579 1071 1424: βηθσαϊδά, ℕ: βηθσαιδὰν, ℵ K Π 565: βηδσαιδαν, D: βεθσαειδα, L: βιθσαιδα, S 28: βιθσαιδαν. **v.21** 𝔼 B *rell*: σποδῷ, ℵ C U 33: σποδω καθημενοι, Δ f¹ 892 1424 *al* sy^{h}: σποδω καθημεναι. **v.22** 𝔼 *rell*: τύρῳ καὶ σιδῶνι, B D Δ: τυρω και σειδωνι, W: τυρω και σιδονει, N: οτι γη σοδομων. **v.23** 𝕋*: καπερναοὺμ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, 𝕍 ℕ: καφαρναούμ μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ. **v.23** 𝕋*: καταβιβασθήσῃ, 𝕍 ℕ: καταβήσῃ. **v.23** 𝕋*: ἐγένοντο, 𝕍 ℕ: ἐγενήθησαν. **v.23** 𝕋*: ἔμειναν, 𝕍 ℕ: ἔμεινεν. **v.24** 𝔼: ἢ σοί, D 1424 *pc* it vg^{mss} co$^{sa(ms),bo(pt)}$: η υμιν, 565: ∅. **v.25** 𝕋* C L W Θ f^{1,13} 𝔐: ἀπέκρυψας, 𝕍 𝔓^{62} ℵ B D 33 ℓ2211 *pc*: ἔκρυψας. **v.26** 𝕋* C D K L M N U Δ Π f¹³ 𝔐 2 28 118 157 565 579 700 788 1071 1346 1424: ἐγένετο εὐδοκία, 𝕍 ℕ 𝔓^{62} ℵ B W Θ f¹ 33: εὐδοκία ἐγένετο. **v.27** 𝔼 B *rell*: μου, ℵ* *pc* co$^{sa(ms),bo}$: ∅. **v.27** 𝔼: υἱὸν ... πατὴρ ... πατέρα ... υἱὸς, N *pc*: πατερα ... υιος ... υιον ... πατηρ. **v.28** 𝔼: πεφορτισμένοι, D*: πεφορτισμενοι εσται. **v.28** 𝕋* 𝕍: κἀγὼ, ℕ: κα᾽ γὼ. **v.29** 𝔼 B *rell*: ἀπ᾽ ἐμοῦ, ℵ* *pc*: ∅. **v.29** 𝕋 𝕂 *rell*: πρᾳ̃ός, 𝕄: πρᾶος, 𝕍 ℕ 𝔓^{62} ℵ B C* D: πραΰς. **v.29** 𝔼 𝔓^{62} ℵ B C D 𝔐: ὑμῶν, L 2: ημων. **12.v.1** 𝔼 *rell*: τοῖς, W: εν τοις. **v.1** 𝔼: τίλλειν στάχυας, D: του σταχυας τιλλειν, 1424: σταχυας τιλλειν. **v.2** 𝔼: ἰδόντες, C D L Δ Θ f¹³ 33 *pc* it vg^{mss} sy^{s,c,p} co^{mae}: ιδοντες αυτους. **v.2** 𝕋* D L W Δ f^{1,13} 𝔐: εἶπον, 𝕍 ℕ ℵ B C Θ: εἶπαν.

μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν σαββάτῳ ◦ ὁ δὲ εἶ- 3
πεν αὐτοῖς οὐκ ἀνέγνωτε τί ἐποίησεν Δαβὶδ ὅτε ἐπείνασεν αὐτὸς
καὶ οἱ μετ᾽ αὐτοῦ ◦ πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ τοὺς 4
ἄρτους τῆς προθέσεως ἔφαγεν ὃὺς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν οὐ-
δὲ τοῖς μετ᾽ αὐτοῦ εἰ μὴ τοῖς ἱερεῦσιν μόνοις ◦ ἢ οὐκ ἀνέγνωτε ἐν 5
τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βε-
βηλοῦσιν καὶ ἀναίτιοί εἰσιν ◦ λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μείζων 6
ἐστὶν ὧδε ◦ εἰ δὲ ἐγνώκειτε τί ἐστιν ἔλεον θέλω καὶ οὐ θυσίαν οὐκ 7
ἂν κατεδικάσατε τοὺς ἀναιτίους ◦ κύριος γάρ ἐστιν καὶ ὁ τοῦ σαβ- 8
βάτου ὁ υἱὸς τοῦ ἀνθρώπου ◦ καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς τὴν 9
συναγωγὴν αὐτῶν ◦ καὶ ἰδοὺ ἄνθρωπος ἦν ὁ τὴν χεῖρα ἔχων ξηρὰν 10
καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες εἰ ἔξεστιν τοῖς σάββασιν θερα-
πεύειν ἵνα κατηγορήσωσιν αὐτοῦ ◦ ὁ δὲ εἶπεν αὐτοῖς τίς ἔσται ἐξ 11
ὑμῶν ἄνθρωπος ὃς ἕξει πρόβατον ἓν καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς
σάββασιν εἰς βόθυνον οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ ◦ πόσῳ οὖν 12
διαφέρει ἄνθρωπος προβάτου ὥστε ἔξεστιν τοῖς σάββασιν καλῶς
ποιεῖν ◦ τότε λέγει τῷ ἀνθρώπῳ ἔκτεινον τὴν χεῖρά σου καὶ ἐ- 13
ξέτεινεν καὶ ἀπόκατεστάθη ὑγιὴς ὡς ἡ ἄλλη ◦ οἱ δὲ φαρισαῖοι 14
συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ ἐξελθόντες ὅπως αὐτὸν ἀπολέσω-
σιν ◦ ὁ δὲ ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν καὶ ἠκολούθησαν 15
αὐτῷ ὄχλοι πολλοὶ καὶ ἐθεράπευσεν αὐτοὺς πάντας ◦ καὶ ἐπετί- 16
μησεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν ◦ ὅπως πληρωθῇ 17
τὸ ῥηθὲν διὰ ἡσαΐου τοῦ προφήτου λέγοντος ◦ ἰδοὺ ὁ παῖς μου 18
ὃν ᾑρέτισα ὁ ἀγαπητός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου θήσω
τὸ πνεῦμά μου ἐπ᾽ αὐτὸν καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ ◦ οὐκ 19
ἐρίσει οὐδὲ κραυγάσει οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν
φωνὴν αὐτοῦ ◦ κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λῖνον 20
τυφόμενον οὐ σβέσει ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν ◦ καὶ 21

---

v.3 𝕋*: δαβὶδ, 𝕍 ℕ: δαυὶδ. **v.3** 𝕋*: αὐτὸς, 𝕍 ℕ: ∅. **v.4** 𝕋* 𝔓70 C D L W Θ f1,13 33 𝔐 latt sy co: ἔφαγεν, 𝕍 ℕ ℵ B *pc*: ἔφαγον, 892*: ελαβεν. **v.4** 𝕋* ℵ C L Θ 0233 f1 𝔐 lat syh coSa,Bo: οὓς, 𝕍 ℕ 𝔓70 B D W f13 *pc* syp: ὃ. **v.5** 𝔼: τοῖς, C D W *pc*: εν τοις. **v.6** 𝕋 𝕂 C L Δ 0233 f13 1424 *pm* lat: μείζων, 𝕄 𝕍 ℕ: μεῖζόν. **v.7** 𝕋* K L W Π f13 Δ 𝔐: ἔλεον, 𝕍 ℕ ℵ B C D N Θ f1 33 124: ἔλεος, 1346: ελαιον. **v.8** 𝕋 𝕂: καὶ τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου, 𝕄 𝕍 ℕ B *rell*: τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου, f1 33 157 788 1424: ο υιος του ανθρωπου και του σαββατου. **v.9** 𝔼: ἦλθεν, C N Σ *al* syp: ο ιησους ηλθεν. **v.10** 𝕋* 𝔐 vgmss: ἦν τὴν, 𝕍 ℕ ℵ B C W 892 *pc* vg: ∅. **v.10** 𝕋* ℕ B C Θ 0233 f1,13 33 𝔐: θεραπεύειν, 𝕍 ℵ D L W *pc*: θεραπεῦσαι. **v.13** 𝕋*: τὴν χεῖρά σου, 𝕍 ℕ: σου τὴν χεῖρα. **v.13** 𝕋*: ἀποκατεστάθη, 𝕍 ℕ: ἀπεκατεστάθη. **v.13** 𝔼: ὡς ἡ ἄλλη, ℵ C2 892*: ∅. **v.14** 𝕋*: οἱ δὲ φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ ἐξελθόντες, 𝕍 ℕ: ἐξελθόντες δὲ οἱ φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ. **v.17** 𝕋* L W Θ 0233 f13 𝔐: ὅπως, 𝕍 ℕ ℵ B C D 0281 f1 33 1424 *pc*: ἵνα. **v.17** 𝕋: ἡσαΐου, 𝕂 𝕄 𝕍: ἡσαΐου, ℕ: ἡσαίου. **v.20** 𝕋 𝕂: λῖνον, 𝕄 𝕍 ℕ: λίνον.

22 ἐν̓ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν ◦ τότε προσηνέχθη˚ αὐτῷ
δαιμονιζόμενος τυφλὸς καὶ κωφὸς καὶ ἐθεράπευσεν αὐτὸν ὥστε
23 τὸν˚ τυφλὸν καὶ κωφὸν κἀι λαλεῖν καὶ βλέπειν ◦ καὶ ἐξίσταντο
24 πάντες οἱ ὄχλοι καὶ ἔλεγον μήτι οὗτός ἐστιν ὁ υἱὸς δαβίδ ◦ οἱ δὲ
φαρισαῖοι ἀκούσαντες εἶπον οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ
25 μὴ ἐν τῷ βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ◦ εἰδὼς˚ δὲ ὁ ἰησοῦς
τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν αὐτοῖς πᾶσα βασιλεία μερισθεῖσα
καθ᾽ ἑαυτῆς ἐρημοῦται καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ᾽
26 ἑαυτῆς οὐ σταθήσεται ◦ καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει
27 ἐφ᾽ ἑαυτὸν ἐμερίσθη πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ ◦ καὶ
εἰ ἐγὼ ἐν βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια οἱ υἱοὶ ὑμῶν ἐν τίνι
28 ἐκβάλλουσιν διὰ τοῦτο αὐτοὶ ὑμῶν˚ ἔσονται κριταί ◦ εἰ δὲ ἐγὼ˚
ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς
29 ἡ βασιλεία τοῦ θεοῦ ◦ ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν
τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ διἀρπάσαι ἐὰν μὴ πρῶτον δή-
30 σῃ τὸν ἰσχυρὸν καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει ◦ ὁ μὴ ὢν
μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστιν καὶ ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ σκορπίζει ◦
31 διὰ τοῦτο λέγω ὑμῖν ῆπᾶσα ἁμαρτία καὶ βλασφημίᾳ ἀφεθήσεται
ἰοῖς ἀνθρώποις ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται
32 τοῖς˚ ἀνθρώποις ◦ καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀν-
θρώπου ἀφεθήσεται αὐτῷ ὃς δ᾽ ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ
ἁγίου οὐκ˚ ἀφεθήσεται αὐτῷ οὔτε ἐν˚ τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ
33 μέλλοντι ◦ ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ
καλὸν ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ
34 σαπρὸν ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται ◦ γεννήματα
ἐχιδνῶν πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες ἐκ γὰρ τοῦ

v.21 𝕋 𝕂 D *pc*: ἐν, 𝕄 𝕍 ℕ 𝔎 B *rell*: ∅, W 0233 *pc*: επι. **v.22** 𝕋* 𝕍 1424 𝔐: προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς καὶ κωφός, ℕ B 0281^{vid} 1424 *pc*: προσήνεγκαν αὐτῷ δαιμονιζόμενον τυφλὸν καὶ κωφόν, C*: προσηνεχθη αυτω δαιμονιζομενος κωφος, 1071: προσηνεχθη αυτω τυφλος και κωφος. **v.22** 𝕋* C 0281 33 𝔐: τὸν τυφλὸν καὶ κωφόν, 𝕍 ℕ 𝔎 B D 892 1424 *pc* sy^{s,c} co: τὸν κωφὸν, L W Δ Θ 0233 f^{1,13} 700 ℓ844 ℓ2211 *al* sy^{p,h}: τον κωφον και τυφλον, lat: ∅. **v.22** 𝕋* 𝔎^{2} C L 0233 𝔐 sy^{h}: καὶ, 𝕍 ℕ 𝔎* B D W Θ 0281 f^{1,13} 33 892 1424 *al*: ∅. **v.23** 𝕋*: δαβίδ, 𝕍 ℕ: δαυίδ. **v.25** 𝕋* C L W Θ 0106 f^{1,13} 𝔐 sy^{p,h} co^{mae}: εἰδὼς δὲ ὁ ἰησοῦς, 𝕍 ℕ 𝔎*,2 B co^{sa}: εἰδὼς δὲ, 0281^{vid} 33 892^{c} *pc* co$^{bo(mss)}$: ιδων δε ο ιησους, 𝔓^{21} 𝔎^{1} D 892* sy^{s,c} co^{bo}: ιδων δε. **v.27** 𝔼 𝔓^{21} C D W Θ 0233 0281 f^{1,13} 33 𝔐 it sy^{h} co^{sa,mae}: βεελζεβουλ, vg sy^{c,p}: Beelzebub, 𝔎 B: βεεζεβουλ, L: βελζεβουλ. **v.27** 𝕋*: ὑμῶν ἔσονται κριταί, 𝕍 ℕ: κριταί ἔσονται ὑμῶν. **v.28** 𝕋 𝕂: ἐγὼ ἐν πνεύματι θεοῦ, 𝕄 𝕍 ℕ: ἐν πνεύματι θεοῦ ἐγὼ. **v.29** 𝕋* 𝔎 C^{2} D L Θ f^{13} 33 𝔐: διαρπάσαι, 𝕍 ℕ B C* N W f^{1} 892 1424 *al*: ἁρπάσαι. **v.29** 𝔼: διαρπάσει, 𝔎 D K W f^{13} 33 565 700 1424 *pm* vgst: διαρπαση. **v.30** 𝔼 B *rell*: σκορπίζει, 𝔎 33 1582* sy^{hmg} co: σκορπιζει με. **v.31** 𝔼 𝔎 B *rell*: πᾶσα, 28: οτι πασα. **v.31** 𝔼 B *rell*: βλασφημία, 700: βλασφημίαι. **v.31** 𝔼: τοῖς, B f^{1} *pc* co^{sa,mae}: υμιν τοις. **v.31** 𝕋* C D L W Θ 0271 f^{13} 33 𝔐 it sy^{p,h}: τοῖς ἀνθρώποις, 𝕍 ℕ 𝔎 B f^{1} 892 1424 *pc* vg co^{sa,bo}: ∅, sy^{s,c} co$^{mae,bo(ms)}$: αυτω. **v.32** 𝕋 𝕂: ἂν, 𝕄 𝕍 ℕ: ἐὰν. **v.32** 𝔼: ἀφεθήσεται, B*: ουκ αφεθησεται. **v.32** 𝔼 f^{13} 788 1346 *rell*: οὐκ ἀφεθήσεται, 𝔎*: ου μη αφεθησετε, B: ου μη αφεθη. **v.32** 𝕋 𝕂 𝕍 ℕ 𝔎 B C D W f^{1} 33: ἐν τούτῳ τῷ, 𝕄 L Γ 𝔐: ἐν τῷ νῦν.

περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ ⸂ ὁ ἀγαθὸς ἄνθρω- 35
πος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς˚ καρδίας ἐκβάλλει τὰ ἀγαθὰ
καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει
πονηρά ⸃ λέγω δὲ ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν˚ λαλήσωσιν οἱ 36
ἄνθρωποι ἀποδώσουσιν περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως ⸂
ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου κα- 37
ταδικασθήσῃ ⸃ τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ˚ φα- 38
ρισαίων λέγοντες διδάσκαλε θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν ⸂ ὁ 39
δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον
ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον ἰω-
νᾶ τοῦ προφήτου ⸃ ὥσπερ γὰρ ἦν ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους 40
τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου
ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ⸃ ἄνδρες νι- 41
νευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ
κατακρινοῦσιν αὐτὴν ὅτι μετενόησαν εἰς τὸ κήρυγμα ἰωνᾶ καὶ
ἰδοὺ πλεῖον ἰωνᾶ ὧδε ⸃ βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρί- 42
σει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτὴν ὅτι ἦλθεν ἐκ
τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν σολομῶντος καὶ ἰδοὺ
πλεῖον σολομῶντος ὧδε ⸃ ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ 43
ἀπὸ τοῦ ἀνθρώπου διέρχεται δι᾽ ἀνύδρων τόπων ζητοῦν ἀνά-
παυσιν καὶ οὐχ εὑρίσκει ⸂ τότε λέγει ἐπιστρέψω˚ εἰς τὸν οἶκόν 44
μου ὅθεν ἐξῆλθον καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα σεσαρωμένον
καὶ κεκοσμημένον ⸃ τότε πορεύεται καὶ παραλαμβάνει μεθ᾽ ἑ- 45
αυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ καὶ εἰσελθόντα
κατοικεῖ ἐκεῖ καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χεί-
ρονα τῶν πρώτων οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ ⸂
ἔτι˚ δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις ἰδοὺ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ 46
αὐτοῦ ἑστήκεισαν ἔξω ζητοῦντες˚ αὐτῷ λαλῆσαι ⸃ εἶπεν˚ δέ τις 47

---

v.34 𝔼: λαλεῖ, D* d: λαλεῖ αγαθα. **v.35** 𝕋 𝕂: τῆς καρδίας, 𝕄 𝕍 ℕ: ∅. **v.35** 𝕋 𝕂 ℵ C L N Δ f^{1} 33 1424 *al* co$^{sa(mss)}$: τὰ, 𝕄 𝕍 ℕ B D W Θ f^{13} 𝔐 co$^{sa(mss),mae}$: ∅. **v.35** 𝔼: πονηρά, L N Δ 33 1424 *al* co$^{sa(mss),bo}$: τα πονηρα. **v.36** 𝕋* W 0250 f^{1,13} 𝔐: ἐὰν λαλήσωσιν, 𝕍 ℕ ℵ B *pc*: λαλήσουσιν, D: λαλουσιν, L: αν λαλησωσιν, C Θ 33 700* *pc*: εαν λαλησουσιν. **v.37** 𝔼 ℵ B D *rell*: καταδικασθήσῃ, L 28: κατακριθησει, Γ Ω 33 118 565 700 1424: κατακριθηση. **v.38** 𝕋* K U W Γ Δ Π f^{1} 2 28 579 700 1071 𝔐: ἀπεκρίθησάν, 𝕍 ℕ ℵ B C D L M N Θ f^{13} 33 157 565 788 1346 1424: ἀπεκρίθησαν αὐτῷ. **v.38** 𝔼: καὶ φαρισαίων, B *pc*: ∅. **v.40** 𝔼 ℵ B *rell*: ἦν, Θ 1424 *pc*: εγενετο, D*: ∅. **v.40** 𝔼 ℵ B D *rell*: καρδίᾳ, 118: κοιλια. **v.42** 𝕋 𝕂: σολομῶντος, 𝕄 𝕍 ℕ: σολομῶνος. **v.44** 𝕋*: ἐπιστρέψω εἰς τὸν οἶκόν μου, 𝕍 ℕ: εἰς τὸν οἶκόν μου ἐπιστρέψω. **v.44** 𝕋* 𝕍 B C^{2} D L W Z^{vid} Θ f^{1,13} 33 𝔐 lat: σεσαρωμένον, ℕ ℵ C* 1424 *al* it: καὶ σεσαρωμένον. **v.46** 𝕋* C W Θ f^{1,13} 𝔐 sy^{h}: ἔτι δὲ αὐτοῦ λαλοῦντος, 𝕍 ℕ ℵ B 33 1424 *pc* lat: ἔτι αὐτοῦ λαλοῦντος, D L Z 892 sy^{p}: λαλουντος δε αυτου. **v.46** 𝕋* 𝕍 D f^{1,13} 𝔐: εἱστήκεισαν, ℕ ℵ B*: ἱστήκεισαν, L: ιστηκασι, 700: εστηκασιν. **v.46** 𝔼 ℵ^{c} B C W Γ Δ Π f^{1} 2 157 565 579 700 1071 𝔐: ζητοῦντες αὐτῷ λαλῆσαι, D L Θ f^{13} 33 788 1346 1424 latt sy^{p,h}: ζητουντες λαλησαι αυτω, ℵ*: ∅, 28: ζητουντες αυτον λαλησαι. **v.47** 𝕋* ℕ C W Z Θ f^{13} 𝔐 lat sy^{p,h} co^{mae,bo}: εἶπεν . . . ⸃, 𝕍: [εἶπεν . . . ⸃], ℵ* B L Γ *pc* sy^{s,c} co^{sa}: ∅.

αὐτῷ ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν ζη-
48 τοῦντές σοι λαλῆσαι ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ˚ εἰπόντι αὐτῷ τίς
49 ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου ⸰ καὶ ἐκτείνας
τὴν˚ χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν ἰδοὺ ἡ μήτηρ
50 μου καὶ οἱ ἀδελφοί μου ⸰ ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ
πατρός μου τοῦ ἐν οὐρανοῖς αὐτός μού ἀδελφὸς καὶ ἀδελφὴ
καὶ μήτηρ ἐστίν ⸰

13 ἐν δὲ˚ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ ἰησοῦς ἀπὸ τῆς οἰκίας ἐ-
2 κάθητο παρὰ τὴν θάλασσαν ⸰ καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι
πολλοί ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι καὶ πᾶς ὁ
3 ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει ⸰ καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν
4 παραβολαῖς λέγων ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν ⸰ καὶ ἐν
τῷ σπείρειν αὐτὸν ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδὸν καὶ ἦλθεν τὰ πε-
5 τεινὰ καὶ κατέφαγεν αὐτά ⸰ ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη ὅπου
οὐκ εἶχεν γῆν πολλὴν καὶ εὐθέως ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν
6 βάθος γῆς ⸰ ἡλίου˚ δὲ ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ
7 ἔχειν ῥίζαν ἐξηράνθη ⸰ ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας καὶ ἀνέ-
8 βησαν αἱ ἄκανθαι καὶ ἀπέπνιξαν αὐτά ⸰ ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν
γῆν τὴν καλὴν καὶ ἐδίδου καρπὸν ὃ μὲν ἑκατὸν ὃ δὲ ἑξήκοντα ὃ
9, 10 δὲ τριάκοντα ⸰ ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω ⸰ καὶ προσελθόντες
11 οἱ μαθηταὶ εἶπὸν αὐτῷ διατὶ ἐν παραβολαῖς λαλεῖς αὐτοῖς ⸰ ὁ δὲ
ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια
12 τῆς βασιλείας τῶν οὐρανῶν ἐκείνοις δὲ οὐ δέδοται ⸰ ὅστις γὰρ
ἔχει δοθήσεται αὐτῷ καὶ περισσευθήσεται ὅστις δὲ οὐκ ἔχει καὶ
13 ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ ⸰ διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς
λαλῶ ὅτι βλέποντες οὐ βλέπουσιν καὶ ἀκούοντες οὐκ ἀκούου-

v.47 𝔼 𝔐: αὐτῷ, ℵ[1] *pc*: των μαθητων αυτου, C: αυτω αυτω. **v.48** 𝕋* C L Θ f[1,13] 𝔐: τῷ εἰπόντι αὐτῷ, 𝕍 ℕ ℵ B D 33 892 1424 *pc*: τῷ λέγοντι αὐτῷ, Z: τω λεγοντι, W: ∅. **v.48** 𝔼 ℵ B *rell*: καὶ, D W Θ *pc* it sy[s] co[mae,bo]: η. **v.48** 𝔼: εἰσὶν, W: ∅. **v.48** 𝔼 ℵ B[c] C D W Γ Δ Θ Π f[1,13] 𝔐 7001346: μου, B*: ∅. **v.49** 𝔼 B D *rell*: τὴν χεῖρα, ℵ*: την χειραν, 28: τας χειρας. **v.49** 𝔼 ℵ B D *rell*: μου, f[13]: ∅. **v.49** 𝔼 ℵ ℵ B D *rell*: μου, E*: μοι. **v.50** 𝔼 ℵ B C D *rell*: ὅστις, L: ος. **v.50** 𝔼 ℵ B C D *rell*: μου, 565: ∅. **v.50** 𝔼 ℵ B C D *rell*: ἐν, 33: εν τοις. **v.50** 𝔼 ℵ B L Δ *rell*: μου, Θ f[13] 700 788 1346 1424: μου και. **v.50** 𝔼 B *rell*: μήτηρ, Θ: η μητηρ. **13.v.1** 𝕋* C D L W Γ Δ Π f[13]: δὲ, 𝕍 ℕ ℵ B 33: ∅. **v.1** 𝔼 ℵ B C L 𝔐: ἐξελθὼν, D: εξηλθεν. **v.1** 𝕋* C E* L W Γ Δ Π: ἀπὸ, 𝕍 ℕ B: ∅, ℵ 33: εκ, D: και. **v.2** 𝕋* D K Γ Δ Π Ω f[13] 565 579 𝔐: τὸ, 𝕍 ℕ ℵ B C L W Θ f[1] 33 124 700: ∅. **v.2** 𝕋* 𝕍 B[c] f[1]: εἱστήκει, ℕ ℵ B* C W Θ 33: ἱστήκει, D*: εστηκει. **v.4** 𝕋* ℵ C E* K W Γ Δ Π 28 157 𝔐: ἦλθεν, 𝕍 ℕ B: ἐλθόντα, D L Z 33: ηλθον. **v.4** 𝔼: πετεινὰ, K Θ f[13] 565 1241 1424 *al* vg[cl] sy[c,h] co[sa,mae,bo(mss)]: πετεινα του ουρανου. **v.4** 𝕋* ℵ C D L W Z f[1] 33 𝔐: καὶ, 𝕍 ℕ B Θ f[13] 1424 *pc*: ∅. **v.5** 𝔼 B D L *rell*: διὰ, 157: και δια. **v.5** 𝔼 D L *rell*: γῆς, B: της γης. **v.6** 𝔼 B L *rell*: ἡλίου δὲ, D: του δε ηλιου. **v.6** 𝔼 B Δ[c] L: ἐκαυματίσθη, L: ευθεως εκαυματισθη, Δ*: εκαυματισενθη, D: εκαυματισθησαν. **v.6** 𝔼 ℵ B C D L W Γ Π 𝔐: ῥίζαν, Θ f[13] 788 1346: βαθος ριζης. **v.6** 𝔼 ℵ B C E[c] L W Γ Π f[1,13] 𝔐: ἐξηράνθη, D: εξηρανθησαν, E*: απεξηρανθη. **v.7** 𝕋* ℕ B C L W Z f[1] 33 𝔐: ἀπέπνιξαν, 𝕍 ℵ D Θ f[13] 565 *pc*: ἔπνιξαν. **v.9** 𝕋* ℵ[2] C D W Z Θ f[1,13] 33 𝔐 lat sy[c,p,h] co: ἀκούειν, 𝕍 ℕ ℵ* B L sy[s]: ∅. **v.10** 𝕋* C D W Γ Δ Π 𝔐: εἶπον, 𝕍 ℕ ℵ B L Θ: εἶπαν. **v.10** 𝕋 𝕂: διατὶ, 𝕄 𝕍 ℕ: διὰ τί.

σιν οὐδὲ συνίουσιν ⸰ καὶ ἀναπληροῦται ἐπ᾽ αὐτοῖς ἡ προφητεία 14
ἡ̔σαΐου ἡ λέγουσα ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε καὶ βλέ-
ποντες βλέψετε καὶ οὐ μὴ ἴδητε ⸰ ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ 15
λαοῦ τούτου καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλ-
μοὺς αὐτῶν ἐκάμμυσαν μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς
ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν καὶ
ἰάσωμαι αὐτούς ⸰ ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσιν 16
καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούει ⸰ ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι πολ- 17
λοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε καὶ οὐκ
εἶδον καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν ⸰ ὑμεῖς οὖν ἀ- 18
κούσατε τὴν παραβολὴν τοῦ σπείροντος ⸰ παντὸς ἀκούοντος τὸν 19
λόγον τῆς βασιλείας καὶ μὴ συνιέντος ἔρχεται ὁ πονηρὸς καὶ
ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ οὗτός ἐστιν ὁ πα-
ρὰ τὴν ὁδὸν σπαρείς ⸰ ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς οὗτός ἐστιν 20
ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν ⸰
οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ ἀλλὰ πρόσκαιρός ἐστιν γενομένης 21
δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθὺς σκανδαλίζεται ⸰ ὁ δὲ 22
εἰς τὰς ἀκάνθας σπαρεὶς οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ
ἡ μέριμνα τοῦ αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου συμ-
πνίγει τὸν λόγον καὶ ἄκαρπος γίνεται ⸰ ὁ δὲ ἐπὶ τὴν γῆν˚ τὴν 23
καλὴν σπαρεὶς οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιὼν ὃς
δὴ καρποφορεῖ καὶ ποιεῖ ὁ μὲν ἑκατὸν ὁ δὲ ἑξήκοντα ὁ δὲ τριά-
κοντα ⸰ ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων ὡμοιώθη ἡ 24
βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ
ἀγρῷ αὐτοῦ ⸰ ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν αὐτοῦ ὁ 25
ἐχθρὸς καὶ ἔσπειρεν ζιζάνια ἀνὰ μέσον τοῦ σίτου καὶ ἀπῆλθεν ⸰
ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησεν τότε ἐφάνη 26
καὶ τὰ ζιζάνια ⸰ προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου εἶ- 27
πον αὐτῷ κύριε οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ
πόθεν οὖν ἔχει τὰ ζιζάνια ⸰ ὁ δὲ ἔφη αὐτοῖς ἐχθρὸς ἄνθρωπος 28
τοῦτο ἐποίησεν οἱ δὲ δοῦλοι εἶπον αὐτῷ θέλεις οὖν ἀπελθόντες
συλλέξῶμεν αὐτά ⸰ ὁ δὲ ἔφη οὐ μήποτε συλλέγοντες τὰ ζιζάνια 29
ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον ⸰ ἄφετε συναυξάνεσθαι ἀμφό- 30
τερα μέχρι τοῦ θερισμοῦ καὶ ἐν τῷ καιρῷ τοῦ θερισμοῦ ἐρῶ

---

v.14 𝕋 𝕂: ἐπ᾽, 𝕄 𝕍: ∅. **v.14** 𝕋: ἡσαΐου, 𝕂 𝕄 𝕍: ἡσαΐου, ℕ: ἡσαίου. **v.15** 𝕋 𝕂: ἰάσωμαι, 𝕄 𝕍: ιασομαι. **v.16** 𝕋*: ἀκούει, 𝕍: ακουουσιν. **v.17** 𝕋*: εἶδον, 𝕍: ειδαν. **v.18** 𝕋*: σπείροντος, 𝕍: σπειραντος. **v.22** 𝕋*: τούτου, 𝕍: ∅. **v.23** 𝕋*: γῆν τὴν καλὴν, 𝕍 ℕ: καλὴν γῆν. **v.23** 𝕋*: συνιων, 𝕍: συνιεις. **v.24** 𝕋 𝕄: σπείροντι, 𝕂 𝕍: σπειραντι. **v.25** 𝕋*: ἔσπειρεν, 𝕍: επεσπειρεν. **v.27** 𝕋 𝕂: τὰ, 𝕄 𝕍: ∅. **v.28** 𝕋*: εἶπον, 𝕍: λεγουσιν. **v.28** 𝕋 𝕂 𝕍: συλλεξωμεν, 𝕄: συλλεξομεν. **v.29** 𝕋*: εφη, 𝕍: φησιν. **v.30** 𝕋*: μεχρι, 𝕍: εως. **v.30** 𝕋 𝕂: τω, 𝕄 𝕍: ∅.

τοῖς θερισταῖς συλλέξατε πρῶτον τὰ ζιζάνια καὶ δήσατε αὐτὰ εἰς
δέσμας πρὸς τὸ κατακαῦσαι αὐτὰ τὸν δὲ σῖτον συναγάγετε εἰς
31 τὴν ἀποθήκην μου ◦ ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων
ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως ὃν λαβὼν
32 ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ ◦ ὃ μικρότερον μέν ἐστιν
πάντων τῶν σπερμάτων ὅταν δὲ αὐξηθῇ μεῖζον τῶν λαχάνων ἐ-
στὶν καὶ γίνεται δένδρον ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ
33 καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ ◦ ἄλλην παραβολὴν ἐ-
λάλησεν αὐτοῖς ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ ἣν
λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυ-
34 μώθη ὅλον ◦ ταῦτα πάντα ἐλάλησεν ὁ ἰησοῦς ἐν παραβολαῖς τοῖς
35 ὄχλοις καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς ◦ ὅπως πληρω-
θῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος ἀνοίξω ἐν παραβολαῖς
τὸ στόμα μου ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου ◦
36 τότε ἀφεὶς τοὺς ὄχλους ἦλθεν εἰς τὴν οἰκίαν ὁ˚ ἰησοῦς καὶ προ-
σῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες φράσον ἡμῖν τὴν πα-
37 ραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ ◦ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς
38 ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου ◦ ὁ δὲ
ἀγρός ἐστιν ὁ κόσμος τὸ δὲ καλὸν σπέρμα οὗτοί εἰσιν οἱ υἱοὶ τῆς
39 βασιλείας τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ ◦ ὁ δὲ ἐχθρὸς
ὁ σπείρας αὐτά ἐστιν ὁ διάβολος ὁ δὲ θερισμὸς συντέλεια τοῦ
40 αἰῶνός ἐστιν οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν ◦ ὥσπερ οὖν συλλέγεται
τὰ ζιζάνια καὶ πυρὶ κατακαίεται οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ
41 αἰῶνος τούτου ◦ ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους
αὐτοῦ καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάν-
42 δαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν ◦ καὶ βαλοῦσιν αὐτοὺς εἰς
τὴν κάμινον τοῦ πυρὸς ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς
43 τῶν ὀδόντων ◦ τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βα-
44 σιλείᾳ τοῦ πατρὸς αὐτῶν ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω ◦ πάλιν
ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν
τῷ ἀγρῷ ὃν εὑρὼν ἄνθρωπος ἔκρυψεν καὶ ἀπὸ τῆς χαρᾶς αὐ-
τοῦ ὑπάγει καὶ πάντα˚ ὅσα ἔχει πωλεῖ καὶ ἀγοράζει τὸν ἀγρὸν
45 ἐκεῖνον ◦ πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ
46 ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας ◦ ὃς˚ εὑρὼν ἕνα πολύτιμον
μαργαρίτην ἀπελθὼν πέπρακεν πάντα ὅσα εἶχεν καὶ ἠγόρασεν

---

v.33 𝕋 𝕂 𝕍: ενεκρυψεν, 𝕄: εκρυψεν. **v.34** 𝕋*: ουκ, 𝕍: ουδεν. **v.35** 𝕋*: κόσμου, 𝕍: [κόσμου], ℕ 𝔹: ∅. **v.36** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.36** 𝕋*: φρασον, 𝕍: διασαφησον. **v.37** 𝕋*: αυτοις, 𝕍: ∅. **v.39** 𝕋*: του, 𝕍: ∅. **v.40** 𝕋 𝕂: κατακαιεται, 𝕄: καιεται, 𝕍: [κατα]καιεται. **v.40** 𝕋*: τουτου, 𝕍: ∅. **v.43** 𝕋*: ακουειν, 𝕍: ∅. **v.44** 𝕋*: παλιν, 𝕍: ∅. **v.44** 𝕋*: παντα οσα εχει πωλει, 𝕍: πωλει παντα οσα εχει. **v.46** 𝕋*: ος ευρων, 𝕍: ευρων δε.

αὐτόν ⸓ πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βλη- 47
θείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ παντὸς γένους συναγαγούσῃ ⸓ ἣν 48
ὅτε ἐπληρώθη ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν καὶ καθίσαντες
συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα τὰ δὲ σαπρὰ ἔξω ἔβαλον ⸓ οὕτως 49
ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀ-
φοριοῦσιν τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων ⸓ καὶ βαλοῦσιν 50
αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ
βρυγμὸς τῶν ὀδόντων ⸓ λέγει˚ αὐτοῖς ὁ ἰησοῦς συνήκατε ταῦτα 51
πάντα λέγουσιν αὐτῷ ναὶ κύριε ⸓ ὁ δὲ εἶπεν αὐτοῖς διὰ τοῦτο 52
πᾶς γραμματεὺς μαθητευθεὶς εἰς˚ τὴν βασιλείαν τῶν οὐρανῶν
ὁμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ ὅστις ἐκβάλλει ἐκ τοῦ θη-
σαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά ⸓ καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ 53
ἰησοῦς τὰς παραβολὰς ταύτας μετῆρεν ἐκεῖθεν ⸓ καὶ ἐλθὼν εἰς 54
τὴν πατρίδα αὐτοῦ ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν ὥ-
στε ἐκπλήττεσθαι αὐτοὺς καὶ λέγειν πόθεν τούτῳ ἡ σοφία αὕτη
καὶ αἱ δυνάμεις ⸓ οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱὸς οὐχὶ ἡ 55
μήτηρ αὐτοῦ λέγεται μαριὰμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἰάκωβος καὶ
ἰωσῆς καὶ σίμων καὶ ἰούδας ⸓ καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι 56
πρὸς ἡμᾶς εἰσιν πόθεν οὖν τούτῳ ταῦτα πάντα ⸓ καὶ ἐσκανδα- 57
λίζοντο ἐν αὐτῷ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς οὐκ ἔστιν προφήτης
ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ ⸓ καὶ 58
οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν ⸓

ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν **14**
ἰησοῦ ⸓ καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ οὗτός ἐστιν ἰωάννης ὁ βαπτι- 2
στὴς αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ διὰ τοῦτο αἱ δυνάμεις
ἐνεργοῦσιν ἐν αὐτῷ ⸓ ὁ γὰρ ἡρώδης κρατήσας τὸν ἰωάννην ἔ- 3
δησεν αὐτὸν καὶ ἔθετο˚ ἐν φυλακῇ διὰ ἡρωδιάδα τὴν γυναῖκα
φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ ⸓ ἔλεγεν γὰρ αὐτῷ˚ ὁ ἰωάννης οὐκ 4
ἔξεστίν σοι ἔχειν αὐτήν ⸓ καὶ θέλων αὐτὸν ἀποκτεῖναι ἐφοβήθη 5
τὸν ὄχλον ὅτι ὡς προφήτην αὐτὸν εἶχον ⸓ γενεσίων˚ δὲ ἀγομένων 6
τοῦ ἡρώδου ὠρχήσατο ἡ θυγάτηρ τῆς ἡρωδιάδος ἐν τῷ μέσῳ
καὶ ἤρεσεν τῷ ἡρώδῃ ⸓ ὅθεν μεθ᾽ ὅρκου ὡμολόγησεν αὐτῇ δοῦ- 7
ναι ὃ ἐὰν αἰτήσηται ⸓ ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς 8
δός μοι φησὶν ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν ἰωάννου τοῦ βαπτι-
στοῦ ⸓ καὶ ἐλυπήθη ὁ βασιλεὺς διὰ δὲ˚ τοὺς ὅρκους καὶ τοὺς 9

v.48 𝕋*: αγγεια, 𝕍: αγγη. **v.51** 𝕋*: λεγει αυτοις ο ιησους, 𝕍: ∅. **v.51** 𝕋*: κυριε, 𝕍: ∅. **v.52** 𝕋*: εις την βασιλειαν, 𝕍: τη βασιλεια. **v.54** 𝕋*: εκπληττεσθαι, 𝕍: εκπλησσεσθαι. **v.55** 𝕋*: ουχι, 𝕍: ουχ. **v.55** 𝕋*: ιωσης, 𝕍: ιωσηφ. **v.57** 𝕋*: αυτου, 𝕍: ∅. **14.v.1** 𝕋*: τετραρχης, 𝕍: τετραarχης. **v.3** 𝕋*: εθετο εν φυλακη, 𝕍: εν φυλακη απεθετο. **v.4** 𝕋*: αυτω ο ιωαννης, 𝕍: ο ιωαννης αυτω. **v.6** 𝕋*: γενεσιων δε αγομενων, 𝕍: γενεσιοις δε γενομενοις. **v.9** 𝕋*: ελυπηθη, 𝕍: λυπηθεις. **v.9** 𝕋*: δε, 𝕍: ∅.

συνανακειμένους ἐκέλευσεν δοθῆναι ⸰ καὶ πέμψας ἀπεκεφάλισεν τὸν ἰωάννην ἐν τῇ φυλακῇ ⸰ καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι καὶ ἐδόθη τῷ κορασίῳ καὶ ἤνεγκεν τῇ μητρὶ αὐτῆς ⸰ καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα καὶ ἔθαψαν αὐτὸ καὶ ἐλθόντες ἀπήγγειλαν τῷ ἰησοῦ ⸰ καὶ ἀκούσας ὁ ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν καὶ ἀκούσαντες οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων ⸰ καὶ ἐξελθὼν ὁ ἰησοῦς εἶδεν πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοὺς καὶ ἐθεράπευσεν τοὺς ἀρρώστους αὐτῶν ⸰ ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν ἀπόλυσον τοὺς ὄχλους ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς οὐ χρείαν ἔχουσιν ἀπελθεῖν δότε αὐτοῖς ὑμεῖς φαγεῖν ⸰ οἱ δὲ λέγουσιν αὐτῷ οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας ⸰ ὁ δὲ εἶπεν φέρετέ μοι αὐτοὺς ὧδε ⸰ καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς τοὺς ἄρτους οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις ⸰ καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις ⸰ οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων ⸰ καὶ εὐθέως ἠνάγκασεν ὁ ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους ⸰ καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ ⸰ τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν βασανιζόμενον ὑπὸ τῶν κυμάτων ἦν γὰρ ἐναντίος ὁ ἄνεμος ⸰ τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθεν πρὸς αὐτοὺς ὁ ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης ⸰ καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν λέγοντες ὅτι φάντασμά ἐστιν καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν ⸰ εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ ἰησοῦς λέγων θαρσεῖτε ἐγώ εἰμι μὴ φοβεῖσθε ⸰ ἀποκριθεὶς δὲ αὐτῷ ὁ πέτρος εἶπεν κύριε εἰ σὺ εἶ κέλευσόν

v.12 $\mathbb{T}^{*}$ W 0106 $\mathfrak{M}$ sy^{h} co$^{sa,mae,bo(mss)}$: σῶμα, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B C D L Θ f^{1,13} 33 565 700 892 1241 1424 ℓ844 ℓ2211 *al* sy^{s,c,p} co^{bo}: πτῶμα. **v.12** $\mathbb{T}^{*}$: αυτο, $\mathbb{V}$: αυτο[ν]. **v.13** $\mathbb{T}^{*}$: και ακουσας, $\mathbb{V}$: ακουσας δε. **v.14** $\mathbb{T}^{*}$: ο ιησους, $\mathbb{V}$: ∅. **v.14** $\mathbb{T}$ $\mathbb{K}$: αυτους, $\mathbb{M}$ $\mathbb{V}$: αυτοις. **v.15** $\mathbb{T}^{*}$: αυτου, $\mathbb{V}$: ∅. **v.18** $\mathbb{T}^{*}$: αυτους ωδε, $\mathbb{V}$: ωδε αυτους. **v.19** $\mathbb{T}^{*}$: τους χορτους, $\mathbb{V}$: του χορτου. **v.19** $\mathbb{T}$ $\mathbb{K}$: και, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.22** $\mathbb{T}^{*}$: ο ιησους, $\mathbb{V}$: ∅. **v.22** $\mathbb{T}$ $\mathbb{K}$: αυτου, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.24** $\mathbb{T}^{*}$: μεσον της θαλασσης ην, $\mathbb{V}$: σταδιους πολλους απο της γης απειχεν. **v.25** $\mathbb{T}^{*}$: απηλθεν, $\mathbb{V}$: ηλθεν. **v.25** $\mathbb{T}^{*}$: ο ιησους, $\mathbb{V}$: ∅. **v.25** $\mathbb{T}^{*}$: της θαλασσης, $\mathbb{V}$: την θαλασσαν. **v.26** $\mathbb{T}^{*}$: και ιδοντες αυτον οι μαθηται επι την θαλασσαν, $\mathbb{V}$: οι δε μαθηται ιδοντες αυτον επι της θαλασσης. **v.27** $\mathbb{T}^{*}$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.27** $\mathbb{T}^{*}$: αυτοις ο ιησους, $\mathbb{V}$: [ο ιησους] αυτοις.

με πρός˚ σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα ⸰ ὁ δὲ εἶπεν ἐλθὲ καὶ καταβὰς ἀ- 29
πὸ τοῦ πλοίου ὁ πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς
τὸν ἰησοῦν ⸰ βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη καὶ ἀρξά- 30
μενος καταποντίζεσθαι ἔκραξεν λέγων κύριε σῶσόν με ⸰ εὐθέως 31
δὲ ὁ ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ
ὀλιγόπιστε εἰς τί ἐδίστασας ⸰ καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον 32
ἐκόπασεν ὁ ἄνεμος ⸰ οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν 33
αὐτῷ λέγοντες ἀληθῶς θεοῦ υἱὸς εἶ ⸰ καὶ διαπεράσαντες ἦλθον 34
εἰς˚ τὴν γῆν γεννησαρέτ ⸰ καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ 35
τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην καὶ
προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ⸰ καὶ παρεκά- 36
λουν αὐτὸν ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐ-
τοῦ καὶ ὅσοι ἥψαντο διεσώθησαν ⸰

τότε προσέρχονται τῷ ἰησοῦ ὁἱ ἀπὸ ἱεροσολύμων γραμμα- **15**
τεῖς˚ καὶ φαρισαῖοι λέγοντες ⸰ διατὶ οἱ μαθηταί σου παραβαίνου- 2
σιν τὴν παράδοσιν τῶν πρεσβυτέρων οὐ γὰρ νίπτονται τὰς χεῖρας
αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς διατὶ 3
καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν
ὑμῶν ⸰ ὁ γὰρ θεὸς ἐνετείλατο˚ λέγων τίμα τὸν πατέρα σοῦ καὶ 4
τὴν μητέρα καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευ-
τάτω ⸰ ὑμεῖς δὲ λέγετε ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ δῶρον ὃ 5
ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς κἀι οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ˚
τὴν μητέρα αὐτοῦ ⸰ καὶ ἠκυρώσατε τὴν˚ ἐντολὴν τοῦ θεοῦ διὰ 6
τὴν παράδοσιν ὑμῶν ⸰ ὑποκριταὶ καλῶς προἐφήτευσεν περὶ ὑ- 7
μῶν ἡσαΐας λέγων ⸰ ἐγγίζει˚ μοι ὁ λαὸς οὗτος τῷ˚ στόματι αὐτῶν 8
καὶ τοῖς χείλεσίν με τιμᾷ ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽
ἐμοῦ ⸰ μάτην δὲ σέβονταί με διδάσκοντες διδασκαλίας ἐντάλ- 9
ματα ἀνθρώπων ⸰ καὶ προσκαλεσάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς 10
ἀκούετε καὶ συνίετε ⸰ οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν 11
ἄνθρωπον ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦτο κοι-
νοῖ τὸν ἄνθρωπον ⸰ τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ˚ εἶπον 12
αὐτῷ οἶδας ὅτι οἱ φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλί-
σθησαν ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν 13

---

v.28 𝕋*: προς σε ελθειν, 𝕍: ελθειν προς σε. **v.29** 𝕋*: ελθειν, 𝕍: και ηλθεν. **v.32** 𝕋*: εμβαντων, 𝕍: αναβαντων. **v.33** 𝕋*: ελθοντες, 𝕍: ∅. **v.34** 𝕋*: εις την γην, 𝕍: επι την γην εις. **15.v.1** 𝕋*: οι, 𝕍: ∅. **v.1** 𝕋*: γραμματεις και φαρισαιοι, 𝕍: φαρισαιοι και γραμματεις. **v.2** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.3** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.4** 𝕋*: ἐνετείλατο λέγων, 𝕍 ℕ: εἶπεν. **v.4** 𝕋 𝕂: σοῦ, 𝕄 𝕍 ℕ: ∅. **v.5** 𝕋*: και, 𝕍: ∅. **v.5** 𝕋*: τιμηση, 𝕍: τιμησει. **v.5** 𝕋*: η την μητερα αυτου, 𝕍: ∅. **v.6** 𝕋*: την εντολην, 𝕍: τον λογον. **v.7** 𝕋*: προεφητευσεν, 𝕍: επροφητευσεν. **v.7** 𝕋: ἡσαΐας, 𝕂 𝕄 𝕍: ἡσαΐας, ℕ: ἡσαίας. **v.8** 𝕋*: εγγιζει μοι, 𝕍: ∅. **v.8** 𝕋*: τω στοματι αυτων και, 𝕍: ∅. **v.12** 𝕋*: αὐτοῦ εἶπον, 𝕍: λεγουσιν.

14 ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται ⸰ ἄφετε αὐτοὺς ὁδηγοί˚
εἰσιν τυφλοὶ τυφλῶν τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ ἀμφότεροι εἰς
15 βόθυνον πεσοῦνται ⸰ ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπεν αὐτῷ φράσον
16 ἡμῖν τὴν παραβολὴν ταύτην ⸰ ὁ δὲ ἰησοῦς εἶπεν ἀκμὴν καὶ ὑ-
17 μεῖς ἀσύνετοί ἐστε ⸰ οὔπω νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς
τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται ⸰
18 τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται
19 κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον ⸰ ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται
διαλογισμοὶ πονηροὶ φόνοι μοιχεῖαι πορνεῖαι κλοπαὶ ψευδο-
20 μαρτυρίαι βλασφημίαι ⸰ ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρω-
21 πον τὸ δὲ ἀνίπτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον ⸰ καὶ
ἐξελθὼν ἐκεῖθεν ὁ ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη τύρου καὶ
22 σιδῶνος ⸰ καὶ ἰδοὺ γυνὴ χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελ-
θοῦσα ἐκραύγασεν˚ αὐτῷ λέγουσα ἐλέησόν με κύριε υἱὲ˚ δαβὶδ
23 ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται ⸰ ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ
λόγον καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτὸν λέγον-
24 τες ἀπόλυσον αὐτὴν ὅτι κράζει ὄπισθεν ἡμῶν ⸰ ὁ δὲ ἀποκριθεὶς
εἶπεν οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου
25 ἰσραήλ ⸰ ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα κύριε βοήθει
26 μοι ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν
27 τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις ⸰ ἡ δὲ εἶπεν ναὶ κύριε καὶ γὰρ
τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τρα-
28 πέζης τῶν κυρίων αὐτῶν ⸰ τότε ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτῇ
ὦ γύναι μεγάλη σου ἡ πίστις γενηθήτω σοι ὡς θέλεις καὶ ἰάθη
29 ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης ⸰ καὶ μεταβὰς ἐκεῖθεν
ὁ ἰησοῦς ἦλθεν παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας καὶ ἀναβὰς
30 εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ ⸰ καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ
ἔχοντες μεθ᾽ ἑαυτῶν χωλοὺς τυφλοὺς κωφοὺς˚ κυλλοὺς καὶ ἑτέ-
ρους πολλοὺς καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ˚ ἰησοῦ
31 καὶ ἐθεράπευσεν αὐτούς ⸰ ὥστε τοὺς˚ ὄχλους θαυμάσαι βλέποντ-
τας κωφοὺς λαλοῦντας κυλλοὺς ὑγιεῖς χωλοὺς περιπατοῦντας
32 καὶ τυφλοὺς βλέποντας καὶ ἐδόξασαν τὸν θεὸν ἰσραήλ ⸰ ὁ δὲ
ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν σπλαγχνί-
ζομαι ἐπὶ τὸν ὄχλον ὅτι ἤδη ἡμέραν τρεῖς προσμένουσίν μοι
καὶ οὐκ ἔχουσιν τί φάγωσιν καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ

v.14 𝕋*: οδηγοι εισιν τυφλοι τυφλων, 𝕍: τυφλοι εισιν οδηγοι [τυφλων]. **v.16** 𝕋*: ιησους, 𝕍: ∅. **v.17** 𝕋*: ουπω, 𝕍: ου. **v.22** 𝕋*: εκραυγασεν αυτω, 𝕍: εκραζεν. **v.22** 𝕋*: υιε δαβιδ, 𝕍: υιος δαυιδ. **v.23** 𝕋*: ηρωτων, 𝕍: ηρωτουν. **v.25** 𝕋 𝕂 𝕍: προσεκυνει, 𝕄: προσεκυνησεν. **v.30** 𝕋*: κωφους κυλλους, 𝕍: κυλλους κωφους. **v.30** 𝕋*: του ιησου, 𝕍: αυτου. **v.31** 𝕋*: τους οχλους, 𝕍: τον οχλον. **v.31** 𝕋*: χωλους, 𝕍: και χωλους. **v.32** 𝕋 𝕂: ημερας, 𝕄 𝕍: ημεραι.

θέλω μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ ⸰ καὶ λέγουσιν αὐτῷ οἱ μαθη- 33
ταὶ αὐτοῦ πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι ὥστε χορτάσαι
ὄχλον τοσοῦτον ⸰ καὶ λέγει αὐτοῖς ὁ ἰησοῦς πόσους ἄρτους ἔ- 34
χετε οἱ δὲ εἶπόν ἑπτὰ καὶ ὀλίγα ἰχθύδια ⸰ καὶ ἐκέλευσεν˚ τοῖς 35
ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν ⸰ καὶ˚ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ 36
τοὺς ἰχθύας εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν τοῖς μαθηταῖς
αὐτοῦ οἱ δὲ μαθηταὶ τῷ˚ ὄχλῳ ⸰ καὶ ἔφαγον πάντες καὶ ἐχορτά- 37
σθησαν καὶ ἦραν˚ τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρίδας
πλήρεις ⸰ οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες χωρὶς γυ- 38
ναικῶν καὶ παιδίων ⸰ καὶ ἀπολύσας τοὺς ὄχλους ἐνέβη εἰς τὸ 39
πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια μαγδαλά ⸰

καὶ προσελθόντες οἱ φαρισαῖοι καὶ σαδδουκαῖοι πειράζοντες **16**
ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς ⸰ ὁ 2
δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὀψίας γενομένης λέγετε εὐδία πυρ-
ράζει γὰρ ὁ οὐρανός ⸰ καὶ πρωΐ σήμερον χειμὼν πυρράζει γὰρ 3
στυγνάζων ὁ οὐρανὸς ὑποκριταὶ τὸ μὲν πρόσωπον τοῦ οὐρα-
νοῦ γινώσκετε διακρίνειν τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε ⸰
γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ 4
δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον ἰωνᾶ τοῦ˚ προφήτου καὶ κα-
ταλιπὼν αὐτοὺς ἀπῆλθεν ⸰ καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς 5
τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς 6
ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ σαδ-
δουκαίων ⸰ οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες ὅτι ἄρτους 7
οὐκ ἐλάβομεν ⸰ γνοὺς δὲ ὁ ἰησοῦς εἶπεν αὐτοῖς τί διαλογίζεσθε 8
ἐν ἑαυτοῖς ὀλιγόπιστοι ὅτι ἄρτους οὐκ ἐλάβετε ⸰ οὔπω νοεῖτε 9
οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων καὶ
πόσους κοφίνους ἐλάβετε ⸰ οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρα- 10
κισχιλίων καὶ πόσας σπυρίδας ἐλάβετε ⸰ πῶς οὐ νοεῖτε ὅτι οὐ 11
περὶ ἄρτου εἶπον ὑμῖν προσέχειν ἀπὸ τῆς ζύμης τῶν φαρισαίων
καὶ σαδδουκαίων ⸰ τότε συνῆκαν ὅτι οὐκ εἶπεν προσέχειν ἀπὸ 12
τῆς ζύμης τοῦ˚ ἄρτου ἀλλ᾽ ἀπὸ τῆς διδαχῆς τῶν φαρισαίων καὶ
σαδδουκαίων ⸰ ἐλθὼν δὲ ὁ ἰησοῦς εἰς τὰ μέρη καισαρείας τῆς 13
φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων τίνα με λέγουσιν

v.33 𝕋*: αυτου, 𝕍: ∅. **v.34** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.35** 𝕋*: εκελευσεν τοις οχλοις, 𝕍: παραγγειλας τω οχλω. **v.36** 𝕋*: και λαβων, 𝕍: ελαβεν. **v.36** 𝕋*: ευχαριστησας, 𝕍: και ευχαριστησας. **v.36** 𝕋*: εδωκεν, 𝕍: εδιδου. **v.36** 𝕋*: αυτου, 𝕍: ∅. **v.36** 𝕋*: τω οχλω, 𝕍: τοις οχλοις. **v.37** 𝕋*: ηραν το περισσευον των κλασματων, 𝕍: το περισσευον των κλασματων ηραν. **v.39** 𝕋 𝕂 𝕍: ενεβη, 𝕄: ανεβη. **v.39** 𝕋*: μαγδαλα, 𝕍: μαγαδαν. **16.v.3** 𝕋*: υποκριται, 𝕍: ∅. **v.4** 𝕋*: του προφητου, 𝕍: ∅. **v.5** 𝕋*: αυτου, 𝕍: ∅. **v.8** 𝕋*: αυτοις, 𝕍: ∅. **v.8** 𝕋*: ελαβετε, 𝕍: εχετε. **v.11** 𝕋*: αρτου, 𝕍: αρτων. **v.11** 𝕋*: προσεχειν, 𝕍: προσεχετε δε. **v.12** 𝕋*: του αρτου, 𝕍: των αρτων. **v.12** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.13** 𝕋*: με, 𝕍: ∅.

14 οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου ⸰ οἱ δὲ εἶπόν οἱ μὲν
ἰωάννην τὸν βαπτιστὴν ἄλλοι δὲ ἠλίαν ἕτεροι δὲ ἱερεμίαν ἢ ἕνα
15, 16 τῶν προφητῶν ⸰ λέγει αὐτοῖς ὑμεῖς δὲ τίνα με λέγετε εἶναι ⸰ ἀ-
πο κριθεὶς δὲ σίμων πέτρος εἶπεν σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ
17 θεοῦ τοῦ ζῶντος ⸰ καὶ˚ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτῷ μακά-
ριος εἶ σίμων βὰρ˚ ἰωνᾶ ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν
18 σοι ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς ⸰ κἀγὼ δέ σοι λέγω
ὅτι σὺ εἶ πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν
19 ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς ⸰ κἀὶ δώσω
σοὶ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν καὶ ὃ ἐὰν δήσῃς ἐπὶ
τῆς γῆς ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς καὶ ὃ ἐὰν λύσῃς ἐπὶ
20 τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς ⸰ τότε διεστείλατο τοῖς
μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ἰησοῦς˚ ὁ
21 χριστός ⸰ ἀπὸ τότε ἤρξατο ὁ ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐ-
τοῦ ὅτι δεῖ αὐτὸν ἀπελθεῖν˚ εἰς ἱεροσόλυμα καὶ πολλὰ παθεῖν
ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀπο-
22 κτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι ⸰ καὶ προσλαβόμενος
αὐτὸν ὁ πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων ἵλεώς σοι κύριε οὐ
23 μὴ ἔσται σοι τοῦτο ⸰ ὁ δὲ στραφεὶς εἶπεν τῷ πέτρῳ ὕπαγε ὀπίσω
μου σατανᾶ σκάνδαλόν μου˚ εἶ ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ
24 τὰ τῶν ἀνθρώπων ⸰ τότε ὁ ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ εἴ
τις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν
25 σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι ⸰ ὃς γὰρ ἂν θέλῃ τὴν ψυ-
χὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτὴν ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ψυχὴν
26 αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν ⸰ τί γὰρ ὠφελεῖται ἄνθρωπος
ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ἢ
27 τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ ⸰ μέλλει γὰρ ὁ
υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ
τῶν ἀγγέλων αὐτοῦ καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν˚ πρᾶξιν
28 αὐτοῦ ⸰ ἀμὴν λέγω ὑμῖν εἰσίν˚ τινες τῶν ὧδε ἑστηκότων οἵτινες
οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου
ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ ⸰

17 καὶ μεθ᾽ ἡμέρας ἓξ παραλαμβάνει ὁ ἰησοῦς τὸν πέτρον καὶ
ἰάκωβον καὶ ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέρει αὐτοὺς
2 εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν ⸰ καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν

v.14 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.17** 𝕋*: και αποκριθεις, 𝕍: αποκριθεις δε. **v.17** 𝕋 𝕂: βαρ ιωνα, 𝕄 𝕍: βαριωνα. **v.19** 𝕋*: και, 𝕍: ∅. **v.19** 𝕋*: κλεις, 𝕍: κλειδας. **v.20** 𝕋*: αυτου, 𝕍: ∅. **v.20** 𝕋*: ιησους ο χριστος, 𝕍: ο χριστος, 𝔻: ο χριστος ιησους. **v.21** 𝕋*: απελθειν εις ιεροσολυμα, 𝕍: εις ιεροσολυμα απελθειν. **v.23** 𝕋*: μου ει, 𝕍: ει εμου. **v.25** 𝕋*: αν, 𝕍: εαν. **v.26** 𝕋*: ωφελειται, 𝕍: ωφεληθησεται. **v.27** 𝔼: την πραξιν, 𝔄: τα εργα. **v.28** 𝕋 𝕂: εισιν τινες των ωδε εστηκοτων, 𝕄: εισιν τινες ωδε εστωτες, 𝕍: οτι εισιν τινες των ωδε εστωτων.

καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος τὰ δὲ ἱμάτια αὐτοῦ
ἐγένετο λευκὰ ὡς τὸ φῶς ⸰ καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς μωσῆς καὶ 3
ἠλίας μετ᾽ αὐτοῦ συλλαλοῦντες ⸰ ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπεν 4
τῷ ἰησοῦ κύριε καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι εἰ θέλεις ποιήσωμεν
ὧδε τρεῖς σκηνὰς σοὶ μίαν καὶ μωσῇ μίαν καὶ μίαν ἠλίᾳ ⸰ ἔτι αὐ- 5
τοῦ λαλοῦντος ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοὺς καὶ ἰδοὺ
φωνὴ ἐκ τῆς νεφέλης λέγουσα οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπη-
τὸς ἐν ᾧ εὐδόκησα αὐτοῦ ἀκούετε ⸰ καὶ ἀκούσαντες οἱ μαθη- 6
ταὶ ἔπεσὸν ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα ⸰ καὶ 7
προσελθὼν ὁ ἰησοῦς ἥψατο αὐτῶν καὶ εἶπεν ἐγέρθητε καὶ μὴ
φοβεῖσθε ⸰ ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ 8
μὴ ἴὸν ἰησοῦν μόνον ⸰ καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους 9
ἐνετείλατο αὐτοῖς ὁ ἰησοῦς λέγων μηδενὶ εἴπητε τὸ ὅραμα ἕως
οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ ⸰ καὶ ἐπηρώτησαν 10
αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες τί οὖν οἱ γραμματεῖς λέγου-
σιν ὅτι ἠλίαν δεῖ ἐλθεῖν πρῶτον ⸰ ὁ δὲ ἰησοῦς ἀποκριθεὶς εἶπεν 11
αὐτοῖς ἠλίας μὲν ἔρχεται πρῶτὸν καὶ ἀποκαταστήσει πάντα ⸰
λέγω δὲ ὑμῖν ὅτι ἠλίας ἤδη ἦλθεν καὶ οὐκ ἐπέγνωσαν αὐτὸν 12
ἀλλ᾽ ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν οὕτως καὶ ὁ υἱὸς τοῦ ἀν-
θρώπου μέλλει πάσχειν ὑπ᾽ αὐτῶν ⸰ τότε συνῆκαν οἱ μαθηταὶ ὅτι 13
περὶ ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς ⸰ καὶ ἐλθόντων αὐτῶν 14
πρὸς τὸν ὄχλον προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτῷ καὶ
λέγων ⸰ κύριε ἐλέησόν μου τὸν υἱὸν ὅτι σεληνιάζεται καὶ κακῶς 15
πάσχει πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ
ὕδωρ ⸰ καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου καὶ οὐκ ἠδυ- 16
νήθησαν αὐτὸν θεραπεῦσαι ⸰ ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν ὦ 17
γενεὰ ἄπιστος καὶ διεστραμμένη ἕως πότε ἔσομαι μεθ᾽ ὑμῶν
ἕως πότε ἀνέξομαι ὑμῶν φέρετέ μοι αὐτὸν ὧδε ⸰ καὶ ἐπετίμησεν 18
αὐτῷ ὁ ἰησοῦς καὶ ἐξῆλθεν ἀπ᾽ αὐτοῦ τὸ δαιμόνιον καὶ ἐθε-
ραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης ⸰ τότε προσελθόντες οἱ 19
μαθηταὶ τῷ ἰησοῦ κατ᾽ ἰδίαν εἶπον διατὶ ἡμεῖς οὐκ ἠδυνήθημεν
ἐκβαλεῖν αὐτό ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς διὰ τὴν ἀπιστίαν ὑμῶν 20

17.v.2 𝕋 𝕂 𝕍 ℕ: ἐγένετο, 𝕄: ἐγένοντο. **v.3** 𝕋*: ωφθησαν, 𝕍: ωφθη. **v.3** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.3** 𝕋*: μετ αυτου συλλαλουντες, 𝕍: συλλαλουντες μετ αυτου. **v.4** 𝕋*: ποιησωμεν, 𝕍: ποιησω. **v.4** 𝕋*: μωση, 𝕍: μωυσει. **v.4** 𝕋*: μιαν ηλια, 𝕍: ηλια μιαν. **v.5** 𝕋*: αυτου ακουετε, 𝕍: ακουετε αυτου. **v.6** 𝕋*: επεσον, 𝕍: επεσαν. **v.7** 𝕋*: προσελθων, 𝕍: προσηλθεν. **v.7** 𝕋*: ηψατο αυτων και, 𝕍: και αψαμενος αυτων. **v.8** 𝕋*: τον, 𝕍: αυτον. **v.9** 𝕋 𝕂: απο, 𝕄 𝕍: εκ. **v.9** 𝕋*: αναστη, 𝕍: εγερθη. **v.10** 𝕋*: αυτου, 𝕍: ∅. **v.11** 𝕋*: ιησους, 𝕍: ∅. **v.11** 𝕋*: αυτοις, 𝕍: ∅. **v.11** 𝕋*: πρωτον, 𝕍: ∅. **v.12** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.14** 𝕋*: αυτων, 𝕍: ∅. **v.14** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτον. **v.17** 𝕋*: εσομαι μεθ υμων, 𝕍: μεθ υμων εσομαι. **v.19** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.20** 𝕋*: ιησους ειπεν, 𝕍: λεγει. **v.20** 𝕋*: απιστιαν, 𝕍: ολιγοπιστιαν.

ἀμὴν γὰρ λέγω ὑμῖν ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως ἐ-
ρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι ˚ ἐντεῦθεν ἐκεῖ καὶ μεταβήσεται καὶ
21 οὐδὲν ἀδυνατήσει ὑμῖν ◦ τοῦτο ˚ δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ
22 μὴ ἐν προσευχῇ καὶ νηστείᾳ ◦ ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ
γαλιλαίᾳ εἶπεν αὐτοῖς ὁ ἰησοῦς μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου
23 παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων ◦ καὶ ἀποκτενοῦσιν αὐτὸν
24 καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται καὶ ἐλυπήθησαν σφόδρα ◦ ἐλ-
θόντων δὲ αὐτῶν εἰς καπερναοὺμ προσῆλθον οἱ τὰ δίδραχμα
λαμβάνοντες τῷ πέτρῳ καὶ εἶπὸν ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ
25 τὰ δίδραχμα ◦ λέγει ναὶ καὶ ὅτε ˚ εἰσῆλθεν εἰς τὴν οἰκίαν προ-
έφθασεν αὐτὸν ὁ ἰησοῦς λέγων τί σοι δοκεῖ σίμων οἱ βασιλεῖς
τῆς γῆς ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον ἀπὸ τῶν υἱῶν
26 αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων ◦ λέγει ˚ αὐτῷ ὁ πέτρος ἀπὸ τῶν ἀλ-
27 λοτρίων ἔφη αὐτῷ ὁ ἰησοῦς ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί ◦ ἵνα
δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς πορευθεὶς εἰς ἦὴν θάλασσαν βάλε
ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον καὶ ἀνοίξας τὸ
στόμα αὐτοῦ εὑρήσεις στατῆρα ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ
ἐμοῦ καὶ σοῦ ◦

18 ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ ἰησοῦ λέγοντες
2 τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ◦ καὶ προσκα-
3 λεσάμενος ὁ ˚ ἰησοῦς παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν ◦ καὶ
εἶπεν ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παι-
4 δία οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ◦ ὅστις οὖν
ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο οὗτός ἐστιν ὁ μείζων ἐν
5 τῇ βασιλείᾳ τῶν οὐρανῶν ◦ καὶ ὃς ἐὰν δέξηται παιδίον ˚ τοιοῦ-
6 τον ἓν ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται ◦ ὃς δ᾽ ἂν σκανδαλίσῃ
ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ συμφέρει αὐτῷ
ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατα-
7 ποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης ◦ οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν
σκανδάλων ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα πλὴν οὐαὶ τῷ
8 ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται ◦ εἰ δὲ ἡ χείρ σου
ἢ ὁ πούς σου σκανδαλίζει σε ἔκκοψον αὐτὰ καὶ βάλε ἀπὸ σοῦ
καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ˚ ἢ κυλλὸν ἢ δύο
9 χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον ◦ καὶ

---

v.20 𝕋*: μεταβηθι εντευθεν, 𝕍: μεταβα ενθεν. **v.21** 𝕋*: τοῦτο ... ◦, 𝕍 ℕ: ∅. **v.22** 𝕋*: αναστρεφομενων, 𝕍: συστρεφομενων. **v.24** 𝕋*: καπερναουμ, 𝕍: καφαρναουμ. **v.24** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.25** 𝕋*: οτε εισηλθεν, 𝕍: ελθοντα. **v.26** 𝕋*: λεγει αυτω ο πετρος, 𝕍: ειποντος δε. **v.26** 𝕋 𝕂: αραγε, 𝕄 𝕍: αρα γε. **v.27** 𝕋*: την, 𝕍: ∅. **v.27** 𝕋 𝕂 𝕍: αναβαντα, 𝕄: αναβαινοντα. **18.v.2** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.4** 𝕋 𝕂: ταπεινωση, 𝕄 𝕍: ταπεινωσει. **v.5** 𝕋*: παιδιον τοιουτον εν, 𝕍: εν παιδιον τοιουτο. **v.6** 𝕋 𝕂: επι, 𝕄: εις, 𝕍: περι. **v.7** 𝕋*: εστιν, 𝕍: ∅. **v.7** 𝕋*: εκεινω, 𝕍: ∅. **v.8** 𝕋*: αυτα, 𝕍: αυτον. **v.8** 𝕋*: χωλον η κυλλον, 𝕍: κυλλον η χωλον.

εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ
σοῦ καλόν σοί ἐστιν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν ἢ δύο
ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός ⋄ ὁρᾶτε 10
μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων λέγω γὰρ ὑμῖν ὅτι
οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσιν τὸ πρόσω-
πον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς ⋄ ἦλθεν˚ γὰρ ὁ υἱὸς τοῦ 11
ἀνθρώπου σῶσαι τὸ ἀπολωλός ⋄ τί ὑμῖν δοκεῖ ἐὰν γένηταί τινι 12
ἀνθρώπῳ ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν οὐχὶ ἀφὲὶς
τὰ ἐννενηκονταἐννέα ἐπὶ τὰ ὄρη ἁπορευθεὶς ζητεῖ τὸ πλανώμε-
νον ⋄ καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει ἐπ᾽ 13
αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενηκονταἐννέα τοῖς μὴ πεπλανημέ-
νοις ⋄ οὕτως οὐκ ἔστιν θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ 14
ἐν οὐρανοῖς ἵνα ἀπόληται εἷς̈ τῶν μικρῶν τούτων ⋄ ἐὰν δὲ ἁμαρ- 15
τήσῃ εἰς σὲ ὁ ἀδελφός σου ὕπαγε κἀὶ ἔλεγξον αὐτὸν μεταξὺ
σοῦ καὶ αὐτοῦ μόνου ἐάν σου ἀκούσῃ ἐκέρδησας τὸν ἀδελφόν
σου ⋄ ἐὰν δὲ μὴ ἀκούσῃ παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο ἵνα 16
ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα ⋄ ἐὰν δὲ 17
παρακούσῃ αὐτῶν εἰπὲ τῇ ἐκκλησίᾳ ἐὰν δὲ καὶ τῆς ἐκκλησίας
παρακούσῃ ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης ⋄ ἀμὴν λέγω 18
ὑμῖν ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ˚ οὐρανῷ
καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν τῷ˚ οὐρα-
νῷ ⋄ πάλιν λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν˚ συμφωνήσωσιν ἐπὶ τῆς 19
γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται γενήσεται αὐ-
τοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς ⋄ οὗ γάρ εἰσιν δύο ἢ 20
τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν ⋄
τότε προσελθὼν αὐτῷ˚ ὁ πέτρος εἶπεν κύριε ποσάκις ἁμαρτή- 21
σει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ ἕως ἑπτάκις ⋄ λέγει 22
αὐτῷ ὁ ἰησοῦς οὐ λέγω σοι ἕως ἑπτάκις ἀλλ᾽ ἕως ἑβδομηκοντά-
κις ἑπτά ⋄ διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ 23
βασιλεῖ ὃς ἠθέλησεν συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ ⋄
ἀρξαμένου δὲ αὐτοῦ συναίρειν προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης 24
μυρίων ταλάντων ⋄ μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι ἐκέλευσεν 25
αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ
τέκνα καὶ πάντα ὅσα εἶχεν καὶ ἀποδοθῆναι ⋄ πεσὼν οὖν ὁ δοῦ- 26

---

v.11 𝕋*: ἦλθεν . . . ⋄, 𝕍 ℕ: ∅. **v.12** 𝕋*: αφεις, 𝕍: αφησει. **v.12** 𝕋 𝕂: εννενηκονταεννεα, 𝕄 𝕍: ενενηκοντα εννεα. **v.12** 𝕋*: πορευθεις, 𝕍: και πορευθεις. **v.13** 𝕋 𝕂: εννενηκονταεννεα, 𝕄 𝕍: ενενηκοντα εννεα. **v.14** 𝕋*: εις, 𝕍: εν. **v.15** 𝕋*: και, 𝕍: ∅. **v.18** 𝕋*: τω, 𝕍: ∅. **v.19** 𝕋 𝕂: παλιν, 𝕄: παλιν αμην, 𝕍: παλιν [αμην]. **v.19** 𝕋*: υμων συμφωνησωσιν, 𝕍: συμφωνησωσιν εξ υμων. **v.21** 𝕋*: αυτω ο πετρος ειπεν, 𝕍: ο πετρος ειπεν αυτω. **v.22** 𝕋*: αλλ, 𝕍: αλλα. **v.25** 𝕋*: αυτου, 𝕍: ∅. **v.25** 𝕋*: ειχεν, 𝕍: εχει.

λος προσεκύνει αὐτῷ λέγων κύριε μακροθύμησον ἐπ᾽ ἐμοὶ καὶ
27 πάντα σοι᾽ ἀποδώσω ⸎ σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου
28 ἐκείνου ἀπέλυσεν αὐτὸν καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ ⸎ ἐξελθὼν
δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ ὃς ὤφειλεν
αὐτῷ ἑκατὸν δηνάρια καὶ κρατήσας αὐτὸν ἔπνιγεν λέγων ἀπό-
29 δος μοι᾽ ὅ τι ὀφείλεις ⸎ πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς᾽ τοὺς
πόδας αὐτοῦ παρεκάλει αὐτὸν λέγων μακροθύμησον ἐπ᾽ ἐμοὶ
30 καὶ πάντα ἀποδώσω σοι ⸎ ὁ δὲ οὐκ ἤθελεν ἀλλὰ ἀπελθὼν ἔβα-
31 λεν αὐτὸν εἰς φυλακὴν ἕως ὀῦ ἀποδῷ τὸ ὀφειλόμενον ⸎ ἰδόντες
δὲ᾽ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα ἐλυπήθησαν σφόδρα καὶ
32 ἐλθόντες διεσάφησαν τῷ κυρίῳ ἀὐτῶν πάντα τὰ γενόμενα ⸎ τότε
προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ λέγει αὐτῷ δοῦλε πο-
νηρὲ πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι ἐπεὶ παρεκάλεσάς
33 με ⸎ οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου ὡς καὶ᾽ ἐγώ σε
34 ἠλέησα ⸎ καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς
35 βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐῦτῷ ⸎ οὕτως
καὶ ὁ πατήρ μου ὁ ἐῆουράνιος ποιήσει ὑμῖν ἐὰν μὴ ἀφῆτε ἕκα-
στος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ᾽ παραπτώματα
αὐτῶν ⸎

19 καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς τοὺς λόγους τούτους με-
τῆρεν ἀπὸ τῆς γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς ἰουδαίας
2 πέραν τοῦ ἰορδάνου ⸎ καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ καὶ
3 ἐθεράπευσεν αὐτοὺς ἐκεῖ ⸎ καὶ προσῆλθον αὐτῷ οἱ φαρισαῖοι
πειράζοντες αὐτὸν καὶ λέγοντες αὐῦτῷ εἰ ἔξεστιν ἀνθρώπῳ ἀπο-
4 λῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν ⸎ ὁ δὲ ἀποκριθεὶς
εἶπεν αὐῦτοῖς οὐκ ἀνέγνωτε ὅτι ὁ ῆοιήσας ἀπ᾽ ἀρχῆς ἄρσεν καὶ
5 θῆλυ ἐποίησεν αὐτούς ⸎ καὶ εἶπεν ἕνεκἐν τούτου καταλείψει ἄν-
θρωπος τὸν πατέρα καὶ τὴν μητέρα καὶ προσκ̔ολληθήσεται τῇ
6 γυναικὶ αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν ⸎ ὥστε οὐκέτι
εἰσὶν δύο ἀλλὰ σὰρξ μία ὃ οὖν ὁ θεὸς συνέζευξεν ἄνθρωπος
7 μὴ χωριζέτω ⸎ λέγουσιν αὐτῷ τί οὖν μωσῆς ἐνετείλατο δοῦναι βι-
8 βλίον ἀποστασίου καὶ ἀπολῦσαι αὐτήν ⸎ λέγει αὐτοῖς ὅτι μωσῆς
πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς
9 γυναῖκας ὑμῶν ἀπ᾽ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως ⸎ λέγω δὲ ὑμῖν

---

v.26 𝕋*: κυριε, 𝕍: ∅. **v.26** 𝕋*: σοι αποδωσω, 𝕍: αποδωσω σοι. **v.28** 𝕋 𝕂: μοι ο, 𝕄: μοι ει, 𝕍: ει. **v.29** 𝕋*: εἰς τοὺς πόδας αὐτοῦ, 𝕍: ∅. **v.29** 𝕋 𝕂: παντα, 𝕄 𝕍: ∅. **v.30** 𝕋 𝕄 𝕍: αλλα, 𝕂: αλλ. **v.30** 𝕋*: ου, 𝕍: ∅. **v.31** 𝕋*: δε, 𝕍: ουν. **v.31** 𝕋 𝕂: αυτων, 𝕄 𝕍: εαυτων. **v.33** 𝕋*: και εγω, 𝕍: καγω. **v.34** 𝕋*: αυτω, 𝕍: ∅. **v.35** 𝕋*: επουρανιος, 𝕍: ουρανιος. **v.35** 𝕋*: τα παραπτωματα αυτων, 𝕍: ∅. **19.v.3** 𝕋*: οι, 𝕍: ∅. **v.3** 𝕋*: αυτω, 𝕍: ∅. **v.4** 𝕋*: αὐτοῖς, 𝕍 ℕ: ∅. **v.4** 𝕋*: ποιήσας, 𝕍 ℕ: κτίσας. **v.5** 𝕋*: ενεκεν, 𝕍: ενεκα. **v.5** 𝕋*: προσκολληθησεται, 𝕍: κολληθησεται. **v.7** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.8** 𝕋*: μωσης, 𝕍: μωυσης.

ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ εἰ μὴ ἐπὶ πορνείᾳ καὶ
γαμήσῃ ἄλλην μοιχᾶται καὶ˚ ὁ ἀπολελυμένην γαμήσας μοι-
χᾶται ⸰ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ εἰ οὕτως ἐστὶν ἡ αἰτία 10
τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς οὐ συμφέρει γαμῆσαι ⸰ ὁ δὲ 11
εἶπεν αὐτοῖς οὐ πάντες χωροῦσιν τὸν λόγον τοῦτον ἀλλ᾽ οἷς δέ-
δοται ⸰ εἰσὶν γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθη- 12
σαν οὕτως καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν
ἀνθρώπων καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ
τὴν βασιλείαν τῶν οὐρανῶν ὁ δυνάμενος χωρεῖν χωρείτω ⸰ τότε 13
προσηνέχθη αὐτῷ παιδία ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς καὶ προ-
σεύξηται οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς ⸰ ὁ δὲ ἰησοῦς εἶπεν 14
ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με τῶν γὰρ
τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ⸰ καὶ ἐπιθεὶς αὐτοῖς˚ τὰς 15
χεῖρας ἐπορεύθη ἐκεῖθεν ⸰ καὶ ἰδοὺ εἷς προσελθὼν εἶπεν˚ αὐτῷ 16
διδάσκαλε ἀγαθὲ τί ἀγαθὸν ποιήσω ἵνα ἔχω ζωὴν αἰώνιον ⸰ ὁ δὲ 17
εἶπεν αὐτῷ τί με λέγεις˚ ἀγαθὸν οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός
εἰ δὲ θέλεις εἰσελθεῖν˚ εἰς τὴν ζωὴν τήρησον τὰς ἐντολάς ⸰ λέγει 18
αὐτῷ ποίας ὁ δὲ ἰησοῦς εἶπεν τὸ οὐ φονεύσεις οὐ μοιχεύσεις οὐ
κλέψεις οὐ ψευδομαρτυρήσεις ⸰ τίμα τὸν πατέρα σοῦ καὶ τὴν 19
μητέρα καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν ⸰ λέγει αὐτῷ 20
ὁ νεανίσκος πάντα ταῦτα ἐφυλαξάμην˚ ἐκ νεότητός μου τί ἔτι
ὑστερῶ ⸰ ἔφη αὐτῷ ὁ ἰησοῦς εἰ θέλεις τέλειος εἶναι ὕπαγε πώ- 21
λησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ ἕξεις θησαυρὸν
ἐν οὐρανῷ˚ καὶ δεῦρο ἀκολούθει μοι ⸰ ἀκούσας δὲ ὁ νεανίσκος 22
τὸν λόγον ἀπῆλθεν λυπούμενος ἦν γὰρ ἔχων κτήματα πολλά ⸰
ὁ δὲ ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ἀμὴν λέγω ὑμῖν ὅτι δυ- 23
σκόλως˚ πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ⸰
πάλιν δὲ λέγω ὑμῖν εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρυπήμα- 24
τος ῥαφίδος διελθεῖν ἢ πλούσιον εἰς˚ τὴν βασιλείαν τοῦ θεοῦ
εἰσελθεῖν ⸰ ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἐξεπλήσσοντο σφό- 25
δρα λέγοντες τίς ἄρα δύναται σωθῆναι ⸰ ἐμβλέψας δὲ ὁ ἰησοῦς 26
εἶπεν αὐτοῖς παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστιν παρὰ δὲ
θεῷ πάντα δυνατά ἐστιν ⸰ τότε ἀποκριθεὶς ὁ πέτρος εἶπεν αὐτῷ 27

---

v.9 𝕋 𝕂: εἰ, 𝕄 𝕍 ℕ: ∅. **v.9** 𝕋*: και . . . ⸰, 𝕍 ℕ: ∅. **v.13** 𝕋*: προσηνεχθη, 𝕍: προσηνεχθησαν. **v.15** 𝕋*: αυτοις τας χειρας, 𝕍: τας χειρας αυτοις. **v.16** 𝕋*: ειπεν αυτω, 𝕍: αυτω ειπεν. **v.16** 𝕋*: αγαθε, 𝕍: ∅. **v.16** 𝕋*: εχω, 𝕍: σχω. **v.17** 𝕋*: λεγεις αγαθον ουδεις αγαθος ει μη εις ο θεος, 𝕍: ερωτας περι του αγαθου εις εστιν ο αγαθος. **v.17** 𝕋*: εισελθειν εις την ζωην, 𝕍: εις την ζωην εισελθειν. **v.19** 𝕋 𝕂: σου, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: εφυλαξαμην εκ νεοτητος μου, 𝕍: εφυλαξα. **v.21** 𝕋*: πτωχοις, 𝕍: [τοις] πτωχοις. **v.21** 𝕋*: ουρανω, 𝕍: ουρανοις. **v.23** 𝕋*: δυσκολως πλουσιος, 𝕍: πλουσιος δυσκολως. **v.24** 𝕋*: εις την βασιλειαν του θεου εισελθειν, 𝕍: εισελθειν εις την βασιλειαν του θεου. **v.25** 𝕋*: αυτου, 𝕍: ∅. **v.26** 𝕋 𝕂: εστιν, 𝕄 𝕍: ∅.

ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι τί ἄρα ἔ-
28 σται ἡμῖν ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς
οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ ὅταν καθίσῃ ὁ υἱὸς
τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ καθίσεσθε καὶ ὑμεῖς ἐ-
πὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ ἰσραήλ ⸰
29 καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα
ἢ μητέρα ἢ˚ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός
μου ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομή-
30 σει ⸰ πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι ⸰

20 ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδε-
σπότῃ ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν
2 ἀμπελῶνα αὐτοῦ ⸰ συμφωνήσας˚ δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηνα-
ρίου τὴν ἡμέραν ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ ⸰
3 καὶ ἐξελθὼν περὶ τὴν˙ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ
4 ἀγορᾷ ἀργούς ⸰ κἀκείνοις εἶπεν ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμ-
5 πελῶνα καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν οἱ δὲ ἀπῆλθον ⸰ πάλιν˙
6 ἐξελθὼν περὶ ἕκτην καὶ ἐνν˙άτην ὥραν ἐποίησεν ὡσαύτως ⸰ περὶ
δὲ τὴν ἑνδεκάτην ὥρ˙αν ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργ˙οὺς
7 καὶ λέγει αὐτοῖς τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί ⸰ λέ-
γουσιν αὐτῷ ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο λέγει αὐτοῖς ὑπάγετε
8 καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα καὶ˚ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε ⸰ ὀ-
ψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ
αὐτοῦ κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν ἀρ-
9 ξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων ⸰ καὶ ἐλθόντες οἱ περὶ
10 τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον ⸰ ἐλθόντες˚ δὲ οἱ πρῶ-
τοι ἐνόμισαν ὅτι πλείονα˚ λήψονται καὶ ἔλαβον καὶ˚ αὐτοὶ ἀνὰ
11, 12 δηνάριον ⸰ λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου ⸰ λέ-
γοντες ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν καὶ ἴσους ἡμῖν
αὐτοὺς ἐποίησας τοῖς βαστάσασιν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν
13 καύσωνα ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν˚ ἑνὶ αὐτῶν ἑταῖρε οὐκ ἀδικῶ
14 σε οὐχὶ δηναρίου συνεφώνησάς μοι ⸰ ἆρον τὸ σὸν καὶ ὕπαγε
15 θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί ⸰ ἢ οὐκ ἔξεστίν μοι
ποιῆσαι˚ ὃ θέλω ἐν τοῖς ἐμοῖς εἰ ὁ ὀφθαλμός σου πονηρός ἐ-

---

v.28 𝕋*: καθισεσθε, 𝕍: καθησεσθε. **v.29** 𝕋*: ος, 𝕍: οστις. **v.29** 𝕋*: η γυναικα, 𝕍: ∅. **v.29** 𝔼: εκατονταπλασιονα, 𝔹: πολλαπλασιονα. **v.29** 𝕋*: ληψεται, 𝕍: λημψεται. **20.v.2** 𝕋 𝕂 𝕍: συμφωνησας δε, 𝕄: και συμφωνησας. **v.3** 𝕋 𝕂: την, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂: κακεινοις, 𝕄 𝕍: και εκεινοις. **v.5** 𝕋*: παλιν, 𝕍: παλιν [δε]. **v.5** 𝕋 𝕂: εννατην, 𝕄 𝕍: ενατην. **v.6** 𝕋*: ωραν, 𝕍: ∅. **v.6** 𝕋*: αργους, 𝕍: ∅. **v.7** 𝕋*: καὶ . . . ⸰, 𝕍 ℕ: ∅. **v.10** 𝕋*: ελθοντες δε, 𝕍: και ελθοντες. **v.10** 𝕋*: πλειονα ληψονται, 𝕍: πλειον λημψονται. **v.10** 𝕋*: και αυτοι ανα δηναριον, 𝕍: [το] ανα δηναριον και αυτοι. **v.12** 𝕋*: οτι, 𝕍: ∅. **v.13** 𝕋*: ειπεν ενι αυτων, 𝕍: ενι αυτων ειπεν. **v.15** 𝕋*: ποιησαι ο θελω, 𝕍: ο θελω ποιησαι. **v.15** 𝕋*: ει, 𝕍: η.

στιν ὅτι ἐγὼ ἀγαθός εἰμι ⸓ οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ 16
οἱ πρῶτοι ἔσχατοι πολλοὶ γάρ εἰσιν κλητοὶ ὀλίγοι δὲ ἐκλεκτοί ⸓
καὶ ἀναβαίνων ὁ ἰησοῦς εἰς ἱεροσόλυμα παρέλαβεν τοὺς δώδεκα 17
μαθητὰς κατ᾽ ἰδίαν ἐν᾽ τῇ ὁδῷ καὶ εἶπεν αὐτοῖς ⸓ ἰδοὺ ἀναβαίνο- 18
μεν εἰς ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται
τοῖς ἀρχιερεῦσιν καὶ γραμματεῦσιν καὶ κατακρινοῦσιν αὐτὸν
θανάτῳ ⸓ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι 19
καὶ μαστιγῶσαι καὶ σταυρῶσαι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται ⸓
τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν ζεβεδαίου μετὰ τῶν υἱῶν 20
αὐτῆς προσκυνοῦσα καὶ αἰτοῦσά τι πάρ᾽ αὐτοῦ ⸓ ὁ δὲ εἶπεν αὐτῇ 21
τί θέλεις λέγει αὐτῷ εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου εἷς
ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων᾽ ἐν τῇ βασιλείᾳ σου ⸓ ἀποκρι- 22
θεὶς δὲ ὁ ἰησοῦς εἶπεν οὐκ οἴδατε τί αἰτεῖσθε δύνασθε πιεῖν τὸ
ποτήριον ὃ ἐγὼ μέλλω πίνειν κἀὶ τὸ᾽ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι
βαπτισθῆναι λέγουσιν αὐτῷ δυνάμεθα ⸓ κἀὶ λέγει αὐτοῖς τὸ μὲν 23
ποτήριόν μου πίεσθε καὶ᾽ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτι-
σθήσεσθε τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου οὐκ
ἔστιν ἐμὸν δοῦναι ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου ⸓ καὶ 24
ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν ⸓ ὁ δὲ 25
ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν οἴδατε ὅτι οἱ ἄρχοντες
τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι κατεξουσιά-
ζουσιν αὐτῶν ⸓ οὐχ οὕτως δὲ᾽ ἔσται ἐν ὑμῖν ἀλλ᾽ ὃς ἐὰν θέλῃ ἐν 26
ὑμῖν μέγας γενέσθαι ἔστω ὑμῶν διάκονος ⸓ καὶ ὃς ἐὰν᾽ θέλῃ ἐν 27
ὑμῖν εἶναι πρῶτος ἔστω ὑμῶν δοῦλος ⸓ ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώ- 28
που οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν
ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν ⸓ καὶ ἐκπορευομένων αὐτῶν 29
ἀπὸ ἰεριχὼ ἠκολούθησεν αὐτῷ ὄχλος πολύς ⸓ καὶ ἰδοὺ δύο τυ- 30
φλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν ἀκούσαντες ὅτι ἰησοῦς παράγει
ἔκραξαν λέγοντες ἐλέησον ἡμᾶς κύριε υἱὸς δαβίδ ⸓ ὁ δὲ ὄχλος ἐ- 31
πετίμησεν αὐτοῖς ἵνα σιωπήσωσιν οἱ δὲ μεῖζον ἔκραζὸν λέγοντες
ἐλέησον ἡμᾶς κύριε υἱὸς δαβίδ ⸓ καὶ στὰς ὁ ἰησοῦς ἐφώνησεν 32
αὐτοὺς καὶ εἶπεν τί θέλετε ποιήσω ὑμῖν ⸓ λέγουσιν αὐτῷ κύριε 33
ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί ⸓ σπλαγχνισθεὶς δὲ ὁ ἰησοῦς 34

---

v.16 𝕋*: πολλοὶ . . . ⸓, 𝕍 ℕ: ∅. **v.17** 𝕋*: εν τη οδω και, 𝕍: και εν τη οδω. **v.19** 𝕋*: αναστησεται, 𝕍: εγερθησεται. **v.20** 𝕋*: παρ, 𝕍: απ. **v.21** 𝕋 𝕂: ευωνυμων, 𝕄 𝕍: ευωνυμων σου. **v.22** 𝕋 𝕂: καὶ, 𝕄: ἢ, 𝕍 ℕ: ∅. **v.22** 𝕋*: τὸ . . . βαπτισθῆναι, 𝕍 ℕ: ∅. **v.23** 𝕋*: καὶ, 𝕍 ℕ: ∅. **v.23** 𝕋*: καὶ . . . βαπτισθήσεσθε, 𝕍 ℕ: ∅. **v.23** 𝕋*: μου, 𝕍: ∅. **v.23** 𝕋*: δουναι, 𝕍: [τουτο] δουναι. **v.26** 𝕋*: δε, 𝕍: ∅. **v.26** 𝕋 𝕂: εστω, 𝕄 𝕍: εσται. **v.27** 𝕋*: εαν, 𝕍: αν. **v.27** 𝕋*: εστω, 𝕍: εσται. **v.30** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.31** 𝕋*: εκραζον, 𝕍: εκραξαν. **v.31** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.33** 𝕋*: ανοιχθωσιν ημων οι οφθαλμοι, 𝕍: ανοιγωσιν οι οφθαλμοι ημων.

ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν˚ οἱ ὀφθαλμοὶ καὶ ἠκολούθησαν αὐτῷ ⸰

21 καὶ ὅτε ἤγγισαν εἰς ἱεροσόλυμα καὶ ἦλθον εἰς βηθφαγῆ πρὸς
2 τὸ ὄρος τῶν ἐλαιῶν τότε ὁ˚ ἰησοῦς ἀπέστειλεν δύο μαθητάς ⸰ λέ-
γων αὐτοῖς πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν καὶ εὐ-
θέως εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον μετ᾽ αὐτῆς λύσαντες
3 ἀγάγετέ μοι ⸰ καὶ ἐάν τις ὑμῖν εἴπῃ τι ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν
4 χρείαν ἔχει εὐθέως δὲ ἀποστελεῖ αὐτούς ⸰ τοῦτο δὲ ὅλον γέγονεν
5 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος ⸰ εἴπατε τῇ
θυγατρὶ σιὼν ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς καὶ ἐπι-
6 βεβηκὼς ἐπὶ ὄνον κἀὶ πῶλον υἱὸν ὑποζυγίου ⸰ πορευθέντες δὲ
οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ ἰησοῦς ⸰
7 ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ
8 ἱμάτια αὐτῶν καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν ⸰ ὁ δὲ πλεῖστος ὄχλος
ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ ἄλλοι δὲ ἔκοπτον κλάδους
9 ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ ⸰ οἱ δὲ ὄχλοι οἱ προ-
άγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες ὡσαννὰ τῷ υἱῷ
δαβὶδ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου ὡσαννὰ ἐν
10 τοῖς ὑψίστοις ⸰ καὶ εἰσελθόντος αὐτοῦ εἰς ἱεροσόλυμα ἐσείσθη
11 πᾶσα ἡ πόλις λέγουσα τίς ἐστιν οὗτος ⸰ οἱ δὲ ὄχλοι ἔλεγον οὗ-
12 τός ἐστιν ἰησοῦς˚ ὁ προφήτης ὁ ἀπὸ ναζαρὲτ τῆς γαλιλαίας ⸰ καὶ
εἰσῆλθεν ὁ˚ ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ˚ θεοῦ καὶ ἐξέβαλεν πάντας
τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ καὶ τὰς τραπέζας
τῶν κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν πωλούντων
13 τὰς περιστεράς ⸰ καὶ λέγει αὐτοῖς γέγραπται ὁ οἶκός μου οἶκος
προσευχῆς κληθήσεται ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃ-
14 στῶν ⸰ καὶ προσῆλθον αὐτῷ τυφλοὶ˚ καὶ χωλοὶ ἐν τῷ ἱερῷ καὶ
15 ἐθεράπευσεν αὐτούς ⸰ ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
τὰ θαυμάσια ἃ ἐποίησεν καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱε-
16 ρῷ καὶ λέγοντας ὡσαννὰ τῷ υἱῷ δαβὶδ ἠγανάκτησαν ⸰ καὶ εἶπόν
αὐτῷ ἀκούεις τί οὗτοι λέγουσιν ὁ δὲ ἰησοῦς λέγει αὐτοῖς ναὶ
οὐδέποτε ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κα-

---

v.34 𝕋*: οφθαλμων, 𝕍: ομματων. **v.34** 𝕋*: αυτων οι οφθαλμοι, 𝕍: ∅. **21.v.1** 𝕋 𝕂 𝕍: βηθφαγη, 𝕄: βηθσφαγη. **v.1** 𝕋*: προς, 𝕍: εις. **v.1** 𝕋*: ο, 𝕍: ∅. **v.2** 𝕋*: πορευθητε, 𝕍: πορευεσθε. **v.2** 𝕋*: απεναντι, 𝕍: κατεναντι. **v.3** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.3** 𝕋 𝕂 𝕍: ἀποστελεῖ, 𝕄: ἀποστέλλει. **v.4** 𝕋*: ολον, 𝕍: ∅. **v.5** 𝕋*: και, 𝕍: και επι. **v.6** 𝕋*: προσεταξεν, 𝕍: συνεταξεν. **v.7** 𝕋*: ἐπάνω, 𝕍 ℕ: ἐπ᾽. **v.7** 𝕋*: αὐτῶν, 𝕍 ℕ: ∅. **v.7** 𝕋 𝕄 𝕍: επεκαθισεν, 𝕂: επεκαθισαν. **v.9** 𝕋*: προαγοντες, 𝕍: προαγοντες αυτον. **v.9** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.11** 𝕋*: ιησους ο προφητης, 𝕍: ο προφητης ιησους. **v.11** 𝕋 𝕄: ναζαρετ, 𝕂 𝕍: ναζαρεθ. **v.12** 𝕋*: ο, 𝕍: ∅. **v.12** 𝕋*: του θεου, 𝕍: ∅. **v.13** 𝕋*: εποιησατε, 𝕍: ποιειτε. **v.14** 𝕋 𝕂 𝕍: τυφλοι και χωλοι, 𝕄: χωλοι και τυφλοι. **v.15** 𝕋*: κραζοντας, 𝕍: τους κραζοντας. **v.15** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.16** 𝕋*: εἶπον, 𝕍: εἶπαν.

τηρτίσω αἶνον ⸰ καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως 17
εἰς βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ ⸰ πρωΐας δὲ ἐπανάγων εἰς τὴν 18
πόλιν ἐπείνασεν ⸰ καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ᾽ 19
αὐτὴν καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον καὶ λέγει
αὐτῇ μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα καὶ ἐξηράνθη
παραχρῆμα ἡ συκῆ ⸰ καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν λέγον- 20
τες πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ ⸰ ἀποκριθεὶς δὲ ὁ ἰησοῦς 21
εἶπεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε
οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε
ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν γενήσεται ⸰ καὶ πάντα ὅσα 22
ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες λήψεσθε ⸰ καὶ ἐλθόντι˚ 23
αὐτῷ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ
οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς
καὶ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην ⸰ ἀποκριθεὶς δὲ ὁ ἰη- 24
σοῦς εἶπεν αὐτοῖς ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα ὃν ἐὰν εἴπητέ
μοι κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ ⸰ τὸ βάπτισμα 25
ἰωάννου πόθεν ἦν ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων οἱ δὲ διελογίζοντο
πὰρ᾽ ἑαυτοῖς λέγοντες ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ ἐρεῖ ἡμῖν διατὶ
οὖν οὐκ ἐπιστεύσατε αὐτῷ ⸰ ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων φο- 26
βούμεθα τὸν ὄχλον πάντες γὰρ ἔχουσιν˚ τὸν ἰωάννην ὡς προφήτην ⸰ καὶ ἀποκριθέντες τῷ ἰησοῦ εἶπὸν οὐκ οἴδαμεν ἔφη αὐτοῖς 27
καὶ αὐτὸς οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ ⸰
τί δὲ ὑμῖν δοκεῖ ἄνθρωπος εἶχεν τέκνα δύο καὶ προσελθὼν τῷ 28
πρώτῳ εἶπεν τέκνον ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί
μὀυ ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν οὐ θέλω ὕστερον δὲ μεταμεληθεὶς 29
ἀπῆλθεν ⸰ καὶ˚ προσελθὼν τῷ δεὐτέρῳ εἶπεν ὡσαύτως ὁ δὲ ἀ- 30
ποκριθεὶς εἶπεν ἐγὼ κύριε καὶ οὐκ ἀπῆλθεν ⸰ τίς ἐκ τῶν δύο 31
ἐποίησεν τὸ θέλημα τοῦ πατρὸς λέγουσιν αὐτῷ ὁ πρῶτος λέγει
αὐτοῖς ὁ ἰησοῦς ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι
προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ ⸰ ἦλθεν γὰρ πρὸς˚ 32
ὑμᾶς ἰωάννης ἐν ὁδῷ δικαιοσύνης καὶ οὐκ ἐπιστεύσατε αὐτῷ
οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ ὑμεῖς δὲ ἰδόντες
ὀὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ ⸰ ἄλλην παραβο- 33
λὴν ἀκούσατε ἄνθρωπός ῆις ἦν οἰκοδεσπότης ὅστις ἐφύτευσεν

---

v.18 𝕋*: πρωιας, 𝕍: πρωι. **v.22** 𝕋 𝕂 𝕍: αν, 𝕄: εαν. **v.22** 𝕋*: ληψεσθε, 𝕍: λημψεσθε. **v.23** 𝕋*: ελθοντι αυτω, 𝕍: ελθοντος αυτου. **v.25** 𝕋*: ιωαννου, 𝕍: το ιωαννου. **v.25** 𝕋*: παρ, 𝕍: εν. **v.25** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.26** 𝕋*: εχουσιν τον ιωαννην ως προφητην, 𝕍: ως προφητην εχουσιν τον ιωαννην. **v.27** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.28** 𝕋*: μου, 𝕍: ∅. **v.30** 𝕋*: και προσελθων, 𝕍: προσελθων δε. **v.30** 𝕋 𝕂: δευτερω, 𝕄 𝕍: ετερω. **v.31** 𝕋*: αυτω, 𝕍: ∅. **v.32** 𝕋*: προς υμας ιωαννης, 𝕍: ιωαννης προς υμας. **v.32** 𝕋*: ου, 𝕍: ουδε. **v.33** 𝕋*: τις, 𝕍: ∅.

ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκεν καὶ ὤρυξεν ἐν αὐτῷ
ληνὸν καὶ ᾠκοδόμησεν πύργον καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ
34 ἀπεδήμησεν ◦ ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν ἀπέστειλεν
τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς
35 αὐτοῦ ◦ καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν
36 ἔδειραν ὃν δὲ ἀπέκτειναν ὃν δὲ ἐλιθοβόλησαν ◦ πάλιν ἀπέστει-
λεν ἄλλους δούλους πλείονας τῶν πρώτων καὶ ἐποίησαν αὐτοῖς
37 ὡσαύτως ◦ ὕστερον δὲ ἀπέστειλεν πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ
38 λέγων ἐντραπήσονται τὸν υἱόν μου ◦ οἱ δὲ γεωργοὶ ἰδόντες τὸν
υἱὸν εἶπον ἐν ἑαυτοῖς οὗτός ἐστιν ὁ κληρονόμος δεῦτε ἀπο-
39 κτείνωμεν αὐτὸν καὶ καθάσχωμεν τὴν κληρονομίαν αὐτοῦ ◦ καὶ
λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν ◦
40 ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος τί ποιήσει τοῖς γεωρ-
41 γοῖς ἐκείνοις ◦ λέγουσιν αὐτῷ κακοὺς κακῶς ἀπολέσει αὐτοὺς
καὶ τὸν ἀμπελῶνα ἐκδόσεται ἄλλοις γεωργοῖς οἵτινες ἀποδώ-
42 σουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν ◦ λέγει αὐτοῖς
ὁ ἰησοῦς οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς λίθον ὃν ἀπεδο-
κίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας
παρὰ κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς
43 ἡμῶν ◦ διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία
τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς ◦
44 καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται ἐφ᾽ ὃν δ᾽ ἂν
45 πέσῃ λικμήσει αὐτόν ◦ καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ φαρι-
46 σαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει ◦ καὶ
ζητοῦντες αὐτὸν κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους ἐπειδὴ ὡς
προφήτην αὐτὸν εἶχον ◦

22 καὶ ἀποκριθεὶς ὁ ἰησοῦς πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς
2 λέγων ◦ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ ὅ-
3 στις ἐποίησεν γάμους τῷ υἱῷ αὐτοῦ ◦ καὶ ἀπέστειλεν τοὺς δού-
λους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους καὶ οὐκ
4 ἤθελον ἐλθεῖν ◦ πάλιν ἀπέστειλεν ἄλλους δούλους λέγων εἴπατε
τοῖς κεκλημένοις ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμαδα οἱ ταῦροί μου
καὶ τὰ σιτιστὰ τεθυμένα καὶ πάντα ἕτοιμα δεῦτε εἰς τοὺς γά-
5 μους ◦ οἱ δὲ ἀμελήσαντες ἀπῆλθον ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν ὁ
6 δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ ◦ οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δού-

---

v.33 $\mathbb{T}^*$: εξεδοτο, $\mathbb{V}$: εξεδετο. **v.38** $\mathbb{T}^*$ C W 0102 f^{13} $\mathfrak{M}$ $sy^{p,h}$: κατάσχωμεν, $\mathbb{V}$ $\mathbb{N}$ ℵ B D L Z Θ f^1 33 *pc* $sy^{s,c}$: σχῶμεν. **v.41** $\mathbb{T}$ $\mathbb{K}$: εκδοσεται, $\mathbb{M}$ $\mathbb{V}$: εκδωσεται. **v.46** $\mathbb{T}^*$: επειδη ως, $\mathbb{V}$: επει εις. **22.v.1** $\mathbb{T}^*$: αυτοις εν παραβολαις, $\mathbb{V}$: εν παραβολαις αυτοις. **v.4** $\mathbb{T}^*$: ητοιμασα, $\mathbb{V}$: ητοιμακα. **v.5** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ος. **v.5** $\mathbb{T}^*$: ο δε εις, $\mathbb{V}$: ος δε επι.

λους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν ⸓ ἀκούσας˚ δὲ ὁ βασιλεὺς 7
ὠργίσθη καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσεν τοὺς φο-
νεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν ⸓ τότε λέγει τοῖς 8
δούλοις αὐτοῦ ὁ μὲν γάμος ἕτοιμός ἐστιν οἱ δὲ κεκλημένοι οὐκ
ἦσαν ἄξιοι ⸓ πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν καὶ ὅ- 9
σους ἂν εὕρητε καλέσατε εἰς τοὺς γάμους ⸓ καὶ ἐξελθόντες οἱ 10
δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς συνήγαγον πάντας ὅσους εὗρον
πονηρούς τε καὶ ἀγαθοὺς καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων ⸓
εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους εἶδεν ἐ- 11
κεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου ⸓ καὶ λέγει αὐτῷ 12
ἑταῖρε πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου ὁ δὲ ἐφιμώθη ⸓
τότε εἶπεν˚ ὁ βασιλεὺς τοῖς διακόνοις δήσαντες αὐτοῦ πόδας 13
καὶ χεῖρας ἄρατε˚ αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτε-
ρον ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ⸓ πολλοὶ 14
γάρ εἰσιν κλητοὶ ὀλίγοι δὲ ἐκλεκτοί ⸓ τότε πορευθέντες οἱ φαρι- 15
σαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ ⸓
καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν ἡρω- 16
διανῶν λέγοντες διδάσκαλε οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν
τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις καὶ οὐ μέλει σοι περὶ οὐδενὸς
οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων ⸓ εἰπὲ οὖν ἡμῖν τί σοι 17
δοκεῖ ἔξεστιν δοῦναι κῆνσον καίσαρι ἢ οὔ ⸓ γνοὺς δὲ ὁ ἰησοῦς 18
τὴν πονηρίαν αὐτῶν εἶπεν τί με πειράζετε ὑποκριταί ⸓ ἐπιδείξατέ 19
μοι τὸ νόμισμα τοῦ κήνσου οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον ⸓
καὶ λέγει αὐτοῖς τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή ⸓ λέγου- 20, 21
σιν αὐτῷ καίσαρος τότε λέγει αὐτοῖς ἀπόδοτε οὖν τὰ καίσαρος
καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ ⸓ καὶ ἀκούσαντες ἐθαύμασαν 22
καὶ ἀφέντες αὐτὸν ἀπῆλθόν ⸓ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον 23
αὐτῷ σαδδουκαῖοι οἳ λέγοντες μὴ εἶναι ἀνάστασιν καὶ ἐπηρώ-
τησαν αὐτόν ⸓ λέγοντες διδάσκαλε μωσῆς εἶπεν ἐάν τις ἀποθάνῃ 24
μὴ ἔχων τέκνα ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα
αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ ⸓ ἦσαν δὲ παρ᾽ 25
ἡμῖν ἑπτὰ ἀδελφοὶ καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησεν καὶ μὴ
ἔχων σπέρμα ἀφῆκεν τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ ⸓ ὁ- 26
μοίως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος ἕως τῶν ἑπτά ⸓ ὕστερον δὲ 27
πάντων ἀπέθανεν κἀι ἡ γυνή ⸓ ἐν τῇ οὖν˚ ἀναστάσει τίνος τῶν 28

---

v.7 𝕋 𝕂: ακουσας δε ο βασιλευς, 𝕄: και ακουσας ο βασιλευς εκεινος, 𝕍: ο δε βασιλευς. **v.9** 𝕋*: αν, 𝕍: εαν. **v.10** 𝕋*: οσους, 𝕍: ους. **v.13** 𝕋*: ειπεν ο βασιλευς, 𝕍: ο βασιλευς ειπεν. **v.13** 𝕋*: αρατε αυτον και εκβαλετε, 𝕍: εκβαλετε αυτον. **v.22** 𝕋*: απηλθον, 𝕍: απηλθαν. **v.23** 𝕋*: οι, 𝕍: ∅. **v.24** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.25** 𝕋*: γαμησας, 𝕍: γημας. **v.27** 𝕋*: και, 𝕍: ∅. **v.28** 𝕋*: ουν αναστασει, 𝕍: αναστασει ουν.

29 ἑπτὰ ἔσται γυνὴ πάντες γὰρ ἔσχον αὐτήν ◦ ἀποκριθεὶς δὲ ὁ ἰη-
σοῦς εἶπεν αὐτοῖς πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν
30 δύναμιν τοῦ θεοῦ ◦ ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε
31 ἐκγαμίζονται ἀλλ᾽ ὡς ἄγγελοι τοῦ˚ θεοῦ ἐν οὐρανῷ εἰσιν ◦ περὶ
δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ
32 τοῦ θεοῦ λέγοντος ◦ ἐγώ εἰμι ὁ θεὸς ἀβραὰμ καὶ ὁ θεὸς ἰσαὰκ
καὶ ὁ θεὸς ἰακὼβ οὐκ ἔστιν ὁ˚ θεὸς θεὸς νεκρῶν ἀλλὰ ζώντων ◦
33 καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ ◦
34 οἱ δὲ φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσεν τοὺς σαδδουκαίους
35 συνήχθησαν ἐπὶ τὸ αὐτό ◦ καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς
36 πειράζων αὐτὸν καὶ˚ λέγων ◦ διδάσκαλε ποία ἐντολὴ μεγάλη ἐν
37 τῷ νόμῳ ◦ ὁ δὲ ἰησοῦς˚ εἶπεν αὐτῷ ἀγαπήσεις κύριον τὸν θεόν
σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ
38, 39 διανοίᾳ σου ◦ αὕτη ἐστὶν πρώτη˚ καὶ μεγάλη ἐντολή ◦ δευτέρα δὲ
40 ὁμοία αὐτῇ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν ◦ ἐν ταύταις
ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ˚ οἱ προφῆται κρέμανται ◦
41 συνηγμένων δὲ τῶν φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ ἰησοῦς ◦
42 λέγων τί ὑμῖν δοκεῖ περὶ τοῦ χριστοῦ τίνος υἱός ἐστιν λέγουσιν
43 αὐτῷ τοῦ δαβίδ ◦ λέγει αὐτοῖς πῶς οὖν δαβὶδ ἐν πνεύματι κύ-
44 ριον˚ αὐτὸν καλεῖ λέγων ◦ εἶπεν ὁ˚ κύριος τῷ κυρίῳ μου κάθου
ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν πο-
45 δῶν σου ◦ εἰ οὖν δαβὶδ καλεῖ αὐτὸν κύριον πῶς υἱὸς αὐτοῦ ἐστιν ◦
46 καὶ οὐδεὶς ἐδύνατο αὐτῷ˚ ἀποκριθῆναι λόγον οὐδὲ ἐτόλμησέν
τις ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι ◦

23 τότε ὁ ἰησοῦς ἐλάλησεν τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ ◦
2 λέγων ἐπὶ τῆς μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ
3 φαρισαῖοι ◦ πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν˚ τηρεῖτε καὶ
ποιεῖτε κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε λέγουσιν γὰρ καὶ
4 οὐ ποιοῦσιν ◦ δεσμεύουσιν γὰρ φορτία βαρέα καὶ δυσβάστακτα
καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων τῷ˚ δὲ δακτύ-
5 λῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι αὐτά ◦ πάντα δὲ τὰ ἔργα αὐτῶν
ποιοῦσιν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις πλατύνουσιν δὲ˚ τὰ

---

v.30 𝕋*: εκγαμιζονται, 𝕍: γαμιζονται. **v.30** 𝕋*: του θεου εν, 𝕍: εν τω. **v.32** 𝕋*: ο θεος, 𝕍: [ο]. **v.35** 𝕋*: και λεγων, 𝕍: ∅. **v.37** 𝕋 𝕂: ιησους ειπεν, 𝕄: ιησους εφη, 𝕍: εφη. **v.37** 𝕋 𝕂 𝕍: τη, 𝕄: ∅. **v.38** 𝕋*: πρωτη και μεγαλη, 𝕍: η μεγαλη και πρωτη. **v.40** 𝕋*: και οι προφηται κρεμανται, 𝕍: κρεμαται και οι προφηται. **v.42** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.43** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.43** 𝕋*: κυριον αυτον καλει, 𝕍: καλει αυτον κυριον. **v.44** 𝕋*: ο, 𝕍: ∅. **v.44** 𝕋*: υποποδιον, 𝕍: υποκατω. **v.45** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.46** 𝕋*: αυτω αποκριθηναι, 𝕍: αποκριθηναι αυτω. **23.v.2** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.3** 𝕋 𝕂: αν, 𝕄 𝕍: εαν. **v.3** 𝕋*: τηρειν τηρειτε και ποιειτε, 𝕍: ποιησατε και τηρειτε. **v.4** 𝕋*: γαρ, 𝕍: δε. **v.4** 𝕋*: τω δε, 𝕍: αυτοι δε τω. **v.4** 𝕋: αὐτῶν, 𝕄 𝕂 𝕍 ℕ: αὐτῶν. **v.5** 𝕋*: δε, 𝕍: γαρ.

φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσιν τὰ κράσπεδα τῶν˚ ἱμα-
τίων αὐτῶν ◦ φιλοῦσίν τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ 6
τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς ◦ καὶ τοὺς ἀσπασμοὺς 7
ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ῥαββί ◦
ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββὶ εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς˚ 8
ὁ χριστὸς πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε ◦ καὶ πατέρα μὴ καλέ- 9
σητε ὑμῶν ἐπὶ τῆς γῆς εἷς γάρ ἐστιν ὁ˚ πατὴρ ὑμῶν ὁ ἐν τοῖς
οὐρανοῖς ◦ μηδὲ κληθῆτε καθηγηταὶ εἷς˚ γὰρ ὑμῶν ἐστιν ὁ καθη- 10
γητὴς ὁ χριστός ◦ ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος ◦ ὅστις 11, 12
δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται καὶ ὅστις ταπεινώσει ἑαυτὸν
ὑψωθήσεται ◦ οὐαὶ˚ δὲ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκρι- 13
ταὶ ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ
προσευχόμενοι διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα ◦ οὐαὶ 14
ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι κλείετε τὴν βασι-
λείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὑμεῖς γὰρ οὐκ εἰ-
σέρχεσθε οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν ◦ οὐαὶ ὑμῖν 15
γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι περιάγετε τὴν θάλασ-
σαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον καὶ ὅταν γένηται
ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν ◦ οὐαὶ ὑμῖν ὁδηγοὶ 16
τυφλοὶ οἱ λέγοντες ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ οὐδέν ἐστιν ὃς δ᾽ ἂν
ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ ὀφείλει ◦ μωροὶ καὶ τυφλοὶ τίς γὰρ 17
μείζων ἐστὶν ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν ◦ καὶ ὃς 18
ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ οὐδέν ἐστιν ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ
δώρῳ τῷ ἐπάνω αὐτοῦ ὀφείλει ◦ μωροὶ˚ καὶ τυφλοὶ τί γὰρ μεῖζον 19
τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον ◦ ὁ οὖν ὀμό- 20
σας ἐν τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσιν τοῖς ἐπάνω
αὐτοῦ ◦ καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κα- 21
τοικοῦντι αὐτόν ◦ καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ 22
τοῦ θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ ◦ οὐαὶ ὑμῖν γραμ- 23
ματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον
καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νό-
μου τὴν κρίσιν καὶ τὸν˚ ἔλεον καὶ τὴν πίστιν ταῦτά ἔδει ποιῆσαι
κἀκεῖνα μὴ ἀφιέναι ◦ ὁδηγοὶ τυφλοὶ οἱ διϋλίζοντες τὸν κώνωπα 24
τὴν δὲ κάμηλον καταπίνοντες ◦ οὐαὶ ὑμῖν γραμματεῖς καὶ φα- 25

v.5 $\mathbb{T}^*$: των ιματιων αυτων, $\mathbb{V}$: ∅. **v.6** $\mathbb{T}^*$: τε, $\mathbb{V}$: δε. **v.7** $\mathbb{T}^*$: ραββι, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}^*$: καθηγητης ο χριστος, $\mathbb{V}$: διδασκαλος. **v.9** $\mathbb{T}^*$: ο πατηρ υμων ο εν τοις ουρανοις, $\mathbb{V}$: υμων ο πατηρ ο ουρανιος. **v.10** $\mathbb{T}^*$: εις γαρ υμων εστιν ο καθηγητης, $\mathbb{V}$: οτι καθηγητης υμων εστιν εις. **v.13** $\mathbb{T}\,\mathbb{M}$: οὐαὶ δὲ ὑμῖν ... κρίμα, $\mathbb{K}$: οὐαὶ ὑμῖν ... κρίμα = v.14, $\mathbb{V}$: ∅. **v.14** $\mathbb{T}\,\mathbb{M}$: ουαι υμιν ... εισελθειν, $\mathbb{K}\,\mathbb{V}$: ουαι δε υμιν ... εισελθειν = v.13. **v.17** $\mathbb{T}^*$: αγιαζων, $\mathbb{V}$: αγιασας. **v.18** $\mathbb{T}^*$: εαν, $\mathbb{V}$: αν. **v.19** $\mathbb{T}^*$: μωροι και, $\mathbb{V}$: ∅. **v.21** $\mathbb{T}\,\mathbb{K}\,\mathbb{V}$: κατοικουντι, $\mathbb{M}$: κατοικησαντι. **v.23** $\mathbb{T}^*$: τον ελεον, $\mathbb{V}$: το ελεος. **v.23** $\mathbb{T}^*$: ταυτα, $\mathbb{V}$: ταυτα [δε].

ρισαῖοι ὑποκριταὶ ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ
τῆς παροψίδος ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας ⸰
26 φαρισαῖε τυφλὲ καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ˚
27 τῆς παροψίδος ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν ⸰ οὐαὶ
ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι παρομοιάζετε τά-
φοις κεκονιαμένοις οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι ἔσωθεν
28 δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας ⸰ οὕτως καὶ
ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι ἔσωθεν δὲ
29 μεστοί˚ ἐστε ὑποκρίσεως καὶ ἀνομίας ⸰ οὐαὶ ὑμῖν γραμματεῖς
καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προ-
30 φητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων ⸰ καὶ λέγετε εἰ ἦμεν
ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν οὐκ ἂν ἦμεν κοινωνοὶ˚ αὐ-
31 τῶν ἐν τῷ αἵματι τῶν προφητῶν ⸰ ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι
32 υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας ⸰ καὶ ὑμεῖς πληρώ-
33 σατε τὸ μέτρον τῶν πατέρων ὑμῶν ⸰ ὄφεις γεννήματα ἐχιδνῶν
34 πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης ⸰ διὰ τοῦτο ἰδοὺ ἐγὼ
ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς
κἀὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε καὶ ἐξ αὐτῶν μαστι-
γώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς
35 πόλιν ⸰ ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ
τῆς γῆς ἀπὸ τοῦ αἵματος ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος ζα-
χαρίου υἱοῦ βαραχίου ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ
36 θυσιαστηρίου ⸰ ἀμὴν λέγω ὑμῖν ἥξει˚ ταῦτα πάντα ἐπὶ τὴν γενεὰν
37 ταύτην ⸰ ἱερουσαλὴμ ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφή-
τας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν ποσάκις
ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει˚
ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας καὶ οὐκ ἠθελήσατε ⸰
38, 39 ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος ⸰ λέγω γὰρ ὑμῖν οὐ μή
με ἴδητε ἀπ᾽ ἄρτι ἕως ἂν εἴπητε εὐλογημένος ὁ ἐρχόμενος ἐν
ὀνόματι κυρίου ⸰

24 καὶ ἐξελθὼν ὁ ἰησοῦς ἐπορεύετο˚ ἀπὸ τοῦ ἱεροῦ καὶ προσῆλ-
θον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ ⸰
2 ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς οὐ βλέπετε πάντα˚ ταῦτα ἀμὴν λέγω ὑ-

---

v.25 𝕋 𝕂 𝕍: ακρασιας, 𝕄: αδικιας. **v.26** 𝕋*: και της παροψιδος, 𝕍: ∅. **v.26** 𝕋*: αυτων, 𝕍: αυτου. **v.28** 𝕋*: μεστοι εστε, 𝕍: εστε μεστοι. **v.30** 𝕋*: ημεν, 𝕍: ημεθα. **v.30** 𝕋*: κοινωνοι αυτων, 𝕍: αυτων κοινωνοι. **v.34** 𝕋*: και, 𝕍: ∅. **v.35** 𝕋*: εκχυνομενον, 𝕍: εκχυννομενον. **v.36** 𝕋 𝕂 𝕍: ηξει ταυτα παντα, 𝕄: οτι ηξει παντα ταυτα. **v.37** 𝕋* 𝕍: ἱερουσαλὴμ, ℕ: ἰερουσαλὴμ. **v.37** 𝕋 𝕂 𝕍 ℕ: ἀποκτείνουσα, 𝕄: ἀποκτένουσα. **v.37** 𝕋*: επισυναγει ορνις, 𝕍: ορνις επισυναγει. **v.37** 𝕋*: εαυτης, 𝕍: αυτης. **v.38** 𝕋* 𝕍 𝔓77vid ℵ C D W Θ 0102 f1,13 33 𝔐 lat syp.h comae,bo(pt): ἔρημος, ℕ B L syˢ coˢᵃ,bo(pt): ∅. **24.v.1** 𝕋*: επορευετο απο του ιερου, 𝕍: απο του ιερου επορευετο. **v.2** 𝕋*: ιησους, 𝕍: αποκριθεις. **v.2** 𝕋*: παντα ταυτα, 𝕍: ταυτα παντα.

μῖν οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ μὴ καταλυθήσεται ⸰
καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν προσῆλθον αὐτῷ 3
οἱ μαθηταὶ κατ᾽ ἰδίαν λέγοντες εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται καὶ
τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶ-
νος ⸰ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς βλέπετε μή τις ὑμᾶς 4
πλανήσῃ ⸰ πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες 5
ἐγώ εἰμι ὁ χριστὸς καὶ πολλοὺς πλανήσουσιν ⸰ μελλήσετε δὲ ἀ- 6
κούειν πολέμους καὶ ἀκοὰς πολέμων ὁρᾶτε μὴ θροεῖσθε δεῖ
γὰρ πάντα γενέσθαι ἀλλ᾽ οὔπω ἐστὶν τὸ τέλος ⸰ ἐγερθήσεται γὰρ 7
ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν καὶ ἔσονται λιμοὶ
καὶ˚ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους ⸰ πάντα δὲ ταῦτα ἀρχὴ ὠ- 8
δίνων ⸰ τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν 9
ὑμᾶς καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄ-
νομά μου ⸰ καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους 10
παραδώσουσιν καὶ˚ μισήσουσιν ἀλλήλους ⸰ καὶ πολλοὶ ψευδο- 11
προφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς ⸰ καὶ διὰ τὸ 12
πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν ⸰ ὁ δὲ 13
ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται ⸰ καὶ κηρυχθήσεται τοῦτο 14
τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύ-
ριον πᾶσιν τοῖς ἔθνεσιν καὶ τότε ἥξει τὸ τέλος ⸰ ὅταν οὖν ἴδητε τὸ 15
βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ δανιὴλ τοῦ προφήτου
ἑστὸς ἐν τόπῳ ἁγίῳ ὁ ἀναγινώσκων νοείτω ⸰ τότε οἱ ἐν τῇ ἰουδαίᾳ 16
φευγέτωσαν ἐπὶ τὰ ὄρη ⸰ ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆ- 17
ραί τι ἐκ τῆς οἰκίας αὐτοῦ ⸰ καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω 18
ὀπίσω ἆραι τὰ˚ ἱμάτια αὐτοῦ ⸰ οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις 19
καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις ⸰ προσεύχεσθε δὲ 20
ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ ἐν σαββάτῳ ⸰ ἔσται 21
γὰρ τότε θλῖψις μεγάλη οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου ἕως
τοῦ νῦν οὐδ᾽ οὐ μὴ γένηται ⸰ καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι 22
ἐκεῖναι οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ διὰ δὲ τοὺς ἐκλεκτοὺς κολο-
βωθήσονται αἱ ἡμέραι ἐκεῖναι ⸰ τότε ἐάν τις ὑμῖν εἴπῃ ἰδοὺ ὧδε ὁ 23
χριστὸς ἢ ὧδε μὴ πιστεύσητε ⸰ ἐγερθήσονται γὰρ ψευδόχριστοι 24
καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα μεγάλα καὶ τέρατα
ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς ⸰ ἰδοὺ προείρηκα 25
ὑμῖν ⸰ ἐὰν οὖν εἴπωσιν ὑμῖν ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστὶν μὴ ἐξέλθητε 26
ἰδοὺ ἐν τοῖς ταμείοις μὴ πιστεύσητε ⸰ ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐ- 27

---

v.2 𝕋 𝕂: μη, 𝕄 𝕍: ∅. **v.3** 𝕋*: της, 𝕍: ∅. **v.6** 𝕋*: παντα, 𝕍: ∅. **v.7** 𝕋*: και λοιμοι, 𝕍: ∅. **v.10** 𝔼: και μισησουσιν αλληλους, 𝔎: εις θλιψιν, **xxx**: εις θανατον. **v.15** 𝕋 𝕍: εστος, 𝕂 𝕄: εστως. **v.16** 𝕋*: επι, 𝕍: εις. **v.17** 𝕋*: καταβαινετω, 𝕍: καταβατω. **v.17** 𝕋 𝕂: τι, 𝕄 𝕍: τα. **v.18** 𝕋*: τα ιματια, 𝕍: το ιματιον. **v.20** 𝕋 𝕂: εν, 𝕄 𝕍: ∅.

ξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν οὕτως ἔσται
28 καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου ⸰ ὅπου γὰρ ἐὰν ᾖ τὸ
29 πτῶμα ἐκεῖ συναχθήσονται οἱ ἀετοί ⸰ εὐθέως δὲ μετὰ τὴν θλί-
ψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη
οὐ δώσει τὸ φέγγος αὐτῆς καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ
30 οὐρανοῦ καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται ⸰ καὶ τότε
φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ καὶ
τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν υἱὸν τοῦ
ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυ-
31 νάμεως καὶ δόξης πολλῆς ⸰ καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ
μετὰ σάλπιγγος φωνῆς μεγάλης καὶ ἐπισυνάξουσιν τοὺς ἐκλε-
κτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ᾽ ἄκρων οὐρανῶν ἕως
32 ἄκρων αὐτῶν ⸰ ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν ὅταν
ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ γι-
33 νώσκετε ὅτι ἐγγὺς τὸ θέρος ⸰ οὕτως καὶ ὑμεῖς ὅταν ἴδητε πάντα˚
34 ταῦτα γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις ⸰ ἀμὴν λέγω ὑμῖν
35 ὁὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται ⸰ ὁ
οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται οἱ δὲ λόγοι μου οὐ μὴ παρέλ-
36 θωσιν ⸰ περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν
37 οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν εἰ μὴ ὁ πατήρ μόυ μόνος ⸰ ὥσπερ
δὲ˚ αἱ ἡμέραι τοῦ νῶε οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ
38 ἀνθρώπου ⸰ ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κα-
τακλυσμοῦ τρώγοντες καὶ πίνοντες γαμοῦντες καὶ ἐκγαμίζοντες
39 ἄχρι ἧς ἡμέρας εἰσῆλθεν νῶε εἰς τὴν κιβωτόν ⸰ καὶ οὐκ ἔγνωσαν
ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας οὕτως ἔσται καὶ
40 ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου ⸰ τότε δύο ἔσονται ἐν τῷ ἀ-
41 γρῷ ὁ˚ εἷς παραλαμβάνεται καὶ ὁ˚ εἷς ἀφίεται ⸰ δύο ἀλήθουσαι
42 ἐν τῷ μύλωνι μία παραλαμβάνεται καὶ μία ἀφίεται ⸰ γρηγορεῖτε
43 οὖν ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται ⸰ ἐκεῖνο
δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέ-
πτης ἔρχεται ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν διορυχῆναι
44 τὴν οἰκίαν αὐτοῦ ⸰ διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι ὅτι ᾗ ὥ-
45 ρᾳ˚ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται ⸰ τίς ἄρα ἐστὶν ὁ

v.27 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.28** 𝕋*: γαρ, 𝕍 ℕ: ∅. **v.30** 𝕋*: τω, 𝕍: ∅. **v.31** 𝕋*: φωνῆς, 𝕍 ℕ: ∅, D: και φωνης. **v.31** 𝕋*: ακρων, 𝕍: [των] ακρων. **v.33** 𝕋 𝕂 𝕍: παντα ταυτα, 𝕄: ταυτα παντα. **v.34** 𝕋*: ου, 𝕍: οτι ου. **v.35** 𝕋*: παρελευσονται, 𝕍: παρελευσεται. **v.36** 𝕋 𝕂: τῆς, 𝕄 𝕍 ℕ: ∅. **v.36** 𝕋* 𝔎¹ L W f¹ 33 𝔐 vg sy co: εἰ, 𝕍 ℕ 𝔎*,² B D Θ f¹³ ℓ2211 *pc* it vg^mss: οὐδὲ ὁ υἱὸς εἰ. **v.36** 𝕋* K W Γ 579 1241: μου, 𝕍 ℕ: ∅. **v.37** 𝕋*: δε, 𝕍: γαρ. **v.37** 𝕋*: και, 𝕍: ∅. **v.38** 𝕋*: ωσπερ, 𝕍: ως. **v.38** 𝕋*: ημεραις, 𝕍: ημεραις [εκειναις]. **v.38** 𝕋*: εκγαμιζοντες, 𝕍: γαμιζοντες. **v.40** 𝕋*: ο, 𝕍: ∅. **v.41** 𝕋*: μυλωνι, 𝕍: μυλω. **v.42** 𝕋*: ωρα, 𝕍: ημερα. **v.43** 𝕋*: διορυγηναι, 𝕍: διορυχθηναι. **v.44** 𝕋*: ωρα ου δοκειτε, 𝕍: ου δοκειτε ωρα.

πιστὸς δοῦλος καὶ φρόνιμος ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ
τῆς θεῤαπείας αὐτοῦ τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ ⸰
μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει 46
ποιοῦντα˚ οὕτως ⸰ ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν 47
αὐτοῦ καταστήσει αὐτόν ⸰ ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος 48
ἐν τῇ καρδίᾳ αὐτοῦ χρονίζει ὁ˚ κύριός μου ἐλθεῖν ⸰ καὶ ἄρξηται 49
τύπτειν τοὺς συνδούλους ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόν-
των ⸰ ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ 50
καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει ⸰ καὶ διχοτομήσει αὐτὸν καὶ τὸ μέρος 51
αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ
βρυγμὸς τῶν ὀδόντων ⸰

τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις **25**
αἵτινες λαβοῦσαι τὰς λαμπάδας ἀὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν
τοῦ νυμφίου ⸰ πέντε δὲ ἦσαν˚ ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μω- 2
ραί ⸰ αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαὐτῶν οὐκ ἔλαβον 3
μεθ᾽ ἑαυτῶν ἔλαιον ⸰ αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγεί- 4
οις αὐτῶν μετὰ τῶν λαμπάδων ἀὐτῶν ⸰ χρονίζοντος δὲ τοῦ νυμ- 5
φίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον ⸰ μέσης δὲ νυκτὸς κραυγὴ 6
γέγονεν ἰδοὺ ὁ νυμφίος ἔρχεται ἐξέρχεσθε εἰς ἀπάντησιν αὐ-
τοῦ ⸰ τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν 7
τὰς λαμπάδας ἀὐτῶν ⸰ αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπὸν δότε 8
ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται ⸰
ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι μήποτε οὐ᾽κ ἀρκέσῃ ἡ- 9
μῖν καὶ ὑμῖν πορεύεσθε δὲ˚ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ
ἀγοράσατε ἑαυταῖς ⸰ ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ 10
νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους καὶ
ἐκλείσθη ἡ θύρα ⸰ ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι 11
λέγουσαι κύριε κύριε ἄνοιξον ἡμῖν ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν ἀ- 12
μὴν λέγω ὑμῖν οὐκ οἶδα ὑμᾶς ⸰ γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδατε 13
τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν˚ ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται ⸰
ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσεν τοὺς ἰδίους δούλους 14
καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ ⸰ καὶ ᾧ μὲν ἔδωκεν 15
πέντε τάλαντα ᾧ δὲ δύο ᾧ δὲ ἓν ἑκάστῳ κατὰ τὴν ἰδίαν δύνα-

---

v.45 𝕋*: autou, 𝕍: ∅. **v.45** 𝕋*: θεραπειας, 𝕍: οικετειας. **v.45** 𝕋*: διδοναι, 𝕍: δουναι. **v.46** 𝕋*: ποιουντα ουτως, 𝕍: ουτως ποιουντα. **v.48** 𝕋*: ο κυριος μου ελθειν, 𝕍: μου ο κυριος. **v.49** 𝕋*: ἐσθίειν, 𝕍 ℕ: αὐτοῦ ἐσθίῃ. **v.49** 𝕋*: πίνειν, 𝕍 ℕ: πίνῃ. **25.v.1** 𝕋*: αυτων, 𝕍: εαυτων. **v.1** 𝕋*: απαντησιν, 𝕍: υπαντησιν. **v.2** 𝕋*: ησαν εξ αυτων φρονιμοι και αι πεντε μωραι, 𝕍: εξ αυτων ησαν μωραι και πεντε φρονιμοι. **v.3** 𝕋*: αιτινες, 𝕍: αι γαρ. **v.3** 𝕋 𝕂: εαυτων, 𝕄 𝕍: αυτων. **v.4** 𝕋*: αυτων, 𝕍: ∅. **v.4** 𝕋*: αυτων, 𝕍: εαυτων. **v.6** 𝕋*: ερχεται, 𝕍: ∅. **v.7** 𝕋*: αυτων, 𝕍: εαυτων. **v.8** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.9** 𝕋*: ουκ, 𝕍: ου μη. **v.9** 𝕋*: δε, 𝕍: ∅. **v.13** 𝕋*: εν η ο υιος του ανθρωπου ερχεται, 𝕍: ∅.

16 μιν καὶ ἀπεδήμησεν εὐθέως ⸰ πορευθεὶς δὲ᾽ ὁ τὰ πέντε τάλαντα
λαβὼν ἠργάσατο ἐν αὐτοῖς καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα ⸰
17, 18 ὡσαύτως κἀὶ ὁ τὰ δύο ἐκέρδησεν καὶ᾽ αὐτὸς ἄλλα δύο ⸰ ὁ δὲ τὸ
ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν᾽ τῇ γῇ καὶ ἀπέκρυψεν τὸ ἀργύριον
19 τοῦ κυρίου αὐτοῦ ⸰ μετὰ δὲ χρόνον᾽ πολὺν ἔρχεται ὁ κύριος τῶν
20 δούλων ἐκείνων καὶ συναίρει μετ᾽᾽ αὐτῶν λόγον ⸰ καὶ προσελθὼν
ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέ-
γων κύριε πέντε τάλαντά μοι παρέδωκας ἴδε ἄλλα πέντε τάλαντα
21 ἐκέρδησα ἐπ᾽᾽ αὐτοῖς ⸰ ἔφη δὲ᾽ αὐτῷ ὁ κύριος αὐτοῦ εὖ δοῦλε
ἀγαθὲ καὶ πιστὲ ἐπὶ ὀλίγα ἦς πιστὸς ἐπὶ πολλῶν σε καταστήσω
22 εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου ⸰ προσελθὼν δὲ καὶ ὁ τὰ
δύο τάλαντα λαβὼν εἶπεν κύριε δύο τάλαντά μοι παρέδωκας ἴδε
23 ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ᾽᾽ αὐτοῖς ⸰ ἔφη αὐτῷ ὁ κύριος αὐ-
τοῦ εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ ἐπὶ ὀλίγα ἦς πιστὸς ἐπὶ πολλῶν σε
24 καταστήσω εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου ⸰ προσελθὼν
δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς εἶπεν κύριε ἔγνων σε ὅτι σκλη-
ρὸς εἶ ἄνθρωπος θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν
25 οὐ διεσκόρπισας ⸰ καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν
26 σου ἐν τῇ γῇ ἴδε ἔχεις τὸ σόν ⸰ ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶ-
πεν αὐτῷ πονηρὲ δοῦλε καὶ ὀκνηρὲ ᾔδεις ὅτι θερίζω ὅπου οὐκ
27 ἔσπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα ⸰ ἔδει οὖν᾽ σε βαλεῖν
τὸ᾽ ἀργύριόν μου τοῖς τραπεζίταις καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην
28 ἂν τὸ ἐμὸν σὺν τόκῳ ⸰ ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαντον καὶ δότε
29 τῷ ἔχοντι τὰ δέκα τάλαντα ⸰ τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ
περισσευθήσεται ἀπὸ᾽ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται
30 ἀπ᾽ αὐτοῦ ⸰ καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ
31 ἐξώτερον ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ⸰ ὅ-
ταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ
ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ ⸰
32 καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη καὶ ἀφοριεῖ
αὐτοὺς ἀπ᾽ ἀλλήλων ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ
33 τῶν ἐρίφων ⸰ καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ τὰ δὲ
34 ἐρίφια ἐξ εὐωνύμων ⸰ τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ

---

v.16 𝕋*: δε, 𝕍: ∅. **v.16** 𝕋*: ειργασατο, 𝕍: ηργασατο. **v.16** 𝕋*: εποιησεν, 𝕍: εκερδησεν. **v.16** 𝕋*: ταλαντα, 𝕍: ∅. **v.17** 𝕋*: και, 𝕍: ∅. **v.17** 𝕋*: και αυτος, 𝕍: ∅. **v.18** 𝕋*: εν τη γη, 𝕍: γην. **v.18** 𝕋*: απεκρυψεν, 𝕍: εκρυψεν. **v.19** 𝕋*: χρονον πολυν, 𝕍: πολυν χρονον. **v.19** 𝕋*: μετ αυτων λογον, 𝕍: λογον μετ αυτων. **v.20** 𝕋*: επ αυτοις, 𝕍: ∅. **v.21** 𝕋*: δε, 𝕍: ∅. **v.22** 𝕋*: λαβων, 𝕍: ∅. **v.22** 𝕋*: επ αυτοις, 𝕍: ∅. **v.27** 𝕋*: ουν σε, 𝕍: σε ουν. **v.27** 𝕋*: το αργυριον, 𝕍: τα αργυρια. **v.29** 𝕋*: απο δε του, 𝕍: του δε. **v.30** 𝕋 𝕂: εκβαλλετε, 𝕄 𝕍: εκβαλετε. **v.31** 𝕋*: αγιοι, 𝕍: ∅. **v.32** 𝕋*: συναχθησεται, 𝕍: συναχθησονται. **v.32** 𝕋*: αφοριει, 𝕍: αφορισει.

δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡ-
τοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου ⸰ ἐπείνασα 35
γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν ἐδίψησα καὶ ἐποτίσατέ με ξένος
ἤμην καὶ συνηγάγετέ με ⸰ γυμνὸς καὶ περιεβάλετέ με ἠσθένησα 36
καὶ ἐπεσκέψασθέ με ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με ⸰ τότε 37
ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες κύριε πότε σε εἴδομεν
πεινῶντα καὶ ἐθρέψαμεν ἢ διψῶντα καὶ ἐποτίσαμεν ⸰ πότε δέ σε 38
εἴδομεν ξένον καὶ συνηγάγομεν ἢ γυμνὸν καὶ περιεβάλομεν ⸰
πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ ἤλθομεν πρός σε ⸰ 39
καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς ἀμὴν λέγω ὑμῖν ἐφ᾽ ὅ- 40
σον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων ἐμοὶ
ἐποιήσατε ⸰ τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων πορεύεσθε ἀπ᾽ ἐμοῦ 41
οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ δια-
βόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ⸰ ἐπείνασα γὰρ καὶ οὐκ ἐδώκατέ 42
μοι φαγεῖν ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με ⸰ ξένος ἤμην καὶ οὐ 43
συνηγάγετέ με γυμνὸς καὶ οὐ περιεβάλετέ με ἀσθενὴς καὶ ἐν
φυλακῇ καὶ οὐκ ἐπεσκέψασθέ με ⸰ τότε ἀποκριθήσονται αὐτῷ 44
καὶ αὐτοὶ λέγοντες κύριε πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα
ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ οὐ διηκονήσαμέν
σοι ⸰ τότε ἀποκριθήσεται αὐτοῖς λέγων ἀμὴν λέγω ὑμῖν ἐφ᾽ ὅσον 45
οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων οὐδὲ ἐμοὶ ἐποιήσατε ⸰
καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον οἱ δὲ δίκαιοι εἰς 46
ζωὴν αἰώνιον ⸰

καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς πάντας τοὺς λόγους τού- **26**
τους εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ⸰ οἴδατε ὅτι μετὰ δύο ἡμέρας 2
τὸ πάσχα γίνεται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ
σταυρωθῆναι ⸰ τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ˚ οἱ γραμμα- 3
τεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως
τοῦ λεγομένου καϊάφα ⸰ καὶ συνεβουλεύσαντο ἵνα τὸν ἰησοῦν 4
κρατήσωσιν˚ δόλῳ καὶ ἀποκτείνωσιν ⸰ ἔλεγον δὲ μὴ ἐν τῇ ἑορτῇ 5
ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ ⸰ τοῦ δὲ ἰησοῦ γενομένου ἐν 6
βηθανίᾳ ἐν οἰκίᾳ σίμωνος τοῦ λεπροῦ ⸰ προσῆλθεν αὐτῷ γυνὴ 7
ἀλάβαστρον˚ μύρου ἔχουσα βαρυτίμου καὶ κατέχεεν ἐπὶ τὴν˚
κεφαλὴν αὐτοῦ ἀνακειμένου ⸰ ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠ- 8
γανάκτησαν λέγοντες εἰς τί ἡ ἀπώλεια αὕτη ⸰ ἠδύνατο γὰρ τοῦτο 9
τὸ˚ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι πτωχοῖς ⸰ γνοὺς δὲ ὁ 10

v.36 𝕋*: ηλθετε, 𝕍: ηλθατε. **v.39** 𝕋*: ασθενη, 𝕍: ασθενουντα. **v.44** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: ∅. **26.v.3** 𝕋*: και οι γραμματεις, 𝕍: ∅. **v.4** 𝕋 𝕂: κρατησωσιν δολω, 𝕄 𝕍: δολω κρατησωσιν. **v.7** 𝕋*: αλαβαστρον μυρου εχουσα, 𝕍: εχουσα αλαβαστρον μυρου. **v.7** 𝕋*: την κεφαλην, 𝕍: της κεφαλης. **v.8** 𝕋*: αυτου, 𝕍: ∅. **v.9** 𝕋*: ηδυνατο, 𝕍: εδυνατο. **v.9** 𝕋*: το μυρον, 𝕍: ∅.

ἰησοῦς εἶπεν αὐτοῖς τί κόπους παρέχετε τῇ γυναικὶ ἔργον γὰρ
11 καλὸν ἠργάσατο εἰς ἐμέ ⸰ πάντοτε˚ γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ᾽
12 ἑαυτῶν ἐμὲ δὲ οὐ πάντοτε ἔχετε ⸰ βαλοῦσα γὰρ αὕτη τὸ μύρον
τοῦτο ἐπὶ τοῦ σώματός μου πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν ⸰
13 ἀμὴν λέγω ὑμῖν ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅ-
λῳ τῷ κόσμῳ λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον
14 αὐτῆς ⸰ τότε πορευθεὶς εἷς τῶν δώδεκα ὁ λεγόμενος ἰούδας ἰσκα-
15 ριώτης πρὸς τοὺς ἀρχιερεῖς ⸰ εἶπεν τί θέλετέ μοι δοῦναι κἀγὼ
ὑμῖν παραδώσω αὐτὸν οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια ⸰
16, 17 καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ ⸰ τῇ δὲ πρώτῃ
τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ ἰησοῦ λέγοντες αὐτῷ ποῦ
18 θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα ⸰ ὁ δὲ εἶπεν ὑπάγετε
εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ ὁ διδάσκαλος λέ-
γει ὁ καιρός μου ἐγγύς ἐστιν πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν
19 μαθητῶν μου ⸰ καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς
20 ὁ ἰησοῦς καὶ ἡτοίμασαν τὸ πάσχα ⸰ ὀψίας δὲ γενομένης ἀνέ-
21 κειτο μετὰ τῶν δώδεκα ⸰ καὶ ἐσθιόντων αὐτῶν εἶπεν ἀμὴν λέγω
22 ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με ⸰ καὶ λυπούμενοι σφόδρα
23 ἤρξαντο λέγειν αὐτῷ ἕκαστος˚ αὐτῶν μήτι ἐγώ εἰμι κύριε ⸰ ὁ δὲ
ἀποκριθεὶς εἶπεν ὁ ἐμβάψας μετ᾽ ἐμοῦ ἐν˚ τῷ τρυβλίῳ τὴν χεῖρα
24 οὗτός με παραδώσει ⸰ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς
γέγραπται περὶ αὐτοῦ οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς
τοῦ ἀνθρώπου παραδίδοται καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ
25 ἄνθρωπος ἐκεῖνος ⸰ ἀποκριθεὶς δὲ ἰούδας ὁ παραδιδοὺς αὐτὸν
26 εἶπεν μήτι ἐγώ εἰμι ῥαββὶ λέγει αὐτῷ σὺ εἶπας ⸰ ἐσθιόντων δὲ
αὐτῶν λαβὼν ὁ ἰησοῦς τὸν˙ ἄρτον καὶ εὐλογήσας ἔκλασεν καὶ
ἐδίδου τοῖς μαθηταῖς κἀι εἶπεν λάβετε φάγετε τοῦτό ἐστιν τὸ
27 σῶμά μου ⸰ καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν
28 αὐτοῖς λέγων πίετε ἐξ αὐτοῦ πάντες ⸰ τοῦτο γάρ ἐστιν τὸ αἷμά
μου τὸ˚ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς
29 ἄφεσιν ἁμαρτιῶν ⸰ λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ᾽ ἄρτι ἐκ τού-
του τοῦ γενήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν
30 αὐτὸ πίνω μεθ᾽ ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου ⸰ καὶ
31 ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν ⸰ τότε λέγει αὐτοῖς ὁ

---

v.10 $\mathbb{T}^*$: ειργασατο, $\mathbb{V}$: ηργασατο. **v.11** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: παντοτε γαρ τους πτωχους, $\mathbb{M}$: τους πτωχους γαρ παντοτε. **v.17** $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: ∅. **v.17** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: ετοιμασωμεν, $\mathbb{M}$: ετοιμασομεν. **v.22** $\mathbb{T}^*$: εκαστος αυτων, $\mathbb{V}$: εις εκαστος. **v.23** $\mathbb{T}^*$: εν τω τρυβλιω την χειρα, $\mathbb{V}$: την χειρα εν τω τρυβλιω. **v.26** $\mathbb{T}^*$: τον, $\mathbb{V}$: ∅. **v.26** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: ευλογησας, $\mathbb{M}$: ευχαριστησας. **v.26** $\mathbb{T}^*$: εδιδου, $\mathbb{V}$: δους. **v.26** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.27** $\mathbb{T}^*$: το, $\mathbb{V}$: ∅. **v.28** $\mathbb{T}^*$: το της καινης, $\mathbb{V}$: της. **v.28** $\mathbb{T}^*$: εκχυνομενον, $\mathbb{V}$: εκχυννομενον. **v.29** $\mathbb{T}^*$: οτι, $\mathbb{V}$: ∅. **v.29** $\mathbb{T}^*$: γεννηματος, $\mathbb{V}$: γενηματος.

ἰησοῦς πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ γέγραπται γὰρ πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης ◦ μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν γαλιλαίαν ◦ ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπεν αὐτῷ εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι ◦ ἔφη αὐτῷ ὁ ἰησοῦς ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με ◦ λέγει αὐτῷ ὁ πέτρος κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν οὐ μή σε ἀπαρνήσομαι ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον ◦ τότε ἔρχεται μετ᾽ αὐτῶν ὁ ἰησοῦς εἰς χωρίον λεγόμενον γεθσημανῆ καὶ λέγει τοῖς μαθηταῖς καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσεύξωμαι ˚ ἐκεῖ ◦ καὶ παραλαβὼν τὸν πέτρον καὶ τοὺς δύο υἱοὺς ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν ◦ τότε λέγει αὐτοῖς περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου μείνατε ὧδε καὶ γρηγορεῖτε μετ᾽ ἐμοῦ ◦ καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων πάτερ μου εἰ δυνατόν ἐστιν παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ᾽ ὡς σύ ◦ καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας καὶ λέγει τῷ πέτρῳ οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ ◦ γρηγορεῖτε καὶ προσεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμὸν τὸ μὲν πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ ἀσθενής ◦ πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων πάτερ μου εἰ οὐ δύναται τοῦτο τὸ ˚ ποτήριον παρελθεῖν ἀπ᾽ ˚ ἐμοῦ ἐὰν μὴ αὐτὸ πίω γενηθήτω τὸ θέλημά σου ◦ καὶ ἐλθὼν εὑρίσκει ˚ αὐτοὺς πάλιν καθεύδοντας ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι ◦ καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν ˚ πάλιν προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών ◦ τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ λέγει αὐτοῖς καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν ◦ ἐγείρεσθε ἄγωμεν ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με ◦ καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ ἰούδας εἷς τῶν δώδεκα ἦλθεν καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ ◦ ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων ὃν ἂν φιλήσω αὐτός ἐστιν κρατήσατε αὐτόν ◦ καὶ εὐθέως

v.31 $\mathbb{T}^*$: διασκορπισθησεται, $\mathbb{V}$: διασκορπισθησονται. **v.33** $\mathbb{T}$ $\mathbb{K}$: και, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.33** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: εγω, $\mathbb{M}$: εγω δε. **v.35** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: απαρνησομαι, $\mathbb{M}$: απαρνησωμαι. **v.35** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: και, $\mathbb{M}$: δε και. **v.35** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.36** $\mathbb{T}^*$: γεθσημανη, $\mathbb{V}$: γεθσημανι. **v.36** $\mathbb{T}^*$: προσευξωμαι εκει, $\mathbb{V}$: εκει προσευξωμαι. **v.38** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: αυτοις, $\mathbb{M}$: αυτοις ο ιησους. **v.39** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: προελθων, $\mathbb{M}$: προσελθων. **v.39** $\mathbb{T}^*$: παρελθετω, $\mathbb{V}$: παρελθατω. **v.42** $\mathbb{T}^*$: το ποτηριον, $\mathbb{V}$: ∅. **v.42** $\mathbb{T}^*$: απ εμου, $\mathbb{V}$: ∅. **v.43** $\mathbb{T}^*$: ευρισκει αυτους παλιν, $\mathbb{V}$: παλιν ευρεν αυτους. **v.44** $\mathbb{T}^*$: απελθων παλιν, $\mathbb{V}$: παλιν απελθων. **v.44** $\mathbb{T}^*$: ειπων, $\mathbb{V}$: ειπων παλιν. **v.45** $\mathbb{T}^*$: αυτου, $\mathbb{V}$: ∅.

προσελθὼν τῷ ἰησοῦ εἶπεν χαῖρε ῥαββὶ καὶ κατεφίλησεν αὐτόν ⸰
50 ὁ δὲ ἰησοῦς εἶπεν αὐτῷ ἑταῖρε ἐφ᾽ ᾧ᾽ πάρει τότε προσελθόντες
51 ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν ἰησοῦν καὶ ἐκράτησαν αὐτόν ⸰ καὶ
ἰδοὺ εἷς τῶν μετὰ ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μά-
χαιραν αὐτοῦ καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν
52 αὐτοῦ τὸ ὠτίον ⸰ τότε λέγει αὐτῷ ὁ ἰησοῦς ἀπόστρεψόν σου˚ τὴν
μάχαιραν εἰς τὸν τόπον αὐτῆς πάντες γὰρ οἱ λαβόντες μάχαιραν
53 ἐν μαχαίρᾳ ἀπολοῦνται ⸰ ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακα-
λέσαι τὸν πατέρα μου καὶ παραστήσει μοι πλείους˚ ἢ δώδεκα
54 λεγεῶνας ἀγγέλων ⸰ πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως
55 δεῖ γενέσθαι ⸰ ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ ἰησοῦς τοῖς ὄχλοις ὡς
ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με
καθ᾽ ἡμέραν πρὸς˚ ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ καὶ
56 οὐκ ἐκρατήσατέ με ⸰ τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ
γραφαὶ τῶν προφητῶν τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔ-
57 φυγον ⸰ οἱ δὲ κρατήσαντες τὸν ἰησοῦν ἀπήγαγον πρὸς καϊάφαν
τὸν ἀρχιερέα ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθη-
58 σαν ⸰ ὁ δὲ πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς
τοῦ ἀρχιερέως καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν
59 ἰδεῖν τὸ τέλος ⸰ οἱ δὲ ἀρχιερεῖς καὶ˚ οἱ πρεσβύτεροι καὶ τὸ συνέ-
δριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ ἰησοῦ ὅπως αὐ-
60 τὸν˚ θανατώσωσιν ⸰ καὶ οὐχ εὗρον καὶ˚ πολλῶν ψευδομαρτύρων
61 προσελθόντων οὐχ εὗρον ⸰ ὕστερον δὲ προσελθόντες δύο ψευ-
δομάρτυρες˚ εἶπον οὗτος ἔφη δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ
62 θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν ⸰ καὶ ἀναστὰς ὁ
ἀρχιερεὺς εἶπεν αὐτῷ οὐδὲν ἀποκρίνῃ τί οὗτοί σου καταμαρτυ-
63 ροῦσιν ⸰ ὁ δὲ ἰησοῦς ἐσιώπα καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν
αὐτῷ ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ
64 εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ⸰ λέγει αὐτῷ ὁ ἰησοῦς σὺ εἶπας πλὴν
λέγω ὑμῖν ἀπ᾽ ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον
ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐ-
65 ρανοῦ ⸰ τότε ὁ ἀρχιερεὺς διέρρηξεν τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι
ἐβλασφήμησεν τί ἔτι χρείαν ἔχομεν μαρτύρων ἴδε νῦν ἠκούσατε

---

v.50 $\mathbb{T}^*$: ω, $\mathbb{V}$: ο. **v.52** $\mathbb{T}^*$: σου την μαχαιραν, $\mathbb{V}$: την μαχαιραν σου. **v.52** $\mathbb{T}^*$: μαχαιρα, $\mathbb{V}$: μαχαιρη. **v.52** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: απολουνται, $\mathbb{M}$: αποθανουνται. **v.53** $\mathbb{T}^*$: αρτι, $\mathbb{V}$: ∅. **v.53** $\mathbb{T}^*$: πλειους η, $\mathbb{V}$: αρτι πλειω. **v.53** $\mathbb{T}^*$: λεγεωνας, $\mathbb{V}$: λεγιωνας. **v.55** $\mathbb{T}^*$: εξηλθετε, $\mathbb{V}$: εξηλθατε. **v.55** $\mathbb{T}^*$: προς υμας εκαθεζομην διδασκων εν τω ιερω, $\mathbb{V}$: εν τω ιερω εκαθεζομην διδασκων. **v.59** $\mathbb{T}^*$: και οι πρεσβυτεροι, $\mathbb{V}$: ∅. **v.59** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: αυτον θανατωσωσιν, $\mathbb{M}$: θανατωσωσιν αυτον. **v.60** $\mathbb{T}^*$: και πολλων ψευδομαρτυρων προσελθοντων ουχ ευρον, $\mathbb{V}$: πολλων προσελθοντων ψευδομαρτυρων. **v.61** $\mathbb{T}^*$: ψευδομάρτυρες εἶπον, $\mathbb{V}$: εἶπαν. **v.61** $\mathbb{T}^*$: αυτον, $\mathbb{V}$: ∅. **v.63** $\mathbb{T}^*$: αποκριθεις, $\mathbb{V}$: ∅. **v.65** $\mathbb{T}^*$: οτι, $\mathbb{V}$: ∅.

τὴν βλασφημίαν αὐτοῦ ⸰ τί ὑμῖν δοκεῖ οἱ δὲ ἀποκριθέντες εἶπόν 66
ἔνοχος θανάτου ἐστίν ⸰ τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ 67
καὶ ἐκολάφισαν αὐτὸν οἱ δὲ ἐῤῥάπισαν ⸰ λέγοντες προφήτευσον 68
ἡμῖν χριστὲ τίς ἐστιν ὁ παίσας σε ⸰ ὁ δὲ πέτρος ἔξω˚ ἐκάθητο ἐν τῇ 69
αὐλῇ καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα καὶ σὺ ἦσθα
μετὰ ἰησοῦ τοῦ γαλιλαίου ⸰ ὁ δὲ ἠρνήσατο ἔμπροσθεν ⸀πάντων 70
λέγων οὐκ οἶδα τί λέγεις ⸰ ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα 71
εἶδεν αὐτὸν ἄλλη καὶ λέγει ⸀τοῖς ἐκεῖ κἀι οὗτος ἦν μετὰ ἰησοῦ
τοῦ ναζωραίου ⸰ καὶ πάλιν ἠρνήσατο μὲθ᾽ ὅρκου ὅτι οὐκ οἶδα 72
τὸν ἄνθρωπον ⸰ μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον 73
τῷ πέτρῳ ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ καὶ γὰρ ἡ λαλιά σου δῆ-
λόν σε ποιεῖ ⸰ τότε ἤρξατο καταν̓αθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ 74
οἶδα τὸν ἄνθρωπον καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν ⸰ καὶ ἐμνή- 75
σθη ὁ πέτρος τοῦ ῥήματος τ̀οῦ ἰησοῦ εἰρηκότος αὐτ̀ῷ ὅτι πρὶν
ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν
πικρῶς ⸰

πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς **27**
καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ ἰησοῦ ὥστε θανατῶσαι
αὐτόν ⸰ καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν˚ 2
ποντίῳ πιλάτῳ τῷ ἡγεμόνι ⸰ τότε ἰδὼν ἰούδας ὁ παραδιδοὺς αὐ- 3
τὸν ὅτι κατεκρίθη μεταμεληθεὶς ἀπ̀έστρεψεν τὰ τριάκοντα ἀρ-
γύρια τοῖς ἀρχιερεῦσιν καὶ ⸀τοῖς πρεσβυτέροις ⸰ λέγων ἥμαρτον 4
παραδοὺς αἷμα ἀθῶον οἱ δὲ εἶπόν τί πρὸς ἡμᾶς σὺ ὄψ̀ει ⸰ καὶ 5
ῥίψας τὰ ἀργύρια ἐν˚ τῷ ναῷ ἀνεχώρησεν καὶ ἀπελθὼν ἀπήγ-
ξατο ⸰ οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπόν οὐκ ἔξεστιν 6
βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν ἐπεὶ τιμὴ αἵματός ἐστιν ⸰ συμβού- 7
λιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως
εἰς ταφὴν τοῖς ξένοις ⸰ διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵμα- 8
τος ἕως τῆς σήμερον ⸰ τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ ἱερεμίου τοῦ 9
προφήτου λέγοντος καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν
τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν ἰσραὴλ ⸰ καὶ ἔδωκαν 10
αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως καθὰ συνέταξέν μοι κύριος ⸰ ὁ 11
δὲ ἰησοῦς ἔστ̀ῆ ἔμπροσθεν τοῦ ἡγεμόνος καὶ ἐπηρώτησεν αὐτὸν
ὁ ἡγεμὼν λέγων σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων ὁ δὲ ἰησοῦς ἔφη

---

v.65 𝕋*: αυτου, 𝕍: ∅. **v.66** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.67** 𝕋*: ερραπισαν, 𝕍: εραπισαν. **v.69** 𝕋*: εξω εκαθητο, 𝕍: εκαθητο εξω. **v.70** 𝕋 𝕂 𝕍: παντων, 𝕄: αυτων παντων. **v.71** 𝕋*: αυτον, 𝕍: ∅. **v.71** 𝕋 𝕂 𝕍: τοις, 𝕄: αυτοις. **v.71** 𝕋*: και, 𝕍: ∅. **v.72** 𝕋*: μεθ, 𝕍: μετα. **v.74** 𝕋 𝕂: καταναθεματιζειν, 𝕄 𝕍: καταθεματιζειν. **v.75** 𝕋*: του, 𝕍: ∅. **v.75** 𝕋*: αυτω, 𝕍: ∅. **27.v.2** 𝕋*: αυτον ποντιω, 𝕍: ∅. **v.3** 𝕋*: απεστρεψεν, 𝕍: εστρεψεν. **v.3** 𝕋*: τοις, 𝕍: ∅. **v.4** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.4** 𝕋*: οψει, 𝕍: οψη. **v.5** 𝕋*: ἐν τῷ ναῷ, 𝕍: εις τον ναον. **v.6** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.11** 𝕋*: εστη, 𝕍: εσταθη.

12 αὐτῷ σὺ λέγεις ⸰ καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιε-
13 ρέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο ⸰ τότε λέγει αὐτῷ
14 ὁ πιλάτος οὐκ ἀκούεις πόσα σοῦ καταμαρτυροῦσιν ⸰ καὶ οὐκ ἀ-
πεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα ὥστε θαυμάζειν τὸν ἡγεμόνα
15 λίαν ⸰ κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ
16 δέσμιον ὃν ἤθελον ⸰ εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον
17 βαραββᾶν ⸰ συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ πιλάτος τίνα
θέλετε ἀπολύσω ὑμῖν βαραββᾶν ἢ ἰησοῦν τὸν λεγόμενον χρι-
18, 19 στόν ⸰ ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν ⸰ καθημένου
δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ
λέγουσα μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ πολλὰ γὰρ ἔπαθον σή-
20 μερον κατ᾽ ὄναρ δι᾽ αὐτόν ⸰ οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι
ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν βαραββᾶν τὸν δὲ ἰησοῦν
21 ἀπολέσωσιν ⸰ ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς τίνα θέλετε
22 ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν οἱ δὲ εἶπόν βαραββᾶν ⸰ λέγει αὐτοῖς
ὁ πιλάτος τί οὖν ποιήσω ἰησοῦν τὸν λεγόμενον χριστὸν λέγουσιν
23 αὐτῷ πάντες σταυρωθήτω ⸰ ὁ δὲ ἡγεμὼν ἔφη τί γὰρ κακὸν ἐποί-
24 ησεν οἱ δὲ περισσῶς ἔκραζον λέγοντες σταυρωθήτω ⸰ ἰδὼν δὲ ὁ
πιλάτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον θόρυβος γίνεται λαβὼν
ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων ἀθῶός
25 εἰμι ἀπὸ τοῦ αἵματος τοῦ˚ δικαίου τούτου ὑμεῖς ὄψεσθε ⸰ καὶ
ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ
26 τὰ τέκνα ἡμῶν ⸰ τότε ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν τὸν δὲ ἰη-
27 σοῦν φραγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ ⸰ τότε οἱ στρατιῶ-
ται τοῦ ἡγεμόνος παραλαβόντες τὸν ἰησοῦν εἰς τὸ πραιτώριον
28 συνήγαγον ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν ⸰ καὶ ἐκδύσαντες˚ αὐτὸν
29 περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην ⸰ καὶ πλέξαντες στέφανον
ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν˚ κεφαλὴν αὐτοῦ καὶ κάλαμον
ἐπὶ˚ τὴν δεξιὰν αὐτοῦ καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐ-
30 νέπαιζὸν αὐτῷ λέγοντες χαῖρε ὁ˚ βασιλεῦς τῶν ἰουδαίων ⸰ καὶ
ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν
31 κεφαλὴν αὐτοῦ ⸰ καὶ ὅτε ἐνέπαιξαν αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν
χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ καὶ ἀπήγαγον
32 αὐτὸν εἰς τὸ σταυρῶσαι ⸰ ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον κυρη-

v.11 $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: ∅. **v.12** $\mathbb{T}^*$: των, $\mathbb{V}$: ∅. **v.16** $\mathbb{T}^*$: βαραββαν, $\mathbb{V}$: [ιησουν] βαραββαν. **v.17** $\mathbb{T}^*$: βαραββαν, $\mathbb{V}$: [ιησουν τον] βαραββαν. **v.21** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν τὸν. **v.22** $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: ∅. **v.23** $\mathbb{T}^*$: ηγεμων, $\mathbb{V}$: ∅. **v.24** $\mathbb{T}^*$: του δικαιου, $\mathbb{V}$: ∅. **v.28** $\mathbb{T}^*$: εκδυσαντες αυτον περιεθηκαν αυτω χλαμυδα κοκκινην, $\mathbb{V}$: εκδυσαντες αυτον χλαμυδα κοκκινην περιεθηκαν αυτω, D: ενδυσαντες αυτον ιματιον πορφυρουν και χλαμυδα κοκκινην περιεθηκαν αυτω. **v.29** $\mathbb{T}^*$: την κεφαλην, $\mathbb{V}$: της κεφαλης. **v.29** $\mathbb{T}^*$: επι την δεξιαν, $\mathbb{V}$: εν τη δεξια. **v.29** $\mathbb{T}^*$: ενεπαιζον, $\mathbb{V}$: ενεπαιξαν. **v.29** $\mathbb{T}^*$: ο βασιλευς, $\mathbb{V}$: βασιλευ.

ναῖον ὀνόματι σίμωνα τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν
αὐτοῦ ⸰ καὶ ἐλθόντες εἰς τόπον λεγόμενον γολγοθᾶ ὅς ἐστιν λε- 33
γόμενος˚ κρανίου τόπος ⸰ ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς 34
μεμιγμένον καὶ γευσάμενος οὐκ ἤθελεν πιεῖν ⸰ σταυρώσαντες 35
δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἵνα˚
πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου διεμερίσαντο τὰ ἱμάτιά
μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον ⸰ καὶ κα- 36
θήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ ⸰ καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς 37
αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην οὗτός ἐστιν ἰησοῦς ὁ βα-
σιλεῦς τῶν ἰουδαίων ⸰ τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταὶ εἷς 38
ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων ⸰ οἱ δὲ παραπορευόμενοι ἐβλα- 39
σφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν ⸰ καὶ λέγοντες ὁ 40
καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν σῶσον σε-
αυτὸν εἰ υἱὸς εἶ τοῦ θεοῦ κἀτάβηθι ἀπὸ τοῦ σταυροῦ ⸰ ὁμοίως 41
δὲ˚ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρε-
σβυτέρωνῦ ἔλεγον ⸰ ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται σῶσαι εἰ 42
βασιλεὺς ἰσραήλ ἐστιν καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πι-
στεύσομεν αὐτῷ ⸰ πέποιθεν ἐπὶ τὸν θεὸν ῥυσάσθω νῦν αὐτὸν 43
εἰ θέλει αὐτὸν εἶπεν γὰρ ὅτι θεοῦ εἰμι υἱός ⸰ τὸ δ᾽ αὐτὸ καὶ οἱ 44
λῃσταὶ οἱ συσταυρωθέντες ἀὐτῷ ὠνείδιζον αὐτῷ ⸰ ἀπὸ δὲ ἕκτης 45
ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης ⸰ περὶ 46
δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ ἰησοῦς φωνῇ μεγάλῃ λέγων
ἠλὶ ἠλὶ λᾰμὰ σαβαχθανὶ τοῦτ᾽ ἔστιν θεέ μου θεέ μου ἱνατί με
ἐγκατέλιπες ⸰ τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι 47
ἡλίαν φωνεῖ οὗτος ⸰ καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν 48
σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν ⸰
οἱ δὲ λοιποὶ ἔλεγον ἄφες ἴδωμεν εἰ ἔρχεται ἡλίας σώσων αὐτόνῦ ⸰ 49
ὁ δὲ ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκεν τὸ πνεῦμα ⸰ καὶ 50, 51
ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς˚ δύο ἀπὸ ἄνωθεν ἕως
κάτω καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν ⸰ καὶ τὰ μνη- 52
μεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων
ἠγέρθῃ ⸰ καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐ- 53

---

v.33 𝕋 𝕂: ος, 𝕄 𝕍: ο. **v.33** 𝕋*: λεγομενος κρανιου τοπος, 𝕍: κρανιου τοπος λεγομενος. **v.34** 𝕋*: οξος, 𝕍: οινον. **v.34** 𝕋*: ηθελεν, 𝕍: ηθελησεν. **v.35** 𝕋 𝕂: ἵνα . . . ⸰, 𝕄 𝕍 ℕ: ∅. **v.40** 𝕋*: καταβηθι, 𝕍: [και] καταβηθι. **v.41** 𝕋*: δε, 𝕍: ∅. **v.41** 𝕋 𝕂 𝕍: πρεσβυτερων, 𝕄: πρεσβυτερων και φαρισαιων. **v.42** 𝕋*: ει, 𝕍: ∅. **v.42** 𝕋 𝕂: αυτω, 𝕄: επ αυτω, 𝕍: επ αυτον. **v.43** 𝕋*: αυτον, 𝕍: ∅. **v.44** 𝕋*: αυτω, 𝕍: συν αυτω. **v.44** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτον. **v.45** 𝕋 𝕂: εννατης, 𝕄 𝕍: ενατης. **v.46** 𝕋 𝕂: εννατην, 𝕄 𝕍: ενατην. **v.46** 𝕋 𝕂: λαμα, 𝕄: λιμα, 𝕍: λεμα. **v.47** 𝕋*: εστωτων, 𝕍: εστηκοτων. **v.49** 𝔼 A: αυτον (see Joh 19.34), ℵ B C: αυτον αλλος δε λαβων λογχην ενυξεν αυτου την πλευραν και εξηλθεν υδωρ και αιμα. **v.51** 𝕋*: εις δυο απο ανωθεν εως κατω, 𝕍: απ ανωθεν εως κατω εις δυο. **v.52** 𝕋*: ηγερθη, 𝕍: ηγερθησαν.

τοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς ⸰
54 ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ᾽ αὐτοῦ τηροῦντες τὸν ἰησοῦν ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφοβήθησαν σφόδρα λέγοντες
55 ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος ⸰ ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι αἵτινες ἠκολούθησαν τῷ ἰησοῦ ἀπὸ
56 τῆς γαλιλαίας διακονοῦσαι αὐτῷ ⸰ ἐν αἷς ἦν μαρία ἡ μαγδαληνὴ καὶ μαρία ἡ τοῦ ἰακώβου καὶ ἰωσῆ μήτηρ καὶ ἡ μήτηρ τῶν
57 υἱῶν ζεβεδαίου ⸰ ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ ἁριμαθαίας τοὔνομα ἰωσὴφ ὃς καὶ αὐτὸς ἐμαθήτευσεν τῷ
58 ἰησοῦ ⸰ οὗτος προσελθὼν τῷ πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ ἰησοῦ
59 τότε ὁ πιλάτος ἐκέλευσεν ἀποδοθῆναι τὸ˚ σῶμα ⸰ καὶ λαβὼν τὸ
60 σῶμα ὁ ἰωσὴφ ἐνετύλιξεν αὐτὸ ὀινδόνι καθαρᾷ ⸰ καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ καὶ προ-
61 σκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν ⸰ ἦν δὲ ἐκεῖ μαριὰ ἡ μαγδαληνὴ καὶ ἡ ἄλλη μαρία καθήμεναι ἀπέναντι
62 τοῦ τάφου ⸰ τῇ δὲ ἐπαύριον ἥτις ἐστὶν μετὰ τὴν παρασκευὴν συ-
63 νήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς πιλάτον ⸰ λέγοντες κύριε ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν μετὰ τρεῖς
64 ἡμέρας ἐγείρομαι ⸰ κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσιν τῷ λαῷ ἠγέρθη ἀπὸ τῶν νεκρῶν
65 καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης ⸰ ἔφη δὲ˚ αὐτοῖς ὁ
66 πιλάτος ἔχετε κουστωδίαν ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε ⸰ οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας ⸰

28 ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθεν μαριὰ ἡ μαγδαληνὴ καὶ ἡ ἄλλη μαρία θεωρῆσαι τὸν τάφον ⸰
2 καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισεν τὸν λίθον ἀπὸ˚ τῆς θύρας
3 καὶ ἐκάθητο ἐπάνω αὐτοῦ ⸰ ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ
4 τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών ⸰ ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ
5 ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο˚ ὡσεὶ νεκροί ⸰ ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν ταῖς γυναιξὶν μὴ φοβεῖσθε ὑμεῖς οἶδα γὰρ
6 ὅτι ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε ⸰ οὐκ ἔστιν ὧδε ἠγέρθη γὰρ
7 καθὼς εἶπεν δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ˚ κύριος ⸰ καὶ

---

v.56 𝕋*: ιωση, 𝕍: ιωσηφ. **v.57** 𝕋*: εμαθητευσεν, 𝕍: εμαθητευθη. **v.58** 𝕋*: το σωμα, 𝕍: ∅. **v.59** 𝕋*: σινδονι, 𝕍: [εν] σινδονι. **v.61** 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.64** 𝕋*: νυκτος, 𝕍: ∅. **v.65** 𝕋*: δε, 𝕍: ∅. **28.v.1** 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.2** 𝕋*: προσελθων, 𝕍: και προσελθων. **v.2** 𝕋*: απο της θυρας, 𝕍: ∅. **v.3** 𝕋*: ιδεα, 𝕍: ειδεα. **v.3** 𝕋*: ωσει, 𝕍: ως. **v.4** 𝕋*: εγενοντο ωσει, 𝕍: εγενηθησαν ως. **v.6** 𝕋*: ο κυριος, 𝕍: ∅.

ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ
τῶν νεκρῶν καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν γαλιλαίαν ἐκεῖ αὐ-
τὸν ὄψεσθε ἰδοὺ εἶπον ὑμῖν ⸰ καὶ ἐξἐλθοῦσαι ταχὺ ἀπὸ τοῦ μνη- 8
μείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς
μαθηταῖς αὐτοῦ ⸰ ὡς˚ δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς 9
αὐτοῦ καὶ ἰδοὺ ὁ˚ ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων χαίρετε αἱ δὲ
προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν
αὐτῷ ⸰ τότε λέγει αὐταῖς ὁ ἰησοῦς μὴ φοβεῖσθε ὑπάγετε ἀπαγγεί- 10
λατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν κἀκεῖ
με ὄψονται ⸰ πορευομένων δὲ αὐτῶν ἰδοὺ τινὲς τῆς κουστωδίας 11
ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ
γενόμενα ⸰ καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων συμβούλιόν 12
τε λαβόντες ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις ⸰ λέγοντες 13
εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν
ἡμῶν κοιμωμένων ⸰ καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος 14
ἡμεῖς πείσομεν αὐτὸν καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν ⸰ οἱ δὲ 15
λαβόντες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν καὶ διἐφημίσθη
ὁ λόγος οὗτος παρὰ ἰουδαίοις μέχρι τῆς σήμερον˙ ⸰ οἱ δὲ ἕνδεκα 16
μαθηταὶ ἐπορεύθησαν εἰς τὴν γαλιλαίαν εἰς τὸ ὄρος οὗ ἐτάξατο
αὐτοῖς ὁ ἰησοῦς ⸰ καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ οἱ δὲ 17
ἐδίστασαν ⸰ καὶ προσελθὼν ὁ ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων ἐ- 18
δόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ⸰ πορευθέντες 19
οὖν˙ μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄ-
νομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ⸰ δι- 20
δάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν καὶ ἰδοὺ
ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ
αἰῶνος ἀμήν ⸰

---

v.8 𝕋*: εξελθουσαι, 𝕍: απελθουσαι. **v.9** 𝕋*: ως δε επορευοντο απαγγειλαι τοις μαθηταις αυτου, 𝕍: ∅. **v.9** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.9** 𝕋*: απηντησεν, 𝕍: υπηντησεν. **v.10** 𝕋 𝕂 𝕍: κακει, 𝕄: και εκει. **v.15** 𝔼: διεφημισθη, ℵ: εφημισθη. **v.15** 𝔼: ιουδαιοις μεχρι, D: τοις ιουδαιοις εως. **v.15** 𝕋*: σημερον, 𝕍: σημερον [ημερας], B D: σημερον ημερας. **v.17** 𝕋*: αυτω, 𝕍: ∅. **v.18** 𝔼: ουρανω, D: ουρανοις. **v.18** 𝕋*: γῆς, 𝕍: [τῆς] γῆς, B D: της γης. **v.19** 𝔼: πορευθέντες, **XXX**: καθως απεστειλεν με ο πατηρ καγω αποστελω υμας πορευθεντες. **v.19** 𝕋 𝕂 𝕍: οὖν, 𝕄: ∅, D: νυν. **v.19** 𝔼: βαπτίζοντες, B D: βαπτισαντες. **v.20** 𝕋*: αμήν, 𝕍: ∅.

ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

1, 2 ἀρχὴ τοῦ εὐαγγελίου ἰησοῦ χριστοῦ υἱοῦ˚ τοῦ θεοῦ ⸰ ὡς γέ-
γραπται ἐν τοῖς˚ προφήταις ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν
μου πρὸ προσώπου σου ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμ-
3 προσθέν˚ σου ⸰ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁ-
4 δὸν κυρίου εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ ⸰ ἐγένετο ἰωάννης
βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς
5 ἄφεσιν ἁμαρτιῶν ⸰ καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ ἰουδαία
χώρα καὶ οἱ ἱεροσολυμῖται καὶ˚ ἐβαπτίζοντο πάντες ἐν τῷ ἰορ-
δάνῃ ποταμῷ ὑπ᾽ αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν ⸰
6 ἦν˚ δὲ ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματί-
νην περὶ τὴν ὀσφὺν αὐτοῦ καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον ⸰
7 καὶ ἐκήρυσσεν λέγων ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου οὗ
οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐ-
8 τοῦ ⸰ ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι αὐτὸς δὲ βαπτίσει ὑμᾶς
9 ἐν πνεύματι ἁγίῳ ⸰ καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις ἦλθεν
ἰησοῦς ἀπὸ ναζαρὲτ τῆς γαλιλαίας καὶ ἐβαπτίσθη ὑπὸ˚ ἰωάννου
10 εἰς τὸν ἰορδάνην ⸰ καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος εἶδεν
σχιζομένους τοὺς οὐρανοὺς καὶ τὸ πνεῦμα ὡσεὶ περιστερὰν κα-
11 ταβαῖνον ἐπ᾽ αὐτόν ⸰ καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν σὺ εἶ ὁ
12 υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ˚ εὐδόκησα ⸰ καὶ εὐθὺς τὸ πνεῦμα αὐ-
13 τὸν ἐκβάλλει εἰς τὴν ἔρημον ⸰ καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας˚
τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ σατανᾶ καὶ ἦν μετὰ τῶν
14 θηρίων καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ ⸰ μετὰ δὲ τὸ παραδοθῆ-
ναι τὸν ἰωάννην ἦλθεν ὁ ἰησοῦς εἰς τὴν γαλιλαίαν κηρύσσων τὸ
15 εὐαγγέλιον τῆς˚ βασιλείας τοῦ θεοῦ ⸰ καὶ λέγων ὅτι πεπλήρω-
ται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ μετανοεῖτε καὶ
16 πιστεύετε ἐν τῷ εὐαγγελίῳ ⸰ περιπατῶν˚ δὲ παρὰ τὴν θάλασσαν
τῆς γαλιλαίας εἶδεν σίμωνα καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ

𝕋: ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, 𝕂: ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ, 𝕄 𝕍: ΚΑΤΑ ΜΑΡΚΟΝ. **1.v.1** 𝕋*: υιου του θεου, 𝕍: [υιου θεου], 𝔎*: ∅, 𝔎 B D: υιου θεου, **xxx**: υιου του κυριου. **v.2** 𝕋*: ως, 𝕍: καθως. **v.2** 𝕋*: τοις προφηταις, 𝕍: τω ησαια τω προφητη. **v.2** 𝕋*: εγω, 𝕍: ∅. **v.2** 𝕋*: εμπροσθεν σου, 𝕍: ∅. **v.4** 𝕋*: βαπτιζων, 𝕍: [ο] βαπτιζων. **v.5** 𝕋*: και εβαπτιζοντο παντες εν τω ιορδανη ποταμω υπ αυτου, 𝕍: παντες και εβαπτιζοντο υπ αυτου εν τω ιορδανη ποταμω. **v.6** 𝕋 𝕂: ην δε, 𝕄: ην δε ο, 𝕍: και ην ο. **v.6** 𝔼: τριχας, D: δερρην. **v.8** 𝕋*: μεν, 𝕍: ∅. **v.8** 𝕋*: εν, 𝕍: ∅. **v.9** 𝕋 𝕄 𝕍: ναζαρετ, 𝕂: ναζαρεθ. **v.9** 𝕋*: υπο ιωαννου εις τον ιορδανην, 𝕍: εις τον ιορδανην υπο ιωαννου. **v.10** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.10** 𝕋*: απο, 𝕍: εκ. **v.10** 𝕋*: ωσει, 𝕍: ως. **v.10** 𝕋*: επ, 𝕍: εις. **v.11** 𝕋*: ω, 𝕍: σοι. **v.13** 𝕋*: εκει, 𝕍: ∅. **v.13** 𝕋*: ημερας τεσσαρακοντα, 𝕍: τεσσερακοντα ημερας. **v.14** 𝕋*: της βασιλειας, 𝕍: ∅. **v.16** 𝕋*: περιπατων δε, 𝕍: και παραγων. **v.16** 𝕋 𝕂: αυτου, 𝕄: αυτου του σιμωνος, 𝕍: σιμωνος.

βάλλοντας˚ ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ ἦσαν γὰρ ἁλιεῖς ⸰ καὶ 17
εἶπεν αὐτοῖς ὁ ἰησοῦς δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς γε-
νέσθαι ἁλιεῖς ἀνθρώπων ⸰ καὶ εὐθέὼς ἀφέντες τὰ δίκτυα αὐτ̃ων 18
ἠκολούθησαν αὐτῷ ⸰ καὶ προβὰς ἐκ̃εῖθεν ὀλίγον εἶδεν ἰάκωβον 19
τὸν τοῦ ζεβεδαίου καὶ ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ αὐτοὺς
ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ δίκτυα ⸰ καὶ εὐθέὼς ἐκάλεσεν αὐ- 20
τοὺς καὶ ἀφέντες τὸν πατέρα αὐτῶν ζεβεδαῖον ἐν τῷ πλοίῳ με-
τὰ τῶν μισθωτῶν ἀπ̃ῆλθον ὀπίσω αὐτοῦ ⸰ καὶ εἰσπορεύονται εἰς 21
καπ̃ερναοὺμ καὶ εὐθέὼς τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συναγω-
γὴν ἐδίδασκεν ⸰ καὶ ἐξεπλήσσοντο ἐπὶ τ̃ῇ διδαχ̃ῇ αὐτοῦ ἦν γὰρ 22
διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς ⸰
κἀὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ 23
καὶ ἀνέκραξεν ⸰ λέγων ἔἀ τί ἡμῖν καὶ σοὶ ἰησοῦ ναζαρηνὲ ἦλθες 24
ἀπολέσαι ἡμᾶς οἶδά σε τίς εἶ ὁ ἅγιος τοῦ θεοῦ ⸰ καὶ ἐπετίμη- 25
σεν αὐτῷ ὁ ἰησοῦς λέγων φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ ⸰ καὶ 26
σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ κ̃ράξαν φωνῇ με-
γάλῃ ἐξ̃ῆλθεν ἐξ αὐτοῦ ⸰ καὶ ἐθαμβήθησαν ἅπάντες ὥστε συζητεῖν 27
πρὸς ἀὐτοὺς λέγοντας τί ἐστιν τοῦτο τίς˚ ἡ διδαχὴ ἡ καινὴ αὕτη
ὅτι κατ᾽ ἐξουσίαν καὶ τοῖς πνεύμασιν τοῖς ἀκαθάρτοις ἐπιτάσσει
καὶ ὑπακούουσιν αὐτῷ ⸰ ἐξ̃ῆλθεν˚ δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς 28
ὅλην τὴν περίχωρον τῆς γαλιλαίας ⸰ καὶ εὐθέὼς ἐκ τῆς συναγω- 29
γῆς ἐξελθόντες ἦλθον εἰς τὴν οἰκίαν σίμωνος καὶ ἀνδρέου μετὰ
ἰακώβου καὶ ἰωάννου ⸰ ἡ δὲ πενθερὰ σίμωνος κατέκειτο πυρέσ- 30
σουσα καὶ εὐθέὼς λέγουσιν αὐτῷ περὶ αὐτ̃ῆς ⸰ καὶ προσελθὼν 31
ἤγειρεν αὐτὴν κρατήσας τ̃ῆς χειρὸς αὐτ̃ῆς καὶ ἀφ̃ῆκεν αὐτὴν ὁ
πυρετὸς εὐθέὼς καὶ διηκόνει αὐτοῖς ⸰ ὀψίας δὲ γενομένης ὅτε 32
ἔδυ ὁ ἥλιος ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ
τοὺς δαιμονιζομένους ⸰ καὶ ἡ˚ πόλις ὅλη ἐπισυνηγμένη ἦν πρὸς 33
τὴν θύραν ⸰ καὶ ἐθεράπευσεν πολλοὺς κακῶς ἔχοντας ποικίλαις 34
νόσοις καὶ δαιμόνια πολλὰ ἐξέβαλεν καὶ οὐκ ἤφιεν λαλεῖν τὰ
δαιμόνια ὅτι ἤ̃δεισαν αὐτόν ⸰ καὶ πρωῒ ἔννυχὸν λίαν ἀναστὰς ἐ- 35
ξ̃ῆλθεν καὶ ἀπ̃ῆλθεν εἰς ἔρημον τόπον κἀκεῖ προσηύχετο ⸰ καὶ 36

---

v.16 $\mathbb{T}^*$: βαλλοντας αμφιβληστρον, $\mathbb{V}$: αμφιβαλλοντας. **v.18** $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.18** $\mathbb{T}^*$: αυτων, $\mathbb{V}$: ∅. **v.19** $\mathbb{T}^*$: εκειθεν, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.21** $\mathbb{T}^*$: καπερναουμ, $\mathbb{V}$: καφαρναουμ. **v.21** $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.23** $\mathbb{T}^*$: και, $\mathbb{V}$: και ευθυς. **v.24** $\mathbb{T}^*$: εα, $\mathbb{V}$: ∅. **v.26** $\mathbb{T}^*$: κραξαν, $\mathbb{V}$: φωνησαν. **v.27** $\mathbb{T}^*$: παντες, $\mathbb{V}$: απαντες. **v.27** $\mathbb{T}$ $\mathbb{K}$: αυτους, $\mathbb{M}$ $\mathbb{V}$: εαυτους. **v.27** $\mathbb{T}^*$: τις η διδαχη η καινη αυτη οτι, $\mathbb{V}$: διδαχη καινη. **v.28** $\mathbb{T}^*$: εξηλθεν δε, $\mathbb{V}$: και εξηλθεν. **v.28** $\mathbb{T}^*$: ευθυς, $\mathbb{V}$: ευθυς πανταχου. **v.29** $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.30** $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.31** $\mathbb{T}^*$: αυτης, $\mathbb{V}$: ∅. **v.31** $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ∅. **v.33** $\mathbb{T}^*$: η πολις ολη επισυνηγμενη ην, $\mathbb{V}$: ην ολη η πολις επισυνηγμενη. **v.35** $\mathbb{T}^*$: εννυχον, $\mathbb{V}$: εννυχα.

37 κατεδίωξἀν αὐτὸν ὁ˚ σίμων καὶ οἱ μετ᾽ αὐτοῦ ⸰ καὶ εὑρόντες αὐ-
38 τὸν λέγουσιν αὐτῷ ὅτι πάντες ζητοῦσίν˚ σε ⸰ καὶ λέγει αὐτοῖς ἄ-
γωμεν᾽ εἰς τὰς ἐχομένας κωμοπόλεις ἵνα κἀκεῖ κηρύξω εἰς τοῦτο
39 γὰρ ἐξελήλὐθα ⸰ καὶ ἦν᾽ κηρύσσων ἐν˚ ταῖς συναγωγαῖς αὐτῶν
40 εἰς ὅλην τὴν γαλιλαίαν καὶ τὰ δαιμόνια ἐκϐάλλων ⸰ καὶ ἔρχεται
πρὸς αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν καὶ γονυπετῶν αὐτὸν καὶ
41 λέγων αὐτῷ ὅτι ἐὰν θέλῃς δύνασαί με καθαρίσαι ⸰ ὁ˚ δὲ ἰησοῦς
σπλαγχνισθεὶς ἐκτείνας τὴν χεῖρα ἥψατο˚ αὐτοῦ καὶ λέγει αὐ-
42 τῷ θέλω καθαρίσθητι ⸰ καὶ εἰπόντος˚ αὐτοῦ εὐθέως ἀπῆλθεν ἀπ᾽
43 αὐτοῦ ἡ λέπρα καὶ ἐκαθαρίσθη ⸰ καὶ ἐμϐριμησάμενος αὐτῷ εὐ-
44 θέὡς ἐξέϐαλεν αὐτόν ⸰ καὶ λέγει αὐτῷ ὅρα μηδενὶ μηδὲν εἴπῃς
ἀλλ᾽ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ
45 καθαρισμοῦ σου ἃ προσέταξεν μωσῆς εἰς μαρτύριον αὐτοῖς ⸰ ὁ
δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον
ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν ἀλλ᾽
ἔξω ἐν᾽ ἐρήμοις τόποις ἦν καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν ⸰
2 καὶ πάλιν˚ εἰσῆλθεν εἰς καπερναοὺμ δι᾽ ἡμερῶν κἀι ἠκού-
2 σθη ὅτι εἰς˚ οἶκόν ἐστιν ⸰ καὶ εὐθέὡς συνήχθησαν πολλοὶ ὥστε
μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν καὶ ἐλάλει αὐτοῖς τὸν
3 λόγον ⸰ καὶ ἔρχονται πρὸς˚ αὐτὸν παραλυτικὸν φέροντες αἰρό-
4 μενον ὑπὸ τεσσάρων ⸰ καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ
τὸν ὄχλον ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν καὶ ἐξορύξαντες
5 χαλῶσιν τὸν κράϐϐατον˚ ἐφ᾽ ᾧ ὁ παραλυτικὸς κατέκειτο ⸰ ἰδὼν˚
δὲ ὁ ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ τέκνον ἀφέ-
6 ωνταί˚ σοι αἱ ἁμαρτίαι σου ⸰ ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ
7 καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν ⸰ τί οὗτος
οὕτως λαλεῖ ϐλασφημίαᾷ τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ
8 εἷς ὁ θεός ⸰ καὶ εὐθέὡς ἐπιγνοὺς ὁ ἰησοῦς τῷ πνεύματι αὐτοῦ
ὅτι οὕτωᾧ διαλογίζονται ἐν ἑαυτοῖς εἶπεν αὐτοῖς τί ταῦτα διαλο-

v.36 𝕋*: κατεδιωξαν, 𝕍: κατεδιωξεν. **v.36** 𝕋*: ο, 𝕍: ∅. **v.37** 𝕋*: ευροντες, 𝕍: ευρον. **v.37** 𝕋*: λεγουσιν, 𝕍: και λεγουσιν. **v.37** 𝕋 𝕂 𝕍: ζητουσιν σε, 𝕄: σε ζητουσιν. **v.38** 𝕋*: αγωμεν, 𝕍: αγωμεν αλλαχου. **v.38** 𝕋 𝕂: κακει, 𝕄 𝕍: και εκει. **v.38** 𝕋*: εξεληλυθα, 𝕍: εξηλθον. **v.39** 𝕋*: ην, 𝕍: ηλθεν. **v.39** 𝕋*: εν ταις συναγωγαις, 𝕍: εις τας συναγωγας. **v.40** 𝕋*: αυτον, 𝕍: ∅. **v.41** 𝕋*: ο δε ιησους σπλαγχνισθεις, 𝕍: και σπλαγχνισθεις, 𝔻: και οργισθεις. **v.41** 𝕋*: ηψατο αυτου, 𝕍: αυτου ηψατο. **v.42** 𝕋*: ειποντος αυτου ευθεως, 𝕍: ευθυς. **v.43** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.44** 𝕋*: αλλ, 𝕍: αλλα. **v.44** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.45** 𝕋*: εν, 𝕍: επ. **v.45** 𝕋*: πανταχοθεν, 𝕍: παντοθεν. **2.v.1** 𝕋 𝕂: παλιν εισηλθεν, 𝕄: εισηλθεν παλιν, 𝕍: εισελθων παλιν. **v.1** 𝕋*: καπερναουμ, 𝕍: καφαρναουμ. **v.1** 𝕋*: και, 𝕍: ∅. **v.1** 𝕋*: εις οικον, 𝕍: εν οικω. **v.2** 𝕋*: ευθεως, 𝕍: ∅. **v.3** 𝕋*: προς αυτον παραλυτικον φεροντες, 𝕍: φεροντες προς αυτον παραλυτικον. **v.4** 𝕋*: προσεγγισαι, 𝕍: προσενεγκαι. **v.4** 𝕋*: κραϐϐατον εφ ω, 𝕍: κραβαττον οπου. **v.5** 𝕋*: ιδων δε, 𝕍: και ιδων. **v.5** 𝕋*: αφεωνται σοι αι αμαρτιαι σου, 𝕍: αφιενται σου αι αμαρτιαι. **v.7** 𝕋*: βλασφημιας, 𝕍: βλασφημει. **v.8** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.8** 𝕋 𝕂 𝕍: ουτως, 𝕄: ουτως αυτοι. **v.8** 𝕋*: ειπεν, 𝕍: λεγει.

γίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν ⸰ τί ἐστιν εὐκοπώτερον εἰπεῖν τῷ 9
παραλυτικῷ ἀφέωνταί˚ σοι αἱ ἁμαρτίαι ἢ εἰπεῖν ἔγειραι˚ καὶ ἆ-
ρόν σου τὸν κράββατον καὶ περιπάτει ⸰ ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν 10
ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ˚ τῆς γῆς ἁμαρτίας λέγει
τῷ παραλυτικῷ ⸰ σοὶ λέγω ἔγειραι˚ καὶ ἆρον τὸν κράββατόν σου 11
καὶ ὕπαγε εἰς τὸν οἶκόν σου ⸰ καὶ ἠγέρθη εὐθέως˚ καὶ ἄρας τὸν 12
κράββᾶτον ἐξῆλθεν ἐνᾶντίον πάντων ὥστε ἐξίστασθαι πάντας καὶ
δοξάζειν τὸν θεὸν λέγοντας ὅτι οὐδέποτε˚ οὕτως εἴδομεν ⸰ καὶ ἐ- 13
ξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς
αὐτὸν καὶ ἐδίδασκεν αὐτούς ⸰ καὶ παράγων εἶδεν λεὐῖν τὸν τοῦ 14
ἁλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον καὶ λέγει αὐτῷ ἀκολούθει
μοι καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ ⸰ καὶ ἐγένετο˚ ἐν τῷ κατα- 15
κεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ πολλοὶ τελῶναι καὶ ἁμαρ-
τωλοὶ συνανέκειντο τῷ ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ ἦσαν γὰρ
πολλοὶ καὶ ἠκολούθησαν αὐτῷ ⸰ καὶ οἱ γραμματεῖς καὶ˚ οἱ φαρι- 16
σαῖοι ἰδόντες αὐτὸν˚ ἐσθίοντα μετὰ τῶν τελωνῶν˚ καὶ ἁμαρτωλῶν
ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρ-
τωλῶν ἐσθίει καὶ˚ πίνει ⸰ καὶ ἀκούσας ὁ ἰησοῦς λέγει αὐτοῖς ὁὐ 17
χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ᾽ οἱ κακῶς ἔχοντες οὐκ
ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς˚ μετάνοιαν ⸰ καὶ 18
ἦσαν οἱ μαθηταὶ ἰωάννου καὶ οἱ τῶν˚ φαρισαίων νηστεύοντες καὶ
ἔρχονται καὶ λέγουσιν αὐτῷ διατὶ οἱ μαθηταὶ ἰωάννου καὶ ὁἱ τῶν
φαρισαίων νηστεύουσιν οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσιν ⸰ καὶ 19
εἶπεν αὐτοῖς ὁ ἰησοῦς μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος ἐν ᾧ
ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστιν νηστεύειν ὅσον χρόνον μεθ᾽˚ ἑαυτῶν
ἔχουσιν τὸν νυμφίον οὐ δύνανται νηστεύειν ⸰ ἐλεύσονται δὲ ἡ- 20
μέραι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος καὶ τότε νηστεύσουσιν
ἐν ἐκείναις˚ ταῖς ἡμέραις ⸰ κἀὶ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνά- 21
φου ἐπιῤῥάπτει ἐπὶ ἱματίῳ˚ παλαιῷ εἰ δὲ μὴ αἴρει τὸ πλήρωμα
ἀὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ καὶ χεῖρον σχίσμα γίνεται ⸰ καὶ 22

---

v.9 𝕋 𝕂: αφεωνται σοι, 𝕄: αφεωνται σου, 𝕍: αφιενται σου. **v.9** 𝕋*: εγειραι και αρον σου τον κραββατον, 𝕍: εγειρε και αρον τον κραβαττον σου. **v.10** 𝕋*: επι της γης αμαρτιας, 𝕍: αμαρτιας επι της γης. **v.11** 𝕋*: εγειραι και αρον τον κραββατον, 𝕍: εγειρε αρον τον κραβαττον. **v.12** 𝕋*: ευθεως και, 𝕍: και ευθυς. **v.12** 𝕋*: κραββατον, 𝕍: κραβαττον. **v.12** 𝕋*: εναντιον, 𝕍: εμπροσθεν. **v.12** 𝕋*: ουδεποτε ουτως, 𝕍: ουτως ουδεποτε. **v.14** 𝔼: λευιν, D: ιακωβον. **v.15** 𝕋*: εγενετο εν τω, 𝕍: γινεται. **v.15** 𝕋*: ηκολουθησαν, 𝕍: ηκολουθουν. **v.16** 𝕋*: και οι φαρισαιοι, 𝕍: των φαρισαιων. **v.16** 𝕋*: αυτον εσθιοντα, 𝕍: οτι εσθιει. **v.16** 𝕋*: τελωνων και αμαρτωλων, 𝕍: αμαρτωλων και τελωνων. **v.16** 𝕋*: τι, 𝕍: ∅. **v.16** 𝕋*: και πινει, 𝕍: ∅. **v.17** 𝕋*: ου, 𝕍: [οτι] ου. **v.17** 𝕋*: εις μετανοιαν, 𝕍: ∅. **v.18** 𝕋*: των φαρισαιων, 𝕍: φαρισαιοι. **v.18** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.18** 𝕋*: οι, 𝕍: οι μαθηται. **v.19** 𝕋*: μεθ εαυτων εχουσιν τον νυμφιον, 𝕍: εχουσιν τον νυμφιον μετ αυτων. **v.20** 𝕋*: εκειναις ταις ημεραις, 𝕍: εκεινη τη ημερα. **v.21** 𝕋*: και, 𝕍: ∅. **v.21** 𝕋*: επιρραπτει, 𝕍: επιραπτει. **v.21** 𝕋*: ιματιω παλαιω, 𝕍: ιματιον παλαιον. **v.21** 𝕋*: αυτου, 𝕍: απ αυτου.

οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς εἰ δὲ μὴ ῥήῤσει
ὁ οἶνος ὁ˚ νέος τοὺς ἀσκοὺς καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ
23 ἀπολοῦνται ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον ◦ καὶ
ἐγένετο παραπορεύεσθαι˚ αὐτὸν ἐν τοῖς σάββασιν διὰ τῶν σπο-
ρίμων καὶ ἤρξαντο˚ οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς
24 στάχυας ◦ καὶ οἱ φαρισαῖοι ἔλεγον αὐτῷ ἴδε τί ποιοῦσιν ἐν τοῖς
25 σάββασιν ὃ οὐκ ἔξεστιν ◦ καὶ αὐτὸς˚ ἔλεγεν αὐτοῖς οὐδέποτε ἀ-
νέγνωτε τί ἐποίησεν δαβὶδ ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν αὐτὸς
26 καὶ οἱ μετ᾽ αὐτοῦ ◦ πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ ἀβιά-
θαρ τοῦ ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν οὓς
οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ τοῖς˚ ἱερεῦσιν καὶ ἔδωκεν καὶ τοῖς σὺν
27 αὐτῷ οὖσιν ◦ καὶ ἔλεγεν αὐτοῖς τὸ σάββατον διὰ τὸν ἄνθρωπον
28 ἐγένετο οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον ◦ ὥστε κύριός ἐστιν ὁ
υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου ◦

3 καὶ εἰσῆλθεν πάλιν εἰς τὴν συναγωγὴν καὶ ἦν ἐκεῖ ἄνθρω-
2 πος ἐξηραμμένην ἔχων τὴν χεῖρα ◦ καὶ παρετήρουν αὐτὸν εἰ τοῖς
3 σάββασιν θεραπεύσει αὐτὸν ἵνα κατηγορήσωσιν αὐτοῦ ◦ καὶ λέ-
γει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην˚ ἔχοντι τὴν χεῖρα ἔγειραι εἰς
4 τὸ μέσον ◦ καὶ λέγει αὐτοῖς ἔξεστιν τοῖς σάββασιν ἀγαθοποιῆσαι
5 ἢ κακοποιῆσαι ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι οἱ δὲ ἐσιώπων ◦ καὶ
περιβλεψάμενος αὐτοὺς μετ᾽ ὀργῆς συλλυπούμενος ἐπὶ τῇ πω-
ρώσει τῆς καρδίας αὐτῶν λέγει τῷ ἀνθρώπῳ ἔκτεινον τὴν χεῖρά
ὅου καὶ ἐξέτεινεν καὶ ἀπόκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς˚ ὡς ἡ
6 ἄλλη ◦ καὶ ἐξελθόντες οἱ φαρισαῖοι εὐθέως μετὰ τῶν ἡρωδιανῶν
7 συμβούλιον ἐποίουν κατ᾽ αὐτοῦ ὅπως αὐτὸν ἀπολέσωσιν ◦ καὶ ὁ
ἰησοῦς ἀνεχώρησεν˚ μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασ-
σαν καὶ πολὺ πλῆθος ἀπὸ τῆς γαλιλαίας ἠκολούθησαν˚ αὐτῷ
8 καὶ ἀπὸ τῆς ἰουδαίας ◦ καὶ ἀπὸ ἱεροσολύμων καὶ ἀπὸ τῆς ἰδου-
μαίας καὶ πέραν τοῦ ἰορδάνου καὶ οἱ περὶ τύρον καὶ σιδῶνα
9 πλῆθος πολὺ ἀκούοντες ὅσα ἐποίει ἦλθον πρὸς αὐτόν ◦ καὶ εἶ-
πεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ

---

v.22 𝕋*: ρησσει, 𝕍: ρηξει. **v.22** 𝕋*: ο νεος, 𝕍: ∅. **v.22** 𝕋*: εκχειται, 𝕍: απολλυται. **v.22** 𝕋*: απολουνται, 𝕍: ∅. **v.22** 𝕋*: βλητεον, 𝕍: ∅. **v.23** 𝕋*: παραπορευεσθαι αυτον εν τοις σαββασιν, 𝕍: αυτον εν τοις σαββασιν παραπορευεσθαι. **v.23** 𝕋*: ηρξαντο οι μαθηται αυτου, 𝕍: οι μαθηται αυτου ηρξαντο. **v.24** 𝕋*: εν, 𝕍: ∅. **v.25** 𝕋*: αυτος ελεγεν, 𝕍: λεγει. **v.25** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.26** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.26** 𝕋*: τοις ιερευσιν, 𝕍: τους ιερεις. **v.27** 𝕋*: ουχ, 𝕍: και ουχ. **3.v.3** 𝕋*: εξηραμμενην εχοντι την χειρα εγειραι, 𝕍: την ξηραν χειρα εχοντι εγειρε. **v.4** 𝕋*: αγαθοποιησαι, 𝕍: αγαθον ποιησαι. **v.5** 𝕋*: σου, 𝕍: ∅. **v.5** 𝕋*: αποκατεσταθη, 𝕍: απεκατεσταθη. **v.5** 𝕋*: υγιης ως η αλλη, 𝕍: ∅. **v.6** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.6** 𝕋*: εποιουν, 𝕍: εδιδουν. **v.7** 𝕋*: ανεχωρησεν μετα των μαθητων αυτου, 𝕍: μετα των μαθητων αυτου ανεχωρησεν. **v.7** 𝕋*: ηκολουθησαν αυτω, 𝕍: [ηκολουθησεν]. **v.8** 𝕋*: οι, 𝕍: ∅. **v.8** 𝕋*: ακουσαντες, 𝕍: ακουοντες.

τὸν ὄχλον ἵνα μὴ θλίβωσιν αὐτόν· πολλοὺς γὰρ ἐθεράπευσεν 10
ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται ὅσοι εἶχον μάστιγας·
καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα ὅταν αὐτὸν ἐθεώρει προσέπιπτεν 11
αὐτῷ καὶ ἔκραζεν λέγοντα ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ· καὶ πολλὰ 12
ἐπετίμα αὐτοῖς ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσιν· καὶ ἀναβαί- 13
νει εἰς τὸ ὄρος καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτὸς καὶ ἀπῆλθον
πρὸς αὐτόν· καὶ ἐποίησεν δώδεκα ἵνα ὦσιν μετ' αὐτοῦ καὶ ἵνα 14
ἀποστέλλῃ αὐτοὺς κηρύσσειν· καὶ ἔχειν ἐξουσίαν θεραπεύειν 15
τὰς νόσους καὶ ἐκβάλλειν τὰ δαιμόνια· κἀὶ ἐπέθηκεν τῷ σίμωνι 16
ὄνομα πέτρον· καὶ ἰάκωβον τὸν τοῦ ζεβεδαίου καὶ ἰωάννην τὸν 17
ἀδελφὸν τοῦ ἰακώβου καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα βοανὲργὲς
ὅ ἐστιν υἱοὶ βροντῆς· καὶ ἀνδρέαν καὶ φίλιππον καὶ βαρθολο- 18
μαῖον καὶ ματθαῖον καὶ θωμᾶν καὶ ἰάκωβον τὸν τοῦ ἀλφαίου καὶ
θαδδαῖον καὶ σίμωνα τὸν κανανίτην· καὶ ἰούδαν ἰσκαριώτην ὃς 19
καὶ παρέδωκεν αὐτόν· καὶ ἔρχονται εἰς οἶκον καὶ συνέρχεται 20
πάλιν ὄχλος ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν· καὶ 21
ἀκούσαντες οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτὸν ἔλεγον γὰρ
ὅτι ἐξέστη· καὶ οἱ γραμματεῖς οἱ ἀπὸ ἱεροσολύμων καταβάντες 22
ἔλεγον ὅτι βεελζεβοὺλ ἔχει καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων
ἐκβάλλει τὰ δαιμόνια· καὶ προσκαλεσάμενος αὐτοὺς ἐν παρα- 23
βολαῖς ἔλεγεν αὐτοῖς πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν·
καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ οὐ δύναται σταθῆναι ἡ 24
βασιλεία ἐκείνη· καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ οὐ δύναται 25
σταθῆναι ἡ οἰκία ἐκείνη· καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν 26
καὶ μεμέρισται οὐ δύναται στάθῆναι ἀλλὰ τέλος ἔχει· οὐ δύνα- 27
ται οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ
διαρπάσαι ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ καὶ τότε τὴν οἰ-
κίαν αὐτοῦ διαρπάσει· ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται 28
τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων καὶ βλασφημίαι ὅσας
ἂν βλασφημήσωσιν· ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅ- 29

---

v.11 $\mathbb{T}^*$: εθεωρει προσεπιπτεν, $\mathbb{V}$: εθεωρουν προσεπιπτον. **v.11** $\mathbb{T}^*$: εκραζεν λεγοντα, $\mathbb{V}$: εκραζον λεγοντες. **v.12** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: αυτον φανερον, $\mathbb{M}$: φανερον αυτον. **v.14** $\mathbb{T}^*$: δωδεκα, $\mathbb{V}$: δωδεκα [ους και αποστολους ωνομασεν]. **v.15** $\mathbb{T}^*$: θεραπευειν τας νοσους και, $\mathbb{V}$: ∅. **v.16** $\mathbb{T}^*$: και, $\mathbb{V}$: [και εποιησεν τους δωδεκα] και. **v.16** $\mathbb{T}^*$: τω σιμωνι ονομα, $\mathbb{V}$: ονομα τω σιμωνι. **v.17** $\mathbb{T}^*$: ονοματα, $\mathbb{V}$: ονομα[τα]. **v.17** $\mathbb{T}^*$: βοανεργες, $\mathbb{V}$: βοανηργες. **v.18** $\mathbb{T}^*$: ματθαιον, $\mathbb{V}$: μαθθαιον. **v.18** $\mathbb{T}^*$: κανανιτην, $\mathbb{V}$: καναναιον. **v.19** $\mathbb{T}^*$: ισκαριωτην, $\mathbb{V}$: ισκαριωθ. **v.20** $\mathbb{T}^*$: ερχονται, $\mathbb{V}$: ερχεται. **v.20** $\mathbb{T}^*$: οχλος, $\mathbb{V}$: [ο] οχλος. **v.20** $\mathbb{T}^*$: μητε, $\mathbb{V}$: μηδε. **v.25** $\mathbb{T}^*$: δυναται σταθηναι η οικια εκεινη, $\mathbb{V}$: δυνησεται η οικια εκεινη σταθηναι. **v.26** $\mathbb{T}^*$: μεμερισται, $\mathbb{V}$: εμερισθη. **v.26** $\mathbb{T}^*$: σταθηναι, $\mathbb{V}$: στηναι. **v.27** $\mathbb{T}$ $\mathbb{K}$: ου δυναται ουδεις, $\mathbb{M}$: ουδεις δυναται, $\mathbb{V}$: αλλ ου δυναται ουδεις. **v.27** $\mathbb{T}^*$: τα σκευη του ισχυρου εισελθων εις την οικιαν, $\mathbb{V}$: εις την οικιαν του ισχυρου εισελθων τα σκευη. **v.27** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: διαρπασει, $\mathbb{M}$: διαρπαση. **v.28** $\mathbb{T}^*$: τα αμαρτηματα τοις υιοις των ανθρωπων και βλασφημιαι οσας αν, $\mathbb{V}$: τοις υιοις των ανθρωπων τα αμαρτηματα και αι βλασφημιαι οσα εαν.

γιον οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα ἀλλ᾽ ἔνοχός ἐστιν αἰωνίου
30, 31 κρίσεως ◦ ὅτι ἔλεγον πνεῦμα ἀκάθαρτον ἔχει ◦ ἔρχονται˚ οὖν οἱ
ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς
32 αὐτὸν φωνοῦντες αὐτόν ◦ καὶ ἐκάθητο ὄχλος˚ περὶ αὐτὸν εἶπον˚
δὲ αὐτῷ ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σοὺ ἔξω ζητοῦσίν σε ◦
33 καὶ ἀπεκρίθη˚ αὐτοῖς λέγων τίς ἐστιν ἡ μήτηρ μου ἢ˚ οἱ ἀδελφοί
34 μου ◦ καὶ περιβλεψάμενος κύκλῳ˚ τοὺς περὶ αὐτὸν καθημένους
35 λέγει ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου ◦ ὃς γὰρ ἂν ποιήσῃ
τὸ θέλημα τοῦ θεοῦ οὗτος ἀδελφός μου καὶ ἀδελφή μού καὶ
μήτηρ ἐστίν ◦

4 καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν καὶ συνήχ-
θη πρὸς αὐτὸν ὄχλος πολὺς ὥστε αὐτὸν ἐμβάντα˚ εἰς τὸ πλοῖον
καθῆσθαι ἐν τῇ θαλάσσῃ καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν
2 ἐπὶ τῆς γῆς ἦν˙ ◦ καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλὰ
3 καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ ◦ ἀκούετε ἰδοὺ ἐξῆλθεν ὁ
4 σπείρων τοῦ σπεῖραι ◦ καὶ ἐγένετο ἐν τῷ σπείρειν ὃ μὲν ἔπεσεν
παρὰ τὴν ὁδὸν καὶ ἦλθεν τὰ πετεινὰ τοῦ˚ οὐρανοῦ καὶ κατέ-
5 φαγεν αὐτό ◦ ἄλλο˚ δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχεν
γῆν πολλὴν καὶ εὐθέως ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς ◦
6 ἡλίου˚ δὲ ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν
7 ἐξηράνθη ◦ καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας καὶ ἀνέβησαν αἱ ἄ-
8 κανθαι καὶ συνέπνιξαν αὐτὸ καὶ καρπὸν οὐκ ἔδωκεν ◦ καὶ ἄλλὸ
ἔπεσεν εἰς τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα
καὶ αὐξάνοντα καὶ ἔφερεν ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα καὶ ἓν
9, 10 ἑκατόν ◦ καὶ ἔλεγεν αὐτοῖς ὁ˚ ἔχων ὦτα ἀκούειν ἀκουέτω ◦ ὅτε˚
δὲ ἐγένετο κατα μόνας ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς
11 δώδεκα τὴν˚ παραβολήν ◦ καὶ ἔλεγεν αὐτοῖς ὑμῖν δέδοται˚ γνῶ-
ναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ ἐκείνοις δὲ τοῖς ἔξω ἐν
12 παραβολαῖς τὰ πάντα γίνεται ◦ ἵνα βλέποντες βλέπωσιν καὶ μὴ

---

v.29 𝕋*: αλλ, 𝕍: αλλα. **v.29** 𝕋*: κρισεως, 𝕍: αμαρτηματος. **v.31** 𝕋*: ερχονται ουν οι αδελφοι και η μητηρ αυτου, 𝕍: και ερχεται η μητηρ αυτου και οι αδελφοι αυτου. **v.31** 𝕋*: εστωτες, 𝕍: στηκοντες. **v.31** 𝕋*: φωνουντες, 𝕍: καλουντες. **v.32** 𝕋*: οχλος περι αυτον, 𝕍: περι αυτον οχλος. **v.32** 𝕋*: ειπον δε, 𝕍: και λεγουσιν. **v.32** 𝕋 𝕂: σου, 𝕄: σου και αι αδελφαι σου, 𝕍: σου [και αι αδελφαι σου]. **v.33** 𝕋*: απεκριθη αυτοις λεγων, 𝕍: αποκριθεις αυτοις λεγει. **v.33** 𝕋*: η, 𝕍: και. **v.34** 𝕋*: κυκλω τους περι αυτον, 𝕍: τους περι αυτον κυκλω. **v.35** 𝕋*: μου, 𝕍: ∅. **4.v.1** 𝕋*: συνηχθη, 𝕍: συναγεται. **v.1** 𝕋*: πολυς, 𝕍: πλειστος. **v.1** 𝕋*: εμβαντα εις το πλοιον, 𝕍: εις πλοιον εμβαντα. **v.1** 𝕋*: ην, 𝕍: ησαν. **v.3** 𝕋*: του, 𝕍: ∅. **v.4** 𝕋 𝕂: του ουρανου, 𝕄 𝕍: ∅. **v.5** 𝕋*: αλλο δε, 𝕍: και αλλο. **v.5** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.6** 𝕋*: ηλιου δε ανατειλαντος, 𝕍: και οτε ανετειλεν ο ηλιος. **v.8** 𝕋*: αλλο, 𝕍: αλλα. **v.8** 𝕋*: αυξανοντα, 𝕍: αυξανομενα. **v.9** 𝕋 𝕂: αυτοις, 𝕄 𝕍: ∅. **v.9** 𝕋*: ο εχων, 𝕍: ος εχει. **v.10** 𝕋*: οτε δε, 𝕍: και οτε. **v.10** 𝕋 𝕂: καταμονας, 𝕄 𝕍: κατα μονας. **v.10** 𝕋*: ηρωτησαν, 𝕍: ηρωτων. **v.10** 𝕋*: την παραβολην, 𝕍: τας παραβολας. **v.11** 𝕋*: δεδοται γνωναι το μυστηριον, 𝕍: το μυστηριον δεδοται.

ἴδωσιν καὶ ἀκούοντες ἀκούωσιν καὶ μὴ συνιῶσιν μήποτε ἐπι-
στρέψωσιν καὶ ἀφεθῇ αὐτοῖς τὰ˚ ἁμαρτήματα ⸰ καὶ λέγει αὐτοῖς 13
οὐκ οἴδατε τὴν παραβολὴν ταύτην καὶ πῶς πάσας τὰς παρα-
βολὰς γνώσεσθε ⸰ ὁ σπείρων τὸν λόγον σπείρει ⸰ οὗτοι δέ εἰσιν 14, 15
οἱ παρὰ τὴν ὁδὸν ὅπου σπείρεται ὁ λόγος καὶ ὅταν ἀκούσωσιν
εὐθέως ἔρχεται ὁ σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον
ἐν˚ ταῖς καρδίαις αὐτῶν ⸰ καὶ οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πε- 16
τρώδη σπειρόμενοι οἳ ὅταν ἀκούσωσιν τὸν λόγον εὐθέως μετὰ
χαρᾶς λαμβάνουσιν αὐτόν ⸰ καὶ οὐκ ἔχουσιν ῥίζαν ἐν ἑαυτοῖς 17
ἀλλὰ πρόσκαιροί εἰσιν εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ
τὸν λόγον εὐθέως σκανδαλίζονται ⸰ καὶ οὗτοί εἰσιν οἱ εἰς τὰς ἀ- 18
κάνθας σπειρόμενοι οὗτοί˚ εἰσιν οἱ τὸν λόγον ἀκούσαντες ⸰ καὶ αἱ 19
μέριμναι τοῦ αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου καὶ αἱ περὶ
τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσιν τὸν λόγον
καὶ ἄκαρπος γίνεται ⸰ καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν 20
σπαρέντες οἵτινες ἀκούουσιν τὸν λόγον καὶ παραδέχονται καὶ
καρποφοροῦσιν ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα καὶ ἓν ἑκατόν ⸰
καὶ ἔλεγεν αὐτοῖς μήτι ὁ˚ λύχνος ἔρχεται ἵνα ὑπὸ τὸν μόδιον 21
τεθῇ ἢ ὑπὸ τὴν κλίνην οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ ⸰ οὐ γὰρ 22
ἐστίν τι˚ κρυπτὸν ὃ ἐὰν μὴ φανερωθῇ οὐδὲ ἐγένετο ἀπόκρυφον
ἀλλ᾽ ἵνα εἰς˚ φανερὸν ἔλθῃ ⸰ εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω ⸰ καὶ 23, 24
ἔλεγεν αὐτοῖς βλέπετε τί ἀκούετε ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθή-
σεται ὑμῖν καὶ προστεθήσεται ὑμῖν τοῖς˚ ἀκούουσιν ⸰ ὃς γὰρ ἂν˚ 25
ἔχῃ δοθήσεται αὐτῷ καὶ ὃς οὐκ ἔχει καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽
αὐτοῦ ⸰ καὶ ἔλεγεν οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ὡς ἐὰν ἄν- 26
θρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς ⸰ καὶ καθεύδῃ καὶ ἐγείρη- 27
ται νύκτα καὶ ἡμέραν καὶ ὁ σπόρος βλαστάνῃ καὶ μηκύνηται ὡς
οὐκ οἶδεν αὐτός ⸰ αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ πρῶτον χόρ- 28
τον εἶτα στάχυν εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ ⸰ ὅταν δὲ παραδῷ 29
ὁ καρπὸς εὐθέως ἀποστέλλει τὸ δρέπανον ὅτι παρέστηκεν ὁ θε-
ρισμός ⸰ καὶ ἔλεγεν τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ ἢ 30

---

v.12 𝕋*: τα αμαρτηματα, 𝕍: ∅. **v.15** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.15** 𝕋*: εν ταις καρδιαις αυτων, 𝕍: εις αυτους. **v.16** 𝕋*: ομοιως, 𝕍: ∅. **v.16** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.17** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.18** 𝕋*: ουτοι, 𝕍: αλλοι. **v.18** 𝕋 𝕍: ουτοι εισιν, 𝕄 𝕂: ∅. **v.18** 𝕋*: ακουοντες, 𝕍: ακουσαντες. **v.19** 𝕋*: τουτου, 𝕍: ∅. **v.20** 𝕋*: ουτοι, 𝕍: εκεινοι. **v.21** 𝕋*: ο λυχνος ερχεται, 𝕍: ερχεται ο λυχνος. **v.21** 𝕋*: επιτεθη, 𝕍: τεθη. **v.22** 𝕋*: τι κρυπτον ο, 𝕍: κρυπτον. **v.22** 𝕋*: μη, 𝕍: μη ινα. **v.22** 𝕋*: εις φανερον ελθη, 𝕍: ελθη εις φανερον. **v.24** 𝕋*: τοις ακουουσιν, 𝕍: ∅. **v.25** 𝕋*: αν εχη, 𝕍: εχει. **v.26** 𝕋*: εαν, 𝕍: ∅. **v.27** 𝕋*: βλαστανη, 𝕍: βλαστα. **v.28** 𝕋*: γαρ, 𝕍: ∅. **v.28** 𝕋*: πληρη, 𝕍: πληρη[ς]. **v.29** 𝕋*: παραδω, 𝕍: παραδοι. **v.29** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.30** 𝕋*: τινι, 𝕍: πως. **v.30** 𝕋 𝕂 𝕍: ομοιωσωμεν, 𝕄: ομοιωσομεν.

31 ἐν ποίᾳ˚ παραβολῇ παραβάλωμεν αὐτήν ◦ ὡς κόκκῳ σινάπεως
ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς μικρότεροϛ πάντων τῶν σπερμάτων
32 ἐστὶν τῶν ἐπὶ τῆς γῆς ◦ καὶ ὅταν σπαρῇ ἀναβαίνει καὶ γίνεται
πάντων˚ τῶν λαχάνων μείζων καὶ ποιεῖ κλάδους μεγάλους ὥστε
δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατα-
33 σκηνοῦν ◦ καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν
34 λόγον καθὼς ἠδύνᾶντο ἀκούειν ◦ χωρὶς δὲ παραβολῆς οὐκ ἐλά-
λει αὐτοῖς κατ᾽ ἰδίαν δὲ τοῖς μαθηταῖς˚ αὐτοῦ ἐπέλυεν πάντα ◦
35 καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης διέλθωμεν
36 εἰς τὸ πέραν ◦ καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς
37 ἦν ἐν τῷ πλοίῳ καὶ ἄλλα δὲ˚ πλοιάρια ἦν μετ᾽ αὐτοῦ ◦ καὶ γίνεται
λαῖλαψ ἀνέμου˚ μεγάλη τὰ˚ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον
38 ὥστε αὐτὸ˚ ἤδη γεμίζεσθαι ◦ καὶ ἦν˚ αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ
προσκεφάλαιον καθεύδων καὶ διεγείρουσιν αὐτὸν καὶ λέγουσιν
39 αὐτῷ διδάσκαλε οὐ μέλει σοι ὅτι ἀπολλύμεθα ◦ καὶ διεγερθεὶς
ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θαλάσσῃ σιώπα πεφίμωσο
40 καὶ ἐκόπασεν ὁ ἄνεμος καὶ ἐγένετο γαλήνη μεγάλη ◦ καὶ εἶπεν
41 αὐτοῖς τί δειλοί ἐστε οὕτως˚ πῶς οὐκ ἔχετε πίστιν ◦ καὶ ἐφοβή-
θησαν φόβον μέγαν καὶ ἔλεγον πρὸς ἀλλήλους τίς ἄρα οὗτός
ἐστιν ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ ◦

5 καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν
2 γαδαρηνῶν ◦ καὶ ἐξελθόντι˚ αὐτῷ ἐκ τοῦ πλοίου εὐθέως˚ ἀπήν-
τησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ ◦
3 ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνημείοις καὶ οὔτε˚ ἁλύσεσιν
4 οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι ◦ διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ
ἁλύσεσιν δεδέσθαι καὶ διεσπᾶσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις καὶ
5 τὰς πέδας συντετρίφθαι καὶ οὐδεὶς αὐτὸν˚ ἴσχυεν δαμάσαι ◦ καὶ
διαπαντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς ὄρεσιν˚ καὶ ἐν τοῖς μνή-
6 μασιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις ◦ ἰδὼν˚ δὲ τὸν
7 ἰησοῦν ἀπὸ μακρόθεν ἔδραμεν καὶ προσεκύνησεν αὐτῷ ◦ καὶ

---

v.30 𝕋*: ποια παραβολη παραβαλωμεν αυτην, 𝕍: τινι αυτην παραβολη θωμεν. **v.31** 𝕋 𝕂 𝕍: κοκκω, 𝕄: κοκκον. **v.31** 𝕋*: μικροτερος, 𝕍: μικροτερον ον. **v.31** 𝕋*: εστιν, 𝕍: ∅. **v.32** 𝕋*: παντων των λαχανων μειζων, 𝕍: μειζον παντων των λαχανων. **v.33** 𝕋 𝕂 𝕍: ηδυναντο, 𝕄: εδυναντο. **v.34** 𝕋*: μαθηταις αυτου, 𝕍: ιδιοις μαθηταις. **v.36** 𝕋* 𝕍: ἀφέντες, 𝔓45: αφιουσιν. **v.36** 𝕋*: δε πλοιαρια, 𝕍: πλοια. **v.37** 𝕋*: ανεμου μεγαλη, 𝕍: μεγαλη ανεμου. **v.37** 𝕋*: τα δε, 𝕍: και τα. **v.37** 𝕋 𝕂 𝕍: επεβαλλεν, 𝕄: επεβαλεν. **v.37** 𝕋*: αυτο ηδη γεμιζεσθαι, 𝕍: ηδη γεμιζεσθαι το πλοιον. **v.38** 𝕋*: ην αυτος επι, 𝕍: αυτος ην εν. **v.38** 𝕋*: διεγειρουσιν, 𝕍: εγειρουσιν. **v.40** 𝕋*: ουτως πως ουκ, 𝕍: ουπω. **v.41** 𝕋*: υπακουουσιν, 𝕍: υπακουει. **5.v.1** 𝕋*: γαδαρηνων, 𝕍: γερασηνων. **v.2** 𝕋*: εξελθοντι αυτω, 𝕍: εξελθοντος αυτου. **v.2** 𝕋*: ευθεως απηντησεν, 𝕍: ευθυς υπηντησεν. **v.3** 𝕋 𝕂: μνημειοις, 𝕄 𝕍: μνημασιν. **v.3** 𝕋*: ουτε αλυσεσιν, 𝕍: ουδε αλυσει ουκετι. **v.3** 𝕋 𝕂: ηδυνατο, 𝕄 𝕍: εδυνατο. **v.4** 𝕋*: αυτον ισχυεν, 𝕍: ισχυεν αυτον. **v.5** 𝕋: διαπαντος, 𝕂 𝕄 𝕍: δια παντος. **v.5** 𝕋*: ορεσιν και εν τοις μνημασιν, 𝕍: μνημασιν και εν τοις ορεσιν. **v.6** 𝕋*: ιδων δε, 𝕍: και ιδων.

κράξας φωνῇ μεγάλῃ εἶπεν τί ἐμοὶ καὶ σοὶ ἰησοῦ υἱὲ τοῦ θεοῦ
τοῦ ὑψίστου ὁρκίζω σε τὸν θεὸν μή με βασανίσῃς ⸰ ἔλεγεν γὰρ 8
αὐτῷ ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου ⸰ καὶ ἐ- 9
πηρώτα αὐτὸν τί σοι˚ ὄνομα καὶ ἀπεκρίθη˚ λέγων λεγεὼν ὄνομά
μοι ὅτι πολλοί ἐσμεν ⸰ καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ αὐ- 10
τοὺ̣ς ἀποστείλῃ ἔξω τῆς χώρας ⸰ ἦν δὲ ἐκεῖ πρὸς τὰ˚ ὄρη ἀγέλη 11
χοίρων μεγάλη βοσκομένη ⸰ καὶ παρεκάλεσαν αὐτὸν πάντες˚ οἱ 12
δαίμονες λέγοντες πέμψον ἡμᾶς εἰς τοὺς χοίρους ἵνα εἰς αὐτοὺς
εἰσέλθωμεν ⸰ καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως˚ ὁ ἰησοῦς καὶ ἐξελ- 13
θόντα τὰ πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους καὶ
ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν ἦσαν˚
δὲ ὡς δισχίλιοι καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ ⸰ οἱ˚ δὲ βόσκοντες 14
τοὺς˚ χοίρους ἔφυγον καὶ ἀ̣ν̣ή̣γ̣γ̣ε̣ι̣λ̣α̣ν εἰς τὴν πόλιν καὶ εἰς τοὺς
ἀγροὺς καὶ ἐξῆλθο̣ν̣ ἰδεῖν τί ἐστιν τὸ γεγονός ⸰ καὶ ἔρχονται πρὸς 15
τὸν ἰησοῦν καὶ θεωροῦσιν τὸν δαιμονιζόμενον καθήμενον κ̣α̣ὶ̣
ἱματισμένον καὶ σωφρονοῦντα τὸν ἐσχηκότα τὸν λεγε̣ῶ̣ν̣α̣ καὶ
ἐφοβήθησαν ⸰ καὶ˚ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ 16
δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων ⸰ καὶ ἤρξαντο παρακαλεῖν 17
αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν ⸰ καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ 18
πλοῖον παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς ἵνα ᾖ˚ μετ᾽ αὐτοῦ ⸰ ὁ˚ δὲ 19
ἰησοῦς οὐκ ἀφῆκεν αὐτὸν ἀλλὰ λέγει αὐτῷ ὕπαγε εἰς τὸν οἰκόν
σου πρὸς τοὺς σοὺς καὶ ἀ̣ν̣ά̣γ̣γ̣ε̣ι̣λ̣ο̣ν̣ αὐτοῖς ὅσα σοι˚ ὁ κύριος
ἐποίησεν καὶ ἠλέησέν σε ⸰ καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν 20
ἐν τῇ δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ ἰησοῦς καὶ πάντες ἐθαύ-
μαζον ⸰ καὶ διαπεράσαντος τοῦ ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ 21
πέραν συνήχθη ὄχλος πολὺς ἐπ᾽ αὐτὸν καὶ ἦν παρὰ τὴν θάλασ-
σαν ⸰ καὶ ἰδοὺ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων ὀνόματι ἰάειρος 22
καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ ⸰ καὶ παρ̣έ̣κ̣α̣λ̣ε̣ι̣ 23
αὐτὸν πολλὰ λέγων ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει ἵνα ἐλθὼν
ἐπιθῇς αὐτῇ˚ τὰς χεῖρας ὅπως σωθῇ καὶ ζήσεται ⸰ καὶ ἀπῆλθεν 24
μετ᾽ αὐτοῦ καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς καὶ συνέθλιβον

---

v.7 𝕋*: ειπεν, 𝕍: λεγει. **v.9** 𝕋*: σοι ονομα, 𝕍: ονομα σοι. **v.9** 𝕋*: απεκριθη λεγων λεγεων, 𝕍: λεγει αυτω λεγιων. **v.10** 𝕋*: αυτους, 𝕍: αυτα. **v.11** 𝕋 𝕂: τα ορη, 𝕄 𝕍: τω ορει. **v.12** 𝕋*: παντες οι δαιμονες, 𝕍: ∅. **v.13** 𝕋*: ευθεως ο ιησους, 𝕍: ∅. **v.13** 𝕋*: ησαν δε, 𝕍: ∅. **v.14** 𝕋*: οι δε, 𝕍: και οι. **v.14** 𝕋*: τους χοιρους, 𝕍: αυτους. **v.14** 𝕋*: ανηγγειλαν, 𝕍: απηγγειλαν. **v.14** 𝕋*: εξηλθον, 𝕍: ηλθον. **v.15** 𝕋*: και, 𝕍: ∅. **v.15** 𝕋*: λεγεωνα, 𝕍: λεγιωνα. **v.16** 𝕋 𝕂 𝕍: και διηγησαντο, 𝕄: διηγησαντο δε. **v.18** 𝕋*: εμβαντος, 𝕍: εμβαινοντος. **v.18** 𝕋*: η μετ αυτου, 𝕍: μετ αυτου η. **v.19** 𝕋*: ο δε ιησους, 𝕍: και. **v.19** 𝕋*: αναγγειλον, 𝕍: απαγγειλον. **v.19** 𝕋 𝕂: σοι ο κυριος εποιησεν, 𝕄: σοι ο κυριος πεποιηκεν, 𝕍: ο κυριος σοι πεποιηκεν. **v.22** 𝕋*: ιδου, 𝕍: ∅. **v.22** 𝕋*: ιαειρος, 𝕍: ιαιρος. **v.23** 𝕋*: παρεκαλει, 𝕍: παρακαλει. **v.23** 𝕋*: αυτη τας χειρας οπως σωθη και ζησεται, 𝕍: τας χειρας αυτη ινα σωθη και ζηση.

25, 26 αὐτόν ⸰ καὶ γυνή ἥτις οὖσα ἐν ῥύσει αἵματος ἔτη˚ δώδεκα ⸰ καὶ
πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽
ἑαὐτῆς πάντα καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον εἰς τὸ χεῖ-
27 ρον ἐλθοῦσα ⸰ ἀκούσασα περὶ τοῦ ἰησοῦ ἐλθοῦσα ἐν τῷ ὄχλῳ
28 ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ ⸰ ἔλεγεν γὰρ ὅτι κἂν˚ τῶν ἱμα-
29 τίων αὐτοῦ ἅψωμαι σωθήσομαι ⸰ καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ
τοῦ αἵματος αὐτῆς καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μά-
30 στιγος ⸰ καὶ εὐθέως ὁ ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ
δύναμιν ἐξελθοῦσαν ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγεν τίς μου ἥ-
31 ψατο τῶν ἱματίων ⸰ καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ βλέπεις
32 τὸν ὄχλον συνθλίβοντά σε καὶ λέγεις τίς μου ἥψατο ⸰ καὶ πε-
33 ριεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν ⸰ ἡ δὲ γυνὴ φοβηθεῖσα
καὶ τρέμουσα εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ ἦλθεν καὶ προσέπε-
34 σεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν ⸰ ὁ δὲ εἶπεν αὐτῇ
θύγατερ ἡ πίστις σου σέσωκέν σε ὕπαγε εἰς εἰρήνην καὶ ἴσθι
35 ὑγιὴς ἀπὸ τῆς μάστιγός σου ⸰ ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀ-
πὸ τοῦ ἀρχισυναγώγου λέγοντες ὅτι ἡ θυγάτηρ σου ἀπέθανεν
36 τί ἔτι σκύλλεις τὸν διδάσκαλον ⸰ ὁ δὲ ἰησοῦς εὐθέως˚ ἀκούσας
τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ μὴ φοβοῦ μό-
37 νον πίστευε ⸰ καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακολουθῆσαι εἰ
38 μὴ πέτρον καὶ ἰάκωβον καὶ ἰωάννην τὸν ἀδελφὸν ἰακώβου ⸰ καὶ
ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου καὶ θεωρεῖ θόρυβον
39 κλαίοντας καὶ ἀλαλάζοντας πολλά ⸰ καὶ εἰσελθὼν λέγει αὐτοῖς τί
θορυβεῖσθε καὶ κλαίετε τὸ παιδίον οὐκ ἀπέθανεν ἀλλὰ καθεύ-
40 δει ⸰ καὶ κατεγέλων αὐτοῦ ὁ˚ δὲ ἐκβαλὼν ἅπαντας παραλαμβάνει
τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ᾽ αὐτοῦ καὶ
41 εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον ⸰ καὶ κρατήσας
τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ ταλιθὰ κοῦμι ὅ ἐστιν μεθερ-
42 μηνευόμενον τὸ κοράσιον σοὶ λέγω ἔγειραι ⸰ καὶ εὐθέως ἀνέστη
τὸ κοράσιον καὶ περιεπάτει ἦν γὰρ ἐτῶν δώδεκα καὶ ἐξέστησαν
43 ἐκστάσει μεγάλῃ ⸰ καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς γνῷ
τοῦτο καὶ εἶπεν δοθῆναι αὐτῇ φαγεῖν ⸰

6 καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ καὶ

---

v.25 𝕋*: τις, 𝕍: ∅. **v.25** 𝕋*: ετη δωδεκα, 𝕍: δωδεκα ετη. **v.26** 𝕋 𝕂: εαυτης, 𝕄 𝕍: αυτης. **v.28** 𝕋*: καν των ιματιων αυτου αψωμαι, 𝕍: εαν αψωμαι καν των ιματιων αυτου. **v.29** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.30** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.33** 𝕋*: επ, 𝕍: ∅. **v.34** 𝕋*: θυγατερ, 𝕍: θυγατηρ. **v.36** 𝕋*: ευθεως ακουσας, 𝕍: παρακουσας. **v.37** 𝕋*: αυτω, 𝕍: μετ αυτου. **v.37** 𝕋*: πετρον, 𝕍: τον πετρον. **v.38** 𝕋*: ερχεται, 𝕍: ερχονται. **v.38** 𝕋 𝕄: κλαιοντας, 𝕂 𝕍: και κλαιοντας. **v.40** 𝕋*: ο, 𝕍: αυτος. **v.40** 𝕋 𝕂: απαντας, 𝕄 𝕍: παντας. **v.40** 𝕋*: ανακειμενον, 𝕍: ∅. **v.41** 𝕋*: κουμι, 𝕍: κουμ. **v.41** 𝕋*: εγειραι, 𝕍: εγειρε. **v.42** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.42** 𝕋*: εκστασει, 𝕍: [ευθυς] εκστασει. **v.43** 𝕋*: γνω, 𝕍: γνοι. **6.v.1** 𝕋*: ηλθεν, 𝕍: ερχεται.

ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ◦ καὶ γενομένου σαββά- 2
του ἤρξατο ἐν˚ τῇ συναγωγῇ διδάσκειν καὶ πολλοὶ ἀκούοντες
ἐξεπλήσσοντο λέγοντες πόθεν τούτῳ ταῦτα καὶ τίς ἡ σοφία ἡ
δοθεῖσα αὐτῷ˚ ὅτι καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐ-
τοῦ γίνονται ◦ οὐχ οὗτός ἐστιν ὁ τέκτων ὁ υἱὸς μαρίας ἀδελφὸς 3
δὲ ἰακώβου καὶ ἰωσῆ καὶ ἰούδα καὶ σίμωνος καὶ οὐκ εἰσὶν αἱ
ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ ◦
ἔλεγεν˚ δὲ αὐτοῖς ὁ ἰησοῦς ὅτι οὐκ ἔστιν προφήτης ἄτιμος εἰ 4
μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τοῖς συγγενέσιν καὶ ἐν τῇ οἰκίᾳ
αὐτοῦ ◦ καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν˚ δύναμιν ποιῆσαι εἰ μὴ 5
ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν ◦ καὶ ἐθαύ- 6
μαζεν διὰ τὴν ἀπιστίαν αὐτῶν καὶ περιῆγεν τὰς κώμας κύκλῳ
διδάσκων ◦ καὶ προσκαλεῖται τοὺς δώδεκα καὶ ἤρξατο αὐτοὺς ἀ- 7
ποστέλλειν δύο δύο καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων
τῶν ἀκαθάρτων ◦ καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς 8
ὁδὸν εἰ μὴ ῥάβδον μόνον μὴ˚ πήραν μὴ ἄρτον μὴ εἰς τὴν ζώνην
χαλκόν ◦ ἀλλ᾽ ὑποδεδεμένους σανδάλια καὶ μὴ ἐνδύσῃσθε δύο 9
χιτῶνας ◦ καὶ ἔλεγεν αὐτοῖς ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν ἐκεῖ 10
μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν ◦ καὶ ὅσοι˚ ἂν μὴ δέξωνται ὑμᾶς 11
μηδὲ ἀκούσωσιν ὑμῶν ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν
χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς ἀμὴν˚
λέγω ὑμῖν ἀνεκτότερον ἔσται σοδόμοις ἢ γομόρροις ἐν ἡμέρᾳ
κρίσεως ἢ τῇ πόλει ἐκείνῃ ◦ καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα με- 12
τανοήσωσιν ◦ καὶ δαιμόνια πολλὰ ἐξέβαλλον καὶ ἤλειφον ἐλαίῳ 13
πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον ◦ καὶ ἤκουσεν ὁ βασιλεὺς 14
ἡρώδης φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ καὶ ἔλεγὲν ὅτι ἰω-
άννης ὁ βαπτίζων ἐκ˚ νεκρῶν ἠγέρθη καὶ διὰ τοῦτο ἐνεργοῦσιν
αἱ δυνάμεις ἐν αὐτῷ ◦ ἄλλοι ἔλεγον ὅτι ἠλίας ἐστὶν ἄλλοι δὲ ἔλε- 15
γον ὅτι προφήτης ἐστίν˚ ἢ ὡς εἷς τῶν προφητῶν ◦ ἀκούσας δὲ ὁ˚ 16
ἡρώδης εἶπεν˚ ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα ἰωάννην οὗτός ἐστιν˚ αὐ-
τὸς ἠγέρθη ἐκ νεκρῶν ◦ αὐτὸς γὰρ ὁ ἡρώδης ἀποστείλας ἐκρά- 17

---

v.2 𝕋*: εν τη συναγωγη διδασκειν, 𝕍: διδασκειν εν τη συναγωγη. **v.2** 𝕋 𝕂: αυτω οτι και, 𝕄: αυτω και, 𝕍: τουτω και αι. **v.2** 𝕋*: γινονται, 𝕍: γινομεναι. **v.3** 𝕋*: μαριας αδελφος δε, 𝕍: της μαριας και αδελφος. **v.3** 𝕋*: ιωση, 𝕍: ιωσητος. **v.4** 𝕋*: ελεγεν δε, 𝕍: και ελεγεν. **v.4** 𝕋*: συγγενεσιν, 𝕍: συγγενευσιν αυτου. **v.5** 𝕋*: ηδυνατο, 𝕍: εδυνατο. **v.5** 𝕋*: ουδεμιαν δυναμιν ποιησαι, 𝕍: ποιησαι ουδεμιαν δυναμιν. **v.8** 𝕋*: μη πηραν μη αρτον, 𝕍: μη αρτον μη πηραν. **v.9** 𝕋*: αλλ, 𝕍: αλλα. **v.9** 𝕋 𝕄 𝕍: ενδυσησθε, 𝕂: ενδυσασθαι. **v.11** 𝕋*: οσοι αν μη δεξωνται, 𝕍: ος αν τοπος μη δεξηται. **v.11** 𝕋*: αμην . . . εκεινη, 𝕍: ∅. **v.12** 𝕋*: εκηρυσσον, 𝕍: εκηρυξαν. **v.12** 𝕋*: μετανοησωσιν, 𝕍: μετανοωσιν. **v.14** 𝕋*: ελεγεν, 𝕍: ελεγον. **v.14** 𝕋*: εκ νεκρων ηγερθη, 𝕍: εγηγερται εκ νεκρων. **v.15** 𝕋*: αλλοι, 𝕍: αλλοι δε. **v.15** 𝕋 𝕂: εστιν η, 𝕄: εστιν, 𝕍: ∅. **v.16** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.16** 𝕋*: ειπεν οτι, 𝕍: ελεγεν. **v.16** 𝕋*: εστιν αυτος ηγερθη εκ νεκρων, 𝕍: ηγερθη.

τησεν τὸν ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ διὰ ἡρωδιάδα
τὴν γυναῖκα φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ ὅτι αὐτὴν ἐγάμησεν ⸰
18 ἔλεγεν γὰρ ὁ ἰωάννης τῷ ἡρώδῃ ὅτι οὐκ ἔξεστίν σοι ἔχειν τὴν γυ-
19 ναῖκα τοῦ ἀδελφοῦ σου ⸰ ἡ δὲ ἡρωδιὰς ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν
20 αὐτὸν ἀποκτεῖναι καὶ οὐκ ἠδύνατο ⸰ ὁ γὰρ ἡρώδης ἐφοβεῖτο τὸν
ἰωάννην εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον καὶ συνετήρει αὐ-
τὸν καὶ ἀκούσας αὐτοῦ πολλὰ ἐποίει καὶ ἡδέως αὐτοῦ ἤκουεν ⸰
21 καὶ γενομένης ἡμέρας εὐκαίρου ὅτε ἡρώδης τοῖς γενεσίοις αὐ-
τοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις
22 καὶ τοῖς πρώτοις τῆς γαλιλαίας ⸰ καὶ εἰσελθούσης τῆς θυγατρὸς
αὐτῆς˙ τῆς ἡρωδιάδος καὶ ὀρχησαμένης καὶ˙ ἀρεσάσης τῷ ἡ-
ρώδῃ καὶ τοῖς συνανακειμένοις εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ
23 αἴτησόν με ὃ ἐὰν θέλῃς καὶ δώσω σοί ⸰ καὶ ὤμοσεν αὐτῇ ὅτι˙ ὃ
24 ἐάν με αἰτήσῃς δώσω σοὶ ἕως ἡμίσους τῆς βασιλείας μου ⸰ ἡ˙
δὲ ἐξελθοῦσα εἶπεν τῇ μητρὶ αὐτῆς τί αἰτήσὀμαι ἡ δὲ εἶπεν τὴν
25 κεφαλὴν ἰωάννου τοῦ βαπτιὀτοῦ ⸰ καὶ εἰσελθοῦσα εὐθέὠς με-
τὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέγουσα θέλω ἵνα μοι˙
δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν ἰωάννου τοῦ βαπτιστοῦ ⸰
26 καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς διὰ τοὺς ὅρκους καὶ τοὺς
27 συνἀνακειμένους οὐκ ἠθέλησεν αὐτὴν˙ ἀθετῆσαι ⸰ καὶ εὐθέὠς
ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτὥρα ἐπέταξεν ἐνεχθῆναι τὴν
28 κεφαλὴν αὐτοῦ ⸰ ὁ˙ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλα-
κῇ καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν αὐτὴν
29 τῷ κορασίῳ καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς ⸰ καὶ
ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ
30 καὶ ἔθηκαν αὐτὸ ἐν τῷ μνημείῳ ⸰ καὶ συνάγονται οἱ ἀπόστολοι
πρὸς τὸν ἰησοῦν καὶ ἀπήγγειλαν αὐτῷ πάντα κἀι ὅσα ἐποίησαν
31 καὶ ὅσα ἐδίδαξαν ⸰ καὶ εἶπεν αὐτοῖς δεῦτε ὑμεῖς αὐτοὶ κατ᾽ ἰδίαν
εἰς ἔρημον τόπον καὶ ἀναπαύὲσθε ὀλίγον ἦσαν γὰρ οἱ ἐρχόμε-
32 νοι καὶ οἱ ὑπάγοντες πολλοὶ καὶ οὐδὲ φαγεῖν ἠὐκαίρουν ⸰ καὶ
33 ἀπῆλθον εἰς˙ ἔρημον τόπον τῷ πλοίῳ κατ᾽ ἰδίαν ⸰ καὶ εἶδον αὐ-
τοὺς ὑπάγοντας οἱ˙ ὄχλοι καὶ ἐπέγνωσαν αὐτὸν πολλοὶ καὶ πεζῇ

v.17 𝕋 𝕂: τη, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: εποιει, 𝕍: ηπορει. **v.21** 𝕋*: εποιει, 𝕍: εποιησεν. **v.22** 𝕋*: αυτης της, 𝕍: αυτου. **v.22** 𝕋*: και αρεσασης, 𝕍: ηρεσεν. **v.23** 𝕋*: οτι ο, 𝕍: [πολλα] ο τι. **v.24** 𝕋*: η δε, 𝕍: και. **v.24** 𝕋*: αιτησομαι, 𝕍: αιτησωμαι. **v.24** 𝕋*: βαπτιστου, 𝕍: βαπτιζοντος. **v.25** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.25** 𝕋: μοι δως εξ αυτης, 𝕄 𝕂: μοι δως εξαυτης, 𝕍: εξαυτης δως μοι. **v.26** 𝕋*: συνανακειμενους, 𝕍: ανακειμενους. **v.26** 𝕋*: αυτην αθετησαι, 𝕍: αθετησαι αυτην. **v.27** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.27** 𝕋 𝕂: σπεκουλατωρα, 𝕄 𝕍: σπεκουλατορα. **v.27** 𝕋*: ενεχθηναι, 𝕍: ενεγκαι. **v.28** 𝕋*: ο δε, 𝕍: και. **v.29** 𝕋: τω, 𝕂 𝕄 𝕍: ∅. **v.30** 𝕋*: και, 𝕍: ∅. **v.31** 𝕋*: ειπεν, 𝕍: λεγει. **v.31** 𝕋*: αναπαυεσθε, 𝕍: αναπαυσασθε. **v.31** 𝕋 𝕂: ηυκαιρουν, 𝕄 𝕍: ευκαιρουν. **v.32** 𝕋*: εις ερημον τοπον τω πλοιω, 𝕍: εν τω πλοιω εις ερημον τοπον. **v.33** 𝕋 𝕂: οι οχλοι, 𝕄 𝕍: ∅. **v.33** 𝕋*: αυτον, 𝕍: ∅.

ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ προῆλθον αὐτοὺς
καὶ˚ συνῆλθον πρὸς αὐτόν ⋄ καὶ ἐξελθὼν εἶδεν ὁ˚ ἰησοῦς πολὺν 34
ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς ὅτι ἦσαν ὡς πρόβατα μὴ
ἔχοντα ποιμένα καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά ⋄ καὶ ἤδη 35
ὥρας πολλῆς γενομένης προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ
λέγουσιν ὅτι ἔρημός ἐστιν ὁ τόπος καὶ ἤδη ὥρα πολλή ⋄ ἀπόλυ- 36
σον αὐτοὺς ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας
ἀγοράσωσιν ἑαυτοῖς ἄρτους˚ τί γὰρ φάγωσιν οὐκ ἔχουσιν ⋄ ὁ δὲ 37
ἀποκριθεὶς εἶπεν αὐτοῖς δότε αὐτοῖς ὑμεῖς φαγεῖν καὶ λέγουσιν
αὐτῷ ἀπελθόντες ἀγοράσωμεν διακοσίων˚ δηναρίων ἄρτους καὶ
δῶμεν αὐτοῖς φαγεῖν ⋄ ὁ δὲ λέγει αὐτοῖς πόσους ἄρτους ἔχετε 38
ὑπάγετε κἀὶ ἴδετε καὶ γνόντες λέγουσιν πέντε καὶ δύο ἰχθύας ⋄
καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐ- 39
πὶ τῷ χλωρῷ χόρτῳ ⋄ καὶ ἀνέπεσὸν πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν 40
καὶ ἀνὰ πεντήκοντα ⋄ καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο 41
ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κατέκλασεν
τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παρἀθῶσιν
αὐτοῖς καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν ⋄ καὶ ἔφαγον πάν- 42
τες καὶ ἐχορτάσθησαν ⋄ καὶ ἦραν κλασμάτὼν δώδεκα κοφίνους˚ 43
πλήρεις καὶ ἀπὸ τῶν ἰχθύων ⋄ καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους 44
ὡσὲι πεντακισχίλιοι ἄνδρες ⋄ καὶ εὐθέὼς ἠνάγκασεν τοὺς μαθη- 45
τὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν πρὸς
βηθσαϊδὰν ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον ⋄ καὶ ἀποταξάμενος 46
αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι ⋄ καὶ ὀψίας γενομέ- 47
νης ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης καὶ αὐτὸς μόνος ἐπὶ τῆς
γῆς ⋄ καὶ ἐἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν ἦν γὰρ ὁ 48
ἄνεμος ἐναντίος αὐτοῖς κἀὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς
ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης καὶ ἤθελεν
παρελθεῖν αὐτούς ⋄ οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα˚ ἐπὶ τῆς 49
θαλάσσης ἔδοξαν φάντασμα˚ εἶναι καὶ ἀνέκραξαν ⋄ πάντες γὰρ 50
αὐτὸν εἶδον καὶ ἐταράχθησαν καὶ˚ εὐθέως ἐλάλησεν μετ᾽ αὐτῶν
καὶ λέγει αὐτοῖς θαρσεῖτε ἐγώ εἰμι μὴ φοβεῖσθε ⋄ καὶ ἀνέβη πρὸς 51

---

v.33 𝕋*: και συνηλθον προς αυτον, 𝕍: ∅. **v.34** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.34** 𝕋*: αυτοις, 𝕍: αυτους. **v.35** 𝕋*: λεγουσιν, 𝕍: ελεγον. **v.36** 𝕋*: αρτους τι γαρ φαγωσιν ουκ εχουσιν, 𝕍: τι φαγωσιν. **v.37** 𝕋 𝕂: διακοσιων δηναριων, 𝕄 𝕍: δηναριων διακοσιων. **v.37** 𝕋*: δωμεν, 𝕍: δωσομεν. **v.38** 𝕋*: και, 𝕍: ∅. **v.40** 𝕋*: ανεπεσον, 𝕍: ανεπεσαν. **v.40** 𝕋*: ανα, 𝕍: κατα. **v.41** 𝕋*: παραθωσιν, 𝕍: παρατιθωσιν. **v.43** 𝕋*: κλασματων, 𝕍: κλασματα. **v.43** 𝕋*: κοφινους πληρεις, 𝕍: κοφινων πληρωματα. **v.44** 𝕋 𝕂: ωσει, 𝕄 𝕍: ∅. **v.45** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.45** 𝕋 𝕄 𝕍: βηθσαιδαν, 𝕂: βηθσαιδα. **v.45** 𝕋*: απολυση, 𝕍: απολυει. **v.48** 𝕋*: ειδεν, 𝕍: ιδων. **v.48** 𝕋*: και, 𝕍: ∅. **v.49** 𝕋*: περιπατουντα επι της θαλασσης, 𝕍: επι της θαλασσης περιπατουντα. **v.49** 𝕋*: φαντασμα ειναι, 𝕍: οτι φαντασμα εστιν. **v.50** 𝕋*: και ευθεως, 𝕍: ο δε ευθυς.

αὐτοὺς εἰς τὸ πλοῖον καὶ ἐκόπασεν ὁ ἄνεμος καὶ λίαν ἐκ περισ-
52 σοῦ ἐν ἑαυτοῖς ἐξίσταντο καὶ˚ ἐθαύμαζον ⸰ οὐ γὰρ συνῆκαν ἐπὶ
53 τοῖς ἄρτοις ἦν˚ γὰρ ἡ˚ καρδία αὐτῶν πεπωρωμένη ⸰ καὶ διαπε-
ράσαντες ἦλθον˚ ἐπὶ τὴν γῆν γενῆσαρὲτ καὶ προσωρμίσθησαν ⸰
54 καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθέως ἐπιγνόντες αὐτόν ⸰
55 περιδραμόντες ὅλην τὴν περίχωρον ἐκείνην ἤρξαντο ἐπὶ τοῖς
κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι
56 ἐκεῖ ἐστιν ⸰ καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ˚ πόλεις ἢ˚
ἀγροὺς ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας καὶ παρεκά-
λουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται
καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ ἐσώζοντο ⸰

7 καὶ συνάγονται πρὸς αὐτὸν οἱ φαρισαῖοι καί τινες τῶν γραμ-
2 ματέων ἐλθόντες ἀπὸ ἱεροσολύμων ⸰ καὶ ἰδόντες τινὰς τῶν μαθη-
τῶν αὐτοῦ κοιναῖς χερσὶν τοῦτ᾽ ἔστιν ἀνίπτοις ἐσθίοντας ἄρτους
3 ἐμέμψαντο ⸰ οἱ γὰρ φαρισαῖοι καὶ πάντες οἱ ἰουδαῖοι ἐὰν μὴ
πυγμῇ νίψωνται τὰς χεῖρας οὐκ ἐσθίουσιν κρατοῦντες τὴν πα-
4 ράδοσιν τῶν πρεσβυτέρων ⸰ καὶ ἀπὸ ἀγορᾶς ἐὰν μὴ βαπτίσωνται
οὐκ ἐσθίουσιν καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν βα-
5 πτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν ⸰ ἔπειτα
ἐπερωτῶσιν αὐτὸν οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς διατί οἱ˚ μα-
θηταί σου οὐ περιπατοῦσιν κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέ-
6 ρων ἀλλὰ ἀνίπτοις χερσὶν ἐσθίουσιν τὸν ἄρτον ⸰ ὁ δὲ ἀποκριθεὶς
εἶπεν αὐτοῖς ὅτι καλῶς προεφήτευσεν ἡσαΐας περὶ ὑμῶν τῶν ὑ-
ποκριτῶν ὡς γέγραπται οὗτος ὁ λαὸς τοῖς χείλεσίν με τιμᾷ ἡ δὲ
7 καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ ⸰ μάτην δὲ σέβονταί με
8 διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων ⸰ ἀφέντες γὰρ
τὴν ἐντολὴν τοῦ θεοῦ κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων
βαπτισμοὺς˚ ξεστῶν καὶ ποτηρίων καὶ ἄλλα παρόμοια τοιαῦτα
9 πολλὰ ποιεῖτε ⸰ καὶ ἔλεγεν αὐτοῖς καλῶς ἀθετεῖτε τὴν ἐντολὴν
10 τοῦ θεοῦ ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε ⸰ μωσῆς γὰρ εἶ-

---

v.51 𝕋*: και εθαυμαζον, 𝕍: ∅. **v.52** 𝕋*: ην γαρ, 𝕍: αλλ ην. **v.52** 𝕋 𝕂: η καρδια αυτων, 𝕄 𝕍: αυτων η καρδια. **v.53** 𝕋*: ηλθον επι την γην, 𝕍: επι την γην ηλθον εις. **v.53** 𝕋: γενησαρετ, 𝕂 𝕄 𝕍: γεννησαρετ. **v.54** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.55** 𝕋*: περιδραμοντες, 𝕍: περιεδραμον. **v.55** 𝕋*: περιχωρον, 𝕍: χωραν. **v.55** 𝕋*: ηρξαντο, 𝕍: και ηρξαντο. **v.55** 𝕋*: κραββατοις, 𝕍: κραβαττοις. **v.55** 𝕋*: εκει, 𝕍: ∅. **v.56** 𝕋*: η, 𝕍: η εις. **v.56** 𝕋*: ετιθουν, 𝕍: ετιθεσαν. **v.56** 𝕋*: ηπτοντο, 𝕍: ηψαντο. **7.v.2** 𝕋*: κοιναις, 𝕍: οτι κοιναις. **v.2** 𝕋*: εσθιοντας, 𝕍: εσθιουσιν τους. **v.2** 𝕋*: εμεμψαντο, 𝕍: ∅. **v.4** 𝕋*: απο, 𝕍: απ. **v.5** 𝕋*: επειτα, 𝕍: και. **v.5** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.5** 𝕋*: οι μαθηται σου ου περιπατουσιν, 𝕍: ου περιπατουσιν οι μαθηται σου. **v.5** 𝕋*: ανιπτοις, 𝕍: κοιναις. **v.6** 𝕋*: αποκριθεις, 𝕍: ∅. **v.6** 𝕋*: οτι, 𝕍: ∅. **v.6** 𝕋*: προεφητευσεν, 𝕍: επροφητευσεν. **v.6** 𝕋: ήσαΐας, 𝕂 𝕄 𝕍: ήσαΐας, 𝕅: ήσαίας. **v.6** 𝕋*: ουτος, 𝕍: [οτι] ουτος. **v.8** 𝕋*: γαρ, 𝕍: ∅. **v.8** 𝕋*: βαπτισμους . . . ποιειτε, 𝕍: ∅. **v.9** 𝕋*: τηρησητε, 𝕍: στησητε. **v.10** 𝕋*: μωσης, 𝕍: μωυσης.

πεν τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου καὶ ὁ κακολογῶν
πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω ⸰ ὑμεῖς δὲ λέγετε ἐὰν εἴπῃ 11
ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρὶ κορβᾶν ὅ ἐστιν δῶρον ὃ ἐὰν ἐξ
ἐμοῦ ὠφεληθῇς ⸰ καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πα- 12
τρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ ⸰ ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ τῇ 13
παραδόσει ὑμῶν ᾗ παρεδώκατε καὶ παρόμοια τοιαῦτα πολλὰ
ποιεῖτε ⸰ καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον ἔλεγεν αὐτοῖς 14
ἀκούετέ μου πάντες καὶ συνίετε ⸰ οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀν- 15
θρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται αὐτὸν κοινῶσαι
ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ᾽ αὐτοῦ ἐκεῖνά ἐστιν τὰ κοινοῦντα τὸν
ἄνθρωπον ⸰ εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω ⸰ καὶ ὅτε εἰσῆλθεν 16, 17
εἰς οἶκον ἀπὸ τοῦ ὄχλου ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ πε-
ρὶ τῆς παραβολῆς ⸰ καὶ λέγει αὐτοῖς οὕτως καὶ ὑμεῖς ἀσύνετοί 18
ἐστε οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρω-
πον οὐ δύναται αὐτὸν κοινῶσαι ⸰ ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς 19
τὴν καρδίαν ἀλλ᾽ εἰς τὴν κοιλίαν καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπο-
ρεύεται καθαρίζον πάντα τὰ βρώματα ⸰ ἔλεγεν δὲ ὅτι τὸ ἐκ τοῦ 20
ἀνθρώπου ἐκπορευόμενον ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον ⸰ ἔσω- 21
θεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ
ἐκπορεύονται μοιχεῖαι πορνεῖαι φόνοι ⸰ κλοπαὶ πλεονεξίαι πο- 22
νηρίαι δόλος ἀσέλγεια ὀφθαλμὸς πονηρὸς βλασφημία ὑπερη-
φανία ἀφροσύνη ⸰ πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται 23
καὶ κοινοῖ τὸν ἄνθρωπον ⸰ καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ 24
μεθόρια τύρου καὶ σιδῶνος καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν οὐδένα
ἤθελεν γνῶναι καὶ οὐκ ἠδυνήθη λαθεῖν ⸰ ἀκούσασα γὰρ γυ- 25
νὴ περὶ αὐτοῦ ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον
ἐλθοῦσα προσέπεσεν πρὸς τοὺς πόδας αὐτοῦ ⸰ ἦν δὲ ἡ γυνὴ ἑλ- 26
ληνὶς συροφοίνισσα τῷ γένει καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον
ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτῇ ἄφες 27
πρῶτον χορτασθῆναι τὰ τέκνα οὐ γὰρ καλόν ἐστιν λαβεῖν τὸν
ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις ⸰ ἡ δὲ ἀπεκρίθη καὶ 28

---

v.12 𝕋*: και, 𝕍: ∅. **v.12** 𝕋*: αυτου, 𝕍: ∅. **v.14** 𝕋*: παντα, 𝕍: παλιν. **v.14** 𝕋*: ακουετε, 𝕍: ακουσατε. **v.14** 𝕋*: συνιετε, 𝕍: συνετε. **v.15** 𝕋*: αυτον κοινωσαι, 𝕍: κοινωσαι αυτον. **v.15** 𝕋*: εκπορευομενα απ αυτου εκεινα, 𝕍: εκ του ανθρωπου εκπορευομενα. **v.16** 𝕋*: ει . . . ακουετω, 𝕍: ∅. **v.17** 𝕋*: περι της παραβολης, 𝕍: την παραβολην. **v.19** 𝕋*: καθαριζον, 𝕍: καθαριζων. **v.21** 𝕋*: μοιχειαι πορνειαι, 𝕍: πορνειαι κλοπαι. **v.22** 𝕋*: κλοπαι, 𝕍: μοιχειαι. **v.24** 𝕋*: και εκειθεν, 𝕍: εκειθεν δε. **v.24** 𝕋*: μεθορια, 𝕍: ορια. **v.24** 𝕋*: και σιδωνος, 𝕍: ∅. **v.24** 𝕋 𝕂: την, 𝕄 𝕍: ∅. **v.25** 𝕋*: ακουσασα γαρ, 𝕍: αλλ ευθυς ακουσασα. **v.26** 𝕋*: ην δε η γυνη, 𝕍: η δε γυνη ην. **v.26** 𝕋 𝕂: συροφοινισσα, 𝕄: συραφοινικισσα, 𝕍: συροφοινικισσα. **v.26** 𝕋 𝕂: εκβαλλη, 𝕄 𝕍: εκβαλη. **v.27** 𝕋*: ο δε ιησους ειπεν, 𝕍: και ελεγεν. **v.27** 𝕋*: καλον εστιν, 𝕍: εστιν καλον. **v.27** 𝕋*: βαλειν τοις κυναριοις, 𝕍: τοις κυναριοις βαλειν.

λέγει αὐτῷ ναὶ κύριε καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέ-
29 ζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων ⸰ καὶ εἶπεν αὐτῇ διὰ τοῦ-
τον τὸν λόγον ὕπαγε ἐξελήλυθεν τὸ δαιμόνιον ἐκ τῆς θυγατρός
30 σου ⸰ καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρεν τὸ δαιμόνιον
31 ἐξεληλυθὸς καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης ⸰ καὶ
πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων τύρου καὶ σιδῶνος ἦλθεν πρὸς τὴν
32 θάλασσαν τῆς γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων δεκαπόλεως ⸰ καὶ
φέρουσιν αὐτῷ κωφὸν μογιλάλον καὶ παρακαλοῦσιν αὐτὸν ἵνα
33 ἐπιθῇ αὐτῷ τὴν χεῖρα ⸰ καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου
κατ᾽ ἰδίαν ἔβαλεν τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ καὶ
34 πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ ⸰ καὶ ἀναβλέψας εἰς τὸν οὐ-
ρανὸν ἐστέναξεν καὶ λέγει αὐτῷ ἐφφαθὰ ὅ ἐστιν διανοίχθητι ⸰
35 καὶ εὐθέως διῃνοίχθησαν αὐτοῦ αἱ ἀκοαὶ καὶ ἐλύθη ὁ δεσμὸς
36 τῆς γλώσσης αὐτοῦ καὶ ἐλάλει ὀρθῶς ⸰ καὶ διεστείλατο αὐτοῖς
ἵνα μηδενὶ εἴπωσιν ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο μᾶλλον
37 περισσότερον ἐκήρυσσον ⸰ καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο λέ-
γοντες καλῶς πάντα πεποίηκεν καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν
καὶ τοὺς ἀλάλους λαλεῖν ⸰

8 ἐν ἐκείναις ταῖς ἡμέραις παμπόλλου ὄχλου ὄντος καὶ μὴ ἐ-
χόντων τί φάγωσιν προσκαλεσάμενος ὁ ἰησοῦς τοὺς μαθητὰς
2 αὐτοῦ λέγει αὐτοῖς ⸰ σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον ὅτι ἤδη ἡμέ-
3 ρας τρεῖς προσμένουσίν μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν ⸰ καὶ
ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν ἐκλυθήσονται ἐν
4 τῇ ὁδῷ τινὲς γὰρ αὐτῶν μακρόθεν ἥκασιν ⸰ καὶ ἀπεκρίθησαν
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ πόθεν τούτους δυνήσεταί τις ὧδε χορ-
5 τάσαι ἄρτων ἐπ᾽ ἐρημίας ⸰ καὶ ἐπηρώτα αὐτοὺς πόσους ἔχετε
6 ἄρτους οἱ δὲ εἶπόν ἑπτά ⸰ καὶ παρήγγειλεν τῷ ὄχλῳ ἀναπεσεῖν
ἐπὶ τῆς γῆς καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασεν
καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παράθῶσιν καὶ παρέθη-

---

v.28 𝕋*: ναι, 𝕍: ∅. **v.28** 𝕋*: γαρ, 𝕍: ∅. **v.28** 𝕋*: εσθιει, 𝕍: εσθιουσιν. **v.29** 𝕋*: το δαιμονιον εκ της θυγατρος σου, 𝕍: εκ της θυγατρος σου το δαιμονιον. **v.30** 𝕋*: το δαιμονιον εξεληλυθος και την θυγατερα βεβλημενην επι της κλινης, 𝕍: το παιδιον βεβλημενον επι την κλινην και το δαιμονιον εξεληλυθος. **v.31** 𝕋*: τυρου και σιδωνος ηλθεν προς, 𝕍: τυρου ηλθεν δια σιδωνος εις. **v.32** 𝕋 𝕂: μογιλαλον, 𝕄: μογγιλαλον, 𝕍: και μογιλαλον. **v.35** 𝕋*: διηνοιχθησαν, 𝕍: ηνοιγησαν. **v.36** 𝕋*: ειπωσιν, 𝕍: λεγωσιν. **v.36** 𝕋*: αυτος αυτοις διεστελλετο, 𝕍: αυτοις διεστελλετο αυτοι. **8.v.1** 𝕋*: παμπολλου, 𝕍: παλιν πολλου. **v.1** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.1** 𝕋*: αυτου, 𝕍: ∅. **v.2** 𝕋 𝕂: ημερας τρεις προσμενουσιν μοι, 𝕄 𝕍: ημεραι τρεις προσμενουσιν μοι, B: ημεραι τρισιν προσμενουσιν μοι, D: ημεραι τρις εισιν απο ποτε ωδε εισιν. **v.3** 𝕋*: τινες γαρ, 𝕍: και τινες. **v.3** 𝕋*: μακροθεν, 𝕍: απο μακροθεν. **v.3** 𝕋 𝕂 𝕍: ηκασιν, 𝕄: ηκουσιν. **v.4** 𝕋*: ποθεν, 𝕍: οτι ποθεν. **v.5** 𝕋*: επηρωτα, 𝕍: ηρωτα. **v.5** 𝕋*: ειπον, 𝕍: ειπαν. **v.6** 𝕋*: παρηγγειλεν, 𝕍: παραγγελλει. **v.6** 𝕋*: παραθωσιν, 𝕍: παρατιθωσιν.

καν τῷ ὄχλῳ ⸰ καὶ εἶχον ἰχθύδια ὀλίγα καὶ εὐλογήσας˚ εἶπεν 7
παραθεῖναι καὶ αὐτά ⸰ ἔφαγον˚ δὲ καὶ ἐχορτάσθησαν καὶ ἦραν 8
περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας ⸰ ἦσαν δὲ οἱ˚ φαγόν- 9
τες ὡς τετρακισχίλιοι καὶ ἀπέλυσεν αὐτούς ⸰ καὶ εὐθέως ἐμβὰς 10
εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη˚ δαλ-
μανουθά ⸰ καὶ ἐξῆλθον οἱ φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ 11
ζητοῦντες παρ᾽ αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ πειράζοντες
αὐτόν ⸰ καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει τί ἡ γενεὰ 12
αὕτη σημεῖον˚ ἐπιζητεῖ ἀμὴν λέγω ὑμῖν εἰ δοθήσεται τῇ γενεᾷ
ταύτῃ σημεῖον ⸰ καὶ ἀφεὶς αὐτοὺς ἐμβὰς˚ πάλιν εἰς˚ τὸ πλοῖον 13
ἀπῆλθεν εἰς τὸ πέραν ⸰ καὶ ἐπελάθοντὸ λαβεῖν ἄρτους καὶ εἰ μὴ 14
ἕνα ἄρτον οὐκ εἶχον μεθ᾽ ἑαυτῶν ἐν τῷ πλοίῳ ⸰ καὶ διεστέλλετο 15
αὐτοῖς λέγων ὁρᾶτε βλέπετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ
τῆς ζύμης ἡρώδου ⸰ καὶ διελογίζοντο πρὸς ἀλλήλους λέγοντες 16
ὅτι ἄρτους οὐκ ἔχομεν ⸰ καὶ γνοὺς ὁ˚ ἰησοῦς λέγει αὐτοῖς τί 17
διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε οὔπω νοεῖτε οὐδὲ συνίετε ἔτι
πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν ⸰ ὀφθαλμοὺς ἔχοντες οὐ 18
βλέπετε καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε καὶ οὐ μνημονεύετε ⸰ ὅτε 19
τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους πόσους κο-
φίνους πλήρεις˚ κλασμάτων ἤρατε λέγουσιν αὐτῷ δώδεκα ⸰ ὅτε 20
δὲ˚ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους πόσων σπυρίδων πλη-
ρώματα κλασμάτων ἤρατε οἱ˚ δὲ εἶπον ἑπτά ⸰ καὶ ἔλεγεν αὐτοῖς 21
πῶς˚ οὐ συνίετε ⸰ καὶ ἔρχεται εἰς βηθσαϊδὰν καὶ φέρουσιν αὐτῷ 22
τυφλὸν καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται ⸰ καὶ ἐπιλα- 23
βόμενος τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης
καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ ἐπιθεὶς τὰς χεῖρας αὐτῷ ἐ-
πηρώτα αὐτὸν εἴ τι βλέπει ⸰ καὶ ἀναβλέψας ἔλεγεν βλέπω τοὺς 24
ἀνθρώπους ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας ⸰ εἶτα πάλιν ἐ- 25
πέθηκεν τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἐποίησεν˚
αὐτὸν ἀναβλέψαι καὶ ἀπόκατεστάθη καὶ ἐνέβλεψεν τηλαυγῶς ἅ-

---

v.7 𝕋*: ευλογησας ειπεν παραθειναι και αυτα, 𝕍: ευλογησας αυτα ειπεν και ταυτα παρατιθεναι, D: ευχαριστησας ειπεν και αυτους εκελευσεν παρατεθεναι. **v.8** 𝕋*: εφαγον δε, 𝕍: και εφαγον. **v.9** 𝕋*: οι φαγοντες, 𝕍: ∅. **v.10** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.10** 𝔼: μερη δαλμανουθα, D: ορια μελεγαδα. **v.12** 𝕋*: σημειον επιζητει, 𝕍: ζητει σημειον. **v.13** 𝕋*: εμβας παλιν, 𝕍: παλιν εμβας. **v.13** 𝕋 𝕂: εις το πλοιον, 𝕄: εις πλοιον, 𝕍: ∅. **v.14** 𝕋 𝕄 𝕍: επελαθοντο, 𝕂: επελαθοντο οι μαθηται. **v.16** 𝕋*: λεγοντες, 𝕍: ∅. **v.16** 𝕋*: εχομεν, 𝕍: εχουσιν. **v.17** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.17** 𝕋*: ετι, 𝕍: ∅. **v.19** 𝕋*: πληρεις κλασματων, 𝕍: κλασματων πληρεις. **v.20** 𝕋*: δε, 𝕍: ∅. **v.20** 𝕋*: οι δε ειπον, 𝕍: και λεγουσιν [αυτω]. **v.21** 𝕋*: πως ου, 𝕍: ουπω. **v.22** 𝕋*: ερχεται, 𝕍: ερχονται. **v.22** 𝕋 𝕄 𝕍: βηθσαιδαν, 𝕂: βηθσαιδα. **v.23** 𝕋*: εξηγαγεν, 𝕍: εξηνεγκεν. **v.23** 𝕋*: βλεπει, 𝕍: βλεπεις. **v.24** 𝕋 𝕄 𝕍: οτι, 𝕂: ∅. **v.24** 𝕋 𝕄 𝕍: ορω, 𝕂: ∅. **v.25** 𝕋*: εποιησεν αυτον αναβλεψαι, 𝕍: διεβλεψεν. **v.25** 𝕋*: αποκατεσταθη, 𝕍: απεκατεστη. **v.25** 𝕋 𝕂: ενεβλεψεν, 𝕄: ανεβλεψε, 𝕍: ενεβλεπεν.

26 πανταȳ ⸓ καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ λέγων μηδὲ
27 εἰς τὴν κώμην εἰσέλθῃς μηδὲ˚ εἴπῃς τινὶ ἐν τῇ κώμῃ ⸓ καὶ ἐξῆλ-
θεν ὁ ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας καισαρείας
τῆς φιλίππου καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων
28 αὐτοῖς τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι ⸓ οἱ δὲ ἀπεκρίθησαν
ἰωάννην τὸν βαπτιστὴν καὶ ἄλλοι ἠλίαν ἄλλοι δὲ ἕνα τῶν προ-
29 φητῶν ⸓ καὶ αὐτὸς λέγει˚ αὐτοῖς ὑμεῖς δὲ τίνα με λέγετε εἶναι
30 ἀποκριθεὶς δὲ˚ ὁ πέτρος λέγει αὐτῷ σὺ εἶ ὁ χριστός ⸓ καὶ ἐπε-
31 τίμησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσιν περὶ αὐτοῦ ⸓ καὶ ἤρξατο δι-
δάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν
καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων κἀι ἀρχιερέων κἀι
γραμματέων καὶ ἀποκτανθῆναι καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆ-
32 ναι ⸓ καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει καὶ προσλαβόμενος αὐτὸν˚
33 ὁ πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ ⸓ ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς
μαθητὰς αὐτοῦ ἐπετίμησεν τῷ˚ πέτρῳ λέγων ὕπαγε ὀπίσω μου
σατανᾶ ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων ⸓
34 καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶ-
πεν αὐτοῖς ὅστις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτὸν
35 καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι ⸓ ὃς γὰρ ἂν
θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτὴν ὃς δ᾽ ἂν ἀπολέσῃ
τὴν˚ ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου οὗτος σώ-
36 σει αὐτήν ⸓ τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν˚ κερδήσῃ τὸν κόσμον
37 ὅλον καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ ⸓ ἢ˚ τί δώσει ἄνθρωπος ἀν-
38 τάλλαγμα τῆς ψυχῆς αὐτοῦ ⸓ ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς
ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ καὶ
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ
δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων ⸓

9 καὶ ἔλεγεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες τῶν˚ ὧδε
ἑστηκότων οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὴν
2 βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει ⸓ καὶ μεθ᾽ ἡμέρας
ἓξ παραλαμβάνει ὁ ἰησοῦς τὸν πέτρον καὶ τὸν ἰάκωβον καὶ τὸν
ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν μό-

---

v.25 𝕋*: απαντας, 𝕍: απαντα. **v.26** 𝕋*: τον, 𝕍: ∅. **v.26** 𝕋*: μηδε ειπῃς τινι εν τη κωμη, 𝕍: ∅. **v.28** 𝕋*: απεκριθησαν, 𝕍: ειπαν αυτω λεγοντες [οτι]. **v.28** 𝕋*: ενα, 𝕍: οτι εις. **v.29** 𝕋*: λεγει αυτοις, 𝕍: επηρωτα αυτους. **v.29** 𝕋*: δε, 𝕍: ∅. **v.31** 𝕋*: απο, 𝕍: υπο. **v.31** 𝕋 𝕂: και, 𝕄 𝕍: και των. **v.32** 𝕋*: αυτον ο πετρος, 𝕍: ο πετρος αυτον. **v.33** 𝕋*: τω πετρω λεγων, 𝕍: πετρω και λεγει. **v.34** 𝕋*: οστις, 𝕍: ει τις. **v.34** 𝕋 𝕂: ελθειν, 𝕄 𝕍: ακολουθειν. **v.35** 𝕋*: αν, 𝕍: εαν. **v.35** 𝕋*: απολεση, 𝕍: απολεσει. **v.35** 𝕋 𝕂 𝕍: την ψυχην αυτου, 𝕄: την εαυτου ψυχην. **v.35** 𝕋*: ουτος, 𝕍: ∅. **v.36** 𝕋*: ωφελησει, 𝕍: ωφελει. **v.36** 𝕋*: εαν κερδηση, 𝕍: κερδησαι. **v.36** 𝕋*: ζημιωθη, 𝕍: ζημιωθηναι. **v.37** 𝕋*: η τι δωσει, 𝕍: τι γαρ δοι. **v.38** 𝕋 𝕂: αν, 𝕄 𝕍: εαν. **9.v.1** 𝕋*: των ωδε, 𝕍: ωδε των. **v.2** 𝕋*: μεθ, 𝕍: μετα. **v.2** 𝕋 𝕂 𝕍: τον, 𝕄: ∅.

νους καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν ⸰ καὶ τὰ ἱμάτια αὐτοῦ 3
ἐγένετο στίλβοντα λευκὰ λίαν ὡς˚ χιὼν οἷα γναφεὺς ἐπὶ τῆς γῆς
οὐ δύναται λευκᾶναι ⸰ καὶ ὤφθη αὐτοῖς ἡλίας σὺν μωσεῖ καὶ ἦ- 4
σαν συλλαλοῦντες τῷ ἰησοῦ ⸰ καὶ ἀποκριθεὶς ὁ πέτρος λέγει τῷ 5
ἰησοῦ ῥαββὶ καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι καὶ ποιήσωμεν σκη-
νὰς˚ τρεῖς σοὶ μίαν καὶ μωσεῖ μίαν καὶ ἡλίᾳ μίαν ⸰ οὐ γὰρ ᾔδει 6
τί λαλήσῃ˚ ἦσαν γὰρ ἔκφοβοι ⸰ καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα 7
αὐτοῖς καὶ ἦλθὲν φωνὴ ἐκ τῆς νεφέλης λέγουσα οὗτός ἐστιν ὁ
υἱός μου ὁ ἀγαπητὸς αὐτοῦ˚ ἀκούετε ⸰ καὶ ἐξάπινα περιβλεψά- 8
μενοι οὐκέτι οὐδένα εἶδον ἀλλὰ τὸν ἰησοῦν μόνον μεθ᾽ ἑαυτῶν ⸰
καταβαινόντων˚ δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους διεστείλατο αὐτοῖς ἵνα 9
μηδενὶ διηγήσωνται˚ ἃ εἶδον εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου
ἐκ νεκρῶν ἀναστῇ ⸰ καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς συ- 10
ζητοῦντες τί ἐστιν τὸ ἐκ νεκρῶν ἀναστῆναι ⸰ καὶ ἐπηρώτων αὐτὸν 11
λέγοντες ὅτι λέγουσιν οἱ γραμματεῖς ὅτι ἡλίαν δεῖ ἐλθεῖν πρῶ-
τον ⸰ ὁ δὲ ἀποκριθεὶς˚ εἶπεν αὐτοῖς ἡλίας μὲν ἐλθὼν πρῶτον ἀ- 12
ποκαθιστᾷ πάντα καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου
ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ ⸰ ἀλλὰ λέγω ὑμῖν ὅτι καὶ ἡλίας 13
ἐλήλυθεν καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν καθὼς γέγραπται
ἐπ᾽ αὐτόν ⸰ καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς εἶδεν ὄχλον πολὺν πε- 14
ρὶ αὐτοὺς καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς ⸰ καὶ εὐθέως πᾶς 15
ὁ ὄχλος ἰδὼν˚ αὐτὸν ἐξεθαμβήθη καὶ προστρέχοντες ἠσπάζοντο
αὐτόν ⸰ καὶ ἐπηρώτησεν τοὺς˚ γραμματεῖς τί συζητεῖτε πρὸς αὐ- 16
τούς ⸰ καὶ ἀπόκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπεν διδάσκαλε ἤνεγκα 17
τὸν υἱόν μου πρός σε ἔχοντα πνεῦμα ἄλαλον ⸰ καὶ ὅπου ἂν αὐ- 18
τὸν καταλάβῃ ῥήσσει αὐτὸν καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας
αὐτοῦ καὶ ξηραίνεται καὶ εἶπὸν τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκ-
βάλωσιν καὶ οὐκ ἴσχυσαν ⸰ ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει ὦ γενεὰ 19
ἄπιστος ἕως πότε πρὸς ὑμᾶς ἔσομαι ἕως πότε ἀνέξομαι ὑμῶν
φέρετε αὐτὸν πρός με ⸰ καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτὸν καὶ ἰδὼν 20

---

v.3 𝕋 𝕂 𝕍: εγενετο, 𝕄: εγενοντο. **v.3** 𝕋*: ως χιων, 𝕍: ∅. **v.3** 𝕋*: δυναται, 𝕍: δυναται ουτως. **v.4** 𝕋 𝕂: μωσει, 𝕄: μωση, 𝕍: μωυσει. **v.5** 𝕋*: σκηνας τρεις, 𝕍: τρεις σκηνας. **v.5** 𝕋 𝕂: μωσει, 𝕄: μωση, 𝕍: μωυσει. **v.6** 𝕋 𝕂: λαληση ησαν γαρ εκφοβοι, 𝕄: λαλησει ησαν γαρ εκφοβοι, 𝕍: αποκριθη εκφοβοι γαρ εγενοντο. **v.7** 𝕋*: ηλθεν, 𝕍: εγενετο. **v.7** 𝕋 𝕂: λεγουσα, 𝕄 𝕍: ∅. **v.7** 𝕋*: αυτου ακουετε, 𝕍: ακουετε αυτου. **v.9** 𝕋*: καταβαινοντων δε, 𝕍: και καταβαινοντων. **v.9** 𝕋*: απο, 𝕍: εκ. **v.9** 𝕋*: διηγησωνται α ειδον, 𝕍: α ειδον διηγησωνται. **v.12** 𝕋*: αποκριθεις ειπεν, 𝕍: εφη. **v.12** 𝕋*: αποκαθιστα, 𝕍: αποκαθιστανει. **v.12** 𝕋*: εξουδενωθη, 𝕍: εξουδενηθη. **v.13** 𝕋*: ηθελησαν, 𝕍: ηθελον. **v.14** 𝕋*: ελθων, 𝕍: ελθοντες. **v.14** 𝕋*: ειδεν, 𝕍: ειδον. **v.14** 𝕋*: αυτοις, 𝕍: προς αυτους. **v.15** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.15** 𝕋*: ιδων αυτον εξεθαμβηθη, 𝕍: ιδοντες αυτον εξεθαμβηθησαν. **v.16** 𝕋*: τους γραμματεις, 𝕍: αυτους. **v.17** 𝕋*: αποκριθεις, 𝕍: απεκριθη αυτω. **v.17** 𝕋*: ειπεν, 𝕍: ∅. **v.18** 𝕋*: αν, 𝕍: εαν. **v.18** 𝕋*: αυτου, 𝕍: ∅. **v.18** 𝕋*: ειπον, 𝕍: ειπα. **v.19** 𝕋*: αυτω, 𝕍: αυτοις.

αὐτὸν εὐθέως˚ τὸ πνεῦμα ἐὸπάραξεν αὐτὸν καὶ πεσὼν ἐπὶ τῆς
21 γῆς ἐκυλίετο ἀφρίζων ⸰ καὶ ἐπηρώτησεν τὸν πατέρα αὐτοῦ πό-
σος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ˙ ὁ δὲ εἶπεν ⸀παιδιόθεν ⸰
22 καὶ πολλάκις αὐτὸν˚ καὶ εἰς πῦρ ἔβαλεν καὶ εἰς ὕδατα ἵνα ἀπο-
λέσῃ αὐτόν ἀλλ᾽ εἴ τι δύναᾶαι βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ᾽
23 ἡμᾶς ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτῷ τὸ εἰ δύνασαι˚ πιστεῦσαι πάντα
24 δυνατὰ τῷ πιστεύοντι ⸰ καὶ˚ εὐθέως κράξας ὁ πατὴρ τοῦ παι-
δίου μετὰ˚ δακρύων ἔλεγεν πιστεύω κύῤιε βοήθει μου τῇ ἀπι-
25 στίᾳ ⸰ ἰδὼν δὲ ὁ ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος ἐπετίμησεν τῷ
πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ τὸ˚ πνεῦμα τὸ ἄλαλον καὶ
κωφὸν ἐγώ σοι˚ ἐπιτάσσω ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς
26 εἰς αὐτόν ⸰ καὶ κράξαν καὶ πολλὰ σπαράξαν˚ αὐτὸν ἐξῆλθεν καὶ
27 ἐγένετο ὡσεὶ νεκρὸς ὥστε ⸀πολλοὺς λέγειν ὅτι ἀπέθανεν ⸰ ὁ δὲ
ἰησοῦς κρατήσας αὐτὸν˚ τῆς χειρὸς ἤγειρεν αὐτὸν καὶ ἀνέστη ⸰
28 καὶ εἰσελθόντα˚ αὐτὸν εἰς οἶκον οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων˚
29 αὐτὸν κατ᾽ ἰδίαν ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό ⸰ καὶ
εἶπεν αὐτοῖς τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ
30 ἐν προσευχῇ καὶ˚ νηστείᾳ ⸰ καὶ˚ ἐκεῖθεν ἐξελθόντες παρεπορεύ-
31 οντο διὰ τῆς γαλιλαίας καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ˙ ⸰ ἐδίδασκεν
γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι ὁ υἱὸς τοῦ ἀν-
θρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων καὶ ἀποκτενοῦσιν
32 αὐτὸν καὶ ἀποκτανθεὶς τῇ˚ τρίτῃ ἡμέρᾳ ἀναστήσεται ⸰ οἱ δὲ ἠ-
33 γνόουν τὸ ῥῆμα καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι ⸰ καὶ ἦλθὲν
εἰς καῆερναοὺμ καὶ ἐν τῇ οἰκίᾳ γενόμενος ἐπηρώτα αὐτοὺς
34 τί ἐν τῇ ὁδῷ πρὸς˚ ἑαυτοὺς διελογίζεσθε ⸰ οἱ δὲ ἐσιώπων πρὸς
35 ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ τίς μείζων ⸰ καὶ καθίσας
ἐφώνησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς εἴ τις θέλει πρῶτος εἶναι
36 ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος ⸰ καὶ λαβὼν παιδίον
ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν
37 αὐτοῖς ⸰ ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί
μου ἐμὲ δέχεται καὶ ὃς ἐὰν ἐμὲ δέξῆται οὐκ ἐμὲ δέχεται ἀλλὰ

v.20 𝕋*: ευθεως το πνευμα, 𝕍: το πνευμα ευθυς. **v.20** 𝕋*: εσπαραξεν, 𝕍: συνεσπαραξεν. **v.21** 𝕋*: παιδιοθεν, 𝕍: εκ παιδιοθεν. **v.22** 𝕋 𝕂: αυτον και εις πυρ, 𝕄: αυτον και εις το πυρ, 𝕍: και εις πυρ αυτον. **v.22** 𝕋*: δυνασαι, 𝕍: δυνη. **v.23** 𝕋*: δυνασαι πιστευσαι, 𝕍: δυνη. **v.24** 𝕋*: και ευθεως, 𝕍: ευθυς. **v.24** 𝕋*: μετα δακρυων, 𝕍: ∅. **v.24** 𝕋*: κυριε, 𝕍: ∅. **v.25** 𝕋*: το πνευμα το αλαλον και κωφον, 𝕍: το αλαλον και κωφον πνευμα. **v.25** 𝕋*: σοι επιτασσω, 𝕍: επιτασσω σοι. **v.26** 𝕋*: κραξαν, 𝕍: κραξας. **v.26** 𝕋*: σπαραξαν αυτον, 𝕍: σπαραξας. **v.26** 𝕋*: πολλους, 𝕍: τους πολλους. **v.27** 𝕋*: αυτον της χειρος, 𝕍: της χειρος αυτου. **v.28** 𝕋*: εισελθοντα αυτον, 𝕍: εισελθοντος αυτου. **v.28** 𝕋*: επηρωτων αυτον κατ ιδιαν, 𝕍: κατ ιδιαν επηρωτων αυτον. **v.29** 𝕋*: και νηστεια, 𝕍: ∅. **v.30** 𝕋*: και εκειθεν, 𝕍: κακειθεν. **v.30** 𝕋*: γνω, 𝕍: γνοι. **v.31** 𝕋*: τη τριτη ημερα, 𝕍: μετα τρεις ημερας. **v.33** 𝕋*: ηλθεν, 𝕍: ηλθον. **v.33** 𝕋*: καπερναουμ, 𝕍: καφαρναουμ. **v.33** 𝕋*: προς εαυτους, 𝕍: ∅. **v.37** 𝕋*: εαν, 𝕍: αν. **v.37** 𝕋*: δεξηται, 𝕍: δεχηται.

τὸν ἀποστείλαντά με ⸰ ἀπεκρίθη˚ δὲ αὐτῷ ὁ˚ ἰωάννης λέγων δι- 38
δάσκαλε εἴδομέν τινα τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια ὃς˚
οὐκ ἀκολουθεῖ ἡμῖν καὶ ἐκωλύσαμεν αὐτὸν ὅτι οὐκ ἀκολουθεῖ
ἡμῖν ⸰ ὁ δὲ ἰησοῦς εἶπεν μὴ κωλύετε αὐτὸν οὐδεὶς γάρ ἐστιν ὃς 39
ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου καὶ δυνήσεται ταχὺ κα-
κολογῆσαί με ⸰ ὃς γὰρ οὐκ ἔστιν καθ᾽ ὑμῶν ὑπὲρ ὑμῶν ἐστιν ⸰ 40
ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν τῷ ὀνόματί μου ὅτι 41
χριστοῦ ἐστε ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ ⸰
καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς ἐμὲ 42
καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται λίθος˚ μυλικὸς περὶ τὸν
τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν θάλασσαν ⸰ καὶ ἐὰν σκαν- 43
δαλίζῃ σε ἡ χείρ σου ἀπόκοψον αὐτὴν καλόν σοί˚ ἐστιν κυλλὸν
εἰς˚ τὴν ζωὴν εἰσελθεῖν ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς
τὴν γέενναν εἰς τὸ πῦρ τὸ ἄσβεστον ⸰ ὅπου˚ ὁ σκώληξ αὐτῶν οὐ 44
τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται ⸰ καὶ ἐὰν ὁ πούς σου σκαν- 45
δαλίζῃ σε ἀπόκοψον αὐτὸν καλόν ἐστίν σοὶ εἰσελθεῖν εἰς τὴν
ζωὴν χωλὸν ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν
εἰς˚ τὸ πῦρ τὸ ἄσβεστον ⸰ ὅπου˚ ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ 46
τὸ πῦρ οὐ σβέννυται ⸰ καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε 47
ἔκβαλε αὐτὸν καλόν σοί ἐστιν μονόφθαλμον εἰσελθεῖν εἰς τὴν
βασιλείαν τοῦ θεοῦ ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν
γέενναν τοῦ˚ πυρός ⸰ ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ 48
πῦρ οὐ σβέννυται ⸰ πᾶς γὰρ πυρὶ ἁλισθήσεται καὶ˚ πᾶσα θυσία 49
ἁλὶ ἁλισθήσεται ⸰ καλὸν τὸ ἅλας ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται 50
ἐν τίνι αὐτὸ ἀρτύσετε ἔχετε ἐν ἑαυτοῖς ἅλας καὶ εἰρηνεύετε ἐν
ἀλλήλοις ⸰

κἀκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς ἰουδαίας διὰ˚ τοῦ **10**
πέραν τοῦ ἰορδάνου καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐ-
τὸν καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς ⸰ καὶ προσελθόντες 2
οἱ φαρισαῖοι ἐπηρώτησαν αὐτὸν εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπο-
λῦσαι πειράζοντες αὐτόν ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς τί ὑμῖν 3

---

v.38 𝕋*: απεκριθη δε, 𝕍: εφη. **v.38** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.38** 𝕋*: λεγων, 𝕍: ∅. **v.38** 𝕋 𝕄: τω, 𝕂 𝕍: εν τω. **v.38** 𝕋*: ος ουκ ακολουθει ημιν, 𝕍: ∅. **v.38** 𝕋*: εκωλυσαμεν, 𝕍: εκωλυομεν. **v.38** 𝕋*: ακολουθει, 𝕍: ηκολουθει. **v.40** 𝕋 𝕄: υμων, 𝕂 𝕍: ημων. **v.41** 𝕋 𝕂: τω, 𝕄 𝕍: ∅. **v.41** 𝕋*: μου, 𝕍: ∅. **v.41** 𝕋*: ου, 𝕍: οτι ου. **v.42** 𝕋 𝕂 𝕍: αν, 𝕄: εαν. **v.42** 𝕋 𝕄: μικρων, 𝕂 𝕍: μικρων τουτων. **v.42** 𝕋*: λιθος μυλικος, 𝕍: μυλος ονικος. **v.43** 𝕋*: σοι εστιν, 𝕍: εστιν σε. **v.43** 𝕋*: εις την ζωην εισελθειν, 𝕍: εισελθειν εις την ζωην. **v.44** 𝕋*: οπου . . . σβεννυται, 𝕍: ∅. **v.45** 𝕋*: σοι, 𝕍: σε. **v.45** 𝕋*: εις το πυρ το ασβεστον, 𝕍: ∅. **v.46** 𝕋*: οπου . . . σβεννυται, 𝕍: ∅. **v.47** 𝕋*: σοι, 𝕍: σε. **v.47** 𝕋*: του πυρος, 𝕍: ∅. **v.49** 𝕋*: και πασα θυσια αλι αλισθησεται, 𝕍: ∅. **v.50** 𝕋*: αλας, 𝕍: αλα. **10.v.1** 𝕋*: κακειθεν, 𝕍: και εκειθεν. **v.1** 𝕋*: δια του, 𝕍: [και]. **v.2** 𝕋 𝕂: οι, 𝕄 𝕍: ∅. **v.2** 𝕋*: επηρωτησαν, 𝕍: επηρωτων.

4 ἐνετείλατο μωσῆς· οἱ δὲ εἶπόν μωσῆς· ἐπέτρεψεν βιβλίον ἀπο-
5 στασίου γράψαι καὶ ἀπολῦσαι· καὶ· ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν
αὐτοῖς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντο-
6 λὴν ταύτην· ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν
7 αὐτοὺς ὁ· θεός· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πα-
τέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν
8 γυναῖκα αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν ὥστε οὐκέτι
9 εἰσὶν δύο ἀλλὰ μία σάρξ· ὃ οὖν ὁ θεὸς συνέζευξεν ἄνθρωπος
10 μὴ χωριζέτω· καὶ ἐν· τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ·
11 αὐτοῦ ἐπηρώτησαν αὐτόν· καὶ λέγει αὐτοῖς ὃς ἐὰν ἀπολύσῃ τὴν
12 γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην μοιχᾶται ἐπ᾽ αὐτήν· καὶ ἐὰν
γυνὴ· ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς καὶ· γαμηθῇ ἄλλῳ μοιχᾶται·
13 καὶ προσέφερον αὐτῷ παιδία ἵνα ἅψηται· αὐτῶν οἱ δὲ μαθηταὶ
14 ἐπετίμων· τοῖς προσφέρουσιν· ἰδὼν δὲ ὁ ἰησοῦς ἠγανάκτησεν
καὶ εἶπεν αὐτοῖς ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με κἀὶ μὴ κω-
15 λύετε αὐτὰ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ· ἀμὴν
λέγω ὑμῖν ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον
16 οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν· καὶ ἐναγκαλισάμενος αὐτὰ ἐτιθεὶς τὰς
17 χεῖρας ἐπ᾽ αὐτὰ ηὐλόγει· αὐτά· καὶ ἐκπορευομένου αὐτοῦ εἰς
ὁδὸν προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτὸν ἐπηρώτα αὐτὸν
διδάσκαλε ἀγαθὲ τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω·
18 ὁ δὲ ἰησοῦς εἶπεν αὐτῷ τί με λέγεις ἀγαθὸν οὐδεὶς ἀγαθὸς εἰ
19 μὴ εἷς ὁ θεός· τὰς ἐντολὰς οἶδας μὴ· μοιχεύσῃς μὴ φονεύσῃς
μὴ κλέψῃς μὴ ψευδομαρτυρήσῃς μὴ ἀποστερήσῃς τίμα τὸν
20 πατέρα σου καὶ τὴν μητέρα· ὁ δὲ ἀποκριθεὶς· εἶπεν αὐτῷ διδά-
21 σκαλε ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου· ὁ δὲ ἰησοῦς
ἐμβλέψας αὐτῷ ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ ἕν ὑμοι ὑστερεῖ
ὕπαγε ὅσα ἔχεις πώλησον καὶ δὸς τοῖς πτωχοῖς καὶ ἕξεις θησαυ-
22 ρὸν ἐν οὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι ἄρας· τὸν σταυρόν· ὁ δὲ
στυγνάσας ἐπὶ τῷ λόγῳ ἀπῆλθεν λυπούμενος ἦν γὰρ ἔχων κτή-
23 ματα πολλά· καὶ περιβλεψάμενος ὁ ἰησοῦς λέγει τοῖς μαθηταῖς
αὐτοῦ πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν

---

v.3 $\mathbb{T}^*$: μωσης, $\mathbb{V}$: μωυσης. **v.4** $\mathbb{T}^*$: ειπον, $\mathbb{V}$: ειπαν. **v.4** $\mathbb{T}^*$: μωσης επετρεψεν, $\mathbb{V}$: επετρεψεν μωυσης. **v.5** $\mathbb{T}^*$: και αποκριθεις ο, $\mathbb{V}$: ο δε. **v.6** $\mathbb{T}^*$: ο θεος, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: εν τη οικια, $\mathbb{V}$: εις την οικιαν. **v.10** $\mathbb{T}^*$: αυτου, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: του αυτου επηρωτησαν, $\mathbb{V}$: τουτου επηρωτων. **v.11** $\mathbb{T}^*$: εαν, $\mathbb{V}$: αν. **v.12** $\mathbb{T}^*$: γυνη απολυση, $\mathbb{V}$: αυτη απολυσασα. **v.12** $\mathbb{T}^*$: και γαμηθη αλλω, $\mathbb{V}$: γαμηση αλλον. **v.13** $\mathbb{T}^*$: αψηται αυτων, $\mathbb{V}$: αυτων αψηται. **v.13** $\mathbb{T}^*$: επετιμων τοις προσφερουσιν, $\mathbb{V}$: επετιμησαν αυτοις. **v.14** $\mathbb{T}$ $\mathbb{K}$: και, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}^*$: εαν, $\mathbb{V}$: αν. **v.16** $\mathbb{T}^*$: τιθεις, $\mathbb{V}$: κατευλογει τιθεις. **v.16** $\mathbb{T}$ $\mathbb{K}$: ηυλογει αυτα, $\mathbb{M}$: ευλογει αυτα, $\mathbb{V}$: ∅. **v.19** $\mathbb{T}^*$: μη μοιχευσης μη φονευσης, $\mathbb{V}$: μη φονευσης μη μοιχευσης. **v.20** $\mathbb{T}^*$: αποκριθεις ειπεν, $\mathbb{V}$: εφη. **v.21** $\mathbb{T}^*$: σοι, $\mathbb{V}$: σε. **v.21** $\mathbb{T}$ $\mathbb{K}$: τοις, $\mathbb{M}$: ∅, $\mathbb{V}$: [τοις]. **v.21** $\mathbb{T}^*$: αρας τον σταυρον, $\mathbb{V}$: ∅.

τοῦ θεοῦ εἰσελεύσονται ⸂ οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λό- 24
γοις αὐτοῦ ὁ δὲ ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς τέκνα
πῶς δύσκολόν ἐστιν τοὺς˚ πεποιθότας ἐπὶ τοῖς χρήμασιν εἰς τὴν
βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν ⸂ εὐκοπώτερόν ἐστιν κάμηλον διὰ 25
τῆς τρυμαλιᾶς τῆς ῥαφίδος ἐἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασι-
λείαν τοῦ θεοῦ εἰσελθεῖν ⸂ οἱ δὲ περισσῶς ἐξεπλήσσοντο λέγοντες 26
πρὸς ἑαυτοὺς καὶ τίς δύναται σωθῆναι ⸂ ἐμβλέψας δὲ˚ αὐτοῖς ὁ 27
ἰησοῦς λέγει παρὰ ἀνθρώποις ἀδύνατον ἀλλ᾽ οὐ παρὰ τῷ θε-
ῷ πάντα γὰρ δυνατά ἐστιν παρὰ τῷ θεῷ ⸂ καὶ ἤρξατο ὁ˚ πέτρος 28
λέγειν αὐτῷ ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν
σοι ⸂ ἀποκριθεὶς˚ δὲ ὁ ἰησοῦς εἶπεν ἀμὴν λέγω ὑμῖν οὐδείς ἐστιν 29
ὃς ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ˚ πατέρα ἢ μητέρα ἢ
γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου ⸂ ἐὰν 30
μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ οἰκίας καὶ
ἀδελφοὺς καὶ ἀδελφὰς καὶ μητέρας καὶ τέκνα καὶ ἀγροὺς μετὰ
διωγμῶν καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον˙ ⸂ πολλοὶ δὲ 31
ἔσονται πρῶτοι ἔσχατοι καὶ οἱ ἔσχατοι πρῶτοι ⸂ ἦσαν δὲ ἐν τῇ 32
ὁδῷ ἀναβαίνοντες εἰς ἱεροσόλυμα καὶ ἦν προάγων αὐτοὺς ὁ ἰη-
σοῦς καὶ ἐθαμβοῦντο καὶ ἀκολουθοῦντες ἐφοβοῦντο καὶ παρα-
λαβὼν πάλιν τοὺς δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐ-
τῷ συμβαίνειν ⸂ ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς ἱεροσόλυμα καὶ ὁ υἱὸς 33
τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσιν καὶ˚ τοῖς γραμ-
ματεῦσιν καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν
αὐτὸν τοῖς ἔθνεσιν ⸂ καὶ ἐμπαίξουσιν αὐτῷ καὶ˚ μαστιγώσουσιν 34
αὐτὸν καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτὸν καὶ τῇ˚
τρίτῃ ἡμέρᾳ ἀναστήσεται ⸂ καὶ προσπορεύονται αὐτῷ ἰάκωβος 35
καὶ ἰωάννης οἱ υἱοὶ ζεβεδαίου λέγοντες˙ διδάσκαλε θέλομεν ἵνα
ὃ ἐὰν αἰτήσωμεν˙ ποιήσῃς ἡμῖν ⸂ ὁ δὲ εἶπεν αὐτοῖς τί θέλετε ποι- 36
ῆσαί˚ με ὑμῖν ⸂ οἱ δὲ εἶπὸν αὐτῷ δὸς ἡμῖν ἵνα εἷς ἐκ˚ δεξιῶν σου 37

---

v.24 𝕋 𝕂: τους πεποιθοτας επι τοις χρημασιν, 𝕄: τους πεποιθοτας επι χρημασιν, 𝕍: ∅. **v.25** 𝕋 𝕄: εισελθειν, 𝕂 𝕍: διελθειν. **v.26** 𝔼: εαυτους, ℵ B C: αυτον. **v.27** 𝕋*: δε, 𝕍: ∅. **v.27** 𝕋 𝕂: τω, 𝕄 𝕍: ∅. **v.27** 𝕋*: εστιν, 𝕍: ∅. **v.28** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.28** 𝕋*: ο πετρος λεγειν, 𝕍: λεγειν ο πετρος. **v.28** 𝕋*: ηκολουθησαμεν, 𝕍: ηκολουθηκαμεν. **v.29** 𝕋*: αποκριθεις δε ο ιησους ειπεν, 𝕍: εφη ο ιησους. **v.29** 𝕋*: η πατερα η μητερα η γυναικα, 𝕍: η μητερα η πατερα. **v.29** 𝕋 𝕂: και, 𝕄 𝕍: και ενεκεν. **v.30** 𝔼: οικιας και αδελφους και αδελφας και μητερας και τεκνα και αγρους μετα διωγμων και, D: ος δε αφηκεν οικιαν και αδελφας και αδελφους και μητερα και τεκνα και αγρους μετα διωγμων. **v.30** 𝔼: αιωνιον, D: αιωνιον λημψεται. **v.31** 𝕋 𝕂: οι, 𝕄: ∅, 𝕍: [οι]. **v.32** 𝕋*: και, 𝕍: οι δε. **v.33** 𝕋 𝕂 𝕍: τοις, 𝕄: ∅. **v.34** 𝕋*: και μαστιγωσουσιν αυτον και εμπτυσουσιν αυτω και αποκτενουσιν αυτον, 𝕍: και εμπτυσουσιν αυτω και μαστιγωσουσιν αυτον και αποκτενουσιν. **v.34** 𝕋*: τη τριτη ημερα, 𝕍: μετα τρεις ημερας. **v.35** 𝕋*: λεγοντες, 𝕍: λεγοντες αυτω. **v.35** 𝕋*: αιτησωμεν, 𝕍: αιτησωμεν σε. **v.36** 𝕋*: ποιησαι με, 𝕍: [με] ποιησω. **v.37** 𝕋*: ειπον, 𝕍: ειπαν. **v.37** 𝕋*: εκ δεξιων σου και εις εξ ευωνυμων σου, 𝕍: σου εκ δεξιων και εις εξ αριστερων.

38 καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου ◦ ὁ δὲ ἰησοῦς
εἶπεν αὐτοῖς οὐκ οἴδατε τί αἰτεῖσθε δύνασθε πιεῖν τὸ ποτήριον ὃ
39 ἐγὼ πίνω κἀὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι ◦ οἱ δὲ
εἶπὸν αὐτῷ δυνάμεθα ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς τὸ μὲν ποτήριον
ὃ ἐγὼ πίνω πίεσθε καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθή-
40 σεσθε ◦ τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου κἀὶ ἐξ εὐωνύμων μόυ οὐκ
41 ἔστιν ἐμὸν δοῦναι ἀλλ᾽ οἷς ἡτοίμασται ◦ καὶ ἀκούσαντες οἱ δέκα
42 ἤρξαντο ἀγανακτεῖν περὶ ἰακώβου καὶ ἰωάννου ◦ ὁ᾽ δὲ ἰησοῦς
προσκαλεσάμενος αὐτοὺς λέγει αὐτοῖς οἴδατε ὅτι οἱ δοκοῦντες
ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν
43 κατεξουσιάζουσιν αὐτῶν ◦ οὐχ οὕτως δὲ ἔστἀι ἐν ὑμῖν ἀλλ᾽ ὃς ἐὰν
44 θέλῃ γενέσθαι᾽ μέγας ἐν ὑμῖν ἔσται διάκονος᾽ ὑμῶν ◦ καὶ ὃς ἂν
45 θέλῃ ὑμῶν᾽ γενέσθαι πρῶτος ἔσται πάντων δοῦλος ◦ καὶ γὰρ ὁ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι
46 καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν ◦ καὶ ἔρχονται
εἰς ἱεριχὼ καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ ἱεριχὼ καὶ τῶν μαθη-
τῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ ὑἱὸς τιμαίου βαρτίμαιος ὁ᾽ τυφλὸς
47 ἐκάθητο᾽ παρὰ τὴν ὁδὸν προσαιτῶν ◦ καὶ ἀκούσας ὅτι ἰησοῦς ὁ
ναζῶραῖός ἐστιν ἤρξατο κράζειν καὶ λέγειν ὁ᾽ υἱὸς δαβὶδ ἰησοῦ
48 ἐλέησόν με ◦ καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ ὁ δὲ πολλῷ
49 μᾶλλον ἔκραζεν υἱὲ δαβ̊ὶδ ἐλέησόν με ◦ καὶ στὰς ὁ ἰησοῦς εἶπεν
αὐτὸν᾽ φωνηθῆναι καὶ φωνοῦσιν τὸν τυφλὸν λέγοντες αὐτῷ θάρ-
50 σει ἔγειρἀι φωνεῖ σε ◦ ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀναστὰς
51 ἦλθεν πρὸς τὸν ἰησοῦν ◦ καὶ ἀποκριθεὶς λέγει᾽ αὐτῷ ὁ ἰησοῦς
τί θέλεις᾽ ποιήσω σοὶ ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ ῥαββ̊όνὶ ἵνα ἀνα-
52 βλέψω ◦ ὁ᾽ δὲ ἰησοῦς εἶπεν αὐτῷ ὕπαγε ἡ πίστις σου σέσωκέν σε
καὶ εὐθέὡς ἀνέβλεψεν καὶ ἠκολούθει τῷ᾽ ἰησοῦ ἐν τῇ ὁδῷ ◦

11 καὶ ὅτε ἐγγίζουσιν εἰς ἱεροὐσαλὴμ εἰς βηθφ̊αγὴ καὶ βηθανίαν
πρὸς τὸ ὄρος τῶν ἐλαιῶν ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ ◦
2 καὶ λέγει αὐτοῖς ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν καὶ

---

v.38 𝕋*: και, 𝕍: η. **v.39** 𝕋*: ειπον, 𝕍: ειπαν. **v.39** 𝕋*: μεν, 𝕍: ∅. **v.40** 𝕋*: και, 𝕍: η. **v.40** 𝕋 𝕂: μου, 𝕄 𝕍: ∅. **v.42** 𝕋*: ο δε ιησους προσκαλεσαμενος αυτους, 𝕍: και προσκαλεσαμενος αυτους ο ιησους. **v.43** 𝕋*: εσται, 𝕍: εστιν. **v.43** 𝕋*: εαν, 𝕍: αν. **v.43** 𝕋*: γενεσθαι μεγας, 𝕍: μεγας γενεσθαι. **v.43** 𝕋 𝕂: διακονος υμων, 𝕄 𝕍: υμων διακονος. **v.44** 𝕋 𝕂 𝕍: αν, 𝕄: εαν. **v.44** 𝕋*: υμων γενεσθαι, 𝕍: εν υμιν ειναι. **v.46** 𝕋*: υιος, 𝕍: ο υιος. **v.46** 𝕋*: ο, 𝕍: ∅. **v.46** 𝕋*: εκαθητο παρα την οδον προσαιτων, 𝕍: προσαιτης εκαθητο παρα την οδον. **v.47** 𝕋*: ναζωραιος, 𝕍: ναζαρηνος. **v.47** 𝕋*: ο υιος δαβιδ, 𝕍: υιε δαυιδ. **v.48** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.49** 𝕋*: αυτον φωνηθηναι, 𝕍: φωνησατε αυτον. **v.49** 𝕋*: εγειραι, 𝕍: εγειρε. **v.50** 𝕋*: αναστας, 𝕍: αναπηδησας. **v.51** 𝕋*: λεγει αυτω ο ιησους, 𝕍: αυτω ο ιησους ειπεν. **v.51** 𝕋*: θελεις ποιησω σοι, 𝕍: σοι θελεις ποιησω. **v.51** 𝕋 𝕂: ραββονι, 𝕄 𝕍: ραββουνι. **v.52** 𝕋*: ο δε, 𝕍: και ο. **v.52** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.52** 𝕋*: τω ιησου, 𝕍: αυτω. **11.v.1** 𝕋*: ιερουσαλημ, 𝕍: ιεροσολυμα. **v.1** 𝕋 𝕂 𝕍: βηθφαγη, 𝕄: βηθσφαγη.

εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον
ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων˚ κεκάθικεν λύσαντες αὐτὸν ἀγάγετε ⸰
καὶ ἐάν τις ὑμῖν εἴπῃ τί ποιεῖτε τοῦτο εἴπατε ὅτι ὁ κύριος αὐτοῦ 3
χρείαν ἔχει καὶ εὐθέως αὐτὸν ἀποστελεῖ ὧδε ⸰ ἀπῆλθον˚ δὲ καὶ 4
εὗρον τὸν πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμ-
φόδου καὶ λύουσιν αὐτόν ⸰ καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον 5
αὐτοῖς τί ποιεῖτε λύοντες τὸν πῶλον ⸰ οἱ δὲ εἶπὸν αὐτοῖς καθὼς 6
ἐνετείλατο ὁ ἰησοῦς καὶ ἀφῆκαν αὐτούς ⸰ καὶ ἤγαγον τὸν πῶλον 7
πρὸς τὸν ἰησοῦν καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν καὶ ἐκά-
θισεν ἐπ᾽ αὐτῷ ⸰ πολλοὶ˚ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν 8
ὁδὸν ἄλλοι δὲ στοιβάδας˚ ἔκοπτον ἐκ τῶν δένδρων καὶ ἐστρών-
νυον εἰς τὴν ὁδόν ⸰ καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες 9
ἔκραζον λέγοντες ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
κυρίου ⸰ εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν˙ ὀνόματι κυρίου 10
τοῦ πατρὸς ἡμῶν δαβὶδ ὡσαννὰ ἐν τοῖς ὑψίστοις ⸰ καὶ εἰσῆλθεν 11
εἰς ἱεροσόλυμα ὁ˚ ἰησοῦς καὶ εἰς τὸ ἱερὸν καὶ περιβλεψάμενος
πάντα ὀψίας ἤδη οὔσης τῆς ὥρας ἐξῆλθεν εἰς βηθανίαν μετὰ τῶν
δώδεκα ⸰ καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ βηθανίας ἐπεί- 12
νασεν ⸰ καὶ ἰδὼν συκῆν μακρόθεν ἔχουσαν φύλλα ἦλθεν εἰ ἄρα 13
εὑρήσει˚ τι ἐν αὐτῇ καὶ ἐλθὼν ἐπ᾽ αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ φύλλα
οὐ˚ γὰρ ἦν καιρὸς σύκων ⸰ καὶ ἀποκριθεὶς ὁ˚ ἰησοῦς εἶπεν αὐτῇ 14
μηκέτι ἐκ˚ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι καὶ ἤκουον
οἱ μαθηταὶ αὐτοῦ ⸰ καὶ ἔρχονται εἰς ἱεροσόλυμα καὶ εἰσελθὼν 15
ὁ˚ ἰησοῦς εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ
ἀγοράζοντας ἐν τῷ ἱερῷ καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ
τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψεν ⸰ καὶ 16
οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ ⸰ καὶ ἐδίδασκεν 17
λέγων αὐτοῖς οὐ γέγραπται ὅτι ὁ οἶκός μου οἶκος προσευχῆς
κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπή-
λαιον λῃστῶν ⸰ καὶ ἤκουσαν οἱ γραμματεῖς˚ καὶ οἱ ἀρχιερεῖς καὶ 18

---

v.2 $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.2** $\mathbb{T}^*$: ανθρωπων κεκαθικεν λυσαντες αυτον αγαγετε, $\mathbb{V}$: ουπω ανθρωπων εκαθισεν λυσατε αυτον και φερετε. **v.3** $\mathbb{T}^*$: οτι, $\mathbb{V}$: ∅. **v.3** $\mathbb{T}^*$: ευθεως, $\mathbb{V}$: ευθυς. **v.3** $\mathbb{T}$ $\mathbb{K}$: αποστελει, $\mathbb{M}$: αποστελλει, $\mathbb{V}$: αποστελλει παλιν. **v.4** $\mathbb{T}^*$: απηλθον δε, $\mathbb{V}$: και απηλθον. **v.4** $\mathbb{T}$ $\mathbb{K}$: τον, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.4** $\mathbb{T}^*$: την, $\mathbb{V}$: ∅. **v.6** $\mathbb{T}^*$: ειπον, $\mathbb{V}$: ειπαν. **v.6** $\mathbb{T}^*$: ενετειλατο, $\mathbb{V}$: ειπεν. **v.7** $\mathbb{T}^*$: ηγαγον, $\mathbb{V}$: φερουσιν. **v.7** $\mathbb{T}^*$: επεβαλον, $\mathbb{V}$: επιβαλλουσιν. **v.7** $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: αυτον. **v.8** $\mathbb{T}^*$: πολλοι δε, $\mathbb{V}$: και πολλοι. **v.8** $\mathbb{T}^*$: στοιβαδας εκοπτον εκ των δενδρων και εστρωννυον εις την οδον, $\mathbb{V}$: στιβαδας κοψαντες εκ των αγρων. **v.9** $\mathbb{T}^*$: λεγοντες, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: εν ονοματι κυριου, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: δαβιδ, $\mathbb{V}$: δαυιδ. **v.11** $\mathbb{T}^*$: ο ιησους και, $\mathbb{V}$: ∅. **v.13** $\mathbb{T}^*$: μακροθεν, $\mathbb{V}$: απο μακροθεν. **v.13** $\mathbb{T}^*$: ευρησει τι, $\mathbb{V}$: τι ευρησει. **v.13** $\mathbb{T}^*$: ου γαρ ην καιρος, $\mathbb{V}$: ο γαρ καιρος ουκ ην. **v.14** $\mathbb{T}^*$: ο ιησους, $\mathbb{V}$: ∅. **v.14** $\mathbb{T}^*$: εκ σου εις τον αιωνα, $\mathbb{V}$: εις τον αιωνα εκ σου. **v.15** $\mathbb{T}^*$: ο ιησους, $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}^*$: αγοραζοντας, $\mathbb{V}$: τους αγοραζοντας. **v.17** $\mathbb{T}^*$: λεγων, $\mathbb{V}$: και ελεγεν. **v.17** $\mathbb{T}^*$: εποιησατε, $\mathbb{V}$: πεποιηκατε. **v.18** $\mathbb{T}^*$: γραμματεις και οι αρχιερεις, $\mathbb{V}$: αρχιερεις και οι γραμματεις.

ἐζήτουν πῶς αὐτὸν ἀπολέσὀυσιν ἐφοβοῦντο γὰρ αὐτὸν ὅτι˚ πᾶς ὁ
19 ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ ◦ καὶ ὅτὲ ὀψὲ ἐγένετο ἐ-
20 ξεπορεύὲτο ἔξω τῆς πόλεως ◦ καὶ πρωῖ˚ παραπορευόμενοι εἶδον
21 τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν ◦ καὶ ἀναμνησθεὶς ὁ πέτρος
22 λέγει αὐτῷ ῥαββὶ ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται ◦ καὶ ἀπο-
23 κριθεὶς ἰἡσοῦς λέγει αὐτοῖς ἔχὲτε πίστιν θεοῦ ◦ ἀμὴν γὰρ λέγω
ὑμῖν ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ ἄρθητι καὶ βλήθητι εἰς τὴν
θάλασσαν καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀλλὰ πιστεύὅῃ
24 ὅτι ἃ˚ λέγει γίνεται ἔσται αὐτῷ ὃ˚ ἐὰν εἴπῃ ◦ διὰ τοῦτο λέγω ὑμῖν
πάντα ὅσα ἂν˚ προσευχόμενοι αἰτεῖσθε πιστεύετε ὅτι λαμβάνετε
25 καὶ ἔσται ὑμῖν ◦ καὶ ὅταν στήκῆτε προσευχόμενοι ἀφίετε εἴτι ἔ-
χετε κατά τινος ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ
26 ὑμῖν τὰ παραπτώματα ὑμῶν ◦ εἰ˚ δὲ ὑμεῖς οὐκ ἀφίετε οὐδὲ ὁ
πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει τὰ παραπτώματα ὑμῶν ◦
27 καὶ ἔρχονται πάλιν εἰς ἱεροσόλυμα καὶ ἐν τῷ ἱερῷ περιπατοῦν-
τος αὐτοῦ ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
28 καὶ οἱ πρεσβύτεροι ◦ καὶ λέγουσιν αὐτῷ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
ποιεῖς κἀὶ τίς σοι τὴν˚ ἐξουσίαν ταύτην ἔδωκεν ἵνα ταῦτα ποιῇς ◦
29 ὁ δὲ ἰησοῦς ἀποκρὶθεὶς εἶπεν αὐτοῖς ἐπερωτήσω ὑμᾶς κἀγὼ ἕνα
λόγον καὶ ἀποκρίθητέ μοι καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
30 ποιῶ ◦ τὸ βάπτισμα ἰὠάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων ἀπο-
31 κρίθητέ μοι ◦ καὶ ἐλὸγίζοντο πρὸς ἑαυτοὺς λέγοντες ἐὰν εἴπωμεν
32 ἐξ οὐρανοῦ ἐρεῖ διατὶ οὖν οὐκ ἐπιστεύσατε αὐτῷ ◦ ἀλλ˚ ἐὰν εἴ-
πωμεν ἐξ ἀνθρώπων ἐφοβοῦντο τὸν λᾶὸν ἅπαντες γὰρ εἶχον τὸν
33 ἰωάννην ὅτι˚ ὄντως προφήτης ἦν ◦ καὶ ἀποκριθέντες λέγουσιν˚
τῷ ἰησοῦ οὐκ οἴδαμεν καὶ ὁ ἰησοῦς ἀποκρὶθεὶς λέγει αὐτοῖς
οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ ◦

12 καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν ἀμπελῶνα ἐφύτευ-
σεν˚ ἄνθρωπος καὶ περιέθηκεν φραγμὸν καὶ ὤρυξεν ὑπολήνιον
καὶ ᾠκοδόμησεν πύργον καὶ ἐξέδὸτο αὐτὸν γεωργοῖς καὶ ἀπε-

v.18 𝕋 𝕂: απολεσουσιν, 𝕄 𝕍: απολεσωσιν. **v.18** 𝕋*: οτι πας, 𝕍: πας γαρ. **v.19** 𝕋*: οτε, 𝕍: οταν. **v.19** 𝕋*: εξεπορευετο, 𝕍: εξεπορευοντο. **v.20** 𝕋*: πρωι παραπορευομενοι, 𝕍: παραπορευομενοι πρωι. **v.22** 𝕋 𝕂: ιησους, 𝕄 𝕍: ο ιησους. **v.22** 𝔼: εχετε, ℵ D: ει εχετε. **v.23** 𝕋*: γαρ, 𝕍: ∅. **v.23** 𝕋*: πιστευση, 𝕍: πιστευη. **v.23** 𝕋*: α λεγει, 𝕍: ο λαλει. **v.23** 𝕋*: ο εαν ειπη, 𝕍: ∅. **v.24** 𝕋*: αν προσευχομενοι, 𝕍: προσευχεσθε και. **v.24** 𝕋 𝕂 𝕍: αιτεισθε, 𝕄: αιτησθε. **v.24** 𝕋*: λαμβανετε, 𝕍: ελαβετε. **v.25** 𝕋*: στηκητε, 𝕍: στηκετε. **v.25** 𝕋: ειτι, 𝕂 𝕄 𝕍: ει τι. **v.26** 𝕋*: εἰ … ◦, 𝕍 ℕ: ∅. **v.28** 𝕋*: λεγουσιν, 𝕍: ελεγον. **v.28** 𝕋*: και, 𝕍: η. **v.28** 𝕋*: την εξουσιαν ταυτην εδωκεν, 𝕍: εδωκεν την εξουσιαν ταυτην. **v.29** 𝕋*: αποκριθεις, 𝕍: ∅. **v.29** 𝕋 𝕂: καγω, 𝕄: και εγω, 𝕍: ∅. **v.30** 𝕋*: ιωαννου, 𝕍: το ιωαννου. **v.31** 𝕋*: ελογιζοντο, 𝕍: διελογιζοντο. **v.31** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.32** 𝕋 𝕂: αλλ εαν, 𝕄: αλλ, 𝕍: αλλα. **v.32** 𝕋*: λαον, 𝕍: οχλον. **v.32** 𝕋*: οτι οντως, 𝕍: οντως οτι. **v.33** 𝕋*: λεγουσιν τω ιησου, 𝕍: τω ιησου λεγουσιν. **v.33** 𝕋*: αποκριθεις, 𝕍: ∅. **12.v.1** 𝕋*: λεγειν, 𝕍: λαλειν. **v.1** 𝕋*: εφυτευσεν ανθρωπος, 𝕍: ανθρωπος εφυτευσεν. **v.1** 𝕋*: εξεδοτο, 𝕍: εξεδετο.

δήμησεν ⸰ καὶ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον 2
ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ˚ καρποῦ τοῦ ἀμπελῶνος ⸰
οἱ˚ δὲ λαβόντες αὐτὸν ἔδειραν καὶ ἀπέστειλαν κενόν ⸰ καὶ πάλιν 3, 4
ἀπέστειλεν πρὸς αὐτοὺς ἄλλον δοῦλον κἀκεῖνον λιθοβολήσαντες˚ ἐκεφαλαίωσαν καὶ ἀπέστειλαν ἠτιμωμένον ⸰ καὶ πάλιν ἄλ- 5
λον ἀπέστειλεν κἀκεῖνον ἀπέκτειναν καὶ πολλοὺς ἄλλους τοὺς
μὲν δέροντες τοὺς δὲ ἀποκτείνοντες ⸰ ἔτι οὖν ἕνα υἱὸν˚ ἔχων ἀγα- 6
πητὸν αὐτοῦ˚ ἀπέστειλεν καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον λέγων
ὅτι ἐντραπήσονται τὸν υἱόν μου ⸰ ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον˚ 7
πρὸς ἑαυτοὺς ὅτι οὗτός ἐστιν ὁ κληρονόμος δεῦτε ἀποκτείνω-
μεν αὐτὸν καὶ ἡμῶν ἔσται ἡ κληρονομία ⸰ καὶ λαβόντες αὐτὸν˚ 8
ἀπέκτειναν καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος ⸰ τί οὖν ποιήσει ὁ 9
κύριος τοῦ ἀμπελῶνος ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς
καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις ⸰ οὐδὲ τὴν γραφὴν ταύτην ἀνέ- 10
γνωτε λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη
εἰς κεφαλὴν γωνίας ⸰ παρὰ κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυ- 11
μαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν ⸰ καὶ ἐζήτουν αὐτὸν κρατῆσαι καὶ 12
ἐφοβήθησαν τὸν ὄχλον ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν πα-
ραβολὴν εἶπεν καὶ ἀφέντες αὐτὸν ἀπῆλθον ⸰ καὶ ἀποστέλλουσιν 13
πρὸς αὐτόν τινας τῶν φαρισαίων καὶ τῶν ἡρωδιανῶν ἵνα αὐτὸν
ἀγρεύσωσιν λόγῳ ⸰ οἱ˚ δὲ ἐλθόντες λέγουσιν αὐτῷ διδάσκαλε οἴ- 14
δαμεν ὅτι ἀληθὴς εἶ καὶ οὐ μέλει σοι περὶ οὐδενὸς οὐ γὰρ βλέ-
πεις εἰς πρόσωπον ἀνθρώπων ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁδὸν τοῦ
θεοῦ διδάσκεις ἔξεστιν κῆνσον˚ καίσαρι δοῦναι ἢ οὔ ⸰ δῶμεν ἢ 15
μὴ δῶμεν ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν εἶπεν αὐτοῖς τί με
πειράζετε φέρετέ μοι δηνάριον ἵνα ἴδω ⸰ οἱ δὲ ἤνεγκαν καὶ λέ- 16
γει αὐτοῖς τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή οἱ δὲ εἶπὸν αὐτῷ
καίσαρος ⸰ καὶ˚ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς ἀπόδοτε˚ τὰ 17
καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ καὶ ἐθαύμαὸαν ἐπ᾽
αὐτῷ ⸰ καὶ ἔρχονται σαδδουκαῖοι πρὸς αὐτὸν οἵτινες λέγουσιν ἀ- 18
νάστασιν μὴ εἶναι καὶ ἐπηρώτηὸαν αὐτὸν λέγοντες ⸰ διδάσκαλε 19
μωὸῆς ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ κατα-

v.2 𝕋*: του καρπου, 𝕍: των καρπων. **v.3** 𝕋*: οι δε, 𝕍: και. **v.4** 𝕋*: λιθοβολησαντες εκεφαλαιωσαν και απεστειλαν ητιμωμενον, 𝕍: εκεφαλιωσαν και ητιμασαν. **v.5** 𝕋*: παλιν, 𝕍: ∅. **v.5** 𝕋*: τους, 𝕍: ους. **v.5** 𝕋 𝕂: αποκτεινοντες, 𝕄: αποκτενοντες, 𝕍: αποκτεννοντες. **v.6** 𝕋*: ουν, 𝕍: ∅. **v.6** 𝕋*: υιον εχων, 𝕍: ειχεν υιον. **v.6** 𝕋*: αυτου απεστειλεν και αυτον προς αυτους εσχατον, 𝕍: απεστειλεν αυτον εσχατον προς αυτους. **v.7** 𝕋*: ειπον προς εαυτους, 𝕍: προς εαυτους ειπαν. **v.8** 𝕋*: αυτον απεκτειναν και εξεβαλον, 𝕍: απεκτειναν αυτον και εξεβαλον αυτον. **v.14** 𝕋*: οι δε, 𝕍: και. **v.14** 𝕋*: κηνσον καισαρι δουναι, 𝕍: δουναι κηνσον καισαρι. **v.16** 𝕋*: ειπον, 𝕍: ειπαν. **v.17** 𝕋*: και αποκριθεις ο, 𝕍: ο δε. **v.17** 𝕋*: αποδοτε τα καισαρος, 𝕍: τα καισαρος αποδοτε. **v.17** 𝕋*: εθαυμασαν, 𝕍: εξεθαυμαζον. **v.18** 𝕋*: επηρωτησαν, 𝕍: επηρωτων. **v.19** 𝕋*: μωσης, 𝕍: μωυσης.

λίπῃ γυναῖκα καὶ τέκνα˚ μὴ ἀφῇ ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν
20 γυναῖκα αὐτοῦ καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ ◦ ἑπτὰ
ἀδελφοὶ ἦσαν καὶ ὁ πρῶτος ἔλαβεν γυναῖκα καὶ ἀποθνήσκων
21 οὐκ ἀφῆκεν σπέρμα ◦ καὶ ὁ δεύτερος ἔλαβεν αὐτὴν καὶ ἀπέθα-
22 νεν καὶ˚ οὐδὲ αὐτὸς ἀφῆκεν σπέρμα καὶ ὁ τρίτος ὡσαύτως ◦ καὶ
ἔλαβον˚ αὐτὴν οἱ ἑπτὰ καὶ οὐκ ἀφῆκαν σπέρμα ἐσχάτῃ πάντων
23 ἀπέθανεν˚ καὶ ἡ γυνή ◦ ἐν τῇ οὖν ἀναστάσει ὅταν ἀναστῶσιν τί-
24 νος αὐτῶν ἔσται γυνὴ οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα ◦ καὶ˚
ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς οὐ διὰ τοῦτο πλανᾶσθε μὴ
25 εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ ◦ ὅταν γὰρ ἐκ νε-
κρῶν ἀναστῶσιν οὔτε γαμοῦσιν οὔτε γαμίσκονται ἀλλ᾽ εἰσὶν ὡς
26 ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς ◦ περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγείρονται
οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ μωσέως ἐπὶ τῆς βάτου ὡς εἶπεν αὐτῷ
ὁ θεὸς λέγων ἐγὼ ὁ˚ θεὸς ἀβραὰμ καὶ ὁ˚ θεὸς ἰσαὰκ καὶ ὁ˚ θεὸς
27 ἰακώβ ◦ οὐκ ἔστιν ὁ˚ θεὸς νεκρῶν ἀλλὰ θεὸς ζώντων ὑμεῖς˚ οὖν
28 πολὺ πλανᾶσθε ◦ καὶ προσελθὼν εἷς τῶν γραμματέων ἀκούσας
αὐτῶν συζητούντων εἰδὼς ὅτι καλῶς αὐτοῖς˚ ἀπεκρίθη ἐπηρώ-
29 τησεν αὐτὸν ποία ἐστὶν πρώτη˚ πασῶν ἐντολή ◦ ὁ˚ δὲ ἰησοῦς ἀπε-
κρίθη αὐτῷ ὅτι πρώτη πασῶν˚ τῶν ἐντολῶν ἄκουε ἰσραὴλ κύριος
30 ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστίν ◦ καὶ ἀγαπήσεις κύριον τὸν θεόν
σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ
ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου αὕτη˚ πρώτη
31 ἐντολή ◦ καὶ˚ δευτέρα ὁμοία αὕτη ἀγαπήσεις τὸν πλησίον σου ὡς
32 σεαυτὸν μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστιν ◦ καὶ εἶπεν αὐτῷ
ὁ γραμματεὺς καλῶς διδάσκαλε ἐπ᾽ ἀληθείας εἶπας ὅτι εἷς ἐστιν
33 θεὸς καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ ◦ καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ
ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ˚ ἐξ ὅλης τῆς
ψυχῆς καὶ ἐξ ὅλης τῆς ἰσχύος καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑ-
αυτὸν πλεῖόν ἐστιν πάντων τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν ◦
34 καὶ ὁ ἰησοῦς ἰδὼν αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη εἶπεν αὐτῷ οὐ

---

v.19 𝕋*: τεκνα μη αφη, 𝕍: μη αφη τεκνον. **v.19** 𝕋*: αυτου, 𝕍: ∅. **v.20** 𝕋 𝕄 𝕍: επτα, 𝕂: επτα ουν. **v.21** 𝕋*: και ουδε αυτος αφηκεν, 𝕍: μη καταλιπων. **v.22** 𝕋*: ελαβον αυτην οι επτα και, 𝕍: οι επτα. **v.22** 𝕋*: εσχατη, 𝕍: εσχατον. **v.22** 𝕋*: απεθανεν και η γυνη, 𝕍: και η γυνη απεθανεν. **v.23** 𝕋 𝕂: ουν, 𝕄 𝕍: ∅. **v.24** 𝕋*: και αποκριθεις ο ιησους ειπεν αυτοις, 𝕍: εφη αυτοις ο ιησους. **v.25** 𝕋*: γαμισκονται, 𝕍: γαμιζονται. **v.25** 𝕋*: οι, 𝕍: ∅. **v.26** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.26** 𝕋 𝕂: της, 𝕄 𝕍: του. **v.26** 𝕋*: ως, 𝕍: πως. **v.26** 𝔼: ο, D: ∅. **v.26** 𝕋*: ο, 𝕍: [ο], B D: ∅. **v.26** 𝕋*: ο, 𝕍: [ο], B D: ∅. **v.27** 𝕋*: ο, 𝕍: ∅. **v.27** 𝕋*: θεος, 𝕍: ∅. **v.27** 𝕋*: υμεις ουν, 𝕍: ∅. **v.28** 𝕋*: ειδως, 𝕍: ιδων. **v.28** 𝕋*: αυτοις απεκριθη, 𝕍: απεκριθη αυτοις. **v.28** 𝕋 𝕂: πρωτη πασων εντολη, 𝕄: πρωτη παντων εντολη, 𝕍: εντολη πρωτη παντων. **v.29** 𝕋*: ο δε ιησους απεκριθη αυτω, 𝕍: απεκριθη ο ιησους. **v.29** 𝕋 𝕂: πασων των εντολων, 𝕄: παντων των εντολων, 𝕍: εστιν. **v.30** 𝕋*: αυτη πρωτη εντολη, 𝕍: ∅. **v.31** 𝕋*: και δευτερα ομοια, 𝕍: δευτερα. **v.32** 𝕋*: ειπας, 𝕍: ειπες. **v.32** 𝕋 𝕂: θεος, 𝕄 𝕍: ∅. **v.33** 𝕋*: και εξ ολης της ψυχης, 𝕍: ∅. **v.33** 𝕋*: πλειον, 𝕍: περισσοτερον. **v.33** 𝕋 𝕂: των, 𝕄 𝕍: ∅.

μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ καὶ οὐδεὶς οὐκέτι ἐτόλμα
αὐτὸν ἐπερωτῆσαι ⸰ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς ἔλεγεν διδάσκων ἐν 35
τῷ ἱερῷ πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ χριστὸς υἱός ἐστιν˚
δαβίδ ⸰ αὐτὸς γὰρ δαβὶδ εἶπεν ἐν τῷ πνεύματι τῷ ἁγίῳ εἶπεν ὁ˚ 36
κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐ-
χθρούς σου ὑποπόδιον τῶν ποδῶν σου ⸰ αὐτὸς οὖν δαβὶδ λέγει 37
αὐτὸν κύριον καὶ πόθεν υἱός˚ αὐτοῦ ἐστιν καὶ ὁ πολὺς ὄχλος
ἤκουεν αὐτοῦ ἡδέως ⸰ καὶ ἔλεγεν˚ αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ 38
βλέπετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπα-
τεῖν καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς ⸰ καὶ πρωτοκαθεδρίας ἐν 39
ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις ⸰ οἱ κατεσθί- 40
οντες τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι
οὗτοι λήψονται περισσότερον κρίμα ⸰ καὶ καθίσας ὁ˚ ἰησοῦς κα- 41
τέναντι τοῦ γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν
εἰς τὸ γαζοφυλάκιον καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά ⸰ καὶ 42
ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλεν λεπτὰ δύο ὅ ἐστιν κοδράντης ⸰
καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς ἀμὴν 43
λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκεν
τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον ⸰ πάντες γὰρ ἐκ τοῦ περισ- 44
σεύοντος αὐτοῖς ἔβαλον αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα
ὅσα εἶχεν ἔβαλεν ὅλον τὸν βίον αὐτῆς ⸰

καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς τῶν **13**
μαθητῶν αὐτοῦ διδάσκαλε ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰ-
κοδομαί ⸰ καὶ ὁ ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ βλέπεις ταύτας 2
τὰς μεγάλας οἰκοδομὰς οὐ μὴ ἀφεθῇ λίθος˚ ἐπὶ λίθῳ ὃς οὐ μὴ
καταλυθῇ ⸰ καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέ- 3
ναντι τοῦ ἱεροῦ ἐπηρώτων αὐτὸν κατ᾽ ἰδίαν πέτρος καὶ ἰάκωβος
καὶ ἰωάννης καὶ ἀνδρέας ⸰ εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται καὶ τί τὸ 4
σημεῖον ὅταν μέλλῃ πάντα˚ ταῦτα συντελεῖσθαι ⸰ ὁ δὲ ἰησοῦς 5
ἀποκριθεὶς˚ αὐτοῖς ἤρξατο λέγειν βλέπετε μή τις ὑμᾶς πλανήσῃ ⸰ πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ 6
εἰμι καὶ πολλοὺς πλανήσουσιν ⸰ ὅταν δὲ ἀκούσητε πολέμους 7

---

v.35 𝕋*: εστιν δαβιδ, 𝕍: δαυιδ εστιν. **v.36** 𝕋*: γαρ, 𝕍: ∅. **v.36** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.36** 𝕋 𝕂 𝕍: τω, 𝕄: ∅. **v.36** 𝕋 𝕂 𝕍: ειπεν, 𝕄: λεγει. **v.36** 𝕋*: ο, 𝕍: ∅. **v.36** 𝕋*: υποποδιον, 𝕍: υποκατω. **v.37** 𝕋*: ουν, 𝕍: ∅. **v.37** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.37** 𝕋*: υιος αυτου εστιν, 𝕍: αυτου εστιν υιος. **v.38** 𝕋*: ελεγεν αυτοις εν τη διδαχη αυτου, 𝕍: εν τη διδαχη αυτου ελεγεν. **v.40** 𝕋*: ληψονται, 𝕍: λημψονται. **v.41** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.43** 𝕋*: λεγει, 𝕍: ειπεν. **v.43** 𝕋*: βεβληκεν, 𝕍: εβαλεν. **v.43** 𝕋 𝕂: βαλοντων, 𝕄 𝕍: βαλλοντων. **13.v.2** 𝕋*: αποκριθεις, 𝕍: ∅. **v.2** 𝕋*: λιθος επι λιθω, 𝕍: ωδε λιθος επι λιθον. **v.3** 𝕋*: επηρωτων, 𝕍: επηρωτα. **v.4** 𝕋*: ειπε, 𝕍: ειπον. **v.4** 𝕋*: παντα ταυτα συντελεισθαι, 𝕍: ταυτα συντελεισθαι παντα. **v.5** 𝕋*: αποκριθεις αυτοις ηρξατο λεγειν, 𝕍: ηρξατο λεγειν αυτοις. **v.6** 𝕋*: γαρ, 𝕍: ∅.

καὶ ἀκοὰς πολέμων μὴ θροεῖσθε δεῖ γὰρ γενέσθαι ἀλλ᾽ οὔπω τὸ
8 τέλος ⸰ ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασι-
λείαν κἀι ἔσονται σεισμοὶ κατὰ τόπους κἀι ἔσονται λιμοὶ καὶ˚
9 ταραχαὶ ἀρχαὶ ὠδίνων ταῦτα ⸰ βλέπετε δὲ ὑμεῖς ἑαυτοὺς παρα-
δώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια καὶ εἰς συναγωγὰς δαρήσεσθε
καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων ὀταθήσεσθε ἕνεκεν ἐμοῦ εἰς
10 μαρτύριον αὐτοῖς ⸰ καὶ εἰς πάντα τὰ ἔθνη δεῖ˚ πρῶτον κηρυχθῆ-
11 ναι τὸ εὐαγγέλιον ⸰ ὅταν˚ δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες μὴ
προμεριμνᾶτε τί λαλήσητε μηδὲ˚ μελετᾶτε ἀλλ᾽ ὃ ἐὰν δοθῇ ὑμῖν
ἐν ἐκείνῃ τῇ ὥρᾳ τοῦτο λαλεῖτε οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες
12 ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ⸰ παραδώσει˚ δὲ ἀδελφὸς ἀδελφὸν εἰς
θάνατον καὶ πατὴρ τέκνον καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς
13 καὶ θανατώσουσιν αὐτούς ⸰ καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων
διὰ τὸ ὄνομά μου ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται ⸰
14 ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ˚ ῥηθὲν ὑπὸ δανιὴλ
τοῦ προφήτου ἑστὸς ὅπου οὐ δεῖ ὁ ἀναγινώσκων νοείτῶ τότε οἱ
15 ἐν τῇ ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη ⸰ ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ
καταβάτω εἰς˚ τὴν οἰκίαν μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας
16 αὐτοῦ ⸰ καὶ ὁ εἰς τὸν ἀγρὸν ὢν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω
17 ἆραι τὸ ἱμάτιον αὐτοῦ ⸰ οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς
18 θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις ⸰ προσεύχεσθε δὲ ἵνα μὴ
19 γένηται˚ ἡ φυγὴ ὑμῶν χειμῶνος ⸰ ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι
θλίψις οἵα οὐ γέγονεν τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως ἧς ἔκτισεν ὁ
20 θεὸς ἕως τοῦ νῦν καὶ οὐ μὴ γένηται ⸰ καὶ εἰ μὴ κύριος˚ ἐκο-
λόβωσεν τὰς ἡμέρας οὐκ ἂν ἐσώθη πᾶσα σάρξ ἀλλὰ διὰ τοὺς
21 ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσεν τὰς ἡμέρας ⸰ καὶ τότε ἐάν
τις ὑμῖν εἴπῃ ἰδοὺ ὧδε ὁ χριστὸς ἢ˚ ἰδοὺ ἐκεῖ μὴ πιστεύσητε ⸰
22 ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώ-
σουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν εἰ δυνατὸν κἀι
23 τοὺς ἐκλεκτούς ⸰ ὑμεῖς δὲ βλέπετε ἰδοὺ προείρηκα ὑμῖν πάντα ⸰
24 ἀλλ᾽ ἐν ἐκείναις ταῖς ἡμέραις μετὰ τὴν θλίψιν ἐκείνην ὁ ἥλιος
25 σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς ⸰ καὶ οἱ

v.7 𝕋*: γαρ, 𝕍: ∅. **v.8** 𝕋*: επι, 𝕍: επ. **v.8** 𝕋*: και, 𝕍: ∅. **v.8** 𝕋*: και, 𝕍: ∅. **v.8** 𝕋*: και ταραχαι αρχαι, 𝕍: αρχη. **v.9** 𝕋*: γαρ, 𝕍: ∅. **v.9** 𝕋 𝕄 𝕍: σταθησεσθε, 𝕂: αχθησεσθε. **v.10** 𝕋*: δει πρωτον, 𝕍: πρωτον δει. **v.11** 𝕋*: οταν δε αγαγωσιν, 𝕍: και οταν αγωσιν. **v.11** 𝕋*: μηδε μελετατε, 𝕍: ∅. **v.12** 𝕋*: παραδωσει δε, 𝕍: και παραδωσει. **v.14** 𝕋*: το ρηθεν υπο δανιηλ του προφητου, 𝕍: ∅. **v.14** 𝕋: εστος, 𝕄 𝕂: εστως, 𝕍: εστηκοτα. **v.14** 𝔼: νοειτω, 𝔻: νοειτω τι αναγινωσκει. **v.15** 𝕋*: εις την οικιαν, 𝕍: ∅. **v.15** 𝕋*: εισελθετω, 𝕍: εισελθατω. **v.16** 𝕋*: ων, 𝕍: ∅. **v.18** 𝕋*: γενηται η φυγη υμων χειμωνος, 𝕍: γενηται χειμωνος, 𝔻: χειμωνος γενωνται. **v.19** 𝕋*: ης, 𝕍: ην. **v.20** 𝕋*: κυριος εκολοβωσεν, 𝕍: εκολοβωσεν κυριος. **v.21** 𝕋*: ιδου, 𝕍: ιδε. **v.21** 𝕋*: η ιδου, 𝕍: ιδε. **v.21** 𝕋 𝕂: πιστευσητε, 𝕄 𝕍: πιστευετε. **v.22** 𝕋*: και, 𝕍: ∅. **v.23** 𝕋*: ιδου, 𝕍: ∅. **v.24** 𝕋*: αλλ, 𝕍: αλλα.

ἀστέρες τοῦ˚ οὐρανοῦ ἔσονται ἐκπίπτοντες καὶ αἱ δυνάμεις αἱ
ἐν τοῖς οὐρανοῖς σαλευθήσονται ◦ καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ 26
ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ
δόξης ◦ καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐπισυνά- 27
ξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ᾽ ἄκρου
γῆς ἕως ἄκρου οὐρανοῦ ◦ ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παρα- 28
βολήν ὅταν αὐτῆς˚ ἤδη ὁ κλάδος ἁπαλὸς γένηται καὶ ἐκφύῃ
τὰ φύλλα γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν ◦ οὕτως καὶ ὑμεῖς 29
ὅταν ταῦτα˚ ἴδητε γινόμενα γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύ-
ραις ◦ ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις 30
οὗ πάντα˚ ταῦτα γένηται ◦ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται οἱ 31
δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν ◦ περὶ δὲ τῆς ἡμέρας ἐκείνης 32
καὶ˚ τῆς ὥρας οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ οὐδὲ ὁ
υἱὸς εἰ μὴ ὁ πατήρ ◦ βλέπετε ἀγρυπνεῖτε καὶ˚ προσεύχεσθε οὐκ 33
οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν ◦ ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς 34
τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν κἀὶ
ἑκάστῳ τὸ ἔργον αὐτοῦ καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ ◦
γρηγορεῖτε οὖν οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχε- 35
ται ὀψὲ˚ ἢ μεσονυκτίου ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ ◦ μὴ ἐλθὼν 36
ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας ◦ ἃ˚ δὲ ὑμῖν λέγω πᾶσιν λέγω 37
γρηγορεῖτε ◦

ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας καὶ ἐζήτουν **14**
οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες
ἀποκτείνωσιν ◦ ἔλεγον δὲ˚ μὴ ἐν τῇ ἑορτῇ μήποτε θόρυβος˚ ἔ- 2
σται τοῦ λαοῦ ◦ καὶ ὄντος αὐτοῦ ἐν βηθανίᾳ ἐν τῇ οἰκίᾳ σίμωνος 3
τοῦ λεπροῦ κατακειμένου αὐτοῦ ἦλθεν γυνὴ ἔχουσα ἀλάβα-
στρον μύρου νάρδου πιστικῆς πολυτελοῦς κἀὶ συντρίψασα τὸ
ἀλάβαστρον κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς ◦ ἦσαν δέ τινες ἀ- 4
γανακτοῦντες πρὸς ἑαυτοὺς καὶ˚ λέγοντες εἰς τί ἡ ἀπώλεια αὕτη
τοῦ μύρου γέγονεν ◦ ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τρια- 5
κοσίων˚ δηναρίων καὶ δοθῆναι τοῖς πτωχοῖς καὶ ἐνεβριμῶντο
αὐτῇ ◦ ὁ δὲ ἰησοῦς εἶπεν ἄφετε αὐτὴν τί αὐτῇ κόπους παρέχετε 6

---

v.25 𝕋*: του ουρανου εσονται εκπιπτοντες, 𝕍: εσονται εκ του ουρανου πιπτοντες. **v.27** 𝕋*: αυτου, 𝕍: ∅. **v.28** 𝕋*: αυτης ηδη ο κλαδος, 𝕍: ηδη ο κλαδος αυτης. **v.29** 𝕋*: ταυτα ιδητε, 𝕍: ιδητε ταυτα. **v.30** 𝕋*: παντα ταυτα, 𝕍: ταυτα παντα. **v.31** 𝕋 𝕂 𝕍: παρελευσονται, 𝕄: παρελευσεται. **v.31** 𝕋*: παρελθωσιν, 𝕍: παρελευσονται. **v.32** 𝕋 𝕂: και της, 𝕄: η, 𝕍: η της. **v.32** 𝕋*: οι, 𝕍: ∅. **v.33** 𝕋*: και προσευχεσθε, 𝕍: ∅. **v.34** 𝕋*: και, 𝕍: ∅. **v.35** 𝕋*: οψε η μεσονυκτιου, 𝕍: η οψε η μεσονυκτιον. **v.37** 𝕋*: α, 𝕍: ο. **14.v.2** 𝕋*: δε, 𝕍: γαρ. **v.2** 𝕋*: θορυβος εσται, 𝕍: εσται θορυβος. **v.3** 𝕋*: και, 𝕍: ∅. **v.3** 𝕋*: το, 𝕍: την. **v.3** 𝕋*: κατα, 𝕍: ∅. **v.4** 𝕋*: και λεγοντες, 𝕍: ∅. **v.5** 𝕋*: τουτο, 𝕍: τουτο το μυρον. **v.5** 𝕋*: τριακοσιων δηναριων, 𝕍: δηναριων τριακοσιων.

καλὸν ἔργον ἐἰργάσατο εἰς˚ ἐμέ ⸓ πάντοτε γὰρ τοὺς πτωχοὺς ἔ-
χετε μεθ᾽ ἑαυτῶν καὶ ὅταν θέλητε δύνασθε αὐτοὺς εὖ ποιῆσαι
ἐμὲ δὲ οὐ πάντοτε ἔχετε ⸓ ὃ εἶχεν˚ αὕτη ἐποίησεν προέλαβεν μυ-
ρίσαι μου˚ τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν ⸓ ἀμὴν λέγω ὑμῖν ὅπου
ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον καὶ ὃ ἐποί-
ησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς ⸓ καὶ ὁ˚ ἰούδας
ὁ ἰσκαριώτης εἷς τῶν δώδεκα ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς ἵνα
παραδῷ˚ αὐτὸν αὐτοῖς ⸓ οἱ δὲ ἀκούσαντες ἐχάρησαν καὶ ἐπηγ-
γείλαντο αὐτῷ ἀργύριον δοῦναι καὶ ἐζήτει πῶς εὐκαίρως˚ αὐτὸν
παραδῷ ⸓ καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων ὅτε τὸ πάσχα ἔθυον
λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ποῦ θέλεις ἀπελθόντες ἑτοι-
μάσωμεν ἵνα φάγῃς τὸ πάσχα ⸓ καὶ ἀποστέλλει δύο τῶν μαθητῶν
αὐτοῦ καὶ λέγει αὐτοῖς ὑπάγετε εἰς τὴν πόλιν καὶ ἀπαντήσει ὑ-
μῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων ἀκολουθήσατε αὐτῷ ⸓
καὶ ὅπου ἐὰν εἰσέλθῃ εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι ὁ διδάσκαλος
λέγει ποῦ ἐστιν τὸ κατάλυμά ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν
μου φάγω ⸓ καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον ἕ-
τοιμον ἐκεῖ ἑτοιμάσατε ἡμῖν ⸓ καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ καὶ
ἦλθον εἰς τὴν πόλιν καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς καὶ ἡτοίμα-
σαν τὸ πάσχα ⸓ καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα ⸓
καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων εἶπεν˚ ὁ ἰησοῦς ἀμὴν
λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με ὁ ἐσθίων μετ᾽ ἐμοῦ ⸓ οἱ˚
δὲ ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ᾽˚ εἷς μή τι ἐγὼ καὶ
ἄλλος μή τι ἐγώ ⸓ ὁ δὲ ἀποκρἰθεὶς εἶπεν αὐτοῖς εἷς ἐκ τῶν δώ-
δεκα ὁ ἐμβαπτόμενος μετ᾽ ἐμοῦ εἰς τὸ τρυβλίον ⸓ ὁ˚ μὲν υἱὸς τοῦ
ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ οὐαὶ δὲ τῷ ἀν-
θρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται καλὸν
ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος ⸓ καὶ ἐσθιόντων
αὐτῶν λαβὼν ὁ˚ ἰησοῦς ἄρτον εὐλογήσας ἔκλασεν καὶ ἔδωκεν
αὐτοῖς καὶ εἶπεν λάβετε φάγετε τοῦτό ἐστιν τὸ σῶμά μου ⸓ καὶ
λαβὼν τὸ ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς καὶ ἔπιον ἐξ

---

v.6 𝕋*: ειργασατο, 𝕍: ηργασατο. **v.6** 𝕋 𝕂: εις εμε, 𝕄 𝕍: εν εμοι. **v.7** 𝕋*: αυτους, 𝕍: αυτοις. **v.8** 𝕋 𝕂: ειχεν αυτη, 𝕄: εσχεν αυτη, 𝕍: εσχεν. **v.8** 𝕋*: μου το σωμα, 𝕍: το σωμα μου. **v.9** 𝕋 𝕂: αμην, 𝕄 𝕍: αμην δε. **v.9** 𝕋 𝕂: αν, 𝕄 𝕍: εαν. **v.9** 𝕋*: τουτο, 𝕍: ∅. **v.10** 𝕋*: ο ιουδας ο ισκαριωτης, 𝕍: ιουδας ισκαριωθ ο. **v.10** 𝕋*: παραδω αυτον, 𝕍: αυτον παραδοι. **v.11** 𝕋*: ευκαιρως αυτον παραδω, 𝕍: αυτον ευκαιρως παραδοι. **v.12** 𝕋 𝕂 𝕍: ετοιμασωμεν, 𝕄: ετοιμασομεν. **v.14** 𝕋*: καταλυμα, 𝕍: καταλυμα μου. **v.15** 𝕋*: ανωγεον, 𝕍: αναγαιον. **v.15** 𝕋*: εκει, 𝕍: και εκει. **v.16** 𝕋*: αυτου, 𝕍: ∅. **v.18** 𝕋*: ειπεν ο ιησους, 𝕍: ο ιησους ειπεν. **v.19** 𝕋*: οι δε, 𝕍: ∅. **v.19** 𝕋 𝕂: καθ εις μη τι εγω και αλλος μη τι, 𝕄: καθ εις μητι εγω και αλλος μητι, 𝕍: κατα εις μητι. **v.20** 𝕋*: αποκριθεις, 𝕍: ∅. **v.20** 𝕋*: εκ, 𝕍: ∅. **v.21** 𝕋*: ο, 𝕍: οτι ο. **v.21** 𝕋*: ην, 𝕍: ∅. **v.22** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.22** 𝕋*: φαγετε, 𝕍: ∅. **v.23** 𝕋*: το, 𝕍: ∅.

αὐτοῦ πάντες ⸂ καὶ εἶπεν αὐτοῖς τοῦτό ἐστιν τὸ αἷμά μου τὸ˚ τῆς 24
καινῆς διαθήκης τὸ περὶ˚ πολλῶν ἐκχυνόμενον ⸂ ἀμὴν λέγω ὑ- 25
μῖν ὅτι οὐκέτι˚ οὐ μὴ πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου ἕως
τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ
θεοῦ ⸂ καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν ⸂ καὶ λέ- 26, 27
γει αὐτοῖς ὁ ἰησοῦς ὅτι πάντες σκανδαλισθήσεσθε ἐν˚ ἐμοὶ ἐν τῇ
νυκτὶ ταύτῃ ὅτι γέγραπται πατάξω τὸν ποιμένα καὶ διασκορπι-
σθήσεται˚ τὰ πρόβατα ⸂ ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς 28
εἰς τὴν γαλιλαίαν ⸂ ὁ δὲ πέτρος ἔφη αὐτῷ καὶ˚ εἰ πάντες σκανδα- 29
λισθήσονται ἀλλ᾽ οὐκ ἐγώ ⸂ καὶ λέγει αὐτῷ ὁ ἰησοῦς ἀμὴν λέγω 30
σοι ὅτι σήμερον ἐν˚ τῇ νυκτὶ ταύτῃ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι
τρὶς ἀπαρνήσῃ˚ με ⸂ ὁ δὲ ἐκ˚ περισσοῦ ἔλεγεν μᾶλλον ἐάν με˚ 31
δέῃ συναποθανεῖν σοι οὐ μή σε ἀπαρνήσομαι ὡσαύτως δὲ καὶ
πάντες ἔλεγον ⸂ καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα γεθσημανῆ 32
καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ καθίσατε ὧδε ἕως προσεύξωμαι ⸂
καὶ παραλαμβάνει τὸν πέτρον καὶ τὸν ἰάκωβον καὶ ἰωάννην μεθ᾽˚ 33
ἑαυτοῦ καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν ⸂ καὶ λέγει αὐ- 34
τοῖς περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου μείνατε ὧδε καὶ
γρηγορεῖτε ⸂ καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ τῆς γῆς καὶ προ- 35
σηύχετο ἵνα εἰ δυνατόν ἐστιν παρέλθῃ ἀπ᾽ αὐτοῦ ἡ ὥρα ⸂ καὶ 36
ἔλεγεν ἀββᾶ ὁ πατὴρ πάντα δυνατά σοι παρένεγκε τὸ ποτήριον
ἀπ᾽˚ ἐμοῦ τοῦτο ἀλλ᾽ οὐ τί ἐγὼ θέλω ἀλλὰ τί σύ ⸂ καὶ ἔρχεται καὶ 37
εὑρίσκει αὐτοὺς καθεύδοντας καὶ λέγει τῷ πέτρῳ σίμων καθεύ-
δεις οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι ⸂ γρηγορεῖτε καὶ προ- 38
σεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν τὸ μὲν πνεῦμα πρό-
θυμον ἡ δὲ σὰρξ ἀσθενής ⸂ καὶ πάλιν ἀπελθὼν προσηύξατο τὸν 39
αὐτὸν λόγον εἰπών ⸂ καὶ ὑποστρέψας˚ εὗρεν αὐτοὺς πάλιν κα- 40
θεύδοντας ἦσαν γὰρ οἱ˚ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι καὶ οὐκ
ᾔδεισαν τί αὐτῷ˚ ἀποκριθῶσιν ⸂ καὶ ἔρχεται τὸ τρίτον καὶ λέγει 41

---

v.24 𝕋*: το της καινης, 𝕍: της. **v.24** 𝕋*: περι πολλων εκχυνομενον, 𝕍: εκχυννομενον υπερ πολλων. **v.25** 𝔼: ουκετι ου μη πιω, ℵ C: ου μη πιω, D: ου μη προσθω πειν, **XXX**: ουκετι ου μη προσθωμεν πιειν. **v.25** 𝕋 𝕂: γεννηματος, 𝕄 𝕍: γενηματος. **v.27** 𝕋*: εν εμοι εν τη νυκτι ταυτη, 𝕍: ∅. **v.27** 𝕋*: διασκορπισθησεται τα προβατα, 𝕍: τα προβατα διασκορπισθησονται. **v.29** 𝕋*: και ει, 𝕍: ει και. **v.30** 𝕋 𝕂: οτι, 𝕄 𝕍: οτι συ. **v.30** 𝕋*: εν τη νυκτι ταυτη, 𝕍: ταυτη τη νυκτι. **v.30** 𝕋*: απαρνηση με, 𝕍: με απαρνηση. **v.31** 𝕋*: εκ περισσου ελεγεν μαλλον, 𝕍: εκπερισσως ελαλει. **v.31** 𝕋*: με δεη, 𝕍: δεη με. **v.31** 𝕋 𝕂 𝕍: απαρνησομαι, 𝕄: απαρνησωμαι. **v.32** 𝕋*: γεθσημανη, 𝕍: γεθσημανι. **v.33** 𝕋 𝕂: τον, 𝕄: ∅, 𝕍: [τον]. **v.33** 𝕋*: ιωαννην, 𝕍: [τον] ιωαννην. **v.33** 𝕋*: μεθ εαυτου, 𝕍: μετ αυτου. **v.35** 𝕋 𝕂 𝕍: προελθων, 𝕄: προσελθων. **v.35** 𝕋*: επεσεν, 𝕍: επιπτεν. **v.36** 𝕋*: απ εμου τουτο, 𝕍: τουτο απ εμου. **v.38** 𝕋*: εισελθητε, 𝕍: ελθητε. **v.40** 𝕋*: υποστρεψας ευρεν αυτους παλιν, 𝕍: παλιν ελθων ευρεν αυτους. **v.40** 𝕋*: οι οφθαλμοι αυτων βεβαρημενοι, 𝕍: αυτων οι οφθαλμοι καταβαρυνομενοι. **v.40** 𝕋*: αυτω αποκριθωσιν, 𝕍: αποκριθωσιν αυτω.

αὐτοῖς καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε˚ ἀπέχει ἦλθεν ἡ
ὥρα ἰδοὺ παραδίδοταὶ ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν
42 ἁμαρτωλῶν ⋄ ἐγείρεσθε ἄγωμεν ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν ⋄
43 καὶ εὐθέως ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται ἰούδας εἷς ὢν τῶν
δώδεκα καὶ μετ᾽ αὐτοῦ ὄχλος ⸀πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων
παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων ⋄
44 δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων ὃν ἂν
φιλήσω αὐτός ἐστιν κρατήσατε αὐτὸν καὶ ἀπαγάγετε ἀσφαλῶς ⋄
45 καὶ ἐλθὼν εὐθέως προσελθὼν αὐτῷ λέγει ῥαββὶ ῥαββὶ καὶ κατε-
46 φίλησεν αὐτόν ⋄ οἱ δὲ ἐπέβαλον ἐπ᾽˚ αὐτὸν τὰς χεῖρας αὐτῶν καὶ
47 ἐκράτησαν αὐτόν ⋄ εἷς δέ τις τῶν παρεστηκότων σπασάμενος τὴν
μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ
48 τὸ ὠ⸀τίον ⋄ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς ὡς ἐπὶ λῃστὴν
49 ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με ⋄ καθ᾽ ἡμέραν
ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων καὶ οὐκ ἐκρατήσατέ με
50 ἀλλ᾽ ἵνα πληρωθῶσιν αἱ γραφαί ⋄ καὶ ἀφέντες αὐτὸν πάντες˚ ἔ-
51 φυγον ⋄ καὶ εἷς˚ τις νεανίσκος ἠ⸀κολούθει αὐτῷ περιβεβλημένος
52 σινδόνα ἐπὶ γυμνοῦ καὶ κρατοῦσιν αὐτὸν οἱ˚ νεανίσκοι ⋄ ὁ δὲ κα-
53 ταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν ἀπ᾽˚ αὐτῶν ⋄ καὶ ἀπήγαγον
τὸν ἰησοῦν πρὸς τὸν ἀρχιερέα καὶ συνέρχονται αὐ⸀τῷ πάντες οἱ
54 ἀρχιερεῖς καὶ οἱ˚ πρεσβύτεροι καὶ οἱ γραμματεῖς ⋄ καὶ ὁ πέτρος
ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ
ἀρχιερέως καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν καὶ θερ-
55 μαινόμενος πρὸς τὸ φῶς ⋄ οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον
ἐζήτουν κατὰ τοῦ ἰησοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτὸν καὶ
56 οὐχ ἑ⸀ρισκον ⋄ πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ καὶ
57 ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν ⋄ καί τινες ἀναστάντες ἐψευδομαρ-
58 τύρουν κατ᾽ αὐτοῦ λέγοντες ⋄ ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέ-
γοντος ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον καὶ
59 διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω ⋄ καὶ οὐδὲ
60 οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν ⋄ καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς
τὸ μέσον ἐπηρώτησεν τὸν ἰησοῦν λέγων οὐκ ἀποκρίνῃ οὐδὲν

---

v.41 𝕋 𝕂 𝕍: το, 𝕄: ∅. **v.41** 𝔼: αναπαυεσθε απεχει ηλθεν η ωρα, 𝔻: αναπαεσθαι απεχει το τελος και η ωρα. **v.41** 𝔼: παραδιδοται, 𝔻: παραδιδοτε. **v.43** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.43** 𝕋*: ων, 𝕍: ∅. **v.43** 𝕋*: πολυς, 𝕍: ∅. **v.44** 𝕋*: απαγαγετε, 𝕍: απαγετε. **v.45** 𝕋*: ευθεως, 𝕍: ευθυς. **v.45** 𝕋 𝕂 𝕍: λεγει, 𝕄: λεγει αυτω. **v.45** 𝕋*: ραββι, 𝕍: ∅. **v.46** 𝕋*: επ αυτον, 𝕍: ∅. **v.46** 𝕋*: αυτων, 𝕍: αυτω. **v.47** 𝕋*: ωτιον, 𝕍: ωταριον. **v.48** 𝕋*: εξηλθετε, 𝕍: εξηλθατε. **v.50** 𝕋*: παντες εφυγον, 𝕍: εφυγον παντες. **v.51** 𝕋*: εις τις νεανισκος, 𝕍: νεανισκος τις. **v.51** 𝕋 𝕂: ηκολουθει, 𝕄: ηκολουθησεν, 𝕍: συνηκολουθει. **v.51** 𝕋*: οι νεανισκοι, 𝕍: ∅. **v.52** 𝕋*: απ αυτων, 𝕍: ∅. **v.53** 𝕋*: αυτω, 𝕍: ∅. **v.53** 𝔼: οι πρεσβυτεροι και οι γραμματεις, 𝔻: γραμματεις και πρεσβυτεροι. **v.55** 𝕋*: ευρισκον, 𝕍: ηυρισκον. **v.60** 𝕋 𝕂: το, 𝕄 𝕍: ∅.

τί οὗτοί σου καταμαρτυροῦσιν ⸰ ὁ δὲ ἐσιώπα καὶ οὐδὲν˚ ἀπε- 61
κρίνατο πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν καὶ λέγει αὐτῷ σὺ
εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ ⸰ ὁ δὲ ἰησοῦς εἶπεν ἐγώ εἰμι 62
καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον˚ ἐκ δεξιῶν τῆς
δυνάμεως καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ⸰ ὁ δὲ 63
ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας αὐτοῦ λέγει τί ἔτι χρείαν ἔ-
χομεν μαρτύρων ⸰ ἠκούσατε τῆς βλασφημίας τί ὑμῖν φαίνεται οἱ 64
δὲ πάντες κατέκριναν αὐτὸν εἶναι˚ ἔνοχον θανάτου ⸰ καὶ ἤρξαν- 65
τό τινες ἐμπτύειν αὐτῷ καὶ περικαλύπτειν τὸ˚ πρόσωπον αὐτοῦ
καὶ κολαφίζειν αὐτὸν καὶ λέγειν αὐτῷ προφήτευσον καὶ οἱ ὑ-
πηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον ⸰ καὶ ὄντος τοῦ πέτρου ἐν˚ 66
τῇ αὐλῇ κάτω ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως ⸰ καὶ 67
ἰδοῦσα τὸν πέτρον θερμαινόμενον ἐμβλέψασα αὐτῷ λέγει καὶ
σὺ μετὰ τοῦ ναζαρηνοῦ ἰησοῦ˚ ἦσθα ⸰ ὁ δὲ ἠρνήσατο λέγων οὐκ 68
οἶδα οὐδὲ ἐπίσταμαι τί˚ σὺ λέγεις καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προ-
αύλιον καὶ ἀλέκτωρ ἐφώνησεν ⸰ καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν 69
πάλιν˚ ἤρξατο λέγειν τοῖς παρεστηκόσιν ὅτι οὗτος ἐξ αὐτῶν ἐ-
στιν ⸰ ὁ δὲ πάλιν ἠρνεῖτο καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες 70
ἔλεγον τῷ πέτρῳ ἀληθῶς ἐξ αὐτῶν εἶ καὶ γὰρ γαλιλαῖος εἶ καὶ˚
ἡ λαλιά σου ὁμοιάζει ⸰ ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν 71
ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε ⸰ κἀι ἐκ δευτέρου 72
ἀλέκτωρ ἐφώνησεν καὶ ἀνεμνήσθη ὁ πέτρος τοῦ˚ ῥήματος οὗ
εἶπεν αὐτῷ ὁ ἰησοῦς ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δὶς ἀπαρνήσῃ˚
με τρὶς καὶ ἐπιβαλὼν ἔκλαιεν ⸰

καὶ εὐθέως˚ ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς **15**
μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων καὶ ὅλον τὸ συνέδριον
δήσαντες τὸν ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν τῷ πιλάτῳ ⸰ καὶ 2
ἐπηρώτησεν αὐτὸν ὁ πιλάτος σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων ὁ
δὲ ἀποκριθεὶς εἶπεν˚ αὐτῷ σὺ λέγεις ⸰ καὶ κατηγόρουν αὐτοῦ οἱ 3
ἀρχιερεῖς πολλά ⸰ ὁ δὲ πιλάτος πάλιν ἐπηρώτησεν αὐτὸν λέγων 4
οὐκ ἀποκρίνῃ οὐδὲν ἴδε πόσα σου καταμαρτυροῦσιν ⸰ ὁ δὲ ἰη- 5

---

v.61 𝕋*: ουδεν απεκρινατο, 𝕍: ουκ απεκρινατο ουδεν. **v.62** 𝕋 𝕂: καθημενον εκ δεξιων, 𝕄 𝕍: εκ δεξιων καθημενον. **v.64** 𝕋*: ειναι ενοχον, 𝕍: ενοχον ειναι. **v.65** 𝕋*: το προσωπον αυτου, 𝕍: αυτου το προσωπον. **v.65** 𝕋*: εβαλλον, 𝕍: ελαβον. **v.66** 𝕋*: εν τη αυλη κατω, 𝕍: κατω εν τη αυλη. **v.67** 𝕋*: ιησου ησθα, 𝕍: ησθα του ιησου. **v.68** 𝕋*: ουκ, 𝕍: ουτε. **v.68** 𝕋 𝕂: ουδε, 𝕄 𝕍: ουτε. **v.68** 𝕋*: τι συ, 𝕍: συ τι. **v.69** 𝕋*: παλιν ηρξατο, 𝕍: ηρξατο παλιν. **v.69** 𝕋*: παρεστηκοσιν, 𝕍: παρεστωσιν. **v.70** 𝕋*: και η λαλια σου ομοιαζει, 𝕍: ∅. **v.71** 𝕋 𝕂: ομνυειν, 𝕄 𝕍: ομνυναι. **v.72** 𝕋*: και, 𝕍: και ευθυς. **v.72** 𝕋 𝕂: του ρηματος ου, 𝕄: το ρημα ο, 𝕍: το ρημα ως. **v.72** 𝕋*: απαρνηση με τρις, 𝕍: τρις με απαρνηση. **15.v.1** 𝕋*: ευθεως επι το, 𝕍: ευθυς. **v.1** 𝕋*: τω, 𝕍: ∅. **v.2** 𝕋*: ειπεν αυτω, 𝕍: αυτω λεγει. **v.3** 𝕋 𝕄 𝕍: πολλα, 𝕂: πολλα αυτος δε ουδεν απεκρινατο. **v.4** 𝕋*: επηρωτησεν, 𝕍: επηρωτα. **v.4** 𝕋*: καταμαρτυρουσιν, 𝕍: κατηγορουσιν.

σοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη ὥστε θαυμάζειν τὸν πιλάτον ⸰ κατὰ
δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον ὅνπερ ˚ ᾐτοῦντο ⸰ ἦν δὲ ὁ
λεγόμενος βαραββᾶς μετὰ τῶν ὑστασιαστῶν δεδεμένος οἵτινες
ἐν τῇ στάσει φόνον πεποιήκεισαν ⸰ καὶ ἀναβὰς ὁ ὄχλος ἤρ-
ξατο αἰτεῖσθαι καθὼς ἀεὶ ἐποίει αὐτοῖς ⸰ ὁ δὲ πιλάτος ἀπεκρίθη
αὐτοῖς λέγων θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν ἰουδαίων ⸰
ἐγίνωσκεν γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιε-
ρεῖς ⸰ οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον ἵνα μᾶλλον τὸν βα-
ραββᾶν ἀπολύσῃ αὐτοῖς ⸰ ὁ δὲ πιλάτος ἀποκριθεὶς ˚ πάλιν εἶπεν
αὐτοῖς τί οὖν θέλετε ποιήσω ὃν λέγετε βᾶσιλέα τῶν ἰουδαίων ⸰ οἱ
δὲ πάλιν ἔκραξαν σταύρωσον αὐτόν ⸰ ὁ δὲ πιλάτος ἔλεγεν αὐτοῖς
τί γὰρ κακὸν ˚ ἐποίησεν οἱ δὲ περισσοτέρως ἔκραξαν σταύρω-
σον αὐτόν ⸰ ὁ δὲ πιλάτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆ-
σαι ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν καὶ παρέδωκεν τὸν ἰησοῦν
φραγελλώσας ἵνα σταυρωθῇ ⸰ οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν
ἔσω τῆς αὐλῆς ὅ ἐστιν πραιτώριον καὶ συγκαλοῦσιν ὅλην τὴν
σπεῖραν ⸰ καὶ ἐνδύουσιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ
πλέξαντες ἀκάνθινον στέφανον ⸰ καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτὸν
χαῖρε βᾶσιλεῦ τῶν ἰουδαίων ⸰ καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν
καλάμῳ καὶ ἐνέπτυον αὐτῷ καὶ τιθέντες τὰ γόνατα προσεκύ-
νουν αὐτῷ ⸰ καὶ ὅτε ἐνέπαιξαν αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν πορφύ-
ραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ˚ ἴδια καὶ ἐξάγουσιν αὐτὸν
ἵνα σταυρώσωσιν αὐτόν ⸰ καὶ ἀγγαρεύουσιν παράγοντά τινα σί-
μωνα κυρηναῖον ἐρχόμενον ἀπ᾽ ἀγροῦ τὸν πατέρα ἀλεξάνδρου
καὶ ῥούφου ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ ⸰ καὶ φέρουσιν αὐτὸν
ἐπὶ γολγοθᾶ τόπον ὅ ἐστιν μεθερμηνευόμενον κρανίου τόπος ⸰
καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον ὁ ˚ δὲ οὐκ ἔλαβεν ⸰
καὶ σταυρώσαντες αὐτὸν διεμέριζον τὰ ἱμάτια αὐτοῦ βάλλοντες
κλῆρον ἐπ᾽ αὐτὰ τίς τί ἄρῃ ⸰ ἦν δὲ ὥρα τριτη καὶ ἐσταύρωσαν
αὐτόν ⸰ καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη ὁ
βασιλεὺς τῶν ἰουδαίων ⸰ καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστὰς
ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ ⸰ καὶ ˚ ἐπληρώθη ἡ
γραφὴ ἡ λέγουσα καὶ μετὰ ἀνόμων ἐλογίσθη ⸰ καὶ οἱ παραπο-

---

v.6 𝕋*: ονπερ ητουντο, 𝕍: ον παρητουντο. **v.7** 𝕋*: συστασιαστων, 𝕍: στασιαστων. **v.8** 𝕋*: αναβοησας, 𝕍: αναβας. **v.8** 𝕋*: αει, 𝕍: ∅. **v.12** 𝕋*: αποκριθεις παλιν ειπεν, 𝕍: παλιν αποκριθεις ελεγεν. **v.12** 𝕋*: βασιλεα, 𝕍: τον βασιλεα. **v.14** 𝕋*: κακον εποιησεν, 𝕍: εποιησεν κακον. **v.14** 𝕋*: περισσοτερως, 𝕍: περισσως. **v.17** 𝕋*: ενδυουσιν, 𝕍: ενδιδυσκουσιν. **v.18** 𝕋 𝕂 𝕍: βασιλευ, 𝕄: ο βασιλευς. **v.20** 𝕋*: τα ιδια, 𝕍: αυτου. **v.22** 𝕋*: γολγοθα, 𝕍: τον γολγοθαν. **v.23** 𝕋*: πιειν, 𝕍: ∅. **v.23** 𝕋*: ο, 𝕍: ος. **v.24** 𝕋*: σταυρωσαντες, 𝕍: σταυρουσιν. **v.24** 𝕋 𝕂: διεμεριζον, 𝕄: διαμεριζονται, 𝕍: και διαμεριζονται. **v.25** 𝔼: τριτη, Θ *pc* sy^{hmg}: εκτη. **v.28** 𝕋*: και . . . ελογισθη, 𝕍: ∅.

ρευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν
καὶ λέγοντες οὐὰ ὁ καταλύων τὸν ναὸν καὶ ἐν˚ τρισὶν ἡμέραις
οἰκοδομῶν ⸰ σῶσον σεαυτὸν καὶ˚ κατάβα ἀπὸ τοῦ σταυροῦ ⸰ ὁ- 30, 31
μοίως δὲ˚ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ
τῶν γραμματέων ἔλεγον ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται σῶ-
σαι ⸰ ὁ χριστὸς ὁ βασιλεὺς τοῦ ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ 32
σταυροῦ ἵνα ἴδωμεν καὶ πιστεύσωμεν˙ καὶ οἱ συνεσταυρωμένοι
αὐτῷ ὠνείδιζον αὐτόν ⸰ γενομένης˚ δὲ ὥρας ἕκτης σκότος ἐγέ- 33
νετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης ⸰ καὶ τῇ ὥρᾳ˚ τῇ ἐννάτῃ 34
ἐβόησεν ὁ ἰησοῦς φωνῇ μεγάλῃ λέγων ἐλωΐ ἐλωΐ λαμμᾶ σαβα-
χθανὶ ὅ ἐστιν μεθερμηνευόμενον ὁ θεός μου ὁ θεός μου εἰς
τί με˚ ἐγκατέλιπες ⸰ καί τινες τῶν παρεστηκότων ἀκούσαντες ἔ- 35
λεγον ἰδοὺ ἡλίαν φωνεῖ ⸰ δραμὼν δὲ ἷς καὶ γεμίσας σπόγγον 36
ὄξους περιθείς τε καλάμῳ ἐπότιζεν αὐτὸν λέγων ἄφετε ἴδωμεν
εἰ ἔρχεται ἡλίας καθελεῖν αὐτόν ⸰ ὁ δὲ ἰησοῦς ἀφεὶς φωνὴν με- 37
γάλην ἐξέπνευσεν ⸰ καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς 38
δύο ἀπὸ ἄνωθεν ἕως κάτω ⸰ ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς 39
ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτως κράξας ἐξέπνευσεν εἶπεν ἀληθῶς
ὁ˚ ἄνθρωπος οὗτος υἱὸς ἦν θεοῦ ⸰ ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ 40
μακρόθεν θεωροῦσαι ἐν αἷς ἥ˙ καὶ μαρία ἡ μαγδαληνὴ καὶ
μαρία ἡ τοῦ ἰακώβου τοῦ μικροῦ καὶ ἰωσῆ μήτηρ καὶ σαλώμη ⸰
αἳ κἀι ὅτε ἦν ἐν τῇ γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν 41
αὐτῷ καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς ἱεροσόλυμα ⸰
καὶ ἤδη ὀψίας γενομένης ἐπεὶ ἦν παρασκευὴ ὅ ἐστιν προσάβ- 42
βατον ⸰ ἦλθεν ἰωσὴφ ὁ ἀπὸ ἁριμαθαίας εὐσχήμων βουλευτὴς ὃς 43
καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ τολμή-
σας εἰσῆλθεν πρὸς πιλάτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ ἰησοῦ ⸰
ὁ δὲ πιλάτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν καὶ προσκαλεσάμε- 44
νος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν ⸰ καὶ 45
γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ σῶμα τῷ ἰωσὴφ ⸰ καὶ 46
ἀγοράσας σινδόνα κἀι καθελὼν αὐτὸν ἐνείλησεν τῇ σινδόνι καὶ
κατέθηκεν αὐτὸν ἐν μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας καὶ

v.29 $\mathbb{T}^*$: εν τρισιν ημεραις οικοδομων, $\mathbb{V}$: οικοδομων εν τρισιν ημεραις. **v.30** $\mathbb{T}^*$: και καταβα, $\mathbb{V}$: καταβας. **v.31** $\mathbb{T}$ $\mathbb{K}$: δε, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.32** $\mathbb{T}^*$: του, $\mathbb{V}$: ∅. **v.32** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: πιστευσωμεν, $\mathbb{M}$: πιστευσωμεν αυτω. **v.32** $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: συν αυτω. **v.33** $\mathbb{T}^*$: γενομενης δε, $\mathbb{V}$: και γενομενης. **v.33** $\mathbb{T}$ $\mathbb{K}$: εννατης, $\mathbb{M}$ $\mathbb{V}$: ενατης. **v.34** $\mathbb{T}$ $\mathbb{K}$: ωρα τη εννατη, $\mathbb{M}$: ωρα τη ενατη, $\mathbb{V}$: ενατη ωρα. **v.34** $\mathbb{T}^*$: λεγων, $\mathbb{V}$: ∅. **v.34** $\mathbb{T}$ $\mathbb{K}$: λαμμα, $\mathbb{M}$: λιμα, $\mathbb{V}$: λεμα. **v.34** $\mathbb{T}^*$: με εγκατελιπες, $\mathbb{V}$: εγκατελιπες με. **v.35** $\mathbb{T}^*$: ιδου, $\mathbb{V}$: ιδε. **v.36** $\mathbb{T}^*$: εις, $\mathbb{V}$: τις. **v.36** $\mathbb{T}^*$: τε, $\mathbb{V}$: ∅. **v.38** $\mathbb{T}^*$: απο, $\mathbb{V}$: απ. **v.39** $\mathbb{T}^*$: κραξας, $\mathbb{V}$: ∅. **v.39** $\mathbb{T}^*$: ο ανθρωπος ουτος υιος ην θεου, $\mathbb{V}$: ουτος ο ανθρωπος υιος θεου ην. **v.40** $\mathbb{T}^*$: ην, $\mathbb{V}$: ∅. **v.40** $\mathbb{T}^*$: του, $\mathbb{V}$: ∅. **v.40** $\mathbb{T}^*$: ιωση, $\mathbb{V}$: ιωσητος. **v.41** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.43** $\mathbb{T}^*$: ηλθεν, $\mathbb{V}$: ελθων. **v.43** $\mathbb{T}^*$: πιλατον, $\mathbb{V}$: τον πιλατον. **v.44** $\mathbb{E}$: παλαι, $\mathbb{D}$: ηδη. **v.45** $\mathbb{T}^*$: σωμα, $\mathbb{V}$: πτωμα. **v.46** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.46** $\mathbb{T}^*$: κατεθηκεν, $\mathbb{V}$: εθηκεν.

47 προσεκύλισεν λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου ⸰ ἡ δὲ μαρία ἡ
μαγδαληνὴ καὶ μαρία ἰωσῆ ἐθεώρουν ποῦ τίθεται ⸰
16 καὶ διαγενομένου τοῦ σαββάτου μαρία ἡ μαγδαληνὴ καὶ μα-
ρία ἡ˚ τοῦ ἰακώβου καὶ σαλώμη ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦ-
2 σαι ἀλείψωσιν αὐτόν ⸰ καὶ λίαν πρωῒ τῆς˚ μιᾶς σαββάτων ἔρχον-
3 ται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου ⸰ καὶ ἔλεγον πρὸς
ἑαυτὰς τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνη-
4 μείου ⸰ καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος
5 ἦν γὰρ μέγας σφόδρα ⸰ καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον
νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν
6 λευκὴν καὶ ἐξεθαμβήθησαν ⸰ ὁ δὲ λέγει αὐταῖς μὴ ἐκθαμβεῖσθε
ἰησοῦν ζητεῖτε τὸν ναζαρηνὸν τὸν ἐσταυρωμένον ἠγέρθη οὐκ ἔ-
7 στιν ὧδε ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν ⸰ ἀλλ᾽ ὑπάγετε εἴπατε
τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν
8 γαλιλαίαν ἐκεῖ αὐτὸν ὄψεσθε καθὼς εἶπεν ὑμῖν ⸰ καὶ ἐξελθοῦ-
σαι ταχὺ ἔφυγον ἀπὸ τοῦ μνημείου εἶχεν δὲ˚ αὐτὰς τρόμος καὶ
9 ἔκστασις καὶ οὐδενὶ οὐδὲν εἶπὸν ἐφοβοῦντο γάρ ⸰ ἀναστὰς δὲ
πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον μαρίᾳ τῇ μαγδαληνῇ ἀφ᾽
10 ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια ⸰ ἐκείνη πορευθεῖσα ἀπήγγειλεν
11 τοῖς μετ᾽ αὐτοῦ γενομένοις πενθοῦσιν καὶ κλαίουσιν ⸰ κἀκεῖνοι
12 ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾽ αὐτῆς ἠπίστησαν ⸰ μετὰ δὲ
ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ
13 πορευομένοις εἰς ἀγρόν ⸰ κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς
14 λοιποῖς οὐδὲ ἐκείνοις ἐπίστευσαν ⸰ ὕστερον˙ ἀνακειμένοις αὐ-
τοῖς τοῖς ἕνδεκα ἐφανερώθη καὶ ὠνείδισεν τὴν ἀπιστίαν αὐτῶν
καὶ σκληροκαρδίαν ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον
15 οὐκ ἐπίστευσαν ⸰ καὶ˚ εἶπεν αὐτοῖς πορευθέντες εἰς τὸν κόσμον
16 ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει ⸰ ὁ πιστεύσας
17 καὶ βαπτισθεὶς σωθήσεται ὁ δὲ ἀπιστήσας κατακριθήσεται ⸰ ση-
μεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα παρακολουθήσει ἐν τῷ ὀνόματί

---

v.47 𝕋*: ιωση, 𝕍: η ιωσητος. **v.47** 𝕋*: τιθεται, 𝕍: τεθειται. **16.v.1** 𝕋 𝕂: η του, 𝕄: ∅, 𝕍: η [του]. **v.2** 𝕋*: της μιας, 𝕍: τη μια των. **v.7** 𝕋*: αλλ, 𝕍: αλλα. **v.8** 𝕋 𝕂: ταχυ, 𝕄 𝕍: ∅. **v.8** 𝕋*: δε, 𝕍: γαρ. **v.8** 𝕋*: ειπον, 𝕍: ειπαν. **v.8** 𝕋*: γαρ, 𝕍: γαρ [παντα δε τα παρηγγελμενα τοις περι τον πετρον συντομως εξηγγειλαν μετα δε ταυτα και αυτος ο ιησους απο ανατολης και αχρι δυσεως εξαπεστειλεν δι αυτων το ιερον και αφθαρτον κηρυγμα της αιωνιου σωτηριας αμην]. **v.9** 𝕋*: αφ, 𝕍: παρ. **v.14** 𝕋*: υστερον, 𝕍: υστερον [δε]. **v.15** 𝔼: και ειπεν αυτοις, **XXX**: κἀκεῖνοι ἀπελογοῦντο λέγοντες ὅτι ὁ αἰὼν οὗτος τῆς ἀνομίας καὶ τῆς ἀπιστίας ὑπὸ τὸν σατανᾶν ἐστιν, ὁ μὴ ἐῶν τὰ ὑπὸ τῶν πνευμάτων ἀκάθαρτα τὴν ἀλήθειαν τοῦ θεοῦ καταλαβέσθαι δύναμιν· διὰ τοῦτο ἀποκάλυψον σοῦ τὴν δικαιοσύνην ἤδη. ἐκεῖνοι ἔλεγον τῷ χριστῷ, καὶ ὁ χριστὸς ἐκείνοις προσέλεγεν ὅτι πεπλήρωται ὁ ὅρος τῶν ἐτῶν τῆς ἐξουσίας τοῦ σατανᾶ, ἀλλὰ ἐγγίζει ἄλλα δεινὰ καὶ ὑπὲρ ὧν ἐγὼ ἁμαρτησάντων παρεδόθην εἰς θάνατον ἵνα ὑποστρέψωσιν εἰς τὴν ἀλήθειαν καὶ μηκέτι ἁμαρτήσωσιν· ἵνα τὴν ἐν τῷ οὐρανῷ πνευματικὴν καὶ ἄφθαρτον τῆς δικαιοσύνης δόξαν κληρονομήσωσιν. ἀλλά.

μου δαιμόνια ἐκβαλοῦσιν γλώσσαις λαλήσουσιν καιναῖς ⸰ ὄφεις 18
ἀροῦσιν κἂν θανάσιμόν τι πίωσιν οὐ μὴ αὐτοὺς βλάψει ἐπὶ
ἀρρώστους χεῖρας ἐπιθήσουσιν καὶ καλῶς ἕξουσιν ⸰ ὁ μὲν οὖν 19
κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ
ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ ⸰ ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν 20
πανταχοῦ τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος
διὰ τῶν ἐπακολουθούντων σημείων ἀμήν ⸰

v.18 $\mathbb{T}^*$: οφεις, $\mathbb{V}$: [και εν ταις χερσιν] οφεις. **v.18** $\mathbb{T}$ $\mathbb{K}$: βλαψει, $\mathbb{M}$ $\mathbb{V}$: βλαψη. **v.19** $\mathbb{T}^*$: κυριος, $\mathbb{V}$: κυριος ιησους. **v.19** $\mathbb{T}^*$: ανεληφθη, $\mathbb{V}$: ανελημφθη. **v.20** $\mathbb{T}^*$: αμην, $\mathbb{V}$: ∅.

ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

1 ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ
2 τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων ⸰ καθὼς παρέδο-
σαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ
3 λόγου ⸰ ἔδοξεν κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς
4 καθεξῆς σοι γράψαι κράτιστε Θεόφιλε ⸰ ἵνα ἐπιγνῷς περὶ ὧν κα-
5 τηχήθης λόγων τὴν ἀσφάλειαν ⸰ ἐγένετο ἐν ταῖς ἡμέραις ἡρῴδου
τοῦ βασιλέως τῆς ἰουδαίας ἱερεύς τις ὀνόματι ζαχαρίας ἐξ ἐφη-
μερίας ἀβιὰ καὶ ἡ˚ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων ἀαρὼν καὶ
6 τὸ ὄνομα αὐτῆς ἐλισάβετ ⸰ ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον
τοῦ θεοῦ πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασιν
7 τοῦ κυρίου ἄμεμπτοι ⸰ καὶ οὐκ ἦν αὐτοῖς τέκνον καθότι ἡ˚ ἐλι-
σάβετ ἦν στεῖρα καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις
8 αὐτῶν ἦσαν ⸰ ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς
9 ἐφημερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ ⸰ κατὰ τὸ ἔθος τῆς ἱερατείας
10 ἔλαχεν τοῦ θυμιάσαι εἰσελθὼν εἰς τὸν ναὸν τοῦ κυρίου ⸰ καὶ
πᾶν τὸ πλῆθος τοῦ˚ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ
11 θυμιάματος ⸰ ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἑστὼς ἐκ δεξιῶν
12 τοῦ θυσιαστηρίου τοῦ θυμιάματος ⸰ καὶ ἐταράχθη ζαχαρίας ἰ-
13 δὼν καὶ φόβος ἐπέπεσεν ἐπ᾽ αὐτόν ⸰ εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγ-
γελος̣ μὴ φοβοῦ ζαχαρία διότι εἰσηκούσθη ἡ δέησίς σου καὶ ἡ
γυνή σου ἐλισάβετ γεννήσει υἱόν σοι καὶ καλέσεις τὸ ὄνομα αὐ-
14 τοῦ ἰωάννην ⸰ καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις καὶ πολλοὶ ἐπὶ
15 τῇ γενέσει αὐτοῦ χαρήσονται ⸰ ἔσται γὰρ μέγας ἐνώπιον τοῦ˚
κυρίου καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ καὶ πνεύματος ἁγίου
16 πλησθήσεται ἔτι ἐκ˚ κοιλίας μητρὸς αὐτοῦ ⸰ καὶ πολλοὺς τῶν
17 υἱῶν ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν θεὸν αὐτῶν ⸰ καὶ αὐτὸς
προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει ἠλίου
ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρονή-
18 σει δικαίων ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον ⸰ καὶ εἶπεν
ζαχαρίας πρὸς τὸν ἄγγελον κατὰ τί γνώσομαι τοῦτο ἐγὼ γάρ
εἰμι πρεσβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις

𝕋: ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, 𝕂: ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ, 𝕄 𝕍: ΚΑΤΑ ΛΟΥΚΑΝ. **1.v.5** 𝕋*: του, 𝕍: ∅. **v.5** 𝕋*: η γυνη αυτου, 𝕍: γυνη αυτω. **v.6** 𝕋*: ενωπιον, 𝕍: εναντιον. **v.7** 𝕋*: η ελισαβετ ην, 𝕍: ην η ελισαβετ, B: ην ελισαβετ. **v.9** 𝔼: κυριου, D: θεου. **v.10** 𝕋 𝕂: του λαου ην, 𝕄 𝕍: ην του λαου. **v.13** 𝔼: αγγελος, **XXX**: αγγελος κυριου. **v.13** 𝔼: σοι, D: ∅. **v.14** 𝕋*: γεννησει, 𝕍: γενεσει. **v.15** 𝕋*: του κυριου, 𝕍: [του] κυριου, ℵ A: κυριου, **XXX**: του θεου. **v.15** 𝔼: εκ κοιλιας, **XXX**: εν κοιλια. **v.17** 𝔼: προελευσεται, B: προσελευσεται, **XXX**: προπορευσεται.

αὐτῆς ⸓ καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ ἐγώ εἰμι γαβρι- 19
ὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ καὶ ἀπεστάλην λαλῆσαι
πρός σε καὶ εὐαγγελίσασθαί σοι ταῦτα ⸓ καὶ ἰδοὺ ἔσῃ σιωπῶν 20
καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα ἀνθ᾽
ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου οἵτινες πληρωθήσονται εἰς
τὸν καιρὸν αὐτῶν ⸓ καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν ζαχαρίαν καὶ 21
ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτόν˚ ἐν τῷ ναῷ ⸓ ἐξελθὼν δὲ οὐκ ἠ- 22
δύνατο λαλῆσαι αὐτοῖς καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν
τῷ ναῷ καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς καὶ διέμενεν κωφός ⸓ καὶ 23
ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ ἀπῆλ-
θεν εἰς τὸν οἶκον αὐτοῦ ⸓ μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν 24
ἐλισάβετ ἡ γυνὴ αὐτοῦ καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε
λέγουσα ⸓ ὅτι οὕτως μοι πεποίηκεν ὁ˚ κύριος ἐν ἡμέραις αἷς ἐ- 25
πεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις ⸓ ἐν δὲ τῷ μηνὶ τῷ 26
ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος γαβριὴλ ὑπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς
γαλιλαίας ᾗ˚ ὄνομα ναζαρέτ ⸓ πρὸς παρθένον μεμνηστευμένην 27
ἀνδρὶ ᾧ˚ ὄνομα ἰωσὴφ ἐξ οἴκου δαβὶδ καὶ τὸ ὄνομα τῆς παρθένου
μαριάμ ⸓ καὶ εἰσελθὼν ὁ˚ ἄγγελος πρὸς αὐτὴν εἶπεν χαῖρε κε- 28
χαριτωμένη ὁ κύριος μετὰ σοῦ εὐλογημένη˚ σὺ ἐν γυναιξίν ⸓ ἡ 29
δὲ ἰδοῦσα˚ διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ καὶ διελογίζετο ποτα-
πὸς εἴη ὁ ἀσπασμὸς οὗτος ⸓ καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ μὴ φοβοῦ 30
μαριὰμ εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ ⸓ καὶ ἰδοὺ συλλήψῃ ἐν 31
γαστρὶ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰησοῦν ⸓ οὗ- 32
τος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ δώσει αὐτῷ
κύριος ὁ θεὸς τὸν θρόνον δαβὶδ τοῦ πατρὸς αὐτοῦ ⸓ καὶ βασι- 33
λεύσει ἐπὶ τὸν οἶκον ἰακὼβ εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας
αὐτοῦ οὐκ ἔσται τέλος ⸓ εἶπεν δὲ μαριὰμ πρὸς τὸν ἄγγελον πῶς 34
ἔσται τοῦτο ἐπεὶ ἄνδρα οὐ γινώσκω ⸓ καὶ ἀποκριθεὶς ὁ ἄγγελος 35
εἶπεν αὐτῇ πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψί-
στου ἐπισκιάσει σοι διὸ καὶ τὸ γεννώμενον˙ ἅγιον κληθήσεται
υἱὸς θεοῦ ⸓ καὶ ἰδοὺ ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνει- 36
ληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ

v.19 𝔼: παρεστηκως, D: παρεστως. **v.20** 𝔼: πληρωθησονται, D: πλησθησονται. **v.21** 𝔼: προσδοκων, D: προσδεχομενος. **v.21** 𝕋*: αυτον εν τω ναω, 𝕍: εν τω ναω αυτον, **XXX**: αυτον. **v.22** 𝕋*: ηδυνατο, 𝕍: εδυνατο. **v.25** 𝕋*: ο, 𝕍: ∅. **v.25** 𝕋*: το, 𝕍: ∅. **v.26** 𝕋*: υπο, 𝕍: απο. **v.26** 𝔼: γαλιλαιας, **א**: ιουδαιας. **v.26** 𝕋 𝕄: η ονομα ναζαρετ, 𝕂 𝕍: η ονομα ναζαρεθ, D: ∅. **v.27** 𝕋*: μεμνηστευμενην, 𝕍: εμνηστευμενην, D: μεμνησμενην. **v.27** 𝔼: οικου, **א**: οικου και πατριας. **v.27** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.28** 𝕋*: ο αγγελος, 𝕍: ∅. **v.28** 𝕋*: ευλογημενη συ εν γυναιξιν, 𝕍: ∅. **v.29** 𝕋*: ιδουσα διεταραχθη επι τω λογω αυτου, 𝕍: επι τω λογω διεταραχθη. **v.31** 𝕋*: συλληψη, 𝕍: συλλημψη. **v.32** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.35** 𝕋 𝕄 𝕍: γεννωμενον, 𝕂: γεννωμενον εκ σου. **v.36** 𝕋*: συγγενης, 𝕍: συγγενις. **v.36** 𝕋*: συνειληφυια, 𝕍: συνειληφεν. **v.36** 𝕋 𝕂: γηρα, 𝕄 𝕍: γηρει.

37 τῇ καλουμένῃ στείρᾳ ⸂ ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ˚ θεῷ πᾶν
38 ῥῆμα ⸂ εἶπεν δὲ μαριὰμ ἰδοὺ ἡ δούλη κυρίου γένοιτό μοι κατὰ
39 τὸ ῥῆμά σου καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος ⸂ ἀναστᾶσα δὲ
μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ
40 σπουδῆς εἰς πόλιν ἰούδα ⸂ καὶ εἰσῆλθεν εἰς τὸν οἶκον ζαχαρίου
41 καὶ ἠσπάσατο τὴν ἐλισάβετ ⸂ καὶ ἐγένετο ὡς ἤκουσεν ἡ˚ ἐλισάβετ
τὸν ἀσπασμὸν τῆς μαρίας ἐσκίρτησεν τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐ-
42 τῆς καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ ἐλισάβετ ⸂ καὶ ἀνεφώνησεν
φωνῇ μεγάλῃ καὶ εἶπεν εὐλογημένη σὺ ἐν γυναιξὶν καὶ εὐλογη-
43 μένος ὁ καρπὸς τῆς κοιλίας σου ⸂ καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ
44 ἡ μήτηρ τοῦ κυρίου μου πρός μὲ ⸂ ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ
τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου ἐσκίρτησεν ἐν˚ ἀγαλλιάσει
45 τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου ⸂ καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔ-
46 σται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου ⸂ καὶ εἶπεν
47 μαριὰμ μεγαλύνει ἡ ψυχή μου τὸν κύριον ⸂ καὶ ἠγαλλίασεν τὸ
48 πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου ⸂ ὅτι ἐπέβλεψεν ἐπὶ τὴν
ταπείνωσιν τῆς δούλης αὐτοῦ ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦ-
49 σίν με πᾶσαι αἱ γενεαί ⸂ ὅτι ἐποίησέν μοι μεγαλεῖα ὁ δυνατὸς καὶ
50 ἅγιον τὸ ὄνομα αὐτοῦ ⸂ καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς˚ γενεῶν
51 τοῖς φοβουμένοις αὐτόν ⸂ ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ
52 διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν ⸂ καθεῖλεν
53 δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσεν ταπεινούς ⸂ πεινῶντας ἐνέ-
54 πλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς ⸂ ἀντελά-
55 βετο ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους ⸂ καθὼς ἐλάλησεν
πρὸς τοὺς πατέρας ἡμῶν τῷ ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ
56 εἰς˚ τὸν αἰῶνα ⸂ ἔμεινεν δὲ μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς
57 καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς ⸂ τῇ δὲ ἐλισάβετ ἐπλήσθη ὁ
58 χρόνος τοῦ τεκεῖν αὐτὴν καὶ ἐγέννησεν υἱόν ⸂ καὶ ἤκουσαν οἱ
περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνεν κύριος τὸ ἔ-
59 λεος αὐτοῦ μετ᾽ αὐτῆς καὶ συνέχαιρον αὐτῇ ⸂ καὶ ἐγένετο ἐν τῇ
ὀγδόῃ˚ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον καὶ ἐκάλουν αὐτὸ
60 ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ ζαχαρίαν ⸂ καὶ ἀποκριθεῖσα ἡ
61 μήτηρ αὐτοῦ εἶπεν οὐχὶ ἀλλὰ κληθήσετἀι ἰωάννης ⸂ καὶ εἶπὸν

v.36 𝕋 𝕂 𝕍: τη, 𝕄: ∅. **v.37** 𝕋*: τω θεω, 𝕍: του θεου. **v.38** 𝔼: απηλθεν, 𝔻: απεστη. **v.41** 𝕋*: η ελισαβετ τον ασπασμον της μαριας, 𝕍: τον ασπασμον της μαριας η ελισαβετ. **v.41** 𝔼: εσκιρτησεν, ℵ*: εσκιρτησεν εν αγαλλιασει. **v.42** 𝔼: ανεφωνησεν, ℵ: ανεβοησεν. **v.42** 𝕋*: φωνη, 𝕍: κραυγη. **v.43** 𝕋*: με, 𝕍: εμε. **v.44** 𝕋 𝕂 𝕍: εν αγαλλιασει το βρεφος, 𝕄: το βρεφος εν αγαλλιασει. **v.47** 𝔼: επι, 𝔻: εν. **v.48** 𝔼: επεβλεψεν, 𝔻: επεβλεψεν κυριος. **v.49** 𝕋*: μεγαλεια, 𝕍: μεγαλα. **v.50** 𝕋*: γενεας γενεων, 𝕍: γενεας και γενεας, ℵ: γενεαν και γενεαν. **v.55** 𝔼: εις τον αιωνα, **XXX**: εως αιωνος. **v.56** 𝕋*: ωσει, 𝕍: ως, 𝔻: ∅. **v.59** 𝕋*: ογδοη ημερα, 𝕍: ημερα τη ογδοη. **v.60** 𝔼: κληθησεται, 𝔻: κληθησεται το ονομα αυτου. **v.61** 𝕋*: εἶπον, 𝕍: εἶπαν.

πρὸς αὐτὴν ὅτι οὐδείς ἐστιν ἐν˚ τῇ συγγενείᾳ σου ὃς καλεῖται
τῷ˚ ὀνόματι τούτῳ ◦ ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι 62
καλεῖσθαι αὐτόν˙ ◦ καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων ἰω- 63
άννης ἐστὶν ἡ˚ ὄνομα αὐτοῦ καὶ ἐθαύμασαν πάντες ◦ ἀνεῴχθη 64
δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ καὶ ἐλάλει
εὐλογῶν τὸν θεόν ◦ καὶ˚ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοι- 65
κοῦντας αὐτοὺς καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς ἰουδαίας διελαλεῖτο
πάντα τὰ ῥήματα ταῦτα ◦ καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ 66
καρδίᾳ αὐτῶν λέγοντες τί ἄρα τὸ παιδίον τοῦτο ἔσται κἀι χεὶρ
κυρίου ἦν˙ μετ᾽ αὐτοῦ ◦ καὶ ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη 67
πνεύματος ἁγίου καὶ προεφήτευσεν˚ λέγων ◦ εὐλογητὸς κύριος 68
ὁ θεὸς τοῦ ἰσραὴλ ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν λύτρωσιν τῷ
λαῷ αὐτοῦ ◦ καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ δαβὶδ 69
τοῦ παιδὸς αὐτοῦ ◦ καθὼς ἐλάλησεν διὰ στόματος τῶν˚ ἁγίων 70
τῶν ἀπ᾽ αἰῶνος προφητῶν αὐτοῦ ◦ σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ 71
ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς ◦ ποιῆσαι ἔλεος μετὰ τῶν 72
πατέρων ἡμῶν καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ ◦ ὅρκον ὃν 73
ὤμοσεν πρὸς ἀβραὰμ τὸν πατέρα ἡμῶν τοῦ δοῦναι ἡμῖν ◦ ἀφό- 74
βως ἐκ χειρὸς τῶν˚ ἐχθρῶν ἡμῶν ῥυσθέντας λατρεύειν αὐτῷ ◦ ἐν 75
ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας˚ τὰς ἡμέρας τῆς
ζωῆς ἡμῶν ◦ καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ προ- 76
πορεύσῃ γὰρ πρὸ˚ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ ◦
τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν 77
αὐτῶν ◦ διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν ἐν οἷς ἐπεσκέψατό 78
ἡμᾶς ἀνατολὴ ἐξ ὕψους ◦ ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θα- 79
νάτου καθημένοις τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν
εἰρήνης ◦ τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι καὶ 80
ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν ἰσ-
ραήλ ◦

ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα παρὰ **2**
καίσαρος αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην ◦

---

v.61 𝕋*: εν τη συγγενεια, 𝕍: εκ της συγγενειας. **v.61** 𝔼: τω ονοματι τουτω, D: το ονομα τουτο. **v.62** 𝕋*: αυτον, 𝕍: αυτο. **v.63** 𝔼: λεγων, D: ∅. **v.63** 𝕋*: το, 𝕍: ∅. **v.65** 𝔼: και εγενετο, ℵ A: εγενετο δε. **v.65** 𝔼: τους, **XXX**: τους ακουοντας ταυτα και τους. **v.65** 𝔼: παντα, ℵ*: ∅. **v.66** 𝕋*: και, 𝕍: και γαρ. **v.66** 𝔼: ην, D: ∅. **v.67** 𝕋*: προεφητευσεν λεγων, 𝕍: επροφητευσεν λεγων, D: ειπεν. **v.68** 𝔼: κυριος, 𝔓⁴: ∅. **v.69** 𝕋*: τω, 𝕍: ∅. **v.69** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.69** 𝕋*: του, 𝕍: ∅. **v.70** 𝕋*: των αγιων των απ αιωνος προφητων αυτου, 𝕍: των αγιων απ αιωνος προφητων αυτου, D: αγιων προφητων αυτου των απ αιωνος. **v.74** 𝕋*: των εχθρων ημων, 𝕍: εχθρων, D: εχθρων ημων. **v.75** 𝕋*: πασας τας ημερας της ζωης, 𝕍: πασαις ταις ημεραις, D: πασας τας ημερας. **v.76** 𝕋*: συ, 𝕍: συ δε. **v.76** 𝕋*: προ προσωπου, 𝕍: ενωπιον. **v.77** 𝔼: αυτων, A: ημων, **XXX**: αυτου. **v.78** 𝕋*: επεσκεψατο, 𝕍: επισκεψεται. **v.79** 𝔼: επιφαναι, D: επιφαναι φως.

2 αὕτη ἡ˚ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς συρίας
3 κυρηνίου ⸰ καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι ἕκαστος εἰς
4 τὴν ἰδίαν ⸰πόλιν ⸰ ἀνέβη δὲ καὶ ἰωσὴφ ἀπὸ τῆς γαλιλαίας ἐκ πό-
λεως ναζαρὲτ εἰς τὴν˚ ἰουδαίαν εἰς πόλιν δαβίδ ἥτις καλεῖται
5 βηθλέεμ διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς δαβίδ ⸰ ἀπο-
γράψασθαι σὺν μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ
6 ἐγκύῳ ⸰ ἐγένετο˚ δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέ-
7 ραι τοῦ τεκεῖν αὐτήν ⸰ καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν˚ πρωτότοκον
καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ διότι
8 οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι ⸰ καὶ ποιμένες ἦσαν ἐν
τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς
9 νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν ⸰ καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη
αὐτοῖς καὶ δόξα κυρίου περιέλαμψεν αὐτοὺς καὶ ἐφοβήθησαν
10 φόβον˚ μέγαν ⸰ καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος μὴ φοβεῖσθε ἰδοὺ
γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην ἥτις ἔσται παντὶ τῷ λα-
11 ῷ ⸰ ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς ἐστιν χριστὸς˚ κύριος ἐν
12 πόλει δαβίδ ⸰ καὶ τοῦτο ὑμῖν τὸ σημεῖον εὑρήσετε βρέφος ἐ-
13 σπαργανωμένον κείμενον˚ ἐν τῇ φάτνῃ ⸰ καὶ ἐξαίφνης ἐγένετο
σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν
14 καὶ λεγόντων ⸰ δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀν-
15 θρώποις εὐδοκίᾶ ⸰ καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν
οὐρανὸν οἱ ἄγγελοι καὶ˚ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς
ἀλλήλους διέλθωμεν δὴ ἕως βηθλέεμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο
16 τὸ γεγονὸς ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν ⸰ καὶ ἦλθὸν σπεύσαντες
καὶ ἀνεῦρὸν τήν τε μαριὰμ καὶ τὸν ἰωσὴφ καὶ τὸ βρέφος κεί-
17 μενον ἐν τῇ φάτνῃ ⸰ ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος
18 τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου ⸰ καὶ πάντες οἱ
ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων
19 πρὸς αὐτούς ⸰ ἡ δὲ μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα
20 συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς ⸰ καὶ ἐπέστρεψαν οἱ ποιμέ-

2.v.2 𝕋*: η, 𝕍: ∅. **v.2** 𝔼: κυρηνιου, **XXX**: κυρινιου. **v.3** 𝕋*: ιδιαν, 𝕍: εαυτου. **v.3** 𝔼: πολιν, D: πατριδα. **v.4** 𝕋 𝕄 ℕ: ναζαρὲτ, 𝕂 𝕍: ναζαρὲθ. **v.4** 𝔼: τὴν ἰουδαίαν, D: γην ιουδα. **v.4** 𝕋*: δαβίδ, 𝕍 ℕ: δαυὶδ. **v.4** 𝕋 𝕂 ℕ: βηθλεὲμ, 𝕄 𝕍: βηθλέεμ. **v.5** 𝕋*: μεμνηστευμενη, 𝕍: εμνηστευμενη. **v.5** 𝕋*: γυναικι, 𝕍: ∅. **v.6** 𝔼: εγενετο δε εν τω ειναι αυτους εκει, D: ως δε παρεγινοντο ετελεσθησαν. **v.7** 𝔼: τον πρωτοτοκον, **XXX**: ∅. **v.7** 𝕋*: τη, 𝕍: ∅. **v.9** 𝕋*: ιδου, 𝕍: ∅. **v.9** 𝔼: κυριου, D: ∅, **XXX**: θεου. **v.9** 𝔼: φοβον μεγαν, B: σφοδρα, **XXX**: φοβον μεγαν σφοδρα. **v.10** 𝔼: παντι, D: και παντι. **v.11** 𝔼: χριστος κυριος, **XXX**: κυριος χριστος. **v.11** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.12** 𝔼: το, B: ∅. **v.12** 𝕋 𝕂: κειμενον εν τη, 𝕄: κειμενον εν, 𝕍: και κειμενον εν, ℵ: εν. **v.13** 𝔼: ουρανιου, B D: ουρανου. **v.14** 𝕋*: ευδοκια, 𝕍: ευδοκιας. **v.15** 𝕋*: και οι ανθρωποι, 𝕍: ∅. **v.15** 𝕋*: εἶπον, 𝕍: ελαλουν. **v.15** 𝕋 𝕂 ℕ: βηθλεὲμ, 𝕄 𝕍: βηθλέεμ. **v.16** 𝕋*: ηλθον, 𝕍: ηλθαν. **v.16** 𝕋*: ανευρον, 𝕍: ανευραν. **v.17** 𝕋*: διεγνωρισαν, 𝕍: εγνωρισαν. **v.17** 𝔼: τουτου, D: ∅. **v.19** 𝔼: μαριαμ, ℵ* B D: μαρια. **v.20** 𝕋 𝕂: επεστρεψαν, 𝕄 𝕍: υπεστρεψαν.

νες δοξάζοντες καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν
καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς ⸓ καὶ ὅτε ἐπλήσθησαν 21
ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον καὶ ἐκλήθη τὸ ὄνομα
αὐτοῦ ἰησοῦς τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι
αὐτὸν ἐν τῇ κοιλίᾳ ⸓ καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθα- 22
ρισμοῦ αὐτῶν κατὰ τὸν νόμον μωσέως ἀνήγαγον αὐτὸν εἰς ἰ-
εροσόλυμα παραστῆσαι τῷ κυρίῳ ⸓ καθὼς γέγραπται ἐν νόμῳ 23
κυρίου ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθή-
σεται ⸓ καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου 24
ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν ⸓ καὶ ἰδοὺ ἦν ἄν- 25
θρωπος ἐν ἱερουσαλὴμ ᾧ ὄνομα σύμεὼν καὶ ὁ ἄνθρωπος οὗτος
δίκαιος καὶ εὐλάβὴς προσδεχόμενος παράκλησιν τοῦ ἰσραὴλ
καὶ πνεῦμα ἅγιον ἦν ἐπ᾽ αὐτόν ⸓ καὶ ἦν αὐτῷ κεχρηματισμέ- 26
νον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν ἢ
ἴδῃ τὸν χριστὸν κυρίου ⸓ καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερὸν 27
καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον ἰησοῦν τοῦ ποιῆσαι
αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ ⸓ καὶ αὐτὸς ἐ- 28
δέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εὐλόγησεν τὸν θεὸν καὶ
εἶπεν ⸓ νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου 29
ἐν εἰρήνῃ ⸓ ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου ⸓ ὃ ἡτοί- 30, 31
μασας κατὰ πρόσωπον πάντων τῶν λαῶν ⸓ φῶς εἰς ἀποκάλυψιν 32
ἐθνῶν καὶ δόξαν λαοῦ σου ἰσραὴλ ⸓ καὶ ἦν ἰωσὴφ καὶ ἡ μήτηρ 33
αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ ⸓ καὶ εὐλό- 34
γησεν αὐτοὺς σύμεὼν καὶ εἶπεν πρὸς μαριὰμ τὴν μητέρα αὐτοῦ
ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ ἰσρα-
ὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον ⸓ καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν 35
διελεύσεται ῥομφαία ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρ-
διῶν διαλογισμοί ⸓ καὶ ἦν ἄννα προφῆτις θυγάτηρ φανουὴλ ἐκ 36
φυλῆς ἀσὴρ αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς ζήσασα ἔτη
μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς ⸓ καὶ αὕτη χήρα ὡς 37

---

v.21 𝔼: επλησθησαν, D: συνετελεσθησαν, **XXX**: επληρωθησαν. **v.21** 𝕋 𝕂: το παιδιον, 𝕄 𝕍: αυτον. **v.21** 𝔼: και εκληθη, D: ωνομασθη, **XXX**: εκληθη. **v.21** 𝕋*: συλληφθηναι, 𝕍: συλλημφθηναι. **v.22** 𝕋 𝕄 𝕍: αυτων, 𝕂: αυτης, D: αυτου, **XXX**: ∅. **v.22** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.24** 𝕋*: νομω, 𝕍: τω νομω. **v.24** 𝕋*: νεοσσους, 𝕍: νοσσους. **v.25** 𝕋*: ιδου ην ανθρωπος, 𝕍: ιδου ανθρωπος ην, D: ην ανθρωπος. **v.25** 𝕋 𝕄 𝕍: συμεων, 𝕂: σιμεων. **v.25** 𝔼: ευλαβης, 𝔎*: ευσεβης. **v.25** 𝕋 𝕂: αγιον ην, 𝕄 𝕍: ην αγιον. **v.26** 𝔼: και ην αυτω κεχρηματισμενον, D: κεχρηματισμενον δε ην. **v.26** 𝕋 𝕂 𝕍: πνευματος, 𝕄: πνευματι. **v.26** 𝕋*: η, 𝕍: [η] αν. **v.28** 𝕋*: αυτου, 𝕍: ∅. **v.32** 𝔼: εθνων, D: ∅. **v.33** 𝕋*: ιωσηφ, 𝕍: ο πατηρ αυτου. **v.33** 𝕋*: αυτου, 𝕍: ∅. **v.34** 𝕋 𝕄 𝕍: συμεων, 𝕂: σιμεων. **v.35** 𝕋*: δε, 𝕍: [δε], B: ∅. **v.35** 𝔼: αποκαλυφθωσιν εκ, D: ανακαλυφθωσιν. **v.36** 𝕋*: ετη μετα ανδρος, 𝕍: μετα ανδρος ετη, **XXX**: μετα ανδρος ημερας. **v.37** 𝕋*: ως, 𝕍: εως, D: ∅.

ἐτῶν ὀγδοηκονταἓσσάρων ἢ οὐκ ἀφίστατο ἀ̓πὸ τοῦ ἱεροῦ νη-
38 στείαις καὶ δεήσεσιν λατρεύουσα νύκτα καὶ ἡμέραν ◦ καὶ αὐ̓τῃ
αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ κυρίῳ καὶ ἐλάλει πε-
ρὶ αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν ἐν̓ ἱερουσαλήμ ◦
39 καὶ ὡς ἐτέλεσαν ἅ̓παντα τὰ κατὰ τὸν νόμον κυρίου ὑ̓πέστρεψαν
40 εἰς τὴν γαλιλαίαν εἰς τ̓ὴν πόλιν ἀὐτῶν ναζαρέτ ◦ τὸ δὲ παιδίον
ηὔξανεν καὶ ἐκραταιοῦτο ᾿πνεύματι πληρούμενον σοφίας καὶ
41 χάρις θεοῦ ἦν ἐπ᾽ αὐτό ◦ καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽
42 ἔτος εἰς ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα ◦ καὶ ὅτε ἐγένετο ἐτῶν˚
δώδεκα ἀναβάν̓των αὐτῶν εἰς˚ ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑ-
43 ορτῆς̣ ◦ καὶ τελειωσάντων τὰς ἡμέρας ἐν τῷ ὑποστρέφειν αὐτοὺς
ὑ̓πέμεινεν ἰησοῦς˚ ὁ παῖς ἐν ἱερουσαλὴμ καὶ οὐκ ἔγνω˚ ἰωσὴφ
44 καὶ ἡ μήτηρ αὐτοῦ ◦ νομίσαντες δὲ αὐτὸν ἐν˚ τῇ συνοδίᾳ εἶναι
ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν καὶ
45 ἐν̓ τοῖς γνωστοῖς ◦ καὶ μὴ εὑρόντες αὐ̓τὸν ὑ̓πέστρεψαν εἰς ἱερου-
46 σαλὴμ ζητ̓οῦντες αὐτόν ◦ καὶ ἐγένετο μ̔ὲθ᾽ ἡμέρας τρεῖς εὗρον
αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀ-
47 κούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς ◦ ἐ̓ξίσταντο δὲ πάντες οἱ˚
ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ ◦
48 καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν καὶ πρὸς˚ αὐτὸν ἡ μήτηρ αὐτοῦ
εἶπεν τέκνον τί ἐποίησας ἡμῖν οὕτως ἰδοὺ ὁ πατήρ σου κἀγὼ
49 ὀδυνώμενοἱ ἐζ̓ητοῦμέν σε ◦ καὶ εἶπεν πρὸς αὐτοὺς τί ὅτι ἐζ̓ητεῖτέ
50 με οὐκ ᾔδ̓ειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με ◦ καὶ αὐτοὶ
51 οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς ◦ καὶ κατέβη μετ᾽˚ αὐτῶν
καὶ ἦλθεν εἰς ναζαρὲτ καὶ ἦν ὑποτασσόμενος αὐτοῖς καὶ ἡ μή-
τηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς ◦
52 καὶ ἰησοῦς προέκοπτεν σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ θεῷ
καὶ ἀνθρώποις ◦

---

v.37 𝕋 𝕂: ογδοηκοντατεσσαρων, 𝕄 𝕍: ογδοηκοντα τεσσαρων, 𝔎*: εβδομηκοντα τεσσαρων. **v.37** 𝕋*: απο, 𝕍: ∅. **v.38** 𝕋*: αυτη, 𝕍: ∅. **v.38** 𝕋*: κυριω, 𝕍: θεω. **v.38** 𝕋*: εν, 𝕍: ∅. **v.39** 𝕋*: απαντα, 𝕍: παντα. **v.39** 𝔼: τα, 𝔎 𝔻: ∅. **v.39** 𝕋*: υπεστρεψαν, 𝕍: επεστρεψαν. **v.39** 𝕋*: την, 𝕍: ∅. **v.39** 𝕋 𝕂: αυτων, 𝕄 𝕍: εαυτων. **v.39** 𝕋 𝕄: ναζαρετ, 𝕂 𝕍: ναζαρεθ, 𝔻: ναζαρεθ καθως ερρεθη δια του προφητου οτι ναζωραιος κληθησεται. **v.40** 𝕋*: πνευματι, 𝕍: ∅. **v.40** 𝕋*: σοφιας, 𝕍: σοφια. **v.42** 𝔼: ετων δωδεκα, 𝔻: αυτο ετη ιβ̄. **v.42** 𝕋*: αναβαντων, 𝕍: αναβαινοντων. **v.42** 𝕋*: εις ιεροσολυμα, 𝕍: ∅. **v.42** 𝔼: εορτης, 𝔻: εορτης των αζυμων. **v.43** 𝔼: υπεμεινεν, 𝔻: απεμεινεν. **v.43** 𝔼: ιησους ο παις, 𝔻: ο παις ιησους, 𝔎*: ο παις. **v.43** 𝕋*: εγνω ιωσηφ και η μητηρ, 𝕍: εγνωσαν οι γονεις. **v.44** 𝕋*: εν τη συνοδια ειναι, 𝕍: ειναι εν τη συνοδια. **v.44** 𝕋*: συγγενεσιν, 𝕍: συγγενευσιν. **v.44** 𝕋*: εν, 𝕍: ∅. **v.45** 𝕋*: αυτον, 𝕍: ∅. **v.45** 𝕋*: ζητουντες, 𝕍: αναζητουντες. **v.46** 𝕋*: μεθ, 𝕍: μετα. **v.47** 𝔼: οι ακουοντες αυτου, **XXX**: ∅. **v.48** 𝕋*: προς αυτον η μητηρ αυτου ειπεν, 𝕍: ειπεν προς αυτον η μητηρ αυτου. **v.48** 𝔼: οδυνωμενοι, 𝔻: οδυνωμενοι και λυπουμενοι. **v.48** 𝔼: εζητουμεν, 𝔎 𝔹: ζητουμεν. **v.49** 𝔼: εζητειτε, 𝔎*: ζητειτε. **v.49** 𝔼: ηδειτε, 𝔻: οιδατε. **v.51** 𝔼: μετ αυτων και ηλθεν, 𝔻: μετ αυτων, **XXX**: ∅. **v.51** 𝕋 𝕄: ναζαρετ, 𝕂 𝕍: ναζαρεθ. **v.51** 𝕋*: ταυτα, 𝕍: ∅. **v.52** 𝕋*: σοφια, 𝕍: [εν τη] σοφια.

3 ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας τιβερίου καίσαρος
ἡγεμονεύοντος ποντίου πιλάτου τῆς ἰουδαίας καὶ τετραρχοῦν-
τος τῆς γαλιλαίας ἡρῴδου φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ
τετραρχοῦντος τῆς ἰτουραίας καὶ τραχωνίτιδος χώρας καὶ λυ-
σανίου τῆς ἀβιληνῆς τετραρχοῦντος ⸰ ἐπ᾽ ἀρχιερέων ἄννα καὶ 2
καϊάφα ἐγένετο ῥῆμα θεοῦ ἐπὶ ἰωάννην τὸν τοῦ ζαχαρίου υἱὸν
ἐν τῇ ἐρήμῳ ⸰ καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ ἰορδάνου 3
κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν ⸰ ὡς γέγρα- 4
πται ἐν βίβλῳ λόγων ἡσαΐου τοῦ προφήτου λέγοντος φωνὴ βο-
ῶντος ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν κυρίου εὐθείας ποιεῖτε
τὰς τρίβους αὐτοῦ ⸰ πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος 5
καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν καὶ
αἱ τραχεῖαι εἰς ὁδοὺς λείας ⸰ καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον 6
τοῦ θεοῦ ⸰ ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι 7
ὑπ᾽ αὐτοῦ γεννήματα ἐχιδνῶν τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ
τῆς μελλούσης ὀργῆς ⸰ ποιήσατε οὖν καρποὺς ἀξίους τῆς με- 8
τανοίας καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς πατέρα ἔχομεν τὸν
ἀβραὰμ λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων
ἐγεῖραι τέκνα τῷ ἀβραάμ ⸰ ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν 9
τῶν δένδρων κεῖται πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν
ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται ⸰ καὶ ἐπηρώτων αὐτὸν οἱ 10
ὄχλοι λέγοντες τί οὖν ποιήσομεν ⸰ ἀποκριθεὶς δὲ λέγει αὐτοῖς ὁ 11
ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι καὶ ὁ ἔχων βρώματα
ὁμοίως ποιείτω ⸰ ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι καὶ εἶπόν 12
πρὸς αὐτὸν διδάσκαλε τί ποιήσομεν ⸰ ὁ δὲ εἶπεν πρὸς αὐτούς 13
μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε ⸰ ἐπηρώτων 14
δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες καὶ ἡμεῖς τί ποιήσομεν
καὶ εἶπεν πρὸς αὐτοὺς μηδένα διασείσητε μηδὲ συκοφαντή-
σητε καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν ⸰ προσδοκῶντος δὲ τοῦ 15
λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ
τοῦ ἰωάννου μήποτε αὐτὸς εἴη ὁ χριστός ⸰ ἀπεκρίνατο ὁ ἰωάν- 16

3.v.1 𝔼: ηγεμονευοντος, D: επιτροπευοντος. **v.1** 𝕋*: τετραρχουντος, 𝕍: τετραρχουντος. **v.2** 𝕋 𝕂: επ αρχιερεων, 𝕄 𝕍: επι αρχιερεως. **v.2** 𝔼: καιαφα, D: καιφα. **v.2** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.4** 𝕋: ήσαΐου, 𝕂 𝕄 𝕍: ήσαΐου, ℕ: ήσαίου. **v.4** 𝕋*: λεγοντος, 𝕍: ∅. **v.4** 𝔼: αυτου, D: υμων, **XXX**: τω θεω ημων. **v.5** 𝔼: ευθειαν, D B: ευθειας. **v.6** 𝔼: θεου, D: κυριου. **v.7** 𝔼: υπ, D: ενωπιον. **v.8** 𝔼: καρπους αξιους, B: αξιους καρπους, D: καρπον αξιον. **v.8** 𝔼: πατερα, **XXX**: οτι πατερα. **v.9** 𝔼: καρπον καλον, D: καρπους καλους, **XXX**: καρπον. **v.10** 𝕋 𝕂: ουν ποιησομεν, 𝕄 𝕍: ουν ποιησωμεν, D: ποιησωμεν ινα σωθωμεν. **v.11** 𝕋*: λεγει, 𝕍: ελεγεν. **v.12** 𝔼: τελωναι, D: τελωναι ομοιως. **v.12** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.12** 𝕋 𝕂: ποιησομεν, 𝕄 𝕍: ποιησωμεν, D: ποιησωμεν ινα σωθωμεν. **v.14** 𝕋 𝕂: και ημεις τι ποιησομεν, 𝕄: και ημεις τι ποιησωμεν, 𝕍: τι ποιησωμεν και ημεις. **v.14** 𝕋*: προς αυτους, 𝕍: αυτοις. **v.16** 𝕋*: απεκρινατο ο ιωαννης απασιν λεγων, 𝕍: απεκρινατο λεγων πασιν ο ιωαννης, D: επιγνους τα διανοηματα αυτων ειπεν.

νης ἅπασιν λέγων ἐγὼ˚ μὲν ὕδατι βαπτίζω ὑμᾶς ἔρχεται δὲ ὁ
ἰσχυρότερός μου οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑ-
ποδημάτων αὐτοῦ αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ
17 πυρί ⸰ οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ˚ διακαθαριεῖ τὴν ἅ-
λωνα αὐτοῦ καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ τὸ
18 δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ ⸰ πολλὰ μὲν οὖν καὶ ἕτερα
19 παρακαλῶν εὐηγγελίζετο τὸν λαόν ⸰ ὁ δὲ ἡρώδης ὁ τετράρχης
ἐλεγχόμενος ὑπ᾽ αὐτοῦ περὶ ἡρωδιάδος τῆς γυναικὸς φιλίππου
τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων ὧν ἐποίησεν πονηρῶν ὁ
20 ἡρώδης ⸰ προσέθηκεν καὶ τοῦτο ἐπὶ πᾶσιν κἀι κατέκλεισεν τὸν
21 ἰωάννην ἐν τῇ φυλακῇ ⸰ ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν
λαὸν καὶ ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι
22 τὸν οὐρανόν ⸰ καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴ-
δει ὡσεὶ περιστερὰν ἐπ᾽ αὐτὸν καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι
23 λέγουσαν σὺ˚ εἶ ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν σοὶ ηὐδόκησα ⸰ καὶ˚
αὐτὸς ἦν ὁ˚ ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος ὢν ὡς ἐνο-
24 μίζετο υἱὸς ἰωσὴφ τοῦ ἡλί ⸰ τοῦ ματθὰτ τοῦ λευῒ τοῦ μελχὶ τοῦ
25 ἰανὰ τοῦ ἰωσήφ ⸰ τοῦ ματταθίου τοῦ ἀμὼς τοῦ ναοὺμ τοῦ ἑσλὶ
26 τοῦ ναγγαί ⸰ τοῦ μαὰθ τοῦ ματταθίου τοῦ σεμεῒ τοῦ ἰωσὴφ τοῦ
27 ἰούδα ⸰ τοῦ ἰωανὰ τοῦ ῥησὰ τοῦ ζοροβάβελ τοῦ σαλαθιὴλ τοῦ
28, 29 νηρί ⸰ τοῦ μελχὶ τοῦ ἀδδὶ τοῦ κωσὰμ τοῦ ἐλμωδὰμ τοῦ ἤρ ⸰ τοῦ
30 ἰωσὴ τοῦ ἐλιέζερ τοῦ ἰωρεὶμ τοῦ ματθὰτ τοῦ λευῒ ⸰ τοῦ συμεὼν
31 τοῦ ἰούδα τοῦ ἰωσὴφ τοῦ ἰωνὰ τοῦ ἐλιακεῖμ ⸰ τοῦ μελεᾶ τοῦ
32 μαϊνὰν τοῦ ματταθὰ τοῦ ναθὰ τοῦ δαβίδ ⸰ τοῦ ἰεσσαὶ τοῦ ὠβὴδ
33 τοῦ βοὸζ τοῦ σαλμὼν τοῦ ναασσών ⸰ τοῦ ἀμιναδὰβ τοῦ ἀρὰμ τοῦ
34 ἐσρὼμ τοῦ˚ φαρὲς τοῦ ἰούδα ⸰ τοῦ ἰακὼβ τοῦ ἰσαὰκ τοῦ ἀβραὰμ
35 τοῦ θάρα τοῦ ναχώρ ⸰ τοῦ σάρουχ τοῦ ῥαγαῦ τοῦ φαλὲκ τοῦ ἔβερ

---

v.16 𝔼: εγω μεν υδατι βαπτιζω υμας, D: εγω υμας βαπτιζω εν υδατι εις μετανοιαν. **v.17** 𝕋*: και διακαθαριει, 𝕍: διακαθαραι. **v.17** 𝕋*: συναξει, 𝕍: συναγαγειν. **v.18** 𝔼: παρακαλων, D: παραινων. **v.19** 𝕋*: τετραρχης, 𝕍: τετραarχης. **v.19** 𝕋 𝕂: φιλιππου, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: και, 𝕍: [και], 𝔎* B D: ∅. **v.20** 𝔼: κατεκλεισεν, D: ενεκλισεν. **v.20** 𝕋*: τη, 𝕍: ∅. **v.22** 𝕋*: ωσει, 𝕍: ως. **v.22** 𝔼: επ, D: εις. **v.22** 𝕋*: λεγουσαν, 𝕍: ∅. **v.22** 𝕋 𝕂: συ ει ο υιος μου ο αγαπητος εν σοι ηυδοκησα, 𝕄 𝕍: συ ει ο υιος μου ο αγαπητος εν σοι ευδοκησα, D: υιος μου ει συ εγω σημερον γεγεννηκα σε. **v.23** 𝔼: και αυτος ην, D: ην δε. **v.23** 𝕋*: ο ιησους ωσει ετων τριακοντα αρχομενος ων ως ενομιζετο υιος, 𝕍: ιησους αρχομενος ωσει ετων τριακοντα ων υιος ως ενομιζετο. **v.24** 𝕋*: ματθατ, 𝕍: μαθθατ. **v.24** 𝕋*: ιαννα, 𝕍: ιανναι. **v.26** 𝕋 𝕂: σεμει, 𝕄: σεμεει, 𝕍: σεμειν. **v.26** 𝕋*: ιωσηφ, 𝕍: ιωσηχ. **v.26** 𝕋*: ιουδα, 𝕍: ιωδα. **v.27** 𝕋 𝕂: ιωαννα, 𝕄 𝕍: ιωαναν. **v.28** 𝕋*: ελμωδαμ, 𝕍: ελμαδαμ. **v.29** 𝕋*: ιωση, 𝕍: ιησου. **v.29** 𝕋*: ιωρειμ, 𝕍: ιωριμ. **v.29** 𝕋*: ματθατ, 𝕍: μαθθατ. **v.30** 𝕋 𝕄 𝕍: συμεων, 𝕂: σιμεων. **v.30** 𝕋*: ιωναν, 𝕍: ιωναμ. **v.30** 𝕋*: ελιακειμ, 𝕍: ελιακιμ. **v.31** 𝕋 𝕄: μαιναν, 𝕂: μεναμ, 𝕍: μεννα. **v.31** 𝕋*: ναθαν, 𝕍: ναθαμ. **v.31** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.32** 𝕋*: ωβηδ, 𝕍: ιωβηδ. **v.32** 𝕋*: βοοζ, 𝕍: βοος. **v.32** 𝕋*: σαλμων, 𝕍: σαλα. **v.33** 𝕋 𝕂: αραμ, 𝕄: αραμ του ιωραμ, 𝕍: αδμιν του αρνι. **v.33** 𝔼: του φαρες, A: ∅. **v.34** 𝕋 𝕂 𝕍: θαρα, 𝕄: θαρρα. **v.35** 𝕋 𝕂: σαρουχ, 𝕄 𝕍: σερουχ, D: σερουκ. **v.35** 𝕋 𝕂 𝕍: φαλεκ, 𝕄: φαλεγ, D: φαλεχ.

τοῦ σαλά ⸓ τοῦ καϊνὰν̊ τοῦ ἀρφαξὰδ τοῦ σὴμ τοῦ νῶε τοῦ λάμεχ ⸓ 36
τοῦ μαθουσάλα τοῦ ἐνὼχ τοῦ ἰαρὲδ τοῦ μαλελεὴλ τοῦ καϊνάν̊ ⸓ 37
τοῦ ἐνὼς τοῦ σὴθ τοῦ ἀδὰμ τοῦ θεοῦ ⸓ 38

ἰησοῦς δὲ πνεύματος˚ ἁγίου πλήρης ὑπέστρεψεν ἀπὸ τοῦ **4**
ἰορδάνου καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς˚ τὴν ἔρημον ⸓ ἡμέρας 2
τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου καὶ οὐκ ἔφα-
γεν οὐδὲν̊ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συντελεσθεισῶν αὐτῶν
ὕστερον ἐπείνασεν ⸓ καὶ˚ εἶπεν αὐτῷ ὁ διάβολος εἰ υἱὸς εἶ τοῦ θε- 3
οῦ εἰπὲ τῷ˚ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος ⸓ καὶ ἀπεκρίθη ἰησοῦς˚ 4
πρὸς αὐτὸν λέγων γέγραπται ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ˚
ἄνθρωπος ἀλλ˚ ἐπὶ παντὶ ῥήματι θεοῦ ⸓ καὶ ἀναγαγὼν αὐτὸν ὁ˚ 5
διάβολος εἰς ὄρος ὑψηλὸν ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας
τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου ⸓ καὶ εἶπεν αὐτῷ ὁ διάβολος 6
σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν ὅτι
ἐμοὶ παραδέδοται καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν ⸓ σὺ οὖν ἐὰν 7
προσκυνήσῃς ἐνώπιόν μου ἔσται σου πάν̊τα ⸓ καὶ ἀποκριθεὶς 8
αὐτῷ˚ εἶπεν ὁ ἰησοῦς ὕπαγε ὀπίσω μου σατανᾶ γέγραπται γὰρ
προσκυνήσεις˚ κύριον τὸν θεόν σου καὶ αὐτῷ μόνῳ λατρεύ-
σεις ⸓ καὶ˚ ἤγαγεν αὐτὸν εἰς ἰερουσαλὴμ καὶ ἔστησεν αὐτὸν̊ ἐπὶ 9
τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ εἶπεν αὐτῷ εἰ ὁ˚ υἱὸς εἶ τοῦ θεοῦ
βάλε σεαυτὸν ἐντεῦθεν κάτω ⸓ γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις 10
αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ⸓ καὶ ὅτι ἐπὶ χειρῶν 11
ἀροῦσίν σε μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου ⸓ καὶ 12
ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ ἰησοῦς ὅτι εἴρηται οὐκ ἐκπειράσεις
κύριον τὸν θεόν σου ⸓ καὶ συντελέσας πάντα πειρασμὸν ὁ διά- 13
βολος ἀπέστη ἀπ᾽ αὐτοῦ ἄχρι κ̊αιροῦ ⸓ καὶ ὑπέστρεψεν ὁ ἰησοῦς 14
ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν γαλιλαίαν καὶ φήμη ἐξῆλ-
θεν καθ᾽ ὅλης τῆς περιχώρου περὶ αὐτοῦ ⸓ καὶ αὐτὸς ἐδίδασκεν 15
ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζόμενος ὑπὸ πάντων ⸓ καὶ ἦλθεν 16
εἰς τ̊ὴν ναζαρὲτ̊ οὗ ἦν τεθραμμένος καὶ εἰσῆλθεν κατὰ τὸ εἰωθὸς
αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγὴν καὶ ἀνέστη

v.36 𝕋*: καιναν, 𝕍: καιναμ. **v.37** 𝕋*: ιαρεδ, 𝕍: ιαρετ. **v.37** 𝕋*: καιναν, 𝕍: καιναμ. **4.v.1** 𝕋*: πνευματος αγιου πληρης, 𝕍: πληρης πνευματος αγιου. **v.1** 𝕋*: εις την ερημον, 𝕍: εν τη ερημω. **v.2** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.2** 𝔼: διαβολου, D: σατανα. **v.2** 𝔼: ουδεν, **XXX**: ουδεν ουδε επιεν. **v.2** 𝕋*: υστερον, 𝕍: ∅. **v.3** 𝕋*: και ειπεν, 𝕍: ειπεν δε. **v.3** 𝔼: τω λιθω τουτω ινα γενηται αρτος, D: ινα οι λιθοι ουτοι αρτοι γενωνται. **v.4** 𝕋*: ιησους προς αυτον λεγων, 𝕍: προς αυτον ο ιησους. **v.4** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.4** 𝕋*: αλλ επι παντι ρηματι θεου, 𝕍: ∅. **v.5** 𝕋*: ο διαβολος εις ορος υψηλον, 𝕍: ∅. **v.7** 𝕋 𝕂: μου, 𝕄 𝕍: εμου. **v.7** 𝕋 𝕂: παντα, 𝕄 𝕍: πασα. **v.8** 𝕋*: αυτω ειπεν ο ιησους υπαγε οπισω μου σατανα, 𝕍: ο ιησους ειπεν αυτω. **v.8** 𝕋 𝕂: γαρ, 𝕄 𝕍: ∅. **v.8** 𝕋*: προσκυνησεις κυριον τον θεον σου, 𝕍: κυριον τον θεον σου προσκυνησεις. **v.9** 𝕋*: και ηγαγεν, 𝕍: ηγαγεν δε. **v.9** 𝕋*: αυτον, 𝕍: ∅. **v.9** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.11** 𝕋 𝕂 𝕍: οτι, 𝕄: ∅. **v.13** 𝔼: καιρου, D: χρονου. **v.16** 𝕋*: την, 𝕍: ∅. **v.16** 𝕋 𝕄: ναζαρετ, 𝕂: ναζαρεθ, 𝕍: ναζαρα.

17 ἀναγνῶναι ⸓ καὶ ἐπεδόθη αὐτῷ βιβλίον ἡσαΐου˚ τοῦ προφήτου
καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον οὗ ἦν γεγραμμένον ⸓
18 πνεῦμα κυρίου ἐπ᾽ ἐμὲ οὗ ἕνεκεν ἔχρισέν με εὐαγγελίζεσθαι
πτωχοῖς ἀπέσταλκέν με ἰάσασθαι˚ τοὺς συντετριμμένους τὴν
καρδίαν κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν ἀ-
19 ποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει ⸓ κηρύξαι ἐνιαυτὸν κυρίου
20 δεκτόν ⸓ καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν
καὶ πάντων ἐν˚ τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐ-
21 τῷ ⸓ ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι σήμερον πεπλήρωται ἡ
22 γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν ⸓ καὶ πάντες ἐμαρτύρουν αὐτῷ
καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις
ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἔλεγον οὐχ˚ οὗτός ἐστιν ὁ υἱὸς ἰω-
23 σήφ ⸓ καὶ εἶπεν πρὸς αὐτοὺς πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν
ταύτην ἰατρὲ θεράπευσον σεαυτὸν ὅσα ἠκούσαμεν γενόμενα ἐν˚
24 τῇ καπερναοὺμ ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου ⸓ εἶπεν δὲ ἀ-
μὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι
25 αὐτοῦ ⸓ ἐπ᾽ ἀληθείας δὲ λέγω ὑμῖν πολλαὶ χῆραι ἦσαν ἐν ταῖς
ἡμέραις ἡλίου ἐν τῷ ἰσραὴλ ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη
τρία καὶ μῆνας ἓξ ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν ⸓
26 καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη ἡλίας εἰ μὴ εἰς σάρεπτα
27 τῆς σιδῶνός πρὸς γυναῖκα χήραν ⸓ καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ˚
ἐλισσαίου τοῦ προφήτου ἐν τῷ ἰσραὴλ καὶ οὐδεὶς αὐτῶν ἐκαθα-
28 ρίσθη εἰ μὴ νεεμὰν ὁ σύρος ⸓ καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν
29 τῇ συναγωγῇ ἀκούοντες ταῦτα ⸓ καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν
ἔξω τῆς πόλεως καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους
ἐφ᾽ οὗ ἡ πόλις αὐτῶν˚ ᾠκοδόμητο εἰς τὸ κατακρημνίσαι αὐτόν ⸓
30, 31 αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο ⸓ καὶ κατῆλθεν
εἰς καπερναοὺμ πόλιν τῆς γαλιλαίας καὶ ἦν διδάσκων αὐτοὺς
32 ἐν τοῖς σάββασιν ⸓ καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ ὅτι ἐν
33 ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ ⸓ καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος
ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου καὶ ἀνέκραξεν φωνῇ μεγά-
34 λῃ ⸓ λέγων ἔα τί ἡμῖν καὶ σοὶ ἰησοῦ ναζαρηνὲ ἦλθες ἀπολέσαι
35 ἡμᾶς οἶδά σε τίς εἶ ὁ ἅγιος τοῦ θεοῦ ⸓ καὶ ἐπετίμησεν αὐτῷ ὁ

---

v.17 $\mathbb{T}^*$: ησαΐου του προφητου, $\mathbb{V}$: του προφητου ησαΐου, $\mathbb{N}$: του προφητου ησαιου. **v.17** $\mathbb{E}$: τον, $\aleph$: ∅. **v.18** $\mathbb{T}$ $\mathbb{K}$: ενεκεν, $\mathbb{M}$ $\mathbb{V}$: εινεκεν. **v.18** $\mathbb{T}$ $\mathbb{K}$: ευαγγελιζεσθαι, $\mathbb{M}$ $\mathbb{V}$: ευαγγελισασθαι. **v.18** $\mathbb{T}^*$: ιασασθαι τους συντετριμμενους την καρδιαν, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: εν τη συναγωγη οι οφθαλμοι, $\mathbb{V}$: οι οφθαλμοι εν τη συναγωγη. **v.22** $\mathbb{T}^*$: ουχ ουτος εστιν ο υιος ιωσηφ, $\mathbb{V}$: ουχι υιος εστιν ιωσηφ ουτος. **v.23** $\mathbb{T}^*$: εν τη καπερναουμ, $\mathbb{V}$: εις την καφαρναουμ. **v.26** $\mathbb{T}^*$: σιδωνος, $\mathbb{V}$: σιδωνιας. **v.27** $\mathbb{T}^*$: επι ελισσαιου του προφητου εν τω ισραηλ, $\mathbb{V}$: εν τω ισραηλ επι ελισαιου του προφητου. **v.27** $\mathbb{T}^*$: νεεμαν, $\mathbb{V}$: ναιμαν. **v.29** $\mathbb{T}$ $\mathbb{K}$: της, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.29** $\mathbb{T}^*$: αυτων ωκοδομητο εις το, $\mathbb{V}$: ωκοδομητο αυτων ωστε. **v.31** $\mathbb{T}^*$: καπερναουμ, $\mathbb{V}$: καφαρναουμ. **v.34** $\mathbb{T}^*$: λεγων, $\mathbb{V}$: ∅.

ἰησοῦς λέγων φιμώθητι καὶ ἔξελθε ἐξ᾽ αὐτοῦ καὶ ῥίψαν αὐτὸν τὸ
δαιμόνιον εἰς τὸ μέσον ἐξῆλθεν ἀπ᾽ αὐτοῦ μηδὲν βλάψαν αὐτόν ⸰
καὶ ἐγένετο θάμβος ἐπὶ πάντας καὶ συνελάλουν πρὸς ἀλλήλους 36
λέγοντες τίς ὁ λόγος οὗτος ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει
τοῖς ἀκαθάρτοις πνεύμασιν καὶ ἐξέρχονται ⸰ καὶ ἐξεπορεύετο ἦ- 37
χος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου ⸰ ἀναστὰς δὲ ἐκ 38
τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν σίμωνος ἡ᾽ πενθερὰ δὲ
τοῦ σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ καὶ ἠρώτησαν αὐ-
τὸν περὶ αὐτῆς ⸰ καὶ ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησεν τῷ πυρετῷ 39
καὶ ἀφῆκεν αὐτὴν παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς ⸰
δύνοντος δὲ τοῦ ἡλίου ἅπάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις 40
ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτὸν ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς
χεῖρας ἐπιθεὶς᾽ ἐθεράπευσεν αὐτούς ⸰ ἐξήρχετο δὲ καὶ δαιμόνια 41
ἀπὸ πολλῶν κρᾶζοντα καὶ λέγοντα ὅτι σὺ εἶ ὁ᾽ χριστὸς ὁ υἱὸς
τοῦ θεοῦ καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν ὅτι ᾔδεισαν τὸν χρι-
στὸν αὐτὸν εἶναι ⸰ γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς 42
ἔρημον τόπον καὶ οἱ ὄχλοι ἐζήτουν αὐτὸν καὶ ἦλθον ἕως αὐτοῦ
καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾽ αὐτῶν ⸰ ὁ δὲ εἶπεν 43
πρὸς αὐτοὺς ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με
δεῖ τὴν βασιλείαν τοῦ θεοῦ ὅτι εἰς᾽ τοῦτο ἀπέσταλμαι ⸰ καὶ ἦν 44
κηρύσσων ἐν᾽ ταῖς συναγωγαῖς τῆς γαλιλαίας ⸰

ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν **5**
λόγον τοῦ θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην γεννησα-
ρέτ ⸰ καὶ εἶδεν δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην οἱ δὲ ἁλιεῖς 2
ἀποβάντες᾽ ἀπ᾽ αὐτῶν ἀπέπλυναν τὰ δίκτυα ⸰ ἐμβὰς δὲ εἰς ἓν τῶν 3
πλοίων ὃ ἦν τοῦ σίμωνος ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγα-
γεῖν ὀλίγον καὶ᾽ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους ⸰
ὡς δὲ ἐπαύσατο λαλῶν εἶπεν πρὸς τὸν σίμωνα ἐπανάγαγε εἰς τὸ 4
βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν ⸰ καὶ ἀποκριθεὶς 5
ὁ᾽ σίμων εἶπεν αὐτῷ ἐπιστάτα δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες
οὐδὲν ἐλάβομεν ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ᾽ δίκτυον ⸰ καὶ 6
τοῦτο ποιήσαντες συνέκλεισαν ἰχθύων᾽ πλῆθος πολὺ διερρή-

---

v.35 𝕋*: εξ, 𝕍: απ. **v.35** 𝕋 𝕂 𝕍: το, 𝕄: ∅. **v.38** 𝕋*: εκ, 𝕍: απο. **v.38** 𝕋 𝕂: η, 𝕄 𝕍: ∅. **v.40** 𝕋*: παντες, 𝕍: απαντες. **v.40** 𝕋*: επιθεις εθεραπευσεν, 𝕍: επιτιθεις εθεραπευεν. **v.41** 𝕋*: κραζοντα, 𝕍: κρ[αυγ]αζοντα. **v.41** 𝕋*: ο χριστος, 𝕍: ∅. **v.42** 𝕋 𝕂: εζητουν, 𝕄 𝕍: επεζητουν. **v.43** 𝕋*: εις τουτο απεσταλμαι, 𝕍: επι τουτο απεσταλην. **v.44** 𝕋*: εν ταις συναγωγαις της γαλιλαιας, 𝕍: εις τας συναγωγας της ιουδαιας. **5.v.1** 𝕋*: του, 𝕍: και. **v.2** 𝕋*: αποβαντες απ αυτων απεπλυναν, 𝕍: απ αυτων αποβαντες επλυνον. **v.3** 𝕋*: του, 𝕍: ∅. **v.3** 𝕋*: και καθισας εδιδασκεν εκ του πλοιου, 𝕍: καθισας δε εκ του πλοιου εδιδασκεν. **v.5** 𝕋*: ο, 𝕍: ∅. **v.5** 𝕋*: αυτω, 𝕍: ∅. **v.5** 𝕋*: της, 𝕍: ∅. **v.5** 𝕋*: το δικτυον, 𝕍: τα δικτυα. **v.6** 𝕋 𝕂: ιχθυων πληθος, 𝕄 𝕍: πληθος ιχθυων.

7 γνυτο˚ δὲ τὸ δίκτυον αὐτῶν ⸰ καὶ κατένευσαν τοῖς μετόχοις τοῖς
ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς καὶ ἦλθον
8 καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα ὥστε βυθίζεσθαι αὐτά ⸰ ἰδὼν δὲ
σίμων πέτρος προσέπεσεν τοῖς γόνασιν ⸀τοῦ ἰησοῦ λέγων ἔξελθε
9 ἀπ᾽ ἐμοῦ ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι κύριε ⸰ θάμβος γὰρ περιέ-
σχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων
10 ἣ˚ συνέλαβον ⸰ ὁμοίως δὲ καὶ ἰάκωβον καὶ ἰωάννην υἱοὺς ζεβε-
δαίου οἳ ἦσαν κοινωνοὶ τῷ σίμωνι καὶ εἶπεν πρὸς τὸν σίμωνα ὁ
11 ἰησοῦς μὴ φοβοῦ ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν ⸰ καὶ κα-
ταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν ἀφέντες ἅπαντα ἠκολούθησαν
12 αὐτῷ ⸰ καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων καὶ ἰδοὺ
ἀνὴρ πλήρης λέπρας καὶ˚ ἰδὼν τὸν ἰησοῦν πεσὼν ἐπὶ πρόσωπον
ἐδεήθη αὐτοῦ λέγων κύριε ἐὰν θέλῃς δύνασαί με καθαρίσαι ⸰
13 καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ εἰπὼν θέλω καθαρίσθητι
14 καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ᾽ αὐτοῦ ⸰ καὶ αὐτὸς παρήγγει-
λεν αὐτῷ μηδενὶ εἰπεῖν ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ
καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου καθὼς προσέταξεν
15 μωσῆς εἰς μαρτύριον αὐτοῖς ⸰ διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ
αὐτοῦ καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι
16 ὑπ˚ αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν ⸰ αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν
17 ταῖς ἐρήμοις καὶ προσευχόμενος ⸰ καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμε-
ρῶν καὶ αὐτὸς ἦν διδάσκων καὶ ἦσαν καθήμενοι φαρισαῖοι καὶ
νομοδιδάσκαλοι οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς γαλι-
λαίας καὶ ἰουδαίας καὶ ἱερουσαλὴμ καὶ δύναμις κυρίου ἦν εἰς
18 τὸ ἰᾶσθαι αὐτούς˙ ⸰ καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρω-
πον ὃς ἦν παραλελυμένος καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ
19 θεῖναι ἐνώπιον αὐτοῦ ⸰ καὶ μὴ εὑρόντες διὰ˚ ποίας εἰσενέγκωσιν
αὐτὸν διὰ τὸν ὄχλον ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων
καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ ἰ-
20 ησοῦ ⸰ καὶ ἰδὼν τὴν πίστιν αὐτῶν εἶπεν ⸀αὐτῷ ἄνθρωπε ἀφέωνταί
21 σοι αἱ ἁμαρτίαι σου ⸰ καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς
καὶ οἱ φαρισαῖοι λέγοντες τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας
22 τίς δύναται ἀφιέναι˚ ἁμαρτίας εἰ μὴ μόνος ὁ θεός ⸰ ἐπιγνοὺς
δὲ ὁ ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν ἀποκριθεὶς εἶπεν πρὸς
23 αὐτοὺς τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν ⸰ τί ἐστιν εὐκο-

---

v.6 $\mathbb{T}^*$: διερρηγνυτο δε το δικτυον, $\mathbb{V}$: διερρησσετο δε τα δικτυα. **v.7** $\mathbb{T}^*$: τοις, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: του, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.9** $\mathbb{T}^*$: η, $\mathbb{V}$: ων. **v.11** $\mathbb{T}^*$: απαντα, $\mathbb{V}$: παντα. **v.12** $\mathbb{T}^*$: και ιδων, $\mathbb{V}$: ιδων δε. **v.13** $\mathbb{T}^*$: ειπων, $\mathbb{V}$: λεγων. **v.14** $\mathbb{T}^*$: μωσης, $\mathbb{V}$: μωυσης. **v.15** $\mathbb{T}^*$: υπ αυτου, $\mathbb{V}$: ∅. **v.17** $\mathbb{T}^*$: αυτους, $\mathbb{V}$: αυτον. **v.18** $\mathbb{T}^*$: ενωπιον, $\mathbb{V}$: [αυτον] ενωπιον. **v.19** $\mathbb{T}$ $\mathbb{K}$: δια, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: ∅. **v.21** $\mathbb{T}^*$: αφιεναι αμαρτιας, $\mathbb{V}$: αμαρτιας αφειναι.

πώτερον εἰπεῖν ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου ἢ εἰπεῖν ἔγειραι
καὶ περιπάτει ⸰ ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ˚ ἔχει ὁ υἱὸς τοῦ ἀν- 24
θρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας εἶπεν τῷ παραλελυμένῳ
σοὶ λέγω ἔγειραι καὶ ἆρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶ-
κόν σου ⸰ καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν ἆρας ἐφ᾽ ᾧ ˚ 25
κατέκειτο ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν θεόν ⸰ καὶ 26
ἔκστασις ἔλαβεν ἅπαντας καὶ ἐδόξαζον τὸν θεὸν καὶ ἐπλήσθη-
σαν φόβου λέγοντες ὅτι εἴδομεν παράδοξα σήμερον ⸰ καὶ μετὰ 27
ταῦτα ἐξῆλθεν καὶ ἐθεάσατο τελώνην ὀνόματι λευῖν καθήμενον
ἐπὶ τὸ τελώνιον καὶ εἶπεν αὐτῷ ἀκολούθει μοι ⸰ καὶ καταλιπὼν 28
ἅπαντα ˚ ἀναστὰς ἠκολούθησεν αὐτῷ ⸰ καὶ ἐποίησεν δοχὴν με- 29
γάλην ὁ ˚ λευῖς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ ἦν ὄχλος τελωνῶν ˚
πολὺς καὶ ἄλλων οἳ ἦσαν μετ᾽ αὐτῶν κατακείμενοι ⸰ καὶ ἐγόγγυ- 30
ζον οἱ γραμματεῖς ˚ αὐτῶν καὶ οἱ φαρισαῖοι πρὸς τοὺς μαθητὰς
αὐτοῦ λέγοντες διατὶ μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ
πίνετε ⸰ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν πρὸς αὐτοὺς οὐ χρείαν 31
ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ ἀλλ᾽ οἱ κακῶς ἔχοντες ⸰ οὐκ ἐλή- 32
λυθα καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν ⸰ οἱ δὲ 33
εἶπόν πρὸς αὐτὸν διατὶ οἱ μαθηταὶ ἰωάννου νηστεύουσιν πυ-
κνὰ καὶ δεήσεις ποιοῦνται ὁμοίως καὶ οἱ τῶν φαρισαίων οἱ δὲ
σοὶ ἐσθίουσιν καὶ πίνουσιν ⸰ ὁ δὲ ˚ εἶπεν πρὸς αὐτοὺς μὴ δύνα- 34
σθε τοὺς υἱοὺς τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστιν
ποιῆσαι νηστεύειν ⸰ ἐλεύσονται δὲ ἡμέραι καὶ ὅταν ἀπαρθῇ ἀπ᾽ 35
αὐτῶν ὁ νυμφίος τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις ⸰
ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι οὐδεὶς ἐπίβλημα ἱ- 36
ματίου ˚ καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιὸν εἰ δὲ μήγε καὶ τὸ
καινὸν σχίζει καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ ἐπίβλημα τὸ ἀπὸ τοῦ
καινοῦ ⸰ καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς εἰ 37
δὲ μήγε ῥήξει ὁ ˚ νέος οἶνος τοὺς ἀσκοὺς καὶ αὐτὸς ἐκχυθήσεται
καὶ οἱ ἀσκοὶ ἀπολοῦνται ⸰ ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς 38
βλητέον καὶ ˚ ἀμφότεροι συντηροῦνται ⸰ καὶ οὐδεὶς πιὼν παλαιὸν 39

---

v.23 𝕋*: εγειραι, 𝕍: εγειρε. **v.24** 𝕋*: εξουσιαν εχει ο υιος του ανθρωπου, 𝕍: ο υιος του ανθρωπου εξουσιαν εχει. **v.24** 𝕋*: εγειραι, 𝕍: εγειρε. **v.25** 𝕋 𝕂: ω, 𝕄 𝕍: ο. **v.28** 𝕋*: απαντα αναστας ηκολουθησεν, 𝕍: παντα αναστας ηκολουθει. **v.29** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.29** 𝕋*: τελωνων πολυς, 𝕍: πολυς τελωνων. **v.30** 𝕋*: γραμματεις αυτων και οι φαρισαιοι, 𝕍: φαρισαιοι και οι γραμματεις αυτων. **v.30** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.30** 𝕋 𝕂: τελωνων, 𝕄 𝕍: των τελωνων. **v.31** 𝕋*: αλλ, 𝕍: αλλα. **v.33** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.33** 𝕋 𝕂: διατι, 𝕄: δια τι, 𝕍: ∅. **v.34** 𝕋*: δε, 𝕍: δε ιησους. **v.34** 𝕋*: νηστευειν, 𝕍: νηστευσαι. **v.36** 𝕋*: ιματιου καινου, 𝕍: απο ιματιου καινου σχισας. **v.36** 𝕋 𝕂: μηγε, 𝕄 𝕍: μη γε. **v.36** 𝕋*: σχιζει, 𝕍: σχισει. **v.36** 𝕋*: συμφωνει, 𝕍: συμφωνησει. **v.36** 𝕋 𝕂: επιβλημα, 𝕄: ∅, 𝕍: το επιβλημα. **v.37** 𝕋 𝕂: μηγε, 𝕄 𝕍: μη γε. **v.37** 𝕋*: ο νεος οινος, 𝕍: ο οινος ο νεος. **v.38** 𝕋*: και αμφοτεροι συντηρουνται, 𝕍: ∅.

εὐθέως θέλει νέον λέγει γὰρ ὁ παλαιὸς χρηστότερός ἐστιν ⸰
6 ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν
διὰ τῶν σπορίμων καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας
2 καὶ ἤσθιον ψώχοντες ταῖς χερσίν ⸰ τινὲς δὲ τῶν φαρισαίων εἶπον
3 αὐτοῖς τί ποιεῖτε ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν τοῖς σάββασιν ⸰ καὶ ἀ-
ποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ ἰησοῦς οὐδὲ τοῦτο ἀνέγνωτε ὃ
ἐποίησεν δαβὶδ ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες ⸰
4 ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέ-
σεως ἔλαβεν καὶ ἔφαγεν καὶ ἔδωκεν καὶ τοῖς μετ᾽ αὐτοῦ οὓς οὐκ
5 ἔξεστιν φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς ⸰ καὶ ἔλεγεν αὐτοῖς ὅτι
6 κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου ⸰ ἐγένετο
δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ
διδάσκειν καὶ ἦν ἐκεῖ ἄνθρωπος καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν
7 ξηρά ⸰ παρετήρουν δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ
8 ἐν τῷ σαββάτῳ θεραπεύει ἵνα εὕρωσιν κατηγορίαν αὐτοῦ ⸰ αὐ-
τὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν καὶ εἶπεν τῷ ἀνθρώπῳ τῷ
ξηρὰν ἔχοντι τὴν χεῖρα ἔγειραι καὶ στῆθι εἰς τὸ μέσον ὁ δὲ ἀνα-
9 στὰς ἔστη ⸰ εἶπεν οὖν ὁ ἰησοῦς πρὸς αὐτούς ἐπερωτήσω ὑμᾶς
τί ἔξεστιν τοῖς σάββασιν ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι ψυχὴν
10 σῶσαι ἢ ἀπολέσαι ⸰ καὶ περιβλεψάμενος πάντας αὐτοὺς εἶπεν
τῷ ἀνθρώπῳ ἔκτεινον τὴν χεῖρά σου ὁ δὲ ἐποίησεν οὕτως καὶ
11 ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη ⸰ αὐτοὶ δὲ ἐπλή-
σθησαν ἀνοίας καὶ διελάλουν πρὸς ἀλλήλους τί ἂν ποιήσειαν
12 τῷ ἰησοῦ ⸰ ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξῆλθεν εἰς τὸ ὄρος
προσεύξασθαι καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ ⸰
13 καὶ ὅτε ἐγένετο ἡμέρα προσεφώνησεν τοὺς μαθητὰς αὐτοῦ καὶ
ἐκλεξάμενος ἀπ᾽ αὐτῶν δώδεκα οὓς καὶ ἀποστόλους ὠνόμασεν ⸰
14 σίμωνα ὃν καὶ ὠνόμασεν πέτρον καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ

---

v.39 𝕋*: ευθεως, 𝕍: ∅. **v.39** 𝕋*: χρηστοτερος, 𝕍: χρηστος. **6.v.1** 𝕋*: δευτεροπρωτω, 𝕍: ∅. **v.1** 𝕋*: των, 𝕍: ∅. **v.1** 𝕋*: τους σταχυας και ησθιον, 𝕍: και ησθιον τους σταχυας. **v.2** 𝕋*: εἶπον αὐτοῖς, 𝕍: εἶπαν. **v.2** 𝕋*: ποιειν εν, 𝕍: ∅. **v.3** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.3** 𝕋*: οποτε, 𝕍: οτε. **v.4** 𝕋*: ελαβεν και, 𝕍: λαβων. **v.4** 𝕋*: και, 𝕍: ∅. **v.4** 𝔼: ιερεις, 𝔻: ιερεις τη αυτη ημερα θεασαμενος τινα εργαζομενον τω σαββατω ειπεν αυτω ανθρωπε ει μεν οιδας τι ποιεις μακαριος ει ει δε μη οιδας επικαταρατος και παραβατης ει του νομου (and omits verse 5). **v.5** 𝕋*: οτι, 𝕍: ∅. **v.5** 𝕋*: ο υιος του ανθρωπου και του σαββατου, 𝕍: του σαββατου ο υιος του ανθρωπου. **v.6** 𝕋*: και, 𝕍: ∅. **v.6** 𝕋*: εκει ανθρωπος, 𝕍: ανθρωπος εκει. **v.7** 𝕋*: παρετηρουν, 𝕍: παρετηρουντο. **v.7** 𝕋 𝕂 𝕍: αυτον, 𝕄: ∅. **v.7** 𝕋*: θεραπευσει, 𝕍: θεραπευει. **v.7** 𝕋*: κατηγοριαν, 𝕍: κατηγορειν. **v.8** 𝕋*: και ειπεν τω ανθρωπω, 𝕍: ειπεν δε τω ανδρι. **v.8** 𝕋*: εγειραι, 𝕍: εγειρε. **v.8** 𝕋*: ο δε, 𝕍: και. **v.9** 𝕋*: ουν, 𝕍: δε. **v.9** 𝕋*: επερωτησω υμας τι εξεστιν τοις σαββασιν, 𝕍: επερωτω υμας ει εξεστιν τω σαββατω. **v.9** 𝕋 𝕂 𝕍: απολεσαι, 𝕄: αποκτειναι. **v.10** 𝔼: ειπεν, 𝔻: εν οργη λεγει. **v.10** 𝕋 𝕂: τω ανθρωπω, 𝕄 𝕍: αυτω. **v.10** 𝕋 𝕂: ουτως, 𝕄 𝕍: ∅. **v.10** 𝕋*: αποκατεσταθη, 𝕍: απεκατεσταθη. **v.10** 𝕋*: υγιης ως η αλλη, 𝕍: ∅. **v.11** 𝕋*: ποιησειαν, 𝕍: ποιησαιεν. **v.12** 𝕋*: εξηλθεν, 𝕍: εξελθειν αυτον.

ἰάκωβον˚ καὶ ἰωάννην φίλιππον καὶ βαρθολομαῖον ⸰ ματθαῖον˚ 15
καὶ θωμᾶν ἰάκωβον τὸν τοῦ ἁλφαίου καὶ σίμωνα τὸν καλού-
μενον ζηλωτήν ⸰ ἰούδαν ἰακώβου καὶ ἰούδαν ἰσκαριώτην˚ ὃς καὶ 16
ἐγένετο προδότης ⸰ καὶ καταβὰς μετ᾽ αὐτῶν ἔστη ἐπὶ τόπου πεδι- 17
νοῦ καὶ ὄχλος̣ μαθητῶν αὐτοῦ καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ
πάσης τῆς ἰουδαίας καὶ ἱερουσαλὴμ καὶ τῆς παραλίου τύρου
καὶ σιδῶνος οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νό-
σων αὐτῶν ⸰ καὶ οἱ ὀχλούμενοι˚ ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ 18
ἐθεραπεύοντο ⸰ καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ ὅτι δύ- 19
ναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας ⸰ καὶ αὐτὸς ἐπάρας 20
τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν μακά-
ριοι οἱ πτωχοὶ ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ⸰ μακάριοι 21
οἱ πεινῶντες νῦν ὅτι χορτασθήσεσθε μακάριοι οἱ κλαίοντες νῦν
ὅτι γελάσετε ⸰ μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι 22
καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν καὶ ἐκβάλωσιν τὸ ὄ-
νομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου ⸰ χαίρετε 23
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν
πολὺς ἐν τῷ οὐρανῷ κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις
οἱ πατέρες αὐτῶν ⸰ πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις ὅτι ἀπέχετε 24
τὴν παράκλησιν ὑμῶν ⸰ οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι ὅτι˚ πει- 25
νάσετε οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν ὅτι πενθήσετε καὶ κλαύσετε ⸰
οὐαὶ ὑμῖν ὅταν καλῶς˚ ὑμᾶς εἴπωσιν πάντες οἱ ἄνθρωποι κατὰ 26
ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν ⸰ ἀλλ᾽ 27
ὑμῖν λέγω τοῖς ἀκούουσιν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καλῶς
ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς ⸰ εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν 28
καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς ⸰ τῷ τύπτοντί σε 29
ἐπὶ τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην καὶ ἀπὸ τοῦ αἴροντός
σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς ⸰ παντὶ δὲ˚ τῷ αἰ- 30
τοῦντί σε δίδου καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει ⸰ καὶ 31
καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι καὶ˚ ὑμεῖς ποιεῖτε
αὐτοῖς ὁμοίως ⸰ καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς ποία ὑμῖν 32
χάρις ἐστὶν καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγα-
πῶσιν ⸰ καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς ποία 33

---

v.14 𝕋*: ιακωβον και ιωαννην, 𝕍: και ιακωβον και ιωαννην και. **v.15** 𝕋*: ματθαιον και θωμαν ιακωβον τον του, 𝕍: και μαθθαιον και θωμαν και ιακωβον. **v.16** 𝕋*: ιουδαν, 𝕍: και ιουδαν. **v.16** 𝕋*: ισκαριωτην ος και, 𝕍: ισκαριωθ ος. **v.17** 𝕋*: οχλος, 𝕍: οχλος πολυς. **v.18** 𝕋*: οχλουμενοι υπο, 𝕍: ενοχλουμενοι απο. **v.19** 𝕋*: εζητει, 𝕍: εζητουν. **v.23** 𝕋 𝕂: χαιρετε, 𝕄 𝕍: χαρητε. **v.23** 𝕋*: ταυτα, 𝕍: τα αυτα. **v.25** 𝕋*: οτι πεινασετε ουαι υμιν, 𝕍: νυν οτι πεινασετε ουαι. **v.26** 𝕋 𝕂: υμιν, 𝕄 𝕍: ∅. **v.26** 𝕋*: καλως υμας, 𝕍: υμας καλως. **v.26** 𝕋 𝕂 𝕍: παντες, 𝕄: ∅. **v.26** 𝕋*: ταυτα, 𝕍: τα αυτα. **v.27** 𝕋*: αλλ, 𝕍: αλλα. **v.28** 𝕋*: υμιν, 𝕍: υμας. **v.28** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.28** 𝕋*: υπερ, 𝕍: περι. **v.30** 𝕋*: δε τω, 𝕍: ∅. **v.31** 𝕋*: και υμεις, 𝕍: ∅. **v.33** 𝕋*: και, 𝕍: και [γαρ].

34 ὑμῖν χάρις ἐστὶν καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν ⸰ καὶ
ἐὰν δανείζητε παρ᾽ ὧν ἐλπίζετε ἀπολαβεῖν ποία ὑμῖν χάρις ἐστὶν
καὶ γὰρ˚ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσιν
35 τὰ ἴσα ⸰ πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ
δανείζετε μηδὲν ἀπελπίζοντες καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς
καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς
36 ἀχαρίστους καὶ πονηρούς ⸰ γίνεσθε οὖν οἰκτίρμονες καθὼς καὶ
37 ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν ⸰ καὶ μὴ κρίνετε καὶ οὐ μὴ κρι-
θῆτε μὴ καταδικάζετε καὶ οὐ μὴ καταδικασθῆτε ἀπολύετε καὶ
38 ἀπολυθήσεσθε ⸰ δίδοτε καὶ δοθήσεται ὑμῖν μέτρον καλὸν πεπιε-
σμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς
τὸν κόλπον ὑμῶν τῷ˚ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε ἀντιμετρηθή-
39 σεται ὑμῖν ⸰ εἶπεν δὲ˚ παραβολὴν αὐτοῖς μήτι δύναται τυφλὸς
40 τυφλὸν ὁδηγεῖν οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται ⸰ οὐκ
ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ κατηρτισμένος δὲ
41 πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ ⸰ τί δὲ βλέπεις τὸ κάρφος τὸ
ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰ-
42 δίῳ ὀφθαλμῷ οὐ κατανοεῖς ⸰ ἢ˚ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ
σου ἀδελφὲ ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου αὐ-
τὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων ὑποκριτὰ ἔκβαλε
πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου καὶ τότε διαβλέψεις
43 ἐκβαλεῖν˚ τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου ⸰ οὐ
γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρὸν οὐδὲ δένδρον
44 σαπρὸν ποιοῦν καρπὸν καλόν ⸰ ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰ-
δίου καρποῦ γινώσκεται οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα
45 οὐδὲ ἐκ βάτου τρυγῶσιν˚ σταφυλήν ⸰ ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ
ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθὸν καὶ
ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ˚ τῆς καρδίας
αὐτοῦ προφέρει τὸ πονηρὸν ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρ-
46 δίας λαλεῖ τὸ στόμα αὐτοῦ ⸰ τί δέ με καλεῖτε κύριε κύριε καὶ οὐ
47 ποιεῖτε ἃ λέγω ⸰ πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν
48 λόγων καὶ ποιῶν αὐτοὺς ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος ⸰ ὁμοιός

v.33 𝕋*: γαρ, 𝕍: ∅. **v.34** 𝕋*: δανειζητε, 𝕍: δανισητε. **v.34** 𝕋 𝕄 𝕍: ελπιζετε, 𝕂: ελπιζητε. **v.34** 𝕋*: απολαβειν, 𝕍: λαβειν. **v.34** 𝕋 𝕂: γαρ οι, 𝕄: γαρ, 𝕍: ∅. **v.34** 𝕋*: δανειζουσιν, 𝕍: δανιζουσιν. **v.35** 𝕋*: δανειζετε, 𝕍: δανιζετε. **v.35** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.36** 𝕋*: ουν, 𝕍: ∅. **v.37** 𝕋 𝕄 𝕍: και, 𝕂: ∅. **v.37** 𝕋*: μη, 𝕍: και μη. **v.38** 𝕋*: και, 𝕍: ∅. **v.38** 𝕋*: υπερεκχυνομενον, 𝕍: υπερεκχυννομενον. **v.38** 𝕋*: τω γαρ αυτω μετρω ω, 𝕍: ω γαρ μετρω. **v.39** 𝕋*: δε, 𝕍: δε και. **v.39** 𝕋*: πεσουνται, 𝕍: εμπεσουνται. **v.40** 𝕋*: αυτου, 𝕍: ∅. **v.42** 𝕋*: η, 𝕍: ∅. **v.42** 𝕋*: εκβαλειν το καρφος το εν τω οφθαλμω του αδελφου σου, 𝕍: το καρφος το εν τω οφθαλμω του αδελφου σου εκβαλειν. **v.43** 𝕋*: ουδε, 𝕍: ουδε παλιν. **v.44** 𝕋*: τρυγωσιν σταφυλην, 𝕍: σταφυλην τρυγωσιν. **v.45** 𝕋*: αυτου, 𝕍: ∅. **v.45** 𝕋*: ανθρωπος, 𝕍: ∅. **v.45** 𝕋*: θησαυρου της καρδιας αυτου, 𝕍: ∅. **v.45** 𝕋*: του, 𝕍: ∅. **v.45** 𝕋*: της, 𝕍: ∅.

ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν ὃς ἔσκαψεν καὶ ἐβάθυνεν
καὶ ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν πλημμύρας δὲ γενομένης
προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἴσχυσεν σαλεῦ-
σαι αὐτὴν τεθεμελίωτο· γὰρ ἐπὶ τὴν πέτραν· ὁ δὲ ἀκούσας καὶ 49
μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ
τὴν γῆν χωρὶς θεμελίου ᾗ προσέρρηξεν ὁ ποταμὸς καὶ εὐθέως·
ἔπεσεν καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα·

ἐπεὶ· δὲ ἐπλήρωσεν πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ **7**
λαοῦ εἰσῆλθεν εἰς καπερναούμ· ἑκατοντάρχου δέ τινος δοῦλος 2
κακῶς ἔχων ἤμελλεν τελευτᾶν ὃς ἦν αὐτῷ ἔντιμος· ἀκούσας δὲ 3
περὶ τοῦ ἰησοῦ ἀπέστειλεν πρὸς αὐτὸν πρεσβυτέρους τῶν ἰου-
δαίων ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ· οἱ 4
δὲ παραγενόμενοι πρὸς τὸν ἰησοῦν παρεκάλουν αὐτὸν σπου-
δαίως λέγοντες ὅτι ἄξιός ἐστιν ᾧ παρέξῃ τοῦτο· ἀγαπᾷ γὰρ τὸ 5
ἔθνος ἡμῶν καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν· ὁ δὲ 6
ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχον-
τος ἀπὸ τῆς οἰκίας ἔπεμψεν πρὸς· αὐτὸν ὁ ἑκατόνταρχος φίλους
λέγων αὐτῷ κύριε μὴ σκύλλου οὐ γάρ εἰμι· ἱκανὸς ἵνα ὑπὸ· τὴν
στέγην μου εἰσέλθῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν 7
ἀλλὰ εἰπὲ λόγῳ καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ γὰρ ἐγὼ ἄνθρω- 8
πός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας
καὶ λέγω τούτῳ πορεύθητι καὶ πορεύεται καὶ ἄλλῳ ἔρχου καὶ
ἔρχεται καὶ τῷ δούλῳ μου ποίησον τοῦτο καὶ ποιεῖ· ἀκούσας 9
δὲ ταῦτα ὁ ἰησοῦς ἐθαύμασεν αὐτὸν καὶ στραφεὶς τῷ ἀκολου-
θοῦντι αὐτῷ ὄχλῳ εἶπεν λέγω ὑμῖν οὐδὲ ἐν τῷ ἰσραὴλ τοσαύτην
πίστιν εὗρον· καὶ ὑποστρέψαντες οἱ· πεμφθέντες εἰς τὸν οἶκον 10
εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα· καὶ ἐγένετο ἐν τῇ ἑ- 11
ξῆς ἐπορεύετο εἰς πόλιν καλουμένην ναΐν καὶ συνεπορεύοντο
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ καὶ ὄχλος πολύς· ὡς δὲ ἤγγι- 12
σεν τῇ πύλῃ τῆς πόλεως καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς·
μονογενὴς τῇ μητρὶ αὐτοῦ καὶ αὕτη ἦν χήρα καὶ ὄχλος τῆς πό-
λεως ἱκανὸς ὢν αὐτῇ· καὶ ἰδὼν αὐτὴν ὁ κύριος ἐσπλαγχνίσθη 13

v.48 𝕋*: πλημμυρας, 𝕍: πλημμυρης. **v.48** 𝕋*: προσερρηξεν, 𝕍: προσερηξεν. **v.48** 𝕋*: τεθεμελιωτο γαρ επι την πετραν, 𝕍: δια το καλως οικοδομησθαι αυτην. **v.49** 𝕋*: προσερρηξεν, 𝕍: προσερηξεν. **v.49** 𝕋*: ευθεως επεσεν, 𝕍: ευθυς συνεπεσεν. **7.v.1** 𝕋*: επει δε, 𝕍: επειδη. **v.1** 𝕋*: καπερναουμ, 𝕍: καφαρναουμ. **v.2** 𝕋 𝕂 𝕍: ημελλεν, 𝕄: εμελλεν. **v.4** 𝕋*: παρεξει, 𝕍: παρεξη. **v.6** 𝕋*: προς αυτον ο εκατονταρχος φιλους, 𝕍: φιλους ο εκατονταρχης. **v.6** 𝕋*: ειμι ικανος, 𝕍: ικανος ειμι. **v.6** 𝕋 𝕂 𝕍: υπο την στεγην μου, 𝕄: μου υπο την στεγην. **v.7** 𝕋 𝕂 𝕍: αλλα, 𝕄: αλλ. **v.7** 𝕋*: ιαθησεται, 𝕍: ιαθητω. **v.9** 𝕋 𝕂 𝕍: ουδε, 𝕄: ουτε. **v.10** 𝕋*: οι πεμφθεντες εις τον οικον, 𝕍: εις τον οικον οι πεμφθεντες. **v.10** 𝕋*: ασθενουντα, 𝕍: ∅. **v.11** 𝕋 𝕂: τη, 𝕄 𝕍: τω. **v.11** 𝕋*: επορευετο, 𝕍: επορευθη. **v.11** 𝕋*: ικανοι, 𝕍: ∅. **v.12** 𝕋*: υιος μονογενης, 𝕍: μονογενης υιος. **v.12** 𝕋 𝕂 𝕍: ην, 𝕄: ∅. **v.12** 𝕋 𝕄: συν, 𝕂 𝕍: ην συν.

14 ἐπ᾽ αὐτῇ καὶ εἶπεν αὐτῇ μὴ κλαῖε ◦ καὶ προσελθὼν ἥψατο τῆς
σοροῦ οἱ δὲ βαστάζοντες ἔστησαν καὶ εἶπεν νεανίσκε σοὶ λέγω ἐ-
15 γέρθητι ◦ καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν καὶ ἔδωκεν
16 αὐτὸν τῇ μητρὶ αὐτοῦ ◦ ἔλαβεν δὲ φόβος ἅπαντας καὶ ἐδόξαζον
τὸν θεὸν λέγοντες ὅτι προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν καὶ
17 ὅτι ἐπεσκέψατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ ◦ καὶ ἐξῆλθεν ὁ λόγος
οὗτος ἐν ὅλῃ τῇ ἰουδαίᾳ περὶ αὐτοῦ καὶ ἐν πάσῃ τῇ περιχώρῳ ◦
18 καὶ ἀπήγγειλαν ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων ◦
19 καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ ἰωάν-
νης ἔπεμψεν πρὸς τὸν ἰησοῦν λέγων σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον
20 προσδοκῶμεν ◦ παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον
ἰωάννης ὁ βαπτιστὴς ἀπέστᾶλκεν ἡμᾶς πρός σε λέγων σὺ εἶ ὁ ἐρ-
21 χόμενος ἢ ἄλλον προσδοκῶμεν ◦ ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευ-
σεν πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν
22 καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν ◦ καὶ ἀποκριθεὶς ὁ
ἰησοῦς εἶπεν αὐτοῖς πορευθέντες ἀπαγγείλατε ἰωάννῃ ἃ εἴδετε
καὶ ἠκούσατε ὅτι τυφλοὶ ἀναβλέπουσιν χωλοὶ περιπατοῦσιν λε-
προὶ καθαρίζονται κωφοὶ ἀκούουσιν νεκροὶ ἐγείρονται πτωχοὶ
23 εὐαγγελίζονται ◦ καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν
24 ἐμοί ◦ ἀπελθόντων δὲ τῶν ἀγγέλων ἰωάννου ἤρξατο λέγειν πρὸς
τοὺς ὄχλους περὶ ἰωάννου τί ἐξελήλύθατε εἰς τὴν ἔρημον θεάσα-
25 σθαι κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον ◦ ἀλλὰ τί ἐξελήλύθατε
ἰδεῖν ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον ἰδοὺ οἱ ἐν ἱ-
ματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν ◦
26 ἀλλὰ τί ἐξελήλύθατε ἰδεῖν προφήτην ναὶ λέγω ὑμῖν καὶ περισσό-
27 τερον προφήτου ◦ οὗτός ἐστιν περὶ οὗ γέγραπται ἰδοὺ ἐγὼ ἀπο-
στέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου ὃς κατασκευάσει
28 τὴν ὁδόν σου ἔμπροσθέν σου ◦ λέγω γὰρ ὑμῖν μείζων ἐν γεννη-
τοῖς γυναικῶν προφήτης οὐδείς ἐστιν ἰωάννου τοῦ βαπτιστοῦ
ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ μείζων αὐτοῦ ἐστιν ◦
29 καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν θεὸν βα-
30 πτισθέντες τὸ βάπτισμα ἰωάννου ◦ οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ
τὴν βουλὴν τοῦ θεοῦ ἠθέτησαν εἰς ἑαυτοὺς μὴ βαπτισθέντες ὑπ᾽
31 αὐτοῦ ◦ εἶπεν δὲ ὁ κύριος τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς

---

v.16 𝕋 𝕂: απαντας, 𝕄 𝕍: παντας. **v.16** 𝕋*: εγηγερται, 𝕍: ηγερθη. **v.17** 𝕋*: εν, 𝕍: ∅. **v.19** 𝕋*: ιησουν, 𝕍: κυριον. **v.20** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.20** 𝕋*: απεσταλκεν, 𝕍: απεστειλεν. **v.21** 𝕋*: αυτη δε, 𝕍: εκεινη. **v.21** 𝕋*: το, 𝕍: ∅. **v.22** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.22** 𝕋*: οτι, 𝕍: ∅. **v.22** 𝕋*: κωφοι, 𝕍: και κωφοι. **v.24** 𝕋 𝕂 𝕍: προς τους οχλους, 𝕄: τοις οχλοις. **v.24** 𝕋*: εξεληλυθατε, 𝕍: εξηλθατε. **v.25** 𝕋*: εξεληλυθατε, 𝕍: εξηλθατε. **v.26** 𝕋*: εξεληλυθατε, 𝕍: εξηλθατε. **v.27** 𝕋*: εγω, 𝕍: ∅. **v.28** 𝕋*: γαρ, 𝕍: ∅. **v.28** 𝕋*: προφητης ιωαννου του βαπτιστου, 𝕍: ιωαννου. **v.31** 𝕋 𝕂: ειπεν δε ο κυριος, 𝕄 𝕍: ∅.

γενεᾶς ταύτης καὶ τίνι εἰσὶν ὅμοιοι ◦ ὅμοιοί εἰσιν παιδίοις τοῖς 32
ἐν ἀγορᾷ καθημένοις καὶ προσφωνοῦσιν ἀλλήλοις καὶ˚ λέγου-
σιν ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε ἐθρηνήσαμεν ὑμῖν καὶ
οὐκ ἐκλαύσατε ◦ ἐλήλυθεν γὰρ ἰωάννης ὁ βαπτιστὴς μήτε˚ ἄρτον 33
ἐσθίων μήτε οἶνον πίνων καὶ λέγετε δαιμόνιον ἔχει ◦ ἐλήλυθεν ὁ 34
υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων καὶ λέγετε ἰδοὺ ἄνθρω-
πος φάγος καὶ οἰνοπότης τελωνῶν˚ φίλος καὶ ἁμαρτωλῶν ◦ καὶ 35
ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν˚ τέκνων αὐτῆς πάντων ◦ ἠρώτα δέ 36
τις αὐτὸν τῶν φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ καὶ εἰσελθὼν εἰς
τὴν˚ οἰκίαν τοῦ φαρισαίου ἀνέκλίθη ◦ καὶ ἰδοὺ γυνὴ ἐν˚ τῇ πό- 37
λει ἥτις ἦν ἁμαρτωλὸς ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ
φαρισαίου κομίσασα ἀλάβαστρον μύρου ◦ καὶ στᾶσα παρὰ˚ τοὺς 38
πόδας αὐτοῦ ὀπίσω κλαίουσα ἤρξατο˚ βρέχειν τοὺς πόδας αὐ-
τοῦ τοῖς δάκρυσιν καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς ἐξέμασσεν
καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν τῷ μύρῳ ◦ ἰδὼν δὲ 39
ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων οὗτος εἰ ἦν
προφήτης ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐ-
τοῦ ὅτι ἁμαρτωλός ἐστιν ◦ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν πρὸς 40
αὐτὸν σίμων ἔχω σοί τι εἰπεῖν ὁ δέ φησιν˚ διδάσκαλε εἰπέ ◦ δύο 41
χρεῶφειλέται ἦσαν δανείστῃ τινι ὁ εἷς ὤφειλεν δηνάρια πεντα-
κόσια ὁ δὲ ἕτερος πεντήκοντα ◦ μὴ ἐχόντων δὲ˚ αὐτῶν ἀποδοῦναι 42
ἀμφοτέροις ἐχαρίσατο τίς οὖν αὐτῶν εἰπὲ πλεῖον αὐτὸν˚ ἀγαπή-
σει ◦ ἀποκριθεὶς δὲ˚ ὁ σίμων εἶπεν ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον 43
ἐχαρίσατο ὁ δὲ εἶπεν αὐτῷ ὀρθῶς ἔκρινας ◦ καὶ στραφεὶς πρὸς 44
τὴν γυναῖκα τῷ σίμωνι ἔφη βλέπεις ταύτην τὴν γυναῖκα εἰσῆλ-
θόν σου εἰς τὴν οἰκίαν ὕδωρ ἐπὶ˚ τοὺς πόδας μου οὐκ ἔδωκας
αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου τοὺς πόδας καὶ ταῖς θριξὶν
τῆς˚ κεφαλῆς αὐτῆς ἐξέμαξεν ◦ φίλημά μοι οὐκ ἔδωκας αὕτη δὲ 45
ἀφ᾽ ἧς εἰσῆλθον οὐ διέλιπεν καταφιλοῦσά μου τοὺς πόδας ◦ ἐ- 46
λαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας αὕτη δὲ μύρῳ ἤλειψέν μου˚
τοὺς πόδας ◦ οὗ χάριν λέγω σοι ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ 47

---

v.32 $\mathbb{T}^*$: και λεγουσιν, $\mathbb{V}$: α λεγει. **v.32** $\mathbb{T}^*$: υμιν, $\mathbb{V}$: ∅. **v.33** $\mathbb{T}^*$: μητε αρτον εσθιων μητε οινον πινων, $\mathbb{V}$: μη εσθιων αρτον μητε πινων οινον. **v.34** $\mathbb{T}$ $\mathbb{K}$: τελωνων φιλος, $\mathbb{M}$ $\mathbb{V}$: φιλος τελωνων. **v.35** $\mathbb{T}^*$: των τεκνων αυτης παντων, $\mathbb{V}$: παντων των τεκνων αυτης, **א**: παντων των εργων αυτης. **v.36** $\mathbb{T}^*$: την οικιαν, $\mathbb{V}$: τον οικον. **v.36** $\mathbb{T}^*$: ανεκλιθη, $\mathbb{V}$: κατεκλιθη. **v.37** $\mathbb{T}^*$: εν τη πολει ητις ην, $\mathbb{V}$: ητις ην εν τη πολει. **v.37** $\mathbb{T}^*$: επιγνουσα, $\mathbb{V}$: και επιγνουσα. **v.37** $\mathbb{T}^*$: ανακειται, $\mathbb{V}$: κατακειται. **v.38** $\mathbb{T}^*$: παρα τους ποδας αυτου οπισω, $\mathbb{V}$: οπισω παρα τους ποδας αυτου. **v.38** $\mathbb{T}^*$: ηρξατο βρεχειν τους ποδας αυτου τοις δακρυσιν, $\mathbb{V}$: τοις δακρυσιν ηρξατο βρεχειν τους ποδας αυτου. **v.40** $\mathbb{T}^*$: φησιν διδασκαλε ειπε, $\mathbb{V}$: διδασκαλε ειπε φησιν. **v.41** $\mathbb{T}^*$: χρεωφειλεται, $\mathbb{V}$: χρεοφειλεται. **v.41** $\mathbb{T}^*$: δανειστη, $\mathbb{V}$: δανιστη. **v.42** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅. **v.42** $\mathbb{T}^*$: ειπε, $\mathbb{V}$: ∅. **v.42** $\mathbb{T}^*$: αυτον αγαπησει, $\mathbb{V}$: αγαπησει αυτον. **v.43** $\mathbb{T}^*$: δε ο, $\mathbb{V}$: ∅. **v.44** $\mathbb{T}^*$: επι τους ποδας μου, $\mathbb{V}$: μοι επι ποδας. **v.44** $\mathbb{T}^*$: της κεφαλης, $\mathbb{V}$: ∅. **v.46** $\mathbb{T}^*$: μου τους ποδας, $\mathbb{V}$: τους ποδας μου.

πολλαὶ ὅτι ἠγάπησεν πολὺ ᾧ δὲ ὀλίγον ἀφίεται ὀλίγον ἀγαπᾷ ⸰
48, 49 εἶπεν δὲ αὐτῇ ἀφέωνταί σου αἱ ἁμαρτίαι ⸰ καὶ ἤρξαντο οἱ συ-
νανακείμενοι λέγειν ἐν ἑαυτοῖς τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας
50 ἀφίησιν ⸰ εἶπεν δὲ πρὸς τὴν γυναῖκα ἡ πίστις σου σέσωκέν σε
πορεύου εἰς εἰρήνην ⸰

8 καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευεν κατὰ πόλιν
καὶ κώμην κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ
2 θεοῦ καὶ οἱ δώδεκα σὺν αὐτῷ ⸰ καὶ γυναῖκές τινες αἳ ἦσαν τε-
θεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν μαρία ἡ
3 καλουμένη μαγδαληνὴ ἀφ᾽ ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει ⸰ καὶ ἰ-
ωάννα γυνὴ χουζᾶ ἐπιτρόπου ἡρώδου καὶ σουσάννα καὶ ἕτεραι
πολλαὶ αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς ⸰
4 συνιόντος δὲ ὄχλου πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομέ-
5 νων πρὸς αὐτὸν εἶπεν διὰ παραβολῆς ⸰ ἐξῆλθεν ὁ σπείρων τοῦ
σπεῖραι τὸν σπόρον αὐτοῦ καὶ ἐν τῷ σπείρειν αὐτὸν ὃ μὲν ἔπε-
σεν παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
6 κατέφαγεν αὐτό ⸰ καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν καὶ φυὲν
7 ἐξηράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα ⸰ καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ
8 τῶν ἀκανθῶν καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό ⸰ καὶ
ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν καὶ φυὲν ἐποίησεν καρ-
πὸν ἑκατονταπλασίονα ταῦτα λέγων ἐφώνει ὁ ἔχων ὦτα ἀκούειν
9 ἀκουέτω ⸰ ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες˚ τίς εἴη
10 ἡ παραβολὴ αὕτη ⸰ ὁ δὲ εἶπεν ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια
τῆς βασιλείας τοῦ θεοῦ τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς ἵνα βλέ-
11 ποντες μὴ βλέπωσιν καὶ ἀκούοντες μὴ συνιῶσιν ⸰ ἔστιν δὲ αὕτη
12 ἡ παραβολή ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ ⸰ οἱ δὲ παρὰ τὴν
ὁδὸν εἰσὶν οἱ ἀκούσαντες εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν
13 λόγον ἀπὸ τῆς καρδίας αὐτῶν ἵνα μὴ πιστεύσαντες σωθῶσιν ⸰ οἱ
δὲ ἐπὶ τῆς πέτρας οἳ ὅταν ἀκούσωσιν μετὰ χαρᾶς δέχονται τὸν
λόγον καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν οἳ πρὸς καιρὸν πιστεύουσιν
14 καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται ⸰ τὸ δὲ εἰς τὰς ἀκάνθας πε-
σὸν οὗτοί εἰσιν οἱ ἀκούσαντες καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου
καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται καὶ οὐ τελε-
15 σφοροῦσιν ⸰ τὸ δὲ ἐν τῇ καλῇ γῇ οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ
καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέχουσιν καὶ καρπο-
16 φοροῦσιν ἐν ὑπομονῇ ⸰ οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν

8.v.3 𝕋 𝕂 𝕍: σουσαννα, 𝕄: σωσαννα. **v.3** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτοις. **v.3** 𝕋*: απο, 𝕍: εκ. **v.6** 𝕋*: επεσεν, 𝕍: κατεπεσεν. **v.8** 𝕋 𝕂: επι, 𝕄 𝕍: εις. **v.9** 𝕋*: λεγοντες τις ειη η παραβολη αυτη, 𝕍: τις αυτη ειη η παραβολη. **v.12** 𝕋*: ακουοντες, 𝕍: ακουσαντες.

σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν ἀλλ᾽ ἐπὶ λυχνίας ἐπιτίθησιν
ἵνα οἱ εἰσπορευόμενοι βλέπωσιν τὸ φῶς ⸰ οὐ γάρ ἐστιν κρυπτὸν 17
ὃ οὐ φανερὸν γενήσεται οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται καὶ
εἰς φανερὸν ἔλθῃ ⸰ βλέπετε οὖν πῶς ἀκούετε ὃς γὰρ᾽ ἂν ἔχῃ δο- 18
θήσεται αὐτῷ καὶ ὃς ἂν μὴ ἔχῃ καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται
ἀπ᾽ αὐτοῦ ⸰ παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελ- 19
φοὶ αὐτοῦ καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον ⸰
καὶ᾽ ἀπηγγέλη αὐτῷ λεγόντων ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου 20
ἑστήκασιν ἔξω ἰδεῖν σε᾽ θέλοντες ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς 21
αὐτοὺς μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον
τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες αὐτόν ⸰ καὶ᾽ ἐγένετο ἐν μιᾷ 22
τῶν ἡμερῶν καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ
καὶ εἶπεν πρὸς αὐτοὺς διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης καὶ
ἀνήχθησαν ⸰ πλεόντων δὲ αὐτῶν ἀφύπνωσεν καὶ κατέβη λαῖλαψ 23
ἀνέμου εἰς τὴν λίμνην καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον ⸰
προσελθόντες δὲ διήγειραν αὐτὸν λέγοντες ἐπιστάτα ἐπιστάτα 24
ἀπολλύμεθα ὁ δὲ ἐγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι
τοῦ ὕδατος καὶ ἐπαύσαντο καὶ ἐγένετο γαλήνη ⸰ εἶπεν δὲ αὐτοῖς 25
ποῦ ἐστιν ἡ πίστις ὑμῶν φοβηθέντες δὲ ἐθαύμασαν λέγοντες
πρὸς ἀλλήλους τίς ἄρα οὗτός ἐστιν ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσ-
σει καὶ τῷ ὕδατι καὶ ὑπακούουσιν αὐτῷ ⸰ καὶ κατέπλευσαν εἰς 26
τὴν χώραν τῶν γαδαρηνῶν ἥτις ἐστὶν ἀντιπέραν τῆς γαλιλαίας ⸰
ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς 27
πόλεως ὃς᾽ εἶχεν δαιμόνια ἐκ᾽ χρόνων ἱκανῶν καὶ ἱμάτιον οὐκ
ἐνεδιδύσκετο καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν ἀλλ᾽ ἐν τοῖς μνήμασιν ⸰
ἰδὼν δὲ τὸν ἰησοῦν κἀι ἀνακράξας προσέπεσεν αὐτῷ καὶ φωνῇ 28
μεγάλῃ εἶπεν τί ἐμοὶ καὶ σοὶ ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου
δέομαί σου μή με βασανίσῃς ⸰ παρήγγελλεν γὰρ τῷ πνεύματι 29
τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου πολλοῖς γὰρ χρόνοις
συνηρπάκει αὐτὸν καὶ ἐδεσμεῖτο ἁλύσεσιν καὶ πέδαις φυλασ-
σόμενος καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος
εἰς τὰς ἐρήμους ⸰ ἐπηρώτησεν δὲ αὐτὸν ὁ ἰησοῦς λέγων τί σοί ἐ- 30

---

v.16 𝕋*: επιτιθησιν, 𝕍: τιθησιν. **v.17** 𝕋*: γνωσθησεται, 𝕍: μη γνωσθη. **v.18** 𝕋 𝕂: γαρ αν, 𝕄: γαρ εαν, 𝕍: αν γαρ. **v.18** 𝕋 𝕂 𝕍: αν, 𝕄: εαν. **v.19** 𝕋*: παρεγενοντο, 𝕍: παρεγενετο. **v.20** 𝕋*: και απηγγελη αυτω λεγοντων, 𝕍: απηγγελη δε αυτω. **v.20** 𝕋*: σε θελοντες, 𝕍: θελοντες σε. **v.21** 𝕋*: αυτον, 𝕍: ∅. **v.22** 𝕋*: και εγενετο, 𝕍: εγενετο δε. **v.24** 𝕋*: εγερθεις, 𝕍: διεγερθεις. **v.25** 𝕋*: εστιν, 𝕍: ∅. **v.26** 𝕋*: γαδαρηνων, 𝕍: γερασηνων. **v.26** 𝕋*: αντιπεραν, 𝕍: αντιπερα. **v.27** 𝕋*: αυτω, 𝕍: ∅. **v.27** 𝕋*: ος ειχεν, 𝕍: εχων. **v.27** 𝕋*: εκ χρονων ικανων και ιματιον ουκ ενεδιδυσκετο, 𝕍: και χρονω ικανω ουκ ενεδυσατο ιματιον. **v.28** 𝕋*: και, 𝕍: ∅. **v.29** 𝕋: παρηγγελλεν, 𝕂 𝕄 𝕍: παρηγγειλεν. **v.29** 𝕋*: εδεσμειτο, 𝕍: εδεσμευετο. **v.29** 𝕋*: δαιμονος, 𝕍: δαιμονιου. **v.30** 𝕋*: λεγων, 𝕍: ∅.

στιν˚ ὄνομα ὁ δὲ εἶπεν λεγεὼν ὅτι δαιμόνια˚ πολλὰ εἰσῆλθεν εἰς
31 αὐτόν ⸰ καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσ-
32 σον ἀπελθεῖν ⸰ ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν
τῷ ὄρει καὶ παρεκάλουν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους
33 εἰσελθεῖν καὶ ἐπέτρεψεν αὐτοῖς ⸰ ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ
τοῦ ἀνθρώπου εἰσῆλθὲν εἰς τοὺς χοίρους καὶ ὥρμησεν ἡ ἀγέλη
34 κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπεπνίγη ⸰ ἰδόντες δὲ οἱ
βόσκοντες τὸ γεγὲνημένον ἔφυγον καὶ ἀπελθόντες ἀπήγγειλαν
35 εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς ⸰ ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονὸς
καὶ ἦλθον πρὸς τὸν ἰησοῦν καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον
ἀφ᾽ οὗ τὰ δαιμόνια ἐξελήλύθει ἱματισμένον καὶ σωφρονοῦντα
36 παρὰ τοὺς πόδας τοῦ ἰησοῦ καὶ ἐφοβήθησαν ⸰ ἀπήγγειλαν δὲ
37 αὐτοῖς κἀὶ οἱ ἰδόντες πῶς ἐσώθη ὁ δαιμονισθείς ⸰ καὶ ἠρώτησἀν
αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν γἀδαρηνῶν ἀπελθεῖν
ἀπ᾽ αὐτῶν ὅτι φόβῳ μεγάλῳ συνείχοντο αὐτὸς δὲ ἐμβὰς εἰς τὸ
38 πλοῖον ὑπέστρεψεν ⸰ ἐδέἐτο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ᾽ οὗ ἐξεληλύθει
τὰ δαιμόνια εἶναι σὺν αὐτῷ ἀπέλυσεν δὲ αὐτὸν ὁ˚ ἰησοῦς λέγων ⸰
39 ὑπόστρεφε εἰς τὸν οἶκόν σου καὶ διηγοῦ ὅσα ἐποίησέν˚ σοι ὁ θε-
ὸς καὶ ἀπῆλθεν καθ᾽ ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν
40 αὐτῷ ὁ ἰησοῦς ⸰ ἐγένετο˚ δὲ ἐν τῷ ὑποστρέψαι τὸν ἰησοῦν ἀπεδέ-
41 ξατο αὐτὸν ὁ ὄχλος ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν ⸰ καὶ
ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ ὄνομα ἰάἐιρος καὶ ἀὐτὸς ἄρχων τῆς συναγω-
γῆς ὑπῆρχεν καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ ἰησοῦ παρεκάλει
42 αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ ⸰ ὅτι θυγάτηρ μονογενὴς ἦν
αὐτῷ ὡς ἐτῶν δώδεκα καὶ αὕτη ἀπέθνησκεν ἐν δὲ τῷ ὑπάγειν
43 αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν ⸰ καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵ-
ματος ἀπὸ ἐτῶν δώδεκα ἥτις ἐἰς ἰατροὺς προσαναλώσασα ὅλον
44 τὸν βίον οὐκ ἴσχυσεν ὑπ᾽ οὐδενὸς θεραπευθῆναι ⸰ προσελθοῦσα
ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ καὶ παρα-
45 χρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς ⸰ καὶ εἶπεν ὁ ἰησοῦς τίς
ὁ ἁψάμενός μου ἀρνουμένων δὲ πάντων εἶπεν ὁ πέτρος καὶ˚ οἱ
μετ᾽ αὐτοῦ ἐπιστάτα οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβουσιν

---

v.30 $\mathbb{T}^*$: εστιν ονομα, $\mathbb{V}$: ονομα εστιν. **v.30** $\mathbb{T}^*$: λεγεων, $\mathbb{V}$: λεγιων. **v.30** $\mathbb{T}^*$: δαιμονια πολλα εισηλθεν, $\mathbb{V}$: εισηλθεν δαιμονια πολλα. **v.31** $\mathbb{T}$ $\mathbb{M}$: παρεκαλει, $\mathbb{K}$ $\mathbb{V}$: παρεκαλουν. **v.32** $\mathbb{T}^*$: βοσκομενων, $\mathbb{V}$: βοσκομενη. **v.32** $\mathbb{T}^*$: παρεκαλουν, $\mathbb{V}$: παρεκαλεσαν. **v.33** $\mathbb{T}$ $\mathbb{K}$: εισηλθεν, $\mathbb{M}$ $\mathbb{V}$: εισηλθον. **v.34** $\mathbb{T}^*$: γεγενημενον, $\mathbb{V}$: γεγονος. **v.34** $\mathbb{T}$ $\mathbb{K}$: απελθοντες, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.35** $\mathbb{T}^*$: εξεληλυθει, $\mathbb{V}$: εξηλθεν. **v.36** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.37** $\mathbb{T}^*$: ηρωτησαν, $\mathbb{V}$: ηρωτησεν. **v.37** $\mathbb{T}^*$: γαδαρηνων, $\mathbb{V}$: γερασηνων. **v.37** $\mathbb{T}^*$: το, $\mathbb{V}$: ∅. **v.38** $\mathbb{T}^*$: εδεετο, $\mathbb{V}$: εδειτο. **v.38** $\mathbb{T}^*$: ο ιησους, $\mathbb{V}$: ∅. **v.39** $\mathbb{T}^*$: εποιησεν σοι, $\mathbb{V}$: σοι εποιησεν. **v.40** $\mathbb{T}^*$: εγενετο δε εν τω υποστρεψαι, $\mathbb{V}$: εν δε τω υποστρεφειν. **v.41** $\mathbb{T}^*$: ιαειρος, $\mathbb{V}$: ιαιρος. **v.41** $\mathbb{T}^*$: αυτος, $\mathbb{V}$: ουτος. **v.43** $\mathbb{T}$ $\mathbb{K}$: εις ιατρους, $\mathbb{M}$ $\mathbb{V}$: ιατροις. **v.43** $\mathbb{T}^*$: υπ, $\mathbb{V}$: απ. **v.45** $\mathbb{T}^*$: και οι μετ αυτου, $\mathbb{V}$: ∅.

καὶ˚ λέγεις τίς ὁ ἁψάμενός μου ⸓ ὁ δὲ ἰησοῦς εἶπεν ἥψατό μου τίς 46
ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ᾽ ἐμοῦ ⸓ ἰδοῦσα δὲ ἡ γυνὴ 47
ὅτι οὐκ ἔλαθεν τρέμουσα ἦλθεν καὶ προσπεσοῦσα αὐτῷ δι᾽ ἣν
αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ
καὶ ὡς ἰάθη παραχρῆμα ⸓ ὁ δὲ εἶπεν αὐτῇ θάρσει˚ θύγατερ ἡ πί- 48
στις σου σέσωκέν σε πορεύου εἰς εἰρήνην ⸓ ἔτι αὐτοῦ λαλοῦντος 49
ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων αὐτῷ ὅτι τέθνηκεν ἡ
θυγάτηρ σου μὴ σκύλλε τὸν διδάσκαλον ⸓ ὁ δὲ ἰησοῦς ἀκούσας 50
ἀπεκρίθη αὐτῷ λέγων μὴ φοβοῦ μόνον πίστευε καὶ σωθήσεται ⸓
εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα εἰ μὴ 51
πέτρον καὶ˚ ἰάκωβον καὶ ἰωάννην καὶ τὸν πατέρα τῆς παιδὸς
καὶ τὴν μητέρα ⸓ ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτὴν ὁ δὲ 52
εἶπεν μὴ κλαίετε οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει ⸓ καὶ κατεγέλων 53
αὐτοῦ εἰδότες ὅτι ἀπέθανεν ⸓ αὐτὸς δὲ ἐκβαλὼν˚ ἔξω πάντας καὶ 54
κρατήσας τῆς χειρὸς αὐτῆς ἐφώνησεν λέγων ἡ παῖς ἐγείρου ⸓
καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς καὶ ἀνέστη παραχρῆμα καὶ 55
διέταξεν αὐτῇ δοθῆναι φαγεῖν ⸓ καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς ὁ 56
δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός ⸓

συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς˚ αὐτοῦ ἔδωκεν **9**
αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους
θεραπεύειν ⸓ καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν 2
τοῦ θεοῦ καὶ ἰᾶσθαι τοὺς˚ ἀσθενοῦντας ⸓ καὶ εἶπεν πρὸς αὐτοὺς 3
μηδὲν αἴρετε εἰς τὴν ὁδὸν μήτε ῥάβδους μήτε πήραν μήτε ἄρ-
τον μήτε ἀργύριον μήτε ἀνὰ δύο χιτῶνας ἔχειν ⸓ καὶ εἰς ἣν ἂν 4
οἰκίαν εἰσέλθητε ἐκεῖ μένετε καὶ ἐκεῖθεν ἐξέρχεσθε ⸓ καὶ ὅσοι 5
ἂν˚ μὴ δέξωνται ὑμᾶς ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης κἀὶ
τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον
ἐπ᾽ αὐτούς ⸓ ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγε- 6
λιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ ⸓ ἤκουσεν δὲ ἡρώδης ὁ 7
τετράρχης τὰ γινόμενα ὑπ˚ αὐτοῦ πάντα καὶ διηπόρει διὰ τὸ
λέγεσθαι ὑπό τινων ὅτι ἰωάννης ἐγήγερται ἐκ νεκρῶν ⸓ ὑπό τι- 8
νων δὲ ὅτι ἠλίας ἐφάνη ἄλλων δὲ ὅτι προφήτης εἷς τῶν ἀρχαίων

v.45 𝕋*: και λεγεις τις ο αψαμενος μου, 𝕍: ∅. **v.46** 𝕋*: εξελθουσαν, 𝕍: εξεληλυθυιαν. **v.47** 𝕋*: αυτω, 𝕍: ∅. **v.48** 𝕋*: θαρσει θυγατερ, 𝕍: θυγατηρ. **v.49** 𝕋*: αυτω, 𝕍: ∅. **v.49** 𝕋*: μη, 𝕍: μηκετι. **v.50** 𝕋*: λεγων, 𝕍: ∅. **v.50** 𝕋*: πιστευε, 𝕍: πιστευσον. **v.51** 𝕋 𝕂: εισελθων, 𝕄 𝕍: ελθων. **v.51** 𝕋*: ουδενα, 𝕍: τινα συν αυτω. **v.51** 𝕋 𝕂: και ιακωβον και ιωαννην, 𝕄 𝕍: και ιωαννην και ιακωβον. **v.52** 𝕋*: ουκ, 𝕍: ου γαρ. **v.54** 𝕋*: εκβαλων εξω παντας και, 𝕍: ∅. **v.54** 𝕋*: εγειρου, 𝕍: εγειρε. **9.v.1** 𝕋 𝕂: μαθητας αυτου, 𝕄 𝕍: ∅. **v.2** 𝕋*: τους ασθενουντας, 𝕍: [τους ασθενεις]. **v.3** 𝕋*: ραβδους, 𝕍: ραβδον. **v.5** 𝕋 𝕂 𝕍: αν, 𝕄: εαν. **v.5** 𝕋*: δεξωνται, 𝕍: δεχωνται. **v.5** 𝕋*: και, 𝕍: ∅. **v.5** 𝕋*: αποτιναξατε, 𝕍: αποτινασσετε. **v.7** 𝕋*: τετραρχης, 𝕍: τετρααρχης. **v.7** 𝕋*: υπ αυτου, 𝕍: ∅. **v.7** 𝕋*: εγηγερται, 𝕍: ηγερθη. **v.8** 𝕋*: εις, 𝕍: τις.

9 ἀνέστη ◦ καὶ˚ εἶπεν ὁ ἡρώδης ἰωάννην ἐγὼ ἀπεκεφάλισα τίς δέ
ἐστιν οὗτος περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα καὶ ἐζήτει ἰδεῖν αὐτόν ◦
10 καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίη-
σαν καὶ παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ᾽ ἰδίαν εἰς τόπον˚
11 ἔρημον πόλεως καλουμένης βηθσαϊδά ◦ οἱ δὲ ὄχλοι γνόντες ἠ-
κολούθησαν αὐτῷ καὶ δεξάμενος αὐτοὺς ἐλάλει αὐτοῖς περὶ τῆς
βασιλείας τοῦ θεοῦ καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο ◦
12 ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν προσελθόντες δὲ οἱ δώδεκα εἶπὸν
αὐτῷ ἀπόλυσον τὸν ὄχλον ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας
καὶ τοὺς ἀγροὺς καταλύσωσιν καὶ εὕρωσιν ἐπισιτισμὸν ὅτι ὧδε
13 ἐν ἐρήμῳ τόπῳ ἐσμέν ◦ εἶπεν δὲ πρὸς αὐτοὺς δότε αὐτοῖς ὑμεῖς
φαγεῖν οἱ δὲ εἶπὸν οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε˚ ἄρτοι καὶ
δύο˚ ἰχθύες εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα
14 τὸν λαὸν τοῦτον βρώματα ◦ ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι
εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ κατακλίνατε αὐτοὺς κλισίας
15 ἀνὰ πεντήκοντα ◦ καὶ ἐποίησαν οὕτως καὶ ἀνέκλιναν ἅπαντας ◦
16 λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς
τὸν οὐρανὸν εὐλόγησεν αὐτοὺς καὶ κατέκλασεν καὶ ἐδίδου τοῖς
17 μαθηταῖς παραϊτιθέναι τῷ ὄχλῳ ◦ καὶ ἔφαγον καὶ ἐχορτάσθησαν
πάντες καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων κόφινοι δώ-
18 δεκα ◦ καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας
συνῆσαν αὐτῷ οἱ μαθηταὶ καὶ ἐπηρώτησεν αὐτοὺς λέγων τίνα
19 με λέγουσιν οἱ ὄχλοι εἶναι ◦ οἱ δὲ ἀποκριθέντες εἶπὸν ἰωάννην
τὸν βαπτιστὴν ἄλλοι δὲ ἠλίαν ἄλλοι δὲ ὅτι προφήτης τις τῶν
20 ἀρχαίων ἀνέστη ◦ εἶπεν δὲ αὐτοῖς ὑμεῖς δὲ τίνα με λέγετε εἶναι
21 ἀποκριθεὶς˚ δὲ ὁ πέτρος εἶπεν τὸν χριστὸν τοῦ θεοῦ ◦ ὁ δὲ ἐ-
22 πιτιμήσας αὐτοῖς παρήγγειλεν μηδενὶ εἰπεῖν τοῦτο ◦ εἰπὼν ὅτι
δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆ-
ναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ
23 ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι ◦ ἔλεγεν δὲ πρὸς
πάντας εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν˚ ἀπαρνησάσθω ἑαυτὸν καὶ
ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ᾽˚ ἡμέραν καὶ ἀκολουθείτω μοι ◦
24 ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτὴν ὃς δ᾽

v.9 𝕋 𝕂: και ειπεν ο, 𝕄: και ειπεν, 𝕍: ειπεν δε. **v.9** 𝕋*: εγω, 𝕍: ∅. **v.10** 𝕋*: τοπον ερημον πολεως καλουμενης, 𝕍: πολιν καλουμενην. **v.10** 𝕋 𝕂 𝕍: βηθσαιδα, 𝕄: βηθσαιδαν. **v.11** 𝕋*: δεξαμενος, 𝕍: αποδεξαμενος. **v.12** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.12** 𝕋*: απελθοντες, 𝕍: πορευθεντες. **v.12** 𝕋*: τους, 𝕍: ∅. **v.13** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.13** 𝕋*: πεντε αρτοι, 𝕍: αρτοι πεντε. **v.13** 𝕋 𝕂: δυο ιχθυες, 𝕄 𝕍: ιχθυες δυο. **v.14** 𝕋*: ανα, 𝕍: [ωσει] ανα. **v.15** 𝕋*: ανεκλιναν, 𝕍: κατεκλιναν. **v.16** 𝕋*: παρατιθεναι, 𝕍: παραθειναι. **v.18** 𝕋*: καταμονας, 𝕍: κατα μονας. **v.19** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.20** 𝕋*: αποκριθεις δε ο πετρος, 𝕍: πετρος δε αποκριθεις. **v.21** 𝕋*: ειπειν, 𝕍: λεγειν. **v.23** 𝕋*: ελθειν απαρνησασθω, 𝕍: ερχεσθαι αρνησασθω. **v.23** 𝕋 𝕂 𝕍: καθ ημεραν, 𝕄: ∅. **v.24** 𝕋 𝕂 𝕍: αν, 𝕄: εαν.

ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ οὗτος σώσει αὐτήν ⸰
τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον ἑαυτὸν 25
δὲ ἀπολέσας ἢ ζημιωθείς ⸰ ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς 26
ἐμοὺς λόγους τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται
ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγγέ-
λων ⸰ λέγω δὲ ὑμῖν ἀληθῶς εἰσίν τινες τῶν ὧδε˚ ἑστηκότων οἳ οὐ 27
μὴ γεύσονται θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ ⸰
ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ καὶ πα- 28
ραλαβὼν τὸν πέτρον καὶ ἰωάννην καὶ ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος
προσεύξασθαι ⸰ καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος 29
τοῦ προσώπου αὐτοῦ ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξα-
στράπτων ⸰ καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ οἵτινες ἦσαν 30
μωσῆς καὶ ἠλίας ⸰ οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐ- 31
τοῦ ἣν ἤμελλεν πληροῦν ἐν ἰερουσαλήμ ⸰ ὁ δὲ πέτρος καὶ οἱ σὺν 32
αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ διαγρηγορήσαντες δὲ εἶδον τὴν
δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ ⸰ καὶ 33
ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ εἶπεν ὁ˚ πέτρος
πρὸς τὸν ἰησοῦν ἐπιστάτα καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι καὶ ποι-
ήσωμεν σκηνὰς τρεῖς μίαν σοὶ καὶ μωσεῖ˚ μίαν καὶ μίαν ἠλίᾳ
μὴ εἰδὼς ὃ λέγει ⸰ ταῦτα δὲ αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ 34
ἐπεσκίαδεν αὐτοὺς ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους˚ εἰσελθεῖν εἰς
τὴν νεφέλην ⸰ καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα οὗτός 35
ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς αὐτοῦ ἀκούετε ⸰ καὶ ἐν τῷ γενέσθαι 36
τὴν φωνὴν εὑρέθη ὁ˚ ἰησοῦς μόνος καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐ-
δενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν ⸰
ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους 37
συνήντησεν αὐτῷ ὄχλος πολύς ⸰ καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου 38
ἀνέβόησεν λέγων διδάσκαλε δέομαί σου ἐπίβλεψόν ἐπὶ τὸν υἱόν
μου ὅτι μονογενής ἐστίν˚ μοι ⸰ καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτὸν 39
καὶ ἐξαίφνης κράζει καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ καὶ μόγις
ἀποχωρεῖ ἀπ᾽ αὐτοῦ συντρίβον αὐτόν ⸰ καὶ ἐδεήθην τῶν μαθη- 40
τῶν σου ἵνα ἐκβάλλῶσιν αὐτὸ καὶ οὐκ ἠδυνήθησαν ⸰ ἀποκριθεὶς 41
δὲ ὁ ἰησοῦς εἶπεν ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη ἕως πότε

---

v.27 𝕋 𝕂: ωδε εστηκοτων, 𝕄: ωδε εστωτων, 𝕍: αυτου εστηκοτων. **v.27** 𝕋 𝕂: γευσονται, 𝕄 𝕍: γευσωνται. **v.28** 𝕋 𝕂: τον, 𝕄 𝕍: ∅. **v.30** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.31** 𝕋*: εμελλεν, 𝕍: ημελλεν. **v.33** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.33** 𝕋 𝕂: μωσει μιαν, 𝕄: μιαν μωσει, 𝕍: μιαν μωυσει. **v.34** 𝕋*: επεσκιασεν, 𝕍: επεσκιαζεν. **v.34** 𝕋*: εκεινους εισελθειν, 𝕍: εισελθειν αυτους. **v.35** 𝕋*: αγαπητος, 𝕍: εκλελεγμενος. **v.36** 𝕋*: ο, 𝕍: ∅. **v.36** 𝕋*: εωρακασιν, 𝕍: εωρακαν. **v.37** 𝕋*: εν, 𝕍: ∅. **v.38** 𝕋*: ανεβοησεν, 𝕍: εβοησεν. **v.38** 𝕋 𝕂: επιβλεψον, 𝕄 𝕍: επιβλεψαι. **v.38** 𝕋*: εστιν μοι, 𝕍: μοι εστιν. **v.40** 𝕋 𝕂: εκβαλλωσιν, 𝕄 𝕍: εκβαλωσιν.

ἔσομαι πρὸς ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν προσάγαγε ὧδε˚ τὸν υἱόν
42 σου ⋄ ἔτι δὲ προσερχομένου αὐτοῦ ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον
καὶ συνεσπάραξεν ἐπετίμησεν δὲ ὁ ἰησοῦς τῷ πνεύματι τῷ ἀ-
καθάρτῳ καὶ ἰάσατο τὸν παῖδα καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ
43 αὐτοῦ ⋄ ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ θεοῦ
πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν˚ ὁ ἰησοῦς εἶ-
44 πεν πρὸς τοὺς μαθητὰς αὐτοῦ ⋄ θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν
τοὺς λόγους τούτους ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδί-
45 δοσθαι εἰς χεῖρας ἀνθρώπων ⋄ οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο καὶ
ἦν παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν ἵνα μὴ αἴσθωνται αὐτὸ καὶ
46 ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου ⋄ εἰσῆλθεν
47 δὲ διαλογισμὸς ἐν αὐτοῖς τὸ τίς ἂν εἴη μείζων αὐτῶν ⋄ ὁ δὲ ἰ-
ησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν ἐπιλαβόμενος
48 παιδίοὐ ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ ⋄ καὶ εἶπεν αὐτοῖς ὃς ἐὰν δέξη-
ται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται καὶ ὃς ἐὰν
ἐμὲ δέξηται δέχεται τὸν ἀποστείλαντά με ὁ γὰρ μικρότερος ἐν
49 πᾶσιν ὑμῖν ὑπάρχων οὗτος ἔστἀι μέγας ⋄ ἀποκριθεὶς δὲ ὁ˚ ἰωάν-
νης εἶπεν ἐπιστάτα εἴδομέν τινα ἐπ̈ὶ τῷ ὀνόματί σου ἐκβάλλοντα
τ̈ὰ δαιμόνια καὶ ἐκωλύσαμεν αὐτὸν ὅτι οὐκ ἀκολουθεῖ μεθ᾽ ἡ-
50 μῶν ⋄ καὶ˚ εἶπεν πρὸς αὐτὸν ὁ ἰησοῦς μὴ κωλύετε ὃς γὰρ οὐκ
51 ἔστιν καθ᾽ ἡμῶν ὑπὲρ ἡμῶν ἐστιν ⋄ ἐγένετο δὲ ἐν τῷ συμπληροῦ-
σθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ καὶ αὐτὸς τὸ πρόσωπον
52 αὐτοῦ˚ ἐστήριξεν τοῦ πορεύεσθαι εἰς ἰερουσαλήμ ⋄ καὶ ἀπέστει-
λεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ καὶ πορευθέντες εἰσῆλθον
53 εἰς κώμην σαμαρειτῶν˚ ὥστε ἑτοιμάσαι αὐτῷ ⋄ καὶ οὐκ ἐδέξαντο
αὐτὸν ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς ἰερουσαλήμ ⋄
54 ἰδόντες δὲ οἱ μαθηταὶ αὐτ̈οῦ ἰάκωβος καὶ ἰωάννης εἶπ̈ὸν κύριε
θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι
55 αὐτοὺς ὡς˚ καὶ ἠλίας ἐποίησεν ⋄ στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς
56 καὶ˚ εἶπεν οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς ⋄ ὁ˚ γὰρ υἱ-
ὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν ψυχὰς ἀνθρώπων ἀπολέσαι ἀλλὰ
57 σῶσαι καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην ⋄ ἐγένετο˚ δὲ πορευο-
μένων αὐτῶν ἐν τῇ ὁδῷ εἶπέν τις πρὸς αὐτὸν ἀκολουθήσω σοι

---

v.41 𝕋 𝕂 𝕍: ωδε τον υιον σου, 𝕄: τον υιον σου ωδε. **v.43** 𝕋*: εποιησεν ο ιησους, 𝕍: εποιει. **v.47** 𝕋*: ιδων, 𝕍: ειδως. **v.47** 𝕋*: παιδιου, 𝕍: παιδιον. **v.48** 𝕋*: εαν, 𝕍: αν. **v.48** 𝕋*: εσται, 𝕍: εστιν. **v.49** 𝕋*: ο, 𝕍: ∅. **v.49** 𝕋*: επι, 𝕍: εν. **v.49** 𝕋 𝕂: τα, 𝕄 𝕍: ∅. **v.49** 𝕋*: εκωλυσαμεν, 𝕍: εκωλυομεν. **v.50** 𝕋*: και ειπεν, 𝕍: ειπεν δε. **v.50** 𝕋*: ημων, 𝕍: υμων. **v.51** 𝕋*: αναληψεως, 𝕍: αναλημψεως. **v.51** 𝕋*: αυτου εστηριξεν, 𝕍: εστηρισεν. **v.52** 𝕋*: σαμαρειτων ωστε, 𝕍: σαμαριτων ως. **v.54** 𝕋*: αυτου, 𝕍: ∅. **v.54** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.54** 𝕋*: ως και ηλιας εποιησεν, 𝕍: ∅. **v.55** 𝕋*: και ... υμεις, 𝕍: ∅. **v.56** 𝕋*: ο ... σωσαι, 𝕍: ∅. **v.57** 𝕋*: εγενετο δε, 𝕍: και.

ὅπου ἂν᾽ ἀπέρχῃ κύριε ⸰ καὶ εἶπεν αὐτῷ ὁ ἰησοῦς αἱ ἀλώπεκες 58
φωλεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις
ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ ⸰ εἶ- 59
πεν δὲ πρὸς ἕτερον ἀκολούθει μοι ὁ δὲ εἶπεν κύριε ἐπίτρεψόν
μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου ⸰ εἶπεν δὲ αὐτῷ 60
ὁ᾽ ἰησοῦς ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκροὺς σὺ δὲ
ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ ⸰ εἶπεν δὲ καὶ ἕτερος 61
ἀκολουθήσω σοι κύριε πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι
τοῖς εἰς τὸν οἶκόν μου ⸰ εἶπεν δὲ πρὸς᾽ αὐτὸν ὁ ἰησοῦς οὐδεὶς 62
ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω
εὔθετός ἐστιν εἰς᾽ τὴν βασιλείαν τοῦ θεοῦ ⸰

μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος κἀι ἑτέρους ἑβδομήκοντά **10**
καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶ-
σαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι ⸰ ἔλεγεν οὖν 2
πρὸς αὐτοὺς ὁ μὲν θερισμὸς πολὺς οἱ δὲ ἐργάται ὀλίγοι δεή-
θητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλλῃ᾽ ἐργάτας εἰς
τὸν θερισμὸν αὐτοῦ ⸰ ὑπάγετε ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρ- 3
νας ἐν μέσῳ λύκων ⸰ μὴ βαστάζετε βαλάντιον μὴ πήραν μὴδὲ 4
ὑποδήματα καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε ⸰ εἰς ἣν δ᾽ ἂν 5
οἰκίαν᾽ εἰσέρχησθε πρῶτον λέγετε εἰρήνη τῷ οἴκῳ τούτῳ ⸰ καὶ 6
ἐὰν μὲν᾽ ᾖ ἐκεῖ υἱὸς εἰρήνης ἐπαναπαύσεται ἐπ᾽ αὐτὸν ἡ εἰρήνη
ὑμῶν εἰ δὲ μήγε ἐφ᾽ ὑμᾶς ἀνακάμψει ⸰ ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μέ- 7
νετε ἐσθίοντες καὶ πίνοντες τὰ παρ᾽ αὐτῶν ἄξιος γὰρ ὁ ἐργάτης
τοῦ μισθοῦ αὐτοῦ ἐστιν μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν ⸰
καὶ εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς ἐσθίετε 8
τὰ παρατιθέμενα ὑμῖν ⸰ καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς 9
καὶ λέγετε αὐτοῖς ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ ⸰ εἰς 10
ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε καὶ μὴ δέχωνται ὑμᾶς ἐξελθόντες εἰς
τὰς πλατείας αὐτῆς εἴπατε ⸰ καὶ τὸν κονιορτὸν τὸν κολληθέντα 11
ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν᾽ ἀπομασσόμεθα ὑμῖν πλὴν τοῦτο γι-
νώσκετε ὅτι ἤγγικεν ἐφ᾽᾽ ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ ⸰ λέγω δὲ᾽ 12
ὑμῖν ὅτι σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται ἢ τῇ

---

v.57 𝕋*: αν απερχη κυριε, 𝕍: εαν απερχη. **v.60** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.62** 𝕋 𝕂: προς αυτον ο ιησους, 𝕄: ο ιησους προς αυτον, 𝕍: [προς αυτον] ο ιησους. **v.62** 𝕋*: αυτου, 𝕍: ∅. **v.62** 𝕋*: εις την βασιλειαν, 𝕍: τη βασιλεια. **10.v.1** 𝕋*: και, 𝕍: ∅. **v.1** 𝕋*: εβδομηκοντα, 𝕍: εβδομηκοντα [δυο]. **v.1** 𝕋*: δυο, 𝕍: δυο [δυο]. **v.1** 𝕋*: εμελλεν, 𝕍: ημελλεν. **v.2** 𝕋*: ουν, 𝕍: δε. **v.2** 𝕋 𝕂: εκβαλλη εργατας, 𝕄: εκβαλη εργατας, 𝕍: εργατας εκβαλη. **v.3** 𝕋*: εγω, 𝕍: ∅. **v.4** 𝕋*: βαλαντιον, 𝕍: βαλλαντιον. **v.4** 𝕋*: μηδε, 𝕍: μη. **v.5** 𝕋*: οικιαν εισερχησθε, 𝕍: εισελθητε οικιαν. **v.6** 𝕋: μεν η εκει, 𝕂: μεν η εκει ο, 𝕄: η εκει, 𝕍: εκει η. **v.6** 𝕋*: επαναπαυσεται, 𝕍: επαναπαησεται. **v.6** 𝕋 𝕂: μηγε, 𝕄 𝕍: μη γε. **v.7** 𝕋*: εστιν, 𝕍: ∅. **v.8** 𝕋 𝕂: δ, 𝕄 𝕍: ∅. **v.10** 𝕋*: εισερχησθε, 𝕍: εισελθητε. **v.11** 𝕋*: υμων, 𝕍: υμων εις τους ποδας. **v.11** 𝕋*: εφ υμας, 𝕍: ∅. **v.12** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅.

πόλει ἐκείνῃ ◦ οὐαί σοι χὼραζὶν οὐαί σοι βηθσαϊδὰ ὅτι εἰ ἐν τύ-
ρῳ καὶ σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν πάλαι
ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν ◦ πλὴν τύρῳ καὶ
σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν ◦ καὶ σὺ καπερνα-
οὺμ˚ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα ἕως ᾅδου καταβιβασθήσῃ ◦
ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ ὁ
δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με ◦ ὑπέστρεψαν δὲ οἱ
ἑβδομήκοντά μετὰ χαρᾶς λέγοντες κύριε καὶ τὰ δαιμόνια ὑπο-
τάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου ◦ εἶπεν δὲ αὐτοῖς ἐθεώρουν τὸν
σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα ◦ ἰδοὺ δίδωμι ὑ-
μῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ
πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ ◦
πλὴν ἐν τούτῳ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται
χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρα-
νοῖς ◦ ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ˚ πνεύματι ὁ ἰησοῦς καὶ
εἶπεν ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς
ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας
αὐτὰ νηπίοις ναὶ ὁ πατὴρ ὅτι οὕτως ἐγένετο˚ εὐδοκία ἔμπροσθέν
σου ◦ καὶ˚ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπεν πάντα παρεδόθη˚
μοι ὑπὸ τοῦ πατρός μου καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱ-
ὸς εἰ μὴ ὁ πατὴρ καὶ τίς ἐστιν ὁ πατὴρ εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν
βούληται ὁ υἱὸς ἀποκαλύψαι ◦ καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς
κατ᾽ ἰδίαν εἶπεν μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε ◦
λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν
ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδον καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ
ἤκουσαν ◦ καὶ ἰδοὺ νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν κἀι
λέγων διδάσκαλε τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω ◦ ὁ δὲ
εἶπεν πρὸς αὐτὸν ἐν τῷ νόμῳ τί γέγραπται πῶς ἀναγινώσκεις ◦
ὁ δὲ ἀποκριθεὶς εἶπεν ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης
τῆς καρδίας σου καὶ ἐξ˚ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς
ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ τὸν πλησίον σου ὡς
σεαυτόν ◦ εἶπεν δὲ αὐτῷ ὀρθῶς ἀπεκρίθης τοῦτο ποίει καὶ ζήσῃ ◦

---

v.13 𝕋 𝕂: χωραζιν, 𝕄 𝕍: χοραζιν. **v.13** 𝕋*: εγενοντο, 𝕍: εγενηθησαν. **v.13** 𝕋*: καθημεναι, 𝕍: καθημενοι. **v.15** 𝕋*: καπερναουμ η εως του ουρανου υψωθεισα εως αδου καταβιβασθηση, 𝕍: καφαρναουμ μη εως ουρανου υψωθηση εως του αδου καταβηση. **v.17** 𝕋*: εβδομηκοντα, 𝕍: εβδομηκοντα [δυο]. **v.19** 𝕋*: διδωμι, 𝕍: δεδωκα. **v.19** 𝕋 𝕄 𝕍: αδικηση, 𝕂: αδικησει. **v.20** 𝕋 𝕂: μαλλον, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: εγραφη, 𝕍: εγγεγραπται. **v.21** 𝕋*: τω πνευματι ο ιησους, 𝕍: [εν] τω πνευματι τω αγιω. **v.21** 𝕋*: εγενετο ευδοκια, 𝕍: ευδοκια εγενετο. **v.22** 𝕋 𝕄: και . . . ειπεν, 𝕂 𝕍: ∅. **v.22** 𝕋 𝕂: παρεδοθη μοι, 𝕄 𝕍: μοι παρεδοθη. **v.24** 𝕋*: ειδον, 𝕍: ειδαν. **v.25** 𝕋*: και, 𝕍: ∅. **v.27** 𝕋*: εξ ολης της ψυχης σου και εξ ολης της ισχυος σου και εξ ολης της διανοιας, 𝕍: εν ολη τη ψυχη σου και εν ολη τη ισχυι σου και εν ολη τη διανοια.

ὁ δὲ θέλων δικαιῶῦν ἑαυτὸν εἶπεν πρὸς τὸν ἰησοῦν καὶ τίς ἐστίν 29
μου πλησίον ⸰ ὑπολαβὼν δὲ᾽ ὁ ἰησοῦς εἶπεν ἄνθρωπός τις κα- 30
τέβαινεν ἀπὸ ἱερουσαλὴμ εἰς ἱεριχὼ καὶ λῃσταῖς περιέπεσεν οἳ
καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες
ἡμιθανῆ τυγχάνοντα ⸰ κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν 31
ἐν τῇ ὁδῷ ἐκείνῃ καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν ⸰ ὁμοίως δὲ καὶ 32
λευΐτης γενόμενος κατὰ τὸν τόπον ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλ-
θεν ⸰ σαμαρεΐτης δέ τις ὁδεύων ἦλθεν κατ᾽ αὐτὸν καὶ ἰδὼν αὐτὸν 33
ἐσπλαγχνίσθη ⸰ καὶ προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ 34
ἐπιχέων ἔλαιον καὶ οἶνον ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆ-
νος ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ ⸰ καὶ ἐπὶ 35
τὴν αὔριον ἐξελθὼν᾽ ἐκβαλὼν δύο δηνάρια ἔδωκεν τῷ πανδοχεῖ
καὶ εἶπεν αὐτῷ ἐπιμελήθητι αὐτοῦ καὶ ὅ τι ἂν προσδαπανήσῃς
ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι ⸰ τίς οὖν τούτων τῶν 36
τριῶν δοκεῖ᾽ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃ-
στάς ⸰ ὁ δὲ εἶπεν ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ εἶπεν οὖν αὐτῷ 37
ὁ ἰησοῦς πορεύου καὶ σὺ ποίει ὁμοίως ⸰ ἐγένετο᾽ δὲ ἐν τῷ πο- 38
ρεύεσθαι αὐτοὺς κἀὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινὰ γυνὴ δέ
τις ὀνόματι μάρθα ὑπεδέξατο αὐτὸν εἰς᾽ τὸν οἶκον αὐτῆς ⸰ καὶ 39
τῇδε ἦν ἀδελφὴ καλουμένη μαρίἀ ἣ καὶ παρακαθίσασα᾽ πα-
ρὰ τοὺς πόδας τοῦ ἰηȣ̃ ἤκουεν τὸν λόγον αὐτοῦ ⸰ ἡ δὲ μάρθα 40
περιεσπᾶτο περὶ πολλὴν διακονίαν ἐπιστᾶσα δὲ εἶπεν κύριε οὐ
μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπεν διακονεῖν εἰπὲ
οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται ⸰ ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ 41
ἰηȣ̃ μάρθα μάρθα μεριμνᾷς καὶ ϑυρβάζῃ περὶ πολλά ⸰ ἑνὸς 42
δέ ἐστιν χρεία μαρία᾽ δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο ἥτις οὐκ
ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς ⸰

καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον **11**
ὡς ἐπαύσατο εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτὸν κύριε
δίδαξον ἡμᾶς προσεύχεσθαι καθὼς καὶ ἰωάννης ἐδίδαξεν τοὺς
μαθητὰς αὐτοῦ ⸰ εἶπεν δὲ αὐτοῖς ὅταν προσεύχησθε λέγετε πά- 2
τερ ἡμῶν᾽ ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τὸ ὄνομά σου ἐλθέτω᾽

---

v.29 𝕋*: δικαιουν, 𝕍: δικαιωσαι. **v.30** 𝕋*: δε, 𝕍: ∅. **v.30** 𝕋*: τυγχανοντα, 𝕍: ∅. **v.33** 𝕋*: σαμαρειτης, 𝕍: σαμαριτης. **v.33** 𝕋*: αυτον, 𝕍: ∅. **v.35** 𝕋*: εξελθων εκβαλων δυο δηναρια εδωκεν, 𝕍: εκβαλων εδωκεν δυο δηναρια. **v.35** 𝕋*: αυτω, 𝕍: ∅. **v.36** 𝕋*: ουν, 𝕍: ∅. **v.36** 𝕋 𝕂: δοκει σοι πλησιον, 𝕄 𝕍: πλησιον δοκει σοι. **v.37** 𝕋*: ουν, 𝕍: δε. **v.38** 𝕋*: εγενετο δε εν, 𝕍: εν δε. **v.38** 𝕋*: και, 𝕍: ∅. **v.38** 𝕋*: εις τον οικον αυτης, 𝕍: ∅. **v.39** 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.39** 𝕋*: παρακαθισασα παρα, 𝕍: παρακαθεσθεισα προς. **v.39** 𝕋*: ιησου, 𝕍: κυριου. **v.40** 𝕋 𝕂 𝕍: κατελιπεν, 𝕄: κατελειπεν. **v.41** 𝕋*: ιησους, 𝕍: κυριος. **v.41** 𝕋*: τυρβαζη, 𝕍: θορυβαζη. **v.42** 𝕋*: μαρια δε, 𝕍: μαριαμ γαρ. **v.42** 𝕋*: απ, 𝕍: ∅. **11.v.2** 𝕋*: ημων ο εν τοις ουρανοις, 𝕍: ∅. **v.2** 𝔼: ελθετω η βασιλεια σου, 𝔻: εφ ημας ελθετω σου η βασιλεια.

ἡ βασιλεία σου γενηθήτω· τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ
3 τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέ-
4 ραν· καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν καὶ γὰρ αὐτοὶ ἀφίεμεν
παντὶ ὀφείλοντι ἡμῖν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν
5 ἀλλὰ· ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· καὶ εἶπεν πρὸς αὐτοὺς
τίς ἐξ ὑμῶν ἕξει φίλον καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου
6 καὶ εἴπῃ αὐτῷ φίλε χρῆσόν μοι τρεῖς ἄρτους· ἐπειδὴ φίλος μού
παρεγένετο ἐξ ὁδοῦ πρός με καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ·
7 κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ μή μοι κόπους πάρεχε ἤδη
ἡ θύρα κέκλεισται καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην
8 εἰσίν οὐ δύναμαι ἀναστὰς δοῦναί σοι· λέγω ὑμῖν εἰ καὶ οὐ δώ-
σει αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι αὐτοῦ· φίλον διά γε τὴν ἀναίδειαν
9 αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ ὅσῶν χρῄζει· κἀγὼ ὑμῖν λέγω αἰτεῖτε
καὶ δοθήσεται ὑμῖν ζητεῖτε καὶ εὑρήσετε κρούετε καὶ ἀνοιγήσε-
10 ται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ
11 τῷ κρούοντι ἀνοιγήσεται· τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱ-
ὸς ἄρτον· μὴ λίθον ἐπιδώσει αὐτῷ· ἢ καὶ ἰχθὺν μὴ ἀντὶ ἰχθύος
12 ὄφιν ἐπιδώσει· αὐτῷ· ἢ καὶ ἐὰν· αἰτήσῃ ὠὸν μὴ ἐπιδώσει αὐ-
13 τῷ σκορπίον· εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες οἴδατε ἀγαθὰ·
δόματα διδόναι τοῖς τέκνοις ὑμῶν πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ
14 οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν· καὶ ἦν ἐκ-
βάλλων δαιμόνιον καὶ αὐτὸ ἦν κωφὸν ἐγένετο δὲ τοῦ δαιμονίου
15 ἐξελθόντος ἐλάλησεν ὁ κωφὸς καὶ ἐθαύμασαν οἱ ὄχλοι· τινὲς δὲ
ἐξ αὐτῶν εἶπον ἐν βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει
16 τὰ δαιμόνια· ἕτεροι δὲ πειράζοντες σημεῖον παρ·· αὐτοῦ ἐζήτουν
17 ἐξ οὐρανοῦ· αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα εἶπεν αὐτοῖς
πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται καὶ οἶκος
18 ἐπὶ οἶκον πίπτει· εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη
πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ ὅτι λέγετε ἐν βεελζεβοὺλ ἐκ-
19 βάλλειν με τὰ δαιμόνια· εἰ δὲ ἐγὼ ἐν βεελζεβοὺλ ἐκβάλλω τὰ
δαιμόνια οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν διὰ τοῦτο κριταὶ· ὑ-
20 μῶν αὐτοὶ ἔσονται· εἰ δὲ ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια
21 ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ· ὅταν ὁ ἰσχυρὸς

---

v.2 𝕋*: γενηθητω . . . γης, 𝕍: ∅. **v.4** 𝕋*: αφιεμεν, 𝕍: αφιομεν. **v.4** 𝕋*: αλλα . . . πονηρου, 𝕍: ∅. **v.6** 𝕋 𝕂 𝕍: μου, 𝕄: ∅. **v.8** 𝕋*: αυτου φιλον, 𝕍: φιλον αυτου. **v.8** 𝕋 𝕂 𝕍: οσων, 𝕄: οσον. **v.11** 𝕋*: υμων, 𝕍: εξ υμων. **v.11** 𝕋*: αρτον μη λιθον επιδωσει αυτω, 𝕍: ∅. **v.11** 𝕋 𝕂: ει, 𝕄: η, 𝕍: ∅. **v.11** 𝕋*: και, 𝕍: ∅. **v.11** 𝕋*: μη, 𝕍: και. **v.11** 𝕋*: επιδωσει αυτω, 𝕍: αυτω επιδωσει. **v.12** 𝕋*: εαν αιτηση ωον μη, 𝕍: αιτησει ωον. **v.13** 𝕋 𝕂: αγαθα δοματα, 𝕄 𝕍: δοματα αγαθα. **v.15** 𝕋*: αρχοντι, 𝕍: τω αρχοντι. **v.16** 𝕋*: παρ αυτου εζητουν εξ ουρανου, 𝕍: εξ ουρανου εζητουν παρ αυτου. **v.19** 𝕋*: κριται υμων αυτοι, 𝕍: αυτοι υμων κριται. **v.20** 𝕋*: εκβαλλω, 𝕍: [εγω] εκβαλλω.

καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλὴν ἐν εἰρήνῃ ἐστὶν τὰ
ὑπάρχοντα αὐτοῦ ◦ ἐπὰν δὲ ὁ˚ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νι- 22
κήσῃ αὐτὸν τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ᾽ ᾗ˜ ἐπεποίθει καὶ τὰ
σκῦλα αὐτοῦ διαδίδωσιν ◦ ὁ μὴ ὢν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστιν καὶ 23
ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ σκορπίζει ◦ ὅταν τὸ ἀκάθαρτον πνεῦμα 24
ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου διέρχεται δι᾽ ἀνύδρων τόπων ζητοῦν
ἀνάπαυσιν καὶ μὴ εὑρίσκον λέγει ὑποστρέψω εἰς τὸν οἶκόν μου
ὅθεν ἐξῆλθον ◦ καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμη- 25
μένον ◦ τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ˚ ἕτερα πνεύματα 26
πονηρότερα ἑαυτοῦ καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ καὶ γίνεται τὰ
ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων ◦ ἐγένετο δὲ 27
ἐν τῷ˜ λέγειν αὐτὸν ταῦτα ἐπάρασά τις γυνὴ˚ φωνὴν ἐκ τοῦ ὄ-
χλου εἶπεν αὐτῷ˜ μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ μαστοὶ
οὓς ἐθήλασας ◦ αὐτὸς δὲ εἶπεν μενοῦνγε μακάριοι οἱ ἀκούον- 28
τες τὸν λόγον τοῦ θεοῦ καὶ φυλάσσοντες αὐτόν˚ ◦ τῶν δὲ ὄχλων 29
ἐπαθροιζομένων ἤρξατο λέγειν ἡ γενεὰ αὕτη πονηρά ἐστιν ση-
μεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ˜ εἰ μὴ τὸ σημεῖον
ἰωνᾶ τοῦ˚ προφήτου ◦ καθὼς γὰρ ἐγένετο ἰωνᾶς σημεῖον˚ τοῖς νι- 30
νευΐταις οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ˜ γενεᾷ˜ ταύτῃ ◦
βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ˜ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς 31
γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτοὺς ὅτι ἦλθεν ἐκ τῶν περά-
των τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν σολομῶνος καὶ ἰδοὺ πλεῖον
σολομῶνος ὧδε ◦ ἄνδρες νινευῖ ἀναστήσονται ἐν τῇ˜ κρίσει μετὰ 32
τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτὴν ὅτι μετενόησαν εἰς
τὸ κήρυγμα ἰωνᾶ καὶ ἰδοὺ πλεῖον ἰωνᾶ ὧδε ◦ οὐδεὶς δὲ˚ λύχνον 33
ἅψας εἰς κρυπτὸν τίθησιν οὐδὲ ὑπὸ τὸν μόδιον ἀλλ᾽ ἐπὶ τὴν
λυχνίαν ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν ◦ ὁ λύχνος 34
τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός ὅταν˚ οὖν ὁ ὀφθαλμός σου ἁ-
πλοῦς ᾖ˜ καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν ἐπὰν δὲ πονηρὸς
ᾖ˜ καὶ τὸ σῶμά σου σκοτεινόν ◦ σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ 35
σκότος ἐστίν ◦ εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινὸν μὴ ἔχον τι˚ 36
μέρος σκοτεινὸν ἔσται φωτεινὸν ὅλον ὡς ὅταν ὁ λύχνος τῇ˜ ἀ-
στραπῇ˜ φωτίζῃ σε ◦ ἐν δὲ τῷ˜ λαλῆσαι ἠρώτα αὐτὸν φαρισαῖός τις 37

v.22 𝕋*: ο, 𝕍: ∅. **v.24** 𝕋*: λεγει, 𝕍: [τοτε] λεγει. **v.25** 𝔼: σεσαρωμενον, B C: σχολαζοντα σεσαρωμενον. **v.26** 𝕋*: επτα ετερα πνευματα πονηροτερα εαυτου, 𝕍: ετερα πνευματα πονηροτερα εαυτου επτα. **v.26** 𝕋 𝕂 𝕍: εισελθοντα, 𝕄: ελθοντα. **v.27** 𝕋*: γυνη φωνην, 𝕍: φωνην γυνη. **v.28** 𝕋*: μενουνγε, 𝕍: μενουν. **v.28** 𝕋*: αυτον, 𝕍: ∅. **v.29** 𝕋*: πονηρα, 𝕍: γενεα πονηρα. **v.29** 𝕋*: επιζητει, 𝕍: ζητει. **v.29** 𝕋*: του προφητου, 𝕍: ∅. **v.30** 𝕋*: σημειον τοις νινευιταις, 𝕍: τοις νινευιταις σημειον. **v.31** 𝕋 𝕂: σολομωντος, 𝕄 𝕍: σολομωνος. **v.32** 𝕋 𝕂: νινευι, 𝕄: νινευη, 𝕍: νινευιται. **v.33** 𝕋*: δε, 𝕍: ∅. **v.33** 𝕋 𝕂: κρυπτον, 𝕄 𝕍: κρυπτην. **v.33** 𝕋*: φεγγος, 𝕍: φως. **v.34** 𝕋*: οταν ουν, 𝕍: σου οταν. **v.36** 𝕋*: τι μερος, 𝕍: μερος τι. **v.37** 𝕋*: ηρωτα, 𝕍: ερωτα. **v.37** 𝕋*: τις, 𝕍: ∅.

38 ὅπως ἀριστήσῃ παρ᾽ αὐτῷ εἰσελθὼν δὲ ἀνέπεσεν ⸰ ὁ δὲ φαρισαῖος
39 ἰδὼν ἐθαύμασεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου ⸰ εἶ-
πεν δὲ ὁ κύριος πρὸς αὐτόν νῦν ὑμεῖς οἱ φαρισαῖοι τὸ ἔξωθεν
τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε τὸ δὲ ἔσωθεν ὑμῶν
40 γέμει ἁρπαγῆς καὶ πονηρίας ⸰ ἄφρονες οὐχ ὁ ποιήσας τὸ ἔξω-
41 θεν καὶ τὸ ἔσωθεν ἐποίησεν ⸰ πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην
42 καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν ⸰ ἀλλ᾽ οὐαὶ ὑμῖν τοῖς φαρι-
σαίοις ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν
λάχανον καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ θεοῦ
43 ταῦτά ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι ⸰ οὐαὶ ὑμῖν τοῖς φαρι-
σαίοις ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς καὶ
44 τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς ⸰ οὐαὶ ὑμῖν γραμματεῖς˚ καὶ
φαρισαῖοι ὑποκριταὶ ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα καὶ οἱ
45 ἄνθρωποι οἱ περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν ⸰ ἀποκριθεὶς δέ
τις τῶν νομικῶν λέγει αὐτῷ διδάσκαλε ταῦτα λέγων καὶ ἡμᾶς ὑ-
46 βρίζεις ⸰ ὁ δὲ εἶπεν καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ ὅτι φορτίζετε τοὺς
ἀνθρώπους φορτία δυσβάστακτα καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑ-
47 μῶν οὐ προσψαύετε τοῖς φορτίοις ⸰ οὐαὶ ὑμῖν ὅτι οἰκοδομεῖτε τὰ
μνημεῖα τῶν προφητῶν οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς ⸰
48 ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν
ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτοὺς ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν˚
49 τὰ μνημεῖα ⸰ διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν ἀποστελῶ
εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους καὶ ἐξ αὐτῶν ἀποκτενοῦ-
50 σιν καὶ ἐκδιώξουσιν ⸰ ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προ-
φητῶν τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς
51 ταύτης ⸰ ἀπὸ τοῦ αἵματος ἄβελ ἕως τοῦ αἵματος ζαχαρίου τοῦ
ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου ναὶ λέγω
52 ὑμῖν ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης ⸰ οὐαὶ ὑμῖν τοῖς νο-
μικοῖς ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως αὐτοὶ οὐκ εἰσήλθετε
53 καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε ⸰ λέγοντος˚ δὲ αὐτοῦ ταῦτα
πρὸς αὐτοὺς ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι δεινῶς ἐ-
54 νέχειν καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων ⸰ ἐνεδρεύοντες
αὐτὸν καὶ˚ ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ ἵνα˚
κατηγορήσωσιν αὐτοῦ ⸰

---

v.42 𝕋*: αλλ, 𝕍: αλλα. **v.42** 𝕋*: ταυτα, 𝕍: ταυτα δε. **v.42** 𝕋*: αφιεναι, 𝕍: παρειναι. **v.44** 𝕋*: γραμματεις και φαρισαιοι υποκριται, 𝕍: ∅. **v.44** 𝕋 𝕂: οι, 𝕄: ∅, 𝕍: [οι]. **v.48** 𝕋*: μαρτυρειτε, 𝕍: μαρτυρες εστε. **v.48** 𝕋*: αυτων τα μνημεια, 𝕍: ∅. **v.49** 𝕋*: εκδιωξουσιν, 𝕍: διωξουσιν. **v.50** 𝕋*: εκχυνομενον, 𝕍: εκκεχυμενον. **v.51** 𝕋*: του, 𝕍: ∅. **v.52** 𝕋*: εισηλθετε, 𝕍: εισηλθατε. **v.53** 𝕋*: λεγοντος δε αυτου ταυτα προς αυτους, 𝕍: κακειθεν εξελθοντος αυτου. **v.54** 𝕋 𝕂: και ζητουντες, 𝕄: ζητουντες, 𝕍: ∅. **v.54** 𝕋*: ινα κατηγορησωσιν αυτου, 𝕍: ∅.

12 ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου ὥστε κατα-
πατεῖν ἀλλήλους ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶ-
τον προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν˚ φαρισαίων ἥτις ἐστὶν
ὑπόκρισις ⸰ οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυ- 2
φθήσεται καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται ⸰ ἀνθ᾽ ὧν ὅσα ἐν τῇ 3
σκοτίᾳ εἴπατε ἐν τῷ φωτὶ ἀκουσθήσεται καὶ ὃ πρὸς τὸ οὖς ἐλα-
λήσατε ἐν τοῖς ταμείοις κηρυχθήσεται ἐπὶ τῶν δωμάτων ⸰ λέγω 4
δὲ ὑμῖν τοῖς φίλοις μου μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεἰνόντων
τὸ σῶμα καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι ⸰
ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖ- 5
ναι ἐξουσίαν˚ ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν ναὶ λέγω ὑμῖν
τοῦτον φοβήθητε ⸰ οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο 6
καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ ⸰ ἀλ- 7
λὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται μὴ οὖν
φοβεῖσθε πολλῶν στρουθίων διαφέρετε ⸰ λέγω δὲ ὑμῖν πᾶς ὃς ἂν 8
ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ὁ υἱὸς τοῦ ἀν-
θρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ ⸰
ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐ- 9
νώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ⸰ καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν 10
υἱὸν τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα
βλασφημήσαντι οὐκ ἀφεθήσεται ⸰ ὅταν δὲ ῥροσφέρωσιν ὑμᾶς ἐ- 11
πὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ μεριμνᾶτε
πῶς ἢ τί ἀπολογήσησθε ἢ τί εἴπητε ⸰ τὸ γὰρ ἅγιον πνεῦμα δι- 12
δάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν ⸰ εἶπεν δέ τις αὐτῷ˚ ἐκ 13
τοῦ ὄχλου διδάσκαλε εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ᾽ ἐμοῦ
τὴν κληρονομίαν ⸰ ὁ δὲ εἶπεν αὐτῷ ἄνθρωπε τίς με κατέστησεν 14
διϰαστὴν ἢ μεριστὴν ἐφ᾽ ὑμᾶς ⸰ εἶπεν δὲ πρὸς αὐτοὺς ὁρᾶτε καὶ 15
φυλάσσεσθε ἀπὸ ῆῆς πλεονεξίας ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ
ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ ⸰ εἶπεν δὲ παραβο- 16
λὴν πρὸς αὐτοὺς λέγων ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν
ἡ χώρα ⸰ καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων τί ποιήσω ὅτι οὐκ ἔχω 17
ποῦ συνάξω τοὺς καρπούς μου ⸰ καὶ εἶπεν τοῦτο ποιήσω καθελῶ 18
μου τὰς ἀποθήκας καὶ μείζονας οἰϰοδομήσω καὶ συνάξω ἐκεῖ
πάντα τὰ˚ γενήματά μου καὶ τὰ ἀγαθά μου ⸰ καὶ ἐρῶ τῇ ψυχῇ 19
μου ψυχὴ ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλὰ ἀναπαύου

12.v.1 $\mathbb{T}^*$: των φαρισαιων ητις εστιν υποκρισις, $\mathbb{V}$: ητις εστιν υποκρισις των φαρισαιων. **v.4** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: αποκτεινοντων, $\mathbb{M}$: αποκτενοντων. **v.5** $\mathbb{T}^*$: εξουσιαν εχοντα, $\mathbb{V}$: εχοντα εξουσιαν. **v.6** $\mathbb{T}^*$: πωλειται, $\mathbb{V}$: πωλουνται. **v.7** $\mathbb{T}^*$: ουν, $\mathbb{V}$: ∅. **v.11** $\mathbb{T}^*$: προσφερωσιν, $\mathbb{V}$: εισφερωσιν. **v.11** $\mathbb{T}^*$: μεριμνατε, $\mathbb{V}$: μεριμνησητε. **v.13** $\mathbb{T}^*$: αυτω εκ του οχλου, $\mathbb{V}$: εκ του οχλου αυτω. **v.14** $\mathbb{T}^*$: δικαστην, $\mathbb{V}$: κριτην. **v.15** $\mathbb{T}^*$: της, $\mathbb{V}$: πασης. **v.15** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: αυτου, $\mathbb{M}$: αυτω. **v.15** $\mathbb{T}^*$: αυτου, $\mathbb{V}$: αυτω. **v.18** $\mathbb{T}^*$: τα γενηματα μου, $\mathbb{V}$: τον σιτον.

20 φάγε πίε εὐφραίνου ⸓ εἶπεν δὲ αὐτῷ ὁ θεὸς ἄφρων ταύτῃ τῇ νυκτὶ
τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ ἃ δὲ ἡτοίμασας τίνι ἔσται ⸓
21, 22 οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς θεὸν πλουτῶν ⸓ εἶπεν δὲ
πρὸς τοὺς μαθητὰς αὐτοῦ διὰ τοῦτο ὑμῖν˚ λέγω μὴ μεριμνᾶτε
23 τῇ ψυχῇ ὑμῶν τί φάγητε μηδὲ τῷ σώματι τί ἐνδύσησθε ⸓ ἡ˚ ψυχὴ
24 πλεῖόν ἐστιν τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος ⸓ κατανοή-
σατε τοὺς κόρακας ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οἷς οὐκ
ἔστιν ταμεῖον οὐδὲ ἀποθήκη καὶ ὁ θεὸς τρέφει αὐτοὺς πόσῳ
25 μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν ⸓ τίς δὲ ἐξ ὑμῶν μεριμνῶν
26 δύναται προσθεῖναι˚ ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα ⸓ εἰ οὖν
27 οὔτε ἐλάχιστον δύνασθε τί περὶ τῶν λοιπῶν μεριμνᾶτε ⸓ κατανο-
ήσατε τὰ κρίνα πῶς αὐξάνει οὐ κοπιᾷ οὐδὲ νήθει λέγω δὲ ὑμῖν
οὐδὲ σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τού-
28 των ⸓ εἰ δὲ τὸν˚ χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα καὶ αὔριον εἰς
κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσιν πόσῳ μᾶλλον
29 ὑμᾶς ὀλιγόπιστοι ⸓ καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ˚ τί πίητε
30 καὶ μὴ μετεωρίζεσθε ⸓ ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐ-
31 πιζητεῖ ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων ⸓ πλὴν ζητεῖτε
τὴν βασιλείαν τοῦ˚ θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν ⸓
32 μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦ-
33 ναι ὑμῖν τὴν βασιλείαν ⸓ πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε
ἐλεημοσύνην ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα θη-
σαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς ὅπου κλέπτης οὐκ ἐγγίζει
34 οὐδὲ σὴς διαφθείρει ⸓ ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν ἐκεῖ καὶ
35 ἡ καρδία ὑμῶν ἔσται ⸓ ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι
36 καὶ οἱ λύχνοι καιόμενοι ⸓ καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδε-
χομένοις τὸν κύριον ἑαυτῶν πότε ἀναλύσει ἐκ τῶν γάμων ἵνα
37 ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ ⸓ μακάριοι οἱ
δοῦλοι ἐκεῖνοι οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας ἀμὴν
λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς καὶ παρελθὼν
38 διακονήσει αὐτοῖς ⸓ καὶ˚ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ καὶ ἐν
τῇ τρίτῃ φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτως μακάριοί εἰσιν οἱ˚ δοῦ-
39 λοι ἐκεῖνοι ⸓ τοῦτο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ

---

v.20 𝕋 𝕍: αφρων, 𝕂 𝕄: αφρον. **v.22** 𝕋*: υμιν λεγω, 𝕍: λεγω υμιν. **v.22** 𝕋*: υμων, 𝕍: ∅. **v.23** 𝕋*: η, 𝕍: η γαρ. **v.25** 𝕋*: προσθειναι επι την ηλικιαν αυτου πηχυν ενα, 𝕍: επι την ηλικιαν αυτου προσθειναι πηχυν. **v.26** 𝕋*: ουτε, 𝕍: ουδε. **v.28** 𝕋*: τον χορτον εν τω αγρω σημερον οντα, 𝕍: εν αγρω τον χορτον οντα σημερον. **v.28** 𝕋*: αμφιεννυσιν, 𝕍: αμφιεζει. **v.29** 𝕋*: η, 𝕍: και. **v.30** 𝕋*: επιζητει, 𝕍: επιζητουσιν. **v.31** 𝕋*: του θεου, 𝕍: αυτου. **v.31** 𝕋*: παντα, 𝕍: ∅. **v.33** 𝕋*: βαλαντια, 𝕍: βαλλαντια. **v.36** 𝕋*: αναλυσει, 𝕍: αναλυση. **v.38** 𝕋*: και εαν ελθη εν τη δευτερα φυλακη και, 𝕍: καν εν τη δευτερα καν. **v.38** 𝕋*: οι δουλοι, 𝕍: ∅.

ὥρᾳ ὁ κλέπτης ἔρχεται ἐγρηγόρησεν˚ ἂν καὶ οὐκ ἂν ἀφῆκεν
διορυχῆναι τὸν οἶκον αὐτοῦ ⸰ καὶ ὑμεῖς ὀῦν γίνεσθε ἕτοιμοι ὅτι 40
ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται ⸰ εἶπεν δὲ αὐτῷ 41
ὁ πέτρος κύριε πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις ἢ καὶ
πρὸς πάντας ⸰ εἶπεν˚ δὲ ὁ κύριος τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκο- 42
νόμος κἀὶ φρόνιμος ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας
αὐτοῦ τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον ⸰ μακάριος ὁ δοῦλος 43
ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως ⸰ ἀλη- 44
θῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει
αὐτόν ⸰ ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ χρο- 45
νίζει ὁ κύριός μου ἔρχεσθαι καὶ ἄρξηται τύπτειν τοὺς παῖδας
καὶ τὰς παιδίσκας ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι ⸰ ἥξει 46
ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν
ὥρᾳ ᾗ οὐ γινώσκει καὶ διχοτομήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ
μετὰ τῶν ἀπίστων θήσει ⸰ ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέ- 47
λημα τοῦ κυρίου ἑαὐτοῦ καὶ μὴ ἑτοιμάσας μἠδὲ ποιήσας πρὸς
τὸ θέλημα αὐτοῦ δαρήσεται πολλάς ⸰ ὁ δὲ μὴ γνοὺς ποιήσας 48
δὲ ἄξια πληγῶν δαρήσεται ὀλίγας παντὶ δὲ ᾧ ἐδόθη πολὺ πολὺ
ζητηθήσεται παρ᾽ αὐτοῦ καὶ ᾧ παρέθεντο πολὺ περισσότερον
αἰτήσουσιν αὐτόν ⸰ πῦρ ἦλθον βαλεῖν εἰᾧ τὴν γῆν καὶ τί θέλω εἰ 49
ἤδη ἀνήφθη ⸰ βάπτισμα δὲ ἔχω βαπτισθῆναι καὶ πῶς συνέχο- 50
μαι ἕως ὀῦ τελεσθῇ ⸰ δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι 51
ἐν τῇ γῇ οὐχὶ λέγω ὑμῖν ἀλλ᾽ ἢ διαμερισμόν ⸰ ἔσονται γὰρ ἀπὸ 52
τοῦ νῦν πέντε ἐν οἴκῳ˚ ἐνὶ διαμεμερισμένοι τρεῖς ἐπὶ δυσὶν καὶ
δύο ἐπὶ τρισίν ⸰ διαμερισθήσεται πατὴρ ἐφ᾽ υἱῷ καὶ υἱὸς ἐπὶ πα- 53
τρὶ μήτηρ ἐπὶ θυγατρὶ καὶ θυγάτηρ ἐπὶ μητρὶ πενθερὰ ἐπὶ τὴν
νύμφην αὐτῆς καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς ⸰ ἔλεγεν δὲ 54
καὶ τοῖς ὄχλοις ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυ-
σμῶν εὐθέως λέγετε ὄμβρος ἔρχεται καὶ γίνεται οὕτως ⸰ καὶ ὅταν 55
νότον πνέοντα λέγετε ὅτι καύσων ἔσται καὶ γίνεται ⸰ ὑποκριταὶ 56
τὸ πρόσωπον τῆς˚ γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν τὸν˚
δὲ καιρὸν τοῦτον πῶς˚ οὐ δοκιμάζετε ⸰ τί˚ δὲ καὶ ἀφ᾽ ἑαυτῶν οὐ 57
κρίνετε τὸ δίκαιον ⸰ ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ᾽ 58

v.39 𝕋*: εγρηγορησεν αν και, 𝕍: ∅. **v.39** 𝕋*: διορυγηναι, 𝕍: διορυχθηναι. **v.40** 𝕋*: ουν, 𝕍: ∅. **v.41** 𝕋*: αυτω, 𝕍: ∅. **v.42** 𝕋*: ειπεν δε, 𝕍: και ειπεν. **v.42** 𝕋*: και, 𝕍: ο. **v.47** 𝕋*: εαυτου, 𝕍: αυτου. **v.47** 𝕋*: μηδε, 𝕍: η. **v.49** 𝕋*: εις, 𝕍: επι. **v.50** 𝕋*: ου, 𝕍: οτου. **v.52** 𝕋*: οικω ενι, 𝕍: ενι οικω. **v.53** 𝕋*: διαμερισθησεται, 𝕍: διαμερισθησονται. **v.53** 𝕋 𝕂: εφ, 𝕄 𝕍: επι. **v.53** 𝕋*: θυγατρι, 𝕍: την θυγατερα. **v.53** 𝕋*: μητρι, 𝕍: την μητερα. **v.53** 𝕋*: αυτης, 𝕍: ∅. **v.54** 𝕋*: απο, 𝕍: επι. **v.54** 𝕋*: λεγετε, 𝕍: λεγετε οτι. **v.56** 𝕋 𝕄 𝕍: της γης και του ουρανου, 𝕂: του ουρανου και της γης. **v.56** 𝕋*: τον δε καιρον, 𝕍: τον καιρον δε, D: πλην τον καιρον. **v.56** 𝕋*: πως ου δοκιμαζετε, 𝕍: πως ουκ οιδατε δοκιμαζειν, D: ου δοκιμαζετε. **v.57** 𝔼: τι δε, D: ∅.

ἄρχοντα ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ᾽ αὐτοῦ μήποτε
κατασύρῃ σε πρὸς τὸν κριτὴν καὶ ὁ κριτής σε παρἀδῷ τῷ πρά-
59 κτορι καὶ ὁ πράκτωρ σε βἀλλῃ εἰς φυλακήν ⸰ λέγω σοι οὐ μὴ
ἐξέλθῃς ἐκεῖθεν ἕως ὁὖ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς ⸰

13 παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ πε-
ρὶ τῶν γαλιλαίων ὧν τὸ αἷμα πιλάτος ἔμιξεν μετὰ τῶν θυσιῶν
2 αὐτῶν ⸰ καὶ ἀποκριθεὶς ὁ᾽ ἰησοῦς εἶπεν αὐτοῖς δοκεῖτε ὅτι οἱ γα-
λιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς γαλιλαίους ἐγένοντο
3 ὅτι τὁιαῦτα πεπόνθασιν ⸰ οὐχὶ λέγω ὑμῖν ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε
4 πάντες ὡὁαύτως ἀπολεῖσθε ⸰ ἢ ἐκεῖνοι οἱ δέκα᾽ καὶ ὀκτὼ ἐφ᾽ οὓς
ἔπεσεν ὁ πύργος ἐν τῷ σιλωὰμ καὶ ἀπέκτεινεν αὐτοὺς δοκεῖτε
ὅτι ὁὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀὐθρώπους τοὺς κα-
5 τοικοῦντας ἐὐ ἱερουσαλήμ ⸰ οὐχὶ λέγω ὑμῖν ἀλλ᾽ ἐὰν μὴ μετανο-
6 ῆτε πάντες ὁ̔μοίως ἀπολεῖσθε ⸰ ἔλεγεν δὲ ταύτην τὴν παραβολὴν
συκῆν εἶχέν τις ἐν᾽ τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην καὶ ἦλ-
7 θεν καρπὸν᾽ ζητῶν ἐν αὐτῇ καὶ οὐχ εὗρεν ⸰ εἶπεν δὲ πρὸς τὸν
ἀμπελουργὸν ἰδοὺ τρία ἔτη ἔῤχομαι ζητῶν καρπὸν ἐν τῇ συ-
κῇ ταύτῃ καὶ οὐχ εὑρίσκω ἔκκοψο᾽ αὐτὴν ἱναὶ τί καὶ τὴν γῆν
8 καταργεῖ ⸰ ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ κύριε ἄφες αὐτὴν καὶ
τοῦτο τὸ ἔτος ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κοπρίαὐ ⸰
9 κἂν μὲν ποιήσῃ καρπὸν εἰ᾽ δὲ μήγε εἰς τὸ μέλλον ἐκκόψεις
10 αὐτήν ⸰ ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββα-
11 σιν ⸰ καὶ ἰδοὺ γυνὴ ἧ᾽ πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα᾽ καὶ
ὀκτὼ καὶ ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ
12 παντελές ⸰ ἰδὼν δὲ αὐτὴν ὁ ἰησοῦς προσεφώνησεν καὶ εἶπεν αὐ-
13 τῇ γύναι ἀπολέλυσαι τῆς ἀσθενείας σοῦ ⸰ καὶ ἐπέθηκεν αὐτῇ
τὰς χεῖρας καὶ παραχρῆμα ἀνωρθώθη καὶ ἐδόξαζεν τὸν θεόν ⸰
14 ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐ-
θεράπευσεν ὁ ἰησοῦς ἔλεγεν τῷ ὄχλῳ ἓξ̓ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ
ἐργάζεσθαι ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε καὶ μὴ τῇ
15 ἡμέρᾳ τοῦ σαββάτου ⸰ ἀπεκρίθη ὁὖν αὐτῷ ὁ κύριος καὶ εἶπεν
ὑποκριτὰ ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ

---

v.58 𝕋*: παραδω, 𝕍: παραδωσει. **v.58** 𝕋 𝕂: βαλλη, 𝕄: βαλη, 𝕍: βαλει. **v.59** 𝕋*: ου, 𝕍: ∅. **v.59** 𝕋 𝕂 𝕍: το, 𝕄: τον. **13.v.2** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.2** 𝕋*: τοιαυτα, 𝕍: ταυτα. **v.3** 𝕋*: ωσαυτως, 𝕍: ομοιως. **v.4** 𝕋*: δεκα και οκτω, 𝕍: δεκαοκτω. **v.4** 𝕋*: ουτοι, 𝕍: αυτοι. **v.4** 𝕋*: ανθρωπους, 𝕍: τους ανθρωπους. **v.4** 𝕋*: εν, 𝕍: ∅. **v.5** 𝕋*: ομοιως, 𝕍: ωσαυτως. **v.6** 𝕋*: εν τω αμπελωνι αυτου πεφυτευμενην, 𝕍: πεφυτευμενην εν τω αμπελωνι αυτου. **v.6** 𝕋 𝕂: καρπον ζητων, 𝕄 𝕍: ζητων καρπον. **v.7** 𝕋*: ερχομαι, 𝕍: αφ ου ερχομαι. **v.7** 𝕋*: εκκοψον, 𝕍: εκκοψον [ουν]. **v.7** 𝕋 𝕂 𝕍: ινατι, 𝕄: ινα τι. **v.8** 𝕋 𝕂: κοπριαν, 𝕄 𝕍: κοπρια. **v.9** 𝕋*: ει δε μηγε εις το μελλον, 𝕍: εις το μελλον ει δε μη γε. **v.11** 𝕋*: ην, 𝕍: ∅. **v.11** 𝕋*: δεκα και οκτω, 𝕍: δεκαοκτω. **v.14** 𝕋*: εξ, 𝕍: οτι εξ. **v.14** 𝕋*: ταυταις, 𝕍: αυταις. **v.15** 𝕋*: ουν, 𝕍: δε. **v.15** 𝕋 𝕂: υποκριτα, 𝕄 𝕍: υποκριται.

ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει ⸰ ταύτην δὲ 16
θυγατέρα ἀβραὰμ οὖσαν ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ
ὀκτὼ ἔτη οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ
τοῦ σαββάτου ⸰ καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες 17
οἱ ἀντικείμενοι αὐτῷ καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσιν τοῖς
ἐνδόξοις τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ ⸰ ἔλεγεν δὲ˚ τίνι ὁμοία ἐστὶν 18
ἡ βασιλεία τοῦ θεοῦ καὶ τίνι ὁμοιώσω αὐτήν ⸰ ὁμοία ἐστὶν κόκ- 19
κῳ σινάπεως ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ καὶ
ηὔξησεν καὶ ἐγένετο εἰς δένδρον μέγα καὶ τὰ πετεινὰ τοῦ οὐρα-
νοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ ⸰ κἀὶ πάλιν εἶπεν τίνι 20
ὁμοιώσω τὴν βασιλείαν τοῦ θεοῦ ⸰ ὁμοία ἐστὶν ζύμῃ ἣν λαβοῦσα 21
γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον ⸰
καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων καὶ πορείαν 22
ποιούμενος εἰς ἱεροὐσαλήμ ⸰ εἶπεν δέ τις αὐτῷ κύριε εἰ ὀλίγοι 23
οἱ σωζόμενοι ὁ δὲ εἶπεν πρὸς αὐτούς ⸰ ἀγωνίζεσθε εἰσελθεῖν διὰ 24
τῆς στενῆς πύλης ὅτι πολλοὶ λέγω ὑμῖν ζητήσουσιν εἰσελθεῖν
καὶ οὐκ ἰσχύσουσιν ⸰ ἀφ᾽ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀ- 25
ποκλείσῃ τὴν θύραν καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν
θύραν λέγοντες κύριε κύριε ἄνοιξον ἡμῖν καὶ ἀποκριθεὶς ἐρεῖ
ὑμῖν οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ ⸰ τότε ἄρξεσθε λέγειν ἐφάγομεν 26
ἐνώπιόν σου καὶ ἐπίομεν καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας ⸰
καὶ ἐρεῖ λέγω ὑμῖν οὐκ οἶδα ὑμᾶς πόθεν ἐστὲ ἀπόστητε ἀπ᾽ ἐ- 27
μοῦ πάντες οἱ˚ ἐργάται τῆς ἀδικίας ⸰ ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ 28
ὁ βρυγμὸς τῶν ὀδόντων ὅταν ὄψησθε ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰ-
ακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ ὑμᾶς
δὲ ἐκβαλλομένους ἔξω ⸰ καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν 29
καὶ ἀπὸ βορρᾶ καὶ νότου καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ
τοῦ θεοῦ ⸰ καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι καὶ εἰσὶν 30
πρῶτοι οἳ ἔσονται ἔσχατοι ⸰ ἐν αὐτῇ τῇ ἡμέρᾳ˚ προσῆλθόν τινες 31
φαρισαῖοι λέγοντες αὐτῷ ἔξελθε καὶ πορεύου ἐντεῦθεν ὅτι ἡρώ-
δης θέλει σε ἀποκτεῖναι ⸰ καὶ εἶπεν αὐτοῖς πορευθέντες εἴπατε 32
τῇ ἀλώπεκι ταύτῃ ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐτελῶ σή-
μερον καὶ αὔριον καὶ τῇ τρίτῃ τελειοῦμαι ⸰ πλὴν δεῖ με σήμερον 33
καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι ὅτι οὐκ ἐνδέχεται προ-
φήτην ἀπολέσθαι ἔξω ἱερουσαλήμ ⸰ ἱερουσαλὴμ ἱερουσαλὴμ ἡ 34

---

v.18 𝕋*: δε, 𝕍: ουν. **v.19** 𝕋*: μεγα, 𝕍: ∅. **v.20** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.21** 𝕋*: ενεκρυψεν, 𝕍: [εν]εκρυψεν. **v.22** 𝕋*: ιερουσαλημ, 𝕍: ιεροσολυμα. **v.24** 𝕋*: πυλης, 𝕍: θυρας. **v.25** 𝕋*: κυριε, 𝕍: ∅. **v.27** 𝕋*: λεγω, 𝕍: λεγων. **v.27** 𝕋*: οι εργαται της, 𝕍: εργαται. **v.29** 𝕋 𝕂 𝕍: απο, 𝕄: ∅. **v.31** 𝕋*: ημερα προσηλθον, 𝕍: ωρα προσηλθαν. **v.32** 𝕋*: επιτελω, 𝕍: αποτελω.

ἀποκτεἰνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας καὶ οὐκ
35 ἠθελήσατε ⸰ ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος ἀμὴν˙ δὲ λέγω ὑμῖν ὅτι˙ οὐ μή με ἴδητε ἕως ἂν ἥξῃ˙ ὅτε εἴπητε εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου ⸰

14 καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον καὶ αὐτοὶ ἦσαν παρατη-
2 ρούμενοι αὐτόν ⸰ καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπρο-
3 σθεν αὐτοῦ ⸰ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν πρὸς τοὺς νομικοὺς
4 καὶ φαρισαίους λέγων ἐἰ ἔξεστιν τῷ σαββάτῳ θεραπεύειν ⸰ οἱ δὲ
5 ἡσύχασαν καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν καὶ ἀπέλυσεν ⸰ καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ
6 σαββάτου ⸰ καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα ⸰
7 ἔλεγεν δὲ πρὸς τοὺς κεκλημένους παραβολὴν ἐπέχων πῶς τὰς
8 πρωτοκλισίας ἐξελέγοντο λέγων πρὸς αὐτούς ⸰ ὅταν κληθῇς ὑπό τινος εἰς γάμους μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν μή-
9 ποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ ⸰ καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι δὸς τούτῳ τόπον καὶ τότε ἄρ-
10 ξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν ⸰ ἀλλ᾽ ὅταν κληθῇς πορευθεὶς ἀνάπεσὸν εἰς τὸν ἔσχατον τόπον ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε εἴπῃ σοι φίλε προσανάβηθι ἀνώτερον τότε ἔσται σοι
11 δόξα ἐνώπιον τῶν συνανακειμένων σοι ⸰ ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν
12 ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται ⸰ ἔλεγεν δὲ καὶ τῷ κεκληκότι αὐτὸν ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον μὴ φώνει τοὺς φίλους σου μηδὲ τοὺς ἀδελφούς σου μηδὲ τοὺς συγγενεῖς σου μηδὲ γείτονας πλουσίους μήποτε καὶ αὐτοί σε˙ ἀντικαλέ-
13 σωσιν καὶ γένηταί σοι˙ ἀνταπόδομα ⸰ ἀλλ᾽ ὅταν ποιῇς˙ δοχὴν
14 κάλει πτωχοὺς ἀναπήρους χωλοὺς τυφλούς ⸰ καὶ μακάριος ἔσῃ ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι ἀνταποδοθήσεται γὰρ σοι ἐν
15 τῇ ἀναστάσει τῶν δικαίων ⸰ ἀκούσας δέ τις τῶν συνανακειμένων

---

v.34 𝕋 𝕂 𝕍: αποκτεινουσα, 𝕄: αποκτενουσα. **v.35** 𝕋*: ερημος, 𝕍: ∅. **v.35** 𝕋 𝕂: αμην δε λεγω, 𝕄: λεγω δε, 𝕍: λεγω [δε]. **v.35** 𝕋*: οτι ου μη με ιδητε, 𝕍: ου μη ιδητε με. **v.35** 𝕋*: αν, 𝕍: ∅. **v.35** 𝕋*: ηξη οτε, 𝕍: [ηξει οτε]. **14.v.3** 𝕋*: ει, 𝕍: ∅. **v.3** 𝕋*: θεραπευειν, 𝕍: θεραπευσαι η ου. **v.5** 𝕋*: αποκριθεις, 𝕍: ∅. **v.5** 𝕋 𝕂: ονος, 𝕄 𝕍: υιος. **v.5** 𝕋*: εμπεσειται, 𝕍: πεσειται. **v.5** 𝕋*: τη, 𝕍: ∅. **v.6** 𝕋*: αυτω, 𝕍: ∅. **v.9** 𝕋*: μετ, 𝕍: μετα. **v.10** 𝕋 𝕂: αναπεσον, 𝕄 𝕍: αναπεσε. **v.10** 𝕋*: ειπη, 𝕍: ερει. **v.10** 𝕋*: των, 𝕍: παντων των. **v.12** 𝕋*: σε αντικαλεσωσιν, 𝕍: αντικαλεσωσιν σε. **v.12** 𝕋*: σοι ανταποδομα, 𝕍: ανταποδομα σοι. **v.13** 𝕋*: ποιης δοχην, 𝕍: δοχην ποιης, 𝔎 𝔓75: δοχην ποιησης. **v.13** 𝕋*: αναπηρους, 𝕍: αναπειρους. **v.14** 𝔼: γαρ, 𝔎*: δε.

ταῦτα εἶπεν αὐτῷ μακάριος ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ
θεοῦ ◦ ὁ δὲ εἶπεν αὐτῷ ἄνθρωπός τις ἐποίησεν δεῖπνον μέγα καὶ 16
ἐκάλεσεν πολλούς ◦ καὶ ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ 17
δείπνου εἰπεῖν τοῖς κεκλημένοις ἔρχεσθε ὅτι ἤδη ἕτοιμά ἐστιν˚
πάντα ◦ καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι˚ πάντες ὁ πρῶτος 18
εἶπεν αὐτῷ ἀγρὸν ἠγόρασα καὶ ἔχω ἀνάγκην ἐξελθεῖν˚ καὶ ἰδεῖν
αὐτὸν ἐρωτῶ σε ἔχε με παρῃτημένον ◦ καὶ ἕτερος εἶπεν ζεύγη 19
βοῶν ἠγόρασα πέντε καὶ πορεύομαι δοκιμάσαι αὐτὰ ἐρωτῶ˚ σε
ἔχε με παρῃτημένον ◦ καὶ ἕτερος εἶπεν γυναῖκα ἔγημα˚ καὶ διὰ 20
τοῦτο οὐ δύναμαι ἐλθεῖν ◦ κἀὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος 21
ἀπήγγειλεν τῷ κυρίῳ αὐτοῦ ταῦτα τότε ὀργισθεὶς ὁ οἰκοδεσπό-
της εἶπεν τῷ δούλῳ αὐτοῦ ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ
ῥύμας τῆς πόλεως καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους˚ καὶ χω-
λοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε ◦ καὶ εἶπεν˚ ὁ δοῦλος κύριε γέ- 22
γονεν ὡς ἐπέταξας καὶ ἔτι τόπος ἐστίν ◦ καὶ εἶπεν ὁ κύριος πρὸς 23
τὸν δοῦλοῦ ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καὶ ἀνάγκασον
εἰσελθεῖν ἵνα γεμισθῇ ὁ˚ οἶκός μου ◦ λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς 24
τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου ◦
συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοὶ καὶ στραφεὶς εἶπεν πρὸς 25
αὐτούς ◦ εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ 26
καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελ-
φοὺς καὶ τὰς ἀδελφὰς ἔτι δὲ˚ καὶ τὴν ἑαυτοῦ˚ ψυχὴν οὐ δύ-
ναταί μου˚ μαθητὴς εἶναι ◦ κἀὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν 27
ἑαυτοῦ καὶ ἔρχεται ὀπίσω μου οὐ δύναταί μου˚ εἶναι μαθητής ◦
τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον καθί- 28
σας ψηφίζει τὴν δαπάνην εἰ ἔχει τὰ˚ πρὸς ἀπαρτισμόν ◦ ἵνα μή- 29
ποτε θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύοντος ἐκτελέσαι πάντες
οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν˚ αὐτῷ ◦ λέγοντες ὅτι οὗτος ὁ 30
ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι ◦ ἢ τίς 31

---

v.15 𝕋*: ος, 𝕍: οστις. **v.15** 𝕋 𝕂 𝕍: αρτον, 𝕄: αριστον. **v.16** 𝕋*: εποιησεν, 𝕍: εποιει. **v.17** 𝔼: ερχεσθε, ℵ A D: ερχεσθαι. **v.17** 𝕋*: εστιν παντα, 𝕍: εστιν, ℵ 𝔓75: εισιν, **XXX**: εισιν παντα. **v.18** 𝕋*: παραιτεισθαι παντες, 𝕍: παντες παραιτεισθαι. **v.18** 𝕋*: εξελθειν και, 𝕍: εξελθων. **v.19** 𝔼: ερωτω σε εχε με παρητημενον, D: διο ου δυναμαι ελθειν. **v.20** 𝔼: εγημα και δια τουτο, D: ελαβον διο. **v.21** 𝔼: και, 𝔓75: ∅. **v.21** 𝕋*: εκεινος, 𝕍: ∅. **v.21** 𝕋*: αναπηρους και χωλους και τυφλους, 𝕍: αναπειρους και τυφλους και χωλους. **v.21** 𝔼: εισαγαγε, D: ενεγκε. **v.22** 𝔼: ειπεν ο δουλος κυριε, D: ο δουλος ειπεν. **v.22** 𝕋*: ως, 𝕍: ο. **v.23** 𝔼: δουλον, D 𝔓75*: δουλον αυτου. **v.23** 𝔼: αναγκασον, 𝔓45: ποιησον. **v.23** 𝕋*: ο οικος μου, 𝕍: μου ο οικος. **v.24** 𝔼: ανδρων, ℵ D: ανθρωπων. **v.25** 𝔼: αυτω, 𝔓75: ∅, **XXX**: τω ιησου. **v.25** 𝔼: πολλοι, D: ∅. **v.26** 𝕋 𝕂 𝕍: εαυτου, 𝕄: αυτου. **v.26** 𝕋*: δε, 𝕍: τε, 𝔓75: ∅. **v.26** 𝕋*: εαυτου ψυχην, 𝕍: ψυχην εαυτου. **v.26** 𝕋*: μου μαθητης ειναι, 𝕍: ειναι μου μαθητης. **v.27** 𝕋*: και, 𝕍: ∅. **v.27** 𝕋*: αυτου, 𝕍: εαυτου. **v.27** 𝕋 𝕂: μου ειναι, 𝕄 𝕍: ειναι μου. **v.28** 𝕋 𝕂 𝕍: θελων, 𝕄: ο θελων. **v.28** 𝕋 𝕂: τα προς, 𝕄: τα εις, 𝕍: εις. **v.29** 𝕋*: εμπαιζειν αυτω, 𝕍: αυτω εμπαιζειν.

βασιλεὺς πορευόμενος συμβαλεῖν˚ ἑτέρῳ βασιλεῖ εἰς πόλεμον
οὐχὶ καθίσας πρῶτον βουλεύεται εἰ δυνατός ἐστιν ἐν δέκα χι-
λιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ᾽ αὐτόν ⸰
32 εἰ δὲ μήγε ἔτι αὐτοῦ˚ πόρρω ὄντος πρεσβείαν ἀποστείλας ἐρωτᾷ
33 τὰ πρὸς εἰρήνην ⸰ οὕτως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται
πᾶσιν τοῖς ἑαυτοῦ ὑπάρχουσιν οὐ δύναταί μου˚ εἶναι μαθητής ⸰
34 καλὸν τὸ ἅλας ἐὰν δὲ τὸ ἅλας μωρανθῇ ἐν τίνι ἀρτυθήσεται ⸰
35 οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν ἔξω βάλλουσιν αὐτό
ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω ⸰

15 ἦσαν δὲ ἐγγίζοντες˚ αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ
2 ἀκούειν αὐτοῦ ⸰ καὶ διεγόγγυζον οἵ φαρισαῖοι καὶ οἱ γραμμα-
τεῖς λέγοντες ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει
3, 4 αὐτοῖς ⸰ εἶπεν δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων ⸰ τίς
ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα καὶ ἀπολέσας ἓν˚ ἐξ
αὐτῶν οὐ καταλείπει τὰ ἐννενηκονταἐννέα ἐν τῇ ἐρήμῳ καὶ πο-
5 ρεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως εὕρῃ αὐτό ⸰ καὶ εὑρὼν ἐπιτίθησιν
6 ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων ⸰ καὶ ἐλθὼν εἰς τὸν οἶκον συγ-
καλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς συγχάρητέ
7 μοι ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός ⸰ λέγω ὑμῖν ὅτι οὕ-
τως χαρὰ ἔσται˚ ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ
ἐπὶ ἐννενηκονταἐννέα δικαίοις οἵτινες οὐ χρείαν ἔχουσιν μετα-
8 νοίας ⸰ ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα ἐὰν ἀπολέσῃ δραχμὴν
μίαν οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμε-
9 λῶς ἕως ὅτου εὕρῃ ⸰ καὶ εὑροῦσα συγκαλεῖται τὰς φίλας καὶ τὰς
γείτονας λέγουσα συγχάρητέ μοι ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀ-
10 πώλεσα ⸰ οὕτως λέγω ὑμῖν χαρὰ˚ γίνεται ἐνώπιον τῶν ἀγγέλων
11 τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ⸰ εἶπεν δὲ ἄνθρωπός τις
12 εἶχεν δύο υἱούς ⸰ καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ πάτερ
δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας καὶ διεῖλεν αὐτοῖς τὸν
13 βίον ⸰ καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος
υἱὸς ἀπεδήμησεν εἰς χώραν μακρὰν καὶ ἐκεῖ διεσκόρπισεν τὴν
14 οὐσίαν αὐτοῦ ζῶν ἀσώτως ⸰ δαπανήσαντος δὲ αὐτοῦ πάντα ἐγέ-
νετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην καὶ αὐτὸς ἤρξατο

v.31 𝕋*: συμβαλειν ετερω βασιλει, 𝕍: ετερω βασιλει συμβαλειν. **v.31** 𝕋*: βουλευεται, 𝕍: βουλευσεται. **v.31** 𝕋*: απαντησαι, 𝕍: υπαντησαι. **v.32** 𝕋 𝕂: μηγε, 𝕄 𝕍: μη γε. **v.32** 𝕋 𝕂 𝕍: αυτου πορρω, 𝕄: πορρω αυτου. **v.33** 𝕋*: μου ειναι, 𝕍: ειναι μου. **v.34** 𝕋*: καλον, 𝕍: καλον ουν. **v.34** 𝕋*: το, 𝕍: και το. **15.v.1** 𝕋*: εγγιζοντες αυτω, 𝕍: αυτω εγγιζοντες. **v.2** 𝕋*: οι, 𝕍: οι τε. **v.4** 𝕋*: εν εξ αυτων, 𝕍: εξ αυτων εν. **v.4** 𝕋 𝕂: εννενηκονταεννεα, 𝕄 𝕍: ενενηκοντα εννεα. **v.5** 𝕋*: εαυτου, 𝕍: αυτου. **v.7** 𝕋*: εσται εν τω ουρανω, 𝕍: εν τω ουρανω εσται. **v.7** 𝕋 𝕂: εννενηκονταεννεα, 𝕄 𝕍: ενενηκοντα εννεα. **v.8** 𝕋*: οτου, 𝕍: ου. **v.9** 𝕋*: συγκαλειται, 𝕍: συγκαλει. **v.9** 𝕋*: τας, 𝕍: ∅. **v.10** 𝕋*: χαρα γινεται, 𝕍: γινεται χαρα. **v.12** 𝕋*: και, 𝕍: ο δε. **v.13** 𝕋*: απαντα, 𝕍: παντα. **v.14** 𝕋*: ισχυρος, 𝕍: ισχυρα.

ὑστερεῖσθαι ⸂ καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώ- 15
ρας ἐκείνης καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν
χοίρους ⸂ καὶ ἐπεθύμει γεμίσαι ˚ τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κε- 16
ρατίων ὧν ἤσθιον οἱ χοῖροι καὶ οὐδεὶς ἐδίδου αὐτῷ ⸂ εἰς ἑαυτὸν 17
δὲ ἐλθὼν εἶπεν πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν
ἄρτων ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι ⸂ ἀναστὰς πορεύσομαι πρὸς τὸν 18
πατέρα μου καὶ ἐρῶ αὐτῷ πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ
ἐνώπιόν σου ⸂ κἀὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου ποίησόν 19
με ὡς ἕνα τῶν μισθίων σου ⸂ καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πατέρα 20
ἑἀυτοῦ ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος εἶδεν αὐτὸν ὁ πατὴρ αὐ-
τοῦ καὶ ἐσπλαγχνίσθη καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον
αὐτοῦ καὶ κατεφίλησεν αὐτόν ⸂ εἶπεν δὲ αὐτῷ ˚ ὁ υἱὸς πάτερ ἥ- 21
μαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου κἀὶ οὐκέτι εἰμὶ ἄξιος
κληθῆναι υἱός σου ⸂ εἶπεν δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ 22
ἐξενέγκατε ˚ τὴν στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτὸν καὶ δότε
δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας ⸂
καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε καὶ φαγόντες 23
εὐφρανθῶμεν ⸂ ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν 24
καὶ ˚ ἀπολωλὼς ἦν καὶ εὑρέθη καὶ ἤρξαντο εὐφραίνεσθαι ⸂ ἦν δὲ 25
ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ καὶ ὡς ἐρχόμενος ἤγγισεν
τῇ οἰκίᾳ ἤκουσεν συμφωνίας καὶ χορῶν ⸂ καὶ προσκαλεσάμενος 26
ἕνα τῶν παίδων αὐτοῦ ἐπυνθάνετο τί εἴη ταῦτα ⸂ ὁ δὲ εἶπεν αὐτῷ 27
ὅτι ὁ ἀδελφός σου ἥκει καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν
σιτευτὸν ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν ⸂ ὠργίσθη δὲ καὶ οὐκ 28
ἤθελεν εἰσελθεῖν ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν ⸂
ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ πατρὶ ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι 29
καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον καὶ ἐμοὶ οὐδέποτε ἔδωκας
ἔριφον ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ ⸂ ὅτε δὲ ὁ υἱός σου οὗ- 30
τος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν ἔθυσας αὐτῷ
τὸν ˚ μόσχον τὸν σιτευτόν ⸂ ὁ δὲ εἶπεν αὐτῷ τέκνον σὺ πάντοτε 31
μετ᾽ ἐμοῦ εἶ καὶ πάντα τὰ ἐμὰ σά ἐστιν ⸂ εὐφρανθῆναι δὲ καὶ 32
χαρῆναι ἔδει ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν
καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη ⸂

ἔλεγεν δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ ἄνθρωπός τις ἦν **16**

---

v.16 𝕋*: γεμισαι την κοιλιαν αυτου απο, 𝕍: χορτασθηναι εκ. **v.17** 𝕋*: ειπεν, 𝕍: εφη. **v.17** 𝕋*: περισσευουσιν, 𝕍: περισσευονται. **v.17** 𝕋*: λιμω, 𝕍: λιμω ωδε. **v.19** 𝕋*: και, 𝕍: ∅. **v.20** 𝕋 𝕂 𝕍: εαυτου, 𝕄: αυτου. **v.21** 𝕋*: αυτω ο υιος, 𝕍: ο υιος αυτω. **v.21** 𝕋*: και, 𝕍: ∅. **v.22** 𝕋*: εξενεγκατε την, 𝕍: ταχυ εξενεγκατε. **v.23** 𝕋*: ενεγκαντες, 𝕍: φερετε. **v.24** 𝕋*: και απολωλως ην, 𝕍: ην απολωλως. **v.26** 𝕋: αυτου, 𝕂 𝕄 𝕍: ∅. **v.26** 𝕋*: τι, 𝕍: τι αν. **v.28** 𝕋*: ουν, 𝕍: δε. **v.29** 𝕋*: πατρι, 𝕍: πατρι αυτου. **v.30** 𝕋*: τον μοσχον τον σιτευτον, 𝕍: τον σιτευτον μοσχον. **v.32** 𝕋*: ανεζησεν, 𝕍: εζησεν. **v.32** 𝕋*: ην, 𝕍: ∅. **16.v.1** 𝕋*: αυτου, 𝕍: ∅.

πλούσιος ὃς εἶχεν οἰκονόμον καὶ οὗτος διεβλήθη αὐτῷ ὡς δια-
2 σκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ ⸰ καὶ φωνήσας αὐτὸν εἶπεν αὐτῷ
τί τοῦτο ἀκούω περὶ σοῦ ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου
3 οὐ γὰρ δύνηῌ ἔτι οἰκονομεῖν ⸰ εἶπεν δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος
τί ποιήσω ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ᾽ ἐμοῦ
4 σκάπτειν οὐκ ἰσχύω ἐπαιτεῖν αἰσχύνομαι ⸰ ἔγνων τί ποιήσω ἵνα
ὅταν μετασταθῶ ἧῆς οἰκονομίας δέξωνταί με εἰς τοὺς οἴκους αὐ-
5 τῶν ⸰ καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεῲφειλετῶν τοῦ
κυρίου ἑαυτοῦ ἔλεγεν τῷ πρώτῳ πόσον ὀφείλεις τῷ κυρίῳ μου ⸰
6 ὁ δὲ εἶπεν ἑκατὸν βάτους ἐλαίου κἀὶ εἶπεν αὐτῷ δέξαι σου τὸ˚
7 γράμμα καὶ καθίσας ταχέως γράψον πεντήκοντα ⸰ ἔπειτα ἑτέρῳ
εἶπεν σὺ δὲ πόσον ὀφείλεις ὁ δὲ εἶπεν ἑκατὸν κόρους σίτου κἀὶ
8 λέγει αὐτῷ δέξαι σου τὸ˚ γράμμα καὶ γράψον ὀγδοήκοντα ⸰ καὶ
ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας ὅτι φρονίμως ἐ-
ποίησεν ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς
9 υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν ἧὴν ἑαυτῶν εἰσιν ⸰ κἀῲὼ ὑμῖν
λέγω ποιήσατε˚ ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας ἵνα
10 ὅταν ἐκλίῖπητε δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς ⸰ ὁ πιστὸς
ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστιν καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος
11 καὶ ἐν πολλῷ ἄδικός ἐστιν ⸰ εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ
12 οὐκ ἐγένεσθε τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει ⸰ καὶ εἰ ἐν τῷ ἀλ-
13 λοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε τὸ ὑμέτερον τίς ὑμῖν δώσει ⸰ οὐδεὶς
οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν ἢ γὰρ τὸν ἕνα μισήσει
καὶ τὸν ἕτερον ἀγαπήσει ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου κα-
14 ταφρονήσει οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ ⸰ ἤκουον δὲ
ταῦτα πάντα κἀὶ οἱ φαρισαῖοι φιλάργυροι ὑπάρχοντες καὶ ἐξε-
15 μυκτήριζον αὐτόν ⸰ καὶ εἶπεν αὐτοῖς ὑμεῖς ἐστε οἱ δικαιοῦντες
ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων ὁ δὲ θεὸς γινώσκει τὰς καρ-
δίας ὑμῶν ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον τοῦ
16 θεοῦ ἐστῖιν ⸰ ὁ νόμος καὶ οἱ προφῆται ἕως ἰωάννου ἀπὸ τότε ἡ
βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται καὶ πᾶς εἰς αὐτὴν βιάζεται ⸰
17 εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ
18 νόμου μίαν κεραίαν πεσεῖν ⸰ πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐ-
τοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ
19 ἀνδρὸς γαμῶν μοιχεύει ⸰ ἄνθρωπος δέ τις ἦν πλούσιος καὶ ἐνε-

v.2 $\mathbb{T}^*$: δυνηση, $\mathbb{V}$: δυνη. **v.4** $\mathbb{T}^*$: της, $\mathbb{V}$: εκ της. **v.5** $\mathbb{T}^*$: χρεωφειλετων, $\mathbb{V}$: χρεοφειλετων. **v.6** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ο δε. **v.6** $\mathbb{T}^*$: το γραμμα, $\mathbb{V}$: τα γραμματα. **v.7** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.7** $\mathbb{T}^*$: το γραμμα, $\mathbb{V}$: τα γραμματα. **v.8** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$: την, $\mathbb{K}$: ∅. **v.9** $\mathbb{T}^*$: καγω, $\mathbb{V}$: και εγω. **v.9** $\mathbb{T}^*$: ποιησατε εαυτοις, $\mathbb{V}$: εαυτοις ποιησατε. **v.9** $\mathbb{T}$ $\mathbb{K}$: εκλιπητε, $\mathbb{M}$: εκληπητε, $\mathbb{V}$: εκλιπη. **v.12** $\mathbb{E}$: υμετερον, B: ημετερον. **v.14** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}$ $\mathbb{K}$: εστιν, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.16** $\mathbb{T}^*$: εως, $\mathbb{V}$: μεχρι. **v.18** $\mathbb{T}^*$: πας, $\mathbb{V}$: ∅.

διδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ᾽ ἡμέραν
λαμπρῶς ⸰ πτωχὸς δέ τις ἦν᾽ ὀνόματι λάζαρος ὃς ἐβέβλητο πρὸς 20
τὸν πυλῶνα αὐτοῦ ἡλκ̈ωμένος ⸰ καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ 21
τῶν˚ ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου ἀλ-
λὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπ̈έλειχον τὰ ἕλκη αὐτοῦ ⸰ ἐγένετο δὲ 22
ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων
εἰς τὸν κόλπον τ̈οῦ ἀβραὰμ ἀπέθανεν δὲ καὶ ὁ πλούσιος καὶ
ἐτάφη ⸰ καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ὑπάρχων 23
ἐν βασάνοις ὁρᾷ ⸰τ̈ὸν ἀβραὰμ ἀπὸ μακρόθεν καὶ λάζαρον ἐν τοῖς
κόλποις αὐτοῦ ⸰ καὶ αὐτὸς φωνήσας εἶπεν πάτερ ἀβραὰμ ἐλέη- 24
σόν με καὶ πέμψον λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου
αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου ὅτι ὀδυνῶμαι
ἐν τῇ φλογὶ ταύτῃ ⸰ εἶπεν δὲ ἀβραὰμ τέκνον μνήσθητι ὅτι ἀπέ- 25
λαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου καὶ λάζαρος ὁμοίως τὰ
κακὰ νῦν δὲ ὅδε παρακαλεῖται σὺ δὲ ὀδυνᾶσαι ⸰ καὶ ἐπ̈ὶ πᾶσιν 26
τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται ὅπως
οἱ θέλοντες διαβῆναι ἐνθ̈εῦθεν πρὸς ὑμᾶς μὴ δύνωνται μηδὲ ὁἱ
ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν ⸰ εἶπεν δὲ ἐρωτῶ οὖν˚ σε πάτερ 27
ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου ⸰ ἔχω γὰρ πέντε 28
ἀδελφοὺς ὅπως διαμαρτύρηται αὐτοῖς ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν
εἰς τὸν τόπον τοῦτον τῆς βασάνου ⸰ λέγει αὐτ̈ῷ ἀβραὰμ ἔχουσιν 29
μωσ̈έα καὶ τοὺς προφήτας ἀκουσάτωσαν αὐτῶν ⸰ ὁ δὲ εἶπεν οὐχὶ 30
πάτερ ἀβραὰμ ἀλλ᾽ ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτοὺς
μετανοήσουσιν ⸰ εἶπεν δὲ αὐτῷ εἰ μωσ̈έως καὶ τῶν προφητῶν οὐκ 31
ἀκούουσιν οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται ⸰

εἶπεν δὲ πρὸς τοὺς μαθητ̈ὰς ἀνένδεκτόν ἐστιν τοῦ μὴ˚ ἐλθεῖν **17**
τὰ σκάνδαλα οὐαὶ δὲ δι᾽ οὗ ἔρχεται ⸰ λυσιτελεῖ αὐτῷ εἰ μύλος˚ 2
ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔρριπται εἰς τὴν
θάλασσαν ἢ ἵνα σκανδαλίσῃ ἕνα˚ τῶν μικρῶν τούτων ⸰ προσέ- 3
χετε ἑαυτοῖς ἐὰν δὲ˚ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου ἐπιτίμησον
αὐτῷ καὶ ἐὰν μετανοήσῃ ἄφες αὐτῷ ⸰ καὶ ἐὰν ἑπτάκις τῆς ἡμέ- 4
ρας ἁμάρτ̈ῃ εἰς σὲ καὶ ἑπτάκις τῆς˚ ἡμέρας ἐπιστρέψῃ ἐπ̈ὶ˚ σὲ

---

v.20 𝕋*: ην, 𝕍: ∅. **v.20** 𝕋*: ος, 𝕍: ∅. **v.20** 𝕋*: ηλκωμενος, 𝕍: ειλκωμενος. **v.21** 𝕋*: των ψιχιων, 𝕍: ∅. **v.21** 𝕋*: απελειχον, 𝕍: επελειχον. **v.22** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.23** 𝕋*: τον, 𝕍: ∅. **v.25** 𝕋*: συ, 𝕍: ∅. **v.25** 𝕋 𝕂: οδε, 𝕄 𝕍: ωδε. **v.26** 𝕋*: επι, 𝕍: εν. **v.26** 𝕋 𝕂: εντευθεν, 𝕄 𝕍: ενθεν. **v.26** 𝕋*: οι, 𝕍: ∅. **v.27** 𝕋*: ουν σε, 𝕍: σε ουν. **v.29** 𝕋*: αυτω, 𝕍: δε. **v.29** 𝕋*: μωσεα, 𝕍: μωυσεα. **v.31** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.31** 𝕋*: ουδε, 𝕍: ουδ. **17.v.1** 𝕋*: μαθητας, 𝕍: μαθητας αυτου. **v.1** 𝕋*: μη ελθειν τα σκανδαλα ουαι δε, 𝕍: τα σκανδαλα μη ελθειν πλην ουαι. **v.2** 𝕋*: μυλος ονικος, 𝕍: λιθος μυλικος. **v.2** 𝕋*: ενα των μικρων τουτων, 𝕍: των μικρων τουτων ενα. **v.3** 𝕋*: δε αμαρτη εις σε, 𝕍: αμαρτη. **v.4** 𝕋*: αμαρτη, 𝕍: αμαρτηση. **v.4** 𝕋*: της ημερας, 𝕍: ∅. **v.4** 𝕋 𝕂: επι σε, 𝕄: ∅, 𝕍: προς σε.

5 λέγων μετανοῶ ἀφήσεις αὐτῷ ◦ καὶ εἶπὸν οἱ ἀπόστολοι τῷ κυ-
6 ρίῳ πρόσθες ἡμῖν πίστιν ◦ εἶπεν δὲ ὁ κύριος εἰ ἔἴχετε πίστιν ὡς
κόκκον σινάπεως ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ ἐκριζώθητι καὶ
7 φυτεύθητι ἐν τῇ θαλάσσῃ καὶ ὑπήκουσεν ἂν ὑμῖν ◦ τίς δὲ ἐξ ὑ-
μῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα ὃς εἰσελθόντι ἐκ
8 τοῦ ἀγροῦ ἐρεῖ εὐθέως παρελθὼν ἀνάπεσαι ◦ ἀλλ᾽ οὐχὶ ἐρεῖ αὐ-
τῷ ἑτοίμασον τί δειπνήσω καὶ περιζωσάμενος διακόνει μοι ἕως
9 φάγω καὶ πίω καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ ◦ μὴ χά-
ριν˚ ἔχει τῷ δούλῳ ἐκἐίνῳ ὅτι ἐποίησεν τὰ διαταχθέντα αὐτῷ˚
10 οὐ δοκῶ ◦ οὕτως καὶ ὑμεῖς ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα
ὑμῖν λέγετε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν ὅτι ὃ ὠφείλομεν ποιῆσαι
11 πεποιήκαμεν ◦ καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς ἱερουσα-
λὴμ καὶ αὐτὸς διήρχετο διὰ μέσοῦ σαμαρείας καὶ γαλιλαίας ◦
12 καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα
13 λεπροὶ ἄνδρες οἳ ἔστησαν πόρρωθεν ◦ καὶ αὐτοὶ ἦραν φωνὴν
14 λέγοντες ἰησοῦ ἐπιστάτα ἐλέησον ἡμᾶς ◦ καὶ ἰδὼν εἶπεν αὐτοῖς
πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν καὶ ἐγένετο ἐν τῷ
15 ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν ◦ εἷς δὲ ἐξ αὐτῶν ἰδὼν ὅτι ἰάθη
16 ὑπέστρεψεν μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θεόν ◦ καὶ ἔπε-
σεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ
17 καὶ αὐτὸς ἦν σαμαρείτης ◦ ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν οὐχὶ
18 οἱ δέκα ἐκαθαρίσθησαν οἱ δὲ ἐννέα ποῦ ◦ οὐχ εὑρέθησαν ὑπο-
19 στρέψαντες δοῦναι δόξαν τῷ θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος ◦ καὶ
20 εἶπεν αὐτῷ ἀναστὰς πορεύου ἡ πίστις σου σέσωκέν σε ◦ ἐπερω-
τηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ
ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ
21 μετὰ παρατηρήσεως ◦ οὐδὲ ἐροῦσιν ἰδοὺ ὧδε ἢ ἰδοὺ ἐκεῖ ἰδοὺ
22 γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν ◦ εἶπεν δὲ πρὸς τοὺς
μαθητὰς ἐλεύσονται ἡμέραι ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν
23 τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν καὶ οὐκ ὄψεσθε ◦ καὶ ἐροῦσιν ὑ-
24 μῖν ἰδοὺ ὧδε˚ ἢ ἰδοὺ ἐκεῖ μὴ ἀπέλθητε μηδὲ διώξητε ◦ ὥσπερ
γὰρ ἡ ἀστραπὴ ἡ˚ ἀστράπτουσα ἐκ τῆς ὑπ˚ οὐρανὸν εἰς τὴν ὑπ᾽
οὐρανὸν λάμπει οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν˚ τῇ
25 ἡμέρᾳ αὐτοῦ ◦ πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδο-
26 κιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης ◦ καὶ καθὼς ἐγένετο ἐν ταῖς

v.5 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.6** 𝕋 𝕂: ειχετε, 𝕄 𝕍: εχετε. **v.7** 𝕋*: ερει, 𝕍: ερει αυτω. **v.7** 𝕋 𝕂: αναπεσαι, 𝕄 𝕍: αναπεσε. **v.9** 𝕋*: χαριν εχει, 𝕍: εχει χαριν. **v.9** 𝕋*: εκεινω, 𝕍: ∅. **v.9** 𝕋 𝕂: αυτω ου δοκω, 𝕄: ου δοκω, 𝕍: ∅. **v.10** 𝕋*: οτι, 𝕍: ∅. **v.11** 𝕋*: αυτον, 𝕍: ∅. **v.11** 𝕋*: μεσου, 𝕍: μεσον. **v.16** 𝕋*: σαμαρειτης, 𝕍: σαμαριτης. **v.21** 𝕋*: ιδου, 𝕍: ∅. **v.23** 𝕋*: ωδε η ιδου εκει, 𝕍: εκει [η] ιδου ωδε. **v.24** 𝕋*: η, 𝕍: ∅. **v.24** 𝕋*: υπ, 𝕍: υπο τον. **v.24** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.24** 𝕋*: εν τη ημερα αυτου, 𝕍: [εν τη ημερα αυτου], B D: ∅.

ἡμέραις τοῦ νῶε οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ
ἀνθρώπου ⸰ ἤσθιον ἔπινον ἐγάμουν ἐξἐγαμίζοντο ἄχρι ἧς ἡμέ- 27
ρας εἰσῆλθεν νῶε εἰς τὴν κιβωτὸν καὶ ἦλθεν ὁ κατακλυσμὸς
καὶ ἀπώλεσεν ἅπαντας ⸰ ὁμοίως καὶ˚ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις 28
λὼτ ἤσθιον ἔπινον ἠγόραζον ἐπώλουν ἐφύτευον ᾠκοδόμουν ⸰ ᾗ 29
δὲ ἡμέρᾳ ἐξῆλθεν λὼτ ἀπὸ σοδόμων ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ᾽
οὐρανοῦ καὶ ἀπώλεσεν ἅπαντας ⸰ κατὰ τἀῦτα ἔσται ᾗ ἡμέρᾳ 30
ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται ⸰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς 31
ἔσται ἐπὶ τοῦ δώματος καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ μὴ κα-
ταβάτω ἆραι αὐτὰ καὶ ὁ ἐν ᾧ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς
τὰ ὀπίσω ⸰ μνημονεύετε τῆς γυναικὸς λώτ ⸰ ὃς ἐὰν ζητήσῃ τὴν 32, 33
ψυχὴν αὐτοῦ ὀῶσαι ἀπολέσει αὐτὴν καὶ˚ ὃς ἐὰν ἀπολέσῃ αὐτὴν
ζωογονήσει αὐτήν ⸰ λέγω ὑμῖν ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ 34
κλίνης μιᾶς ὁ˚ εἷς παραληφθήσεται καὶ ὁ ἕτερος ἀφεθήσεται ⸰
δύο˚ ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτὸ μία παραληφθήσεται καὶ˚ ἡ 35
ἑτέρα ἀφεθήσεταἰ ⸰ καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ ποῦ κύριε 37
ὁ δὲ εἶπεν αὐτοῖς ὅπου τὸ σῶμα ἐκεῖ συναχθήσονται˚ οἱ ἀετοί ⸰

ἔλεγεν δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προ- **18**
σεύχεσθαι καὶ˚ μὴ ἐκκακεῖν ⸰ λέγων κριτής τις ἦν ἔν τινι πόλει 2
τὸν θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος ⸰ χήρα 3
δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα ἐκδί-
κησόν με ἀπὸ τοῦ ἀντιδίκου μου ⸰ καὶ οὐκ ἠθέλησεν ἐπὶ χρό- 4
νον μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι
καὶ˚ ἄνθρωπον οὐκ ἐντρέπομαι ⸰ διά γε τὸ παρέχειν μοι κόπον 5
τὴν χήραν ταύτην ἐκδικήσω αὐτὴν ἵνα μὴ εἰς τέλος ἐρχομένη
ὑπῶπιάζῃ με ⸰ εἶπεν δὲ ὁ κύριος ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδι- 6
κίας λέγει ⸰ ὁ δὲ θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν 7
αὐτοῦ τῶν βοώντων πρὸς˚ αὐτὸν ἡμέρας καὶ νυκτὸς καὶ μακρο-
θυμῶν ἐπ᾽ αὐτοῖς ⸰ λέγω ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν 8
τάχει πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν
ἐπὶ τῆς γῆς ⸰ εἶπεν δὲ καὶ πρός τινας τοὺς πεποιθότας ἐφ᾽ ἑαυτοῖς 9

v.26 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.27** 𝕋*: εξεγαμιζοντο, 𝕍: εγαμιζοντο. **v.27** 𝕋*: απαντας, 𝕍: παντας. **v.28** 𝕋*: και ως, 𝕍: καθως. **v.29** 𝕋*: απαντας, 𝕍: παντας. **v.30** 𝕋*: ταυτα, 𝕍: τα αυτα. **v.31** 𝕋*: τω, 𝕍: ∅. **v.33** 𝕋*: σωσαι, 𝕍: περιποιησασθαι. **v.33** 𝕋*: και ος εαν, 𝕍: ος δ αν. **v.33** 𝕋*: αυτην, 𝕍: ∅. **v.34** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.34** 𝕋*: παραληφθησεται, 𝕍: παραλημφθησεται. **v.35** 𝕋*: δυο εσονται, 𝕍: εσονται δυο. **v.35** 𝕋 𝕄: μια, 𝕂 𝕍: η μια. **v.35** 𝕋*: παραληφθησεται, 𝕍: παραλημφθησεται. **v.35** 𝕋*: και η, 𝕍: η δε. **v.35** 𝕋 𝕄 𝕍: αφεθησεται, 𝕂: αφεθησεται + v.36 δυο εσονται εν τω αγρω ο εις παραληφθησεται και ο ετερος αφεθησεται. **v.37** 𝕋*: συναχθησονται οι αετοι, 𝕍: και οι αετοι επισυναχθησονται. **18.v.1** 𝕋*: και, 𝕍: ∅. **v.1** 𝕋*: και μη εκκακειν, 𝕍: αυτους και μη εγκακειν. **v.4** 𝕋*: ηθελησεν, 𝕍: ηθελεν. **v.4** 𝕋*: και ανθρωπον ουκ, 𝕍: ουδε ανθρωπον. **v.5** 𝕋 𝕂 𝕍: υπωπιαζη, 𝕄: υποπιαζη. **v.7** 𝕋 𝕂: ποιησει, 𝕄 𝕍: ποιηση. **v.7** 𝕋*: προς αυτον, 𝕍: αυτω. **v.7** 𝕋*: μακροθυμων, 𝕍: μακροθυμει. **v.9** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅.

ὅτι εἰσὶν δίκαιοι καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς τὴν παραβο-
10 λὴν ταύτην ⸰ ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι
11 ὁ εἷς φαρισαῖος καὶ ὁ ἕτερος τελώνης ⸰ ὁ φαρισαῖος σταθεὶς πρὸς
ἑαυτὸν ταῦτα προσηύχετο ὁ θεὸς εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥ-
σπερ οἱ λοιποὶ τῶν ἀνθρώπων ἅρπαγες ἄδικοι μοιχοὶ ἢ καὶ ὡς
12 οὗτος ὁ τελώνης ⸰ νηστεύω δὶς τοῦ σαββάτου ἀποδεκατῶ πάντα
13 ὅσα κτῶμαι ⸰ καὶ˚ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ
τοὺς ὀφθαλμοὺς εἰς˚ τὸν οὐρανὸν ἐπᾶραι ἀλλ᾽ ἔτυπτεν εἰς τὸ
14 στῆθος αὐτοῦ λέγων ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ ⸰ λέγω ὑ-
μῖν κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ˚ ἐκεῖνος
ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται ὁ δὲ ταπεινῶν ἑαυτὸν
15 ὑψωθήσεται ⸰ προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη ἵνα αὐτῶν ἅ-
16 πτηται ἰδόντες δὲ οἱ μαθηταὶ ἐπετίμησαν αὐτοῖς ⸰ ὁ δὲ ἰησοῦς
προσκαλεσάμενος αὐτὰ εἶπεν ἄφετε τὰ παιδία ἔρχεσθαι πρός
με καὶ μὴ κωλύετε αὐτὰ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ
17 θεοῦ ⸰ ἀμὴν λέγω ὑμῖν ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ
18 ὡς παιδίον οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν ⸰ καὶ ἐπηρώτησέν τις αὐτὸν
ἄρχων λέγων διδάσκαλε ἀγαθὲ τί ποιήσας ζωὴν αἰώνιον κλη-
19 ρονομήσω ⸰ εἶπεν δὲ αὐτῷ ὁ ἰησοῦς τί με λέγεις ἀγαθὸν οὐδεὶς
20 ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός ⸰ τὰς ἐντολὰς οἶδας μὴ μοιχεύσῃς μὴ
φονεύσῃς μὴ κλέψῃς μὴ ψευδομαρτυρήσῃς τίμα τὸν πατέρα
21 σου καὶ τὴν μητέρα σόυ ⸰ ὁ δὲ εἶπεν ταῦτα πάντα ἐφυλαξάμην
22 ἐκ νεότητός μόυ ⸰ ἀκούσας δὲ τᾶῦτα ὁ ἰησοῦς εἶπεν αὐτῷ ἔτι
ἕν σοι λείπει πάντα ὅσα ἔχεις πώλησον καὶ διάδος πτωχοῖς καὶ
23 ἕξεις θησαυρὸν ἐν ὀὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι ⸰ ὁ δὲ ἀκού-
24 σας ταῦτα περίλυπος ἐγένὲτο ἦν γὰρ πλούσιος σφόδρα ⸰ ἰδὼν δὲ
αὐτὸν ὁ ἰησοῦς περίλυπον γενόμενον εἶπεν πῶς δυσκόλως οἱ
τὰ χρήματα ἔχοντες εἰσελεύσονται˚ εἰς τὴν βασιλείαν τοῦ θεοῦ ⸰
25 εὐκοπώτερον γάρ ἐστιν κάμηλον διὰ τρυμαλιᾶς˚ ῥαφίδος εἰσελ-
26 θεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν ⸰ εἶπὸν δὲ
27 οἱ ἀκούσαντες καὶ τίς δύναται σωθῆναι ⸰ ὁ δὲ εἶπεν τὰ ἀδύνατα
28 παρὰ ἀνθρώποις δυνατά ἐστιν˚ παρὰ τῷ θεῷ ⸰ εἶπεν δὲ ὁ˚ πέτρος
29 ἰδοὺ ἡμεῖς ἀφήκαμεν˚ πάντα καὶ ἠκολουθήσαμέν σοι ⸰ ὁ δὲ εἶ-

v.13 𝕋*: και ο, 𝕍: ο δε. **v.13** 𝕋*: εις τον ουρανον επαραι, 𝕍: επαραι εις τον ουρανον. **v.13** 𝕋*: εις, 𝕍: ∅. **v.14** 𝕋 𝕂: η εκεινος, 𝕄: η γαρ εκεινος, 𝕍: παρ εκεινον. **v.15** 𝕋*: επετιμησαν, 𝕍: επετιμων. **v.16** 𝕋*: προσκαλεσαμενος, 𝕍: προσεκαλεσατο. **v.16** 𝕋*: ειπεν, 𝕍: λεγων. **v.17** 𝕋*: εαν, 𝕍: αν. **v.20** 𝕋*: σου, 𝕍: ∅. **v.21** 𝕋*: εφυλαξαμην, 𝕍: εφυλαξα. **v.21** 𝕋*: μου, 𝕍: ∅. **v.22** 𝕋*: ταυτα, 𝕍: ∅. **v.22** 𝕋*: ουρανω, 𝕍: [τοις] ουρανοις. **v.23** 𝕋*: εγενετο, 𝕍: εγενηθη. **v.24** 𝕋*: εισελευσονται εις την βασιλειαν του θεου, 𝕍: εις την βασιλειαν του θεου εισπορευονται. **v.25** 𝕋*: τρυμαλιας ραφιδος, 𝕍: τρηματος βελονης. **v.26** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.27** 𝕋*: εστιν παρα τω θεω, 𝕍: παρα τω θεω εστιν. **v.28** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.28** 𝕋*: αφηκαμεν παντα και, 𝕍: αφεντες τα ιδια.

πεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ˚
γονεῖς ἢ ἀδελφοὺς ἢ γυναῖκα ἢ τέκνα ἕνεκεν τῆς βασιλείας τοῦ
θεοῦ ◦ ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ καὶ 30
ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον ◦ παραλαβὼν δὲ τοὺς δώ- 31
δεκα εἶπεν πρὸς αὐτοὺς ἰδοὺ ἀναβαίνομεν εἰς ἱεροσόλυμα καὶ
τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ υἱῷ
τοῦ ἀνθρώπου ◦ παραδοθήσεται γὰρ τοῖς ἔθνεσιν καὶ ἐμπαιχθή- 32
σεται καὶ ὑβρισθήσεται καὶ ἐμπτυσθήσεται ◦ καὶ μαστιγώσαντες 33
ἀποκτενοῦσιν αὐτὸν καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται ◦ καὶ 34
αὐτοὶ οὐδὲν τούτων συνῆκαν καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμ-
μένον ἀπ᾽ αὐτῶν καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα ◦ ἐγένετο δὲ 35
ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς ἰεριχὼ τυφλός τις ἐκάθητο παρὰ τὴν
ὁδὸν προσαιτῶν ◦ ἀκούσας δὲ ὄχλου διαπορευομένου ἐπυνθά- 36
νετο τί εἴη τοῦτο ◦ ἀπήγγειλαν δὲ αὐτῷ ὅτι ἰησοῦς ὁ ναζωραῖος 37
παρέρχεται ◦ καὶ ἐβόησεν λέγων ἰησοῦ υἱὲ δαβὶδ ἐλέησόν με ◦ 38
καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ αὐτὸς δὲ πολ- 39
λῷ μᾶλλον ἔκραζεν υἱὲ δαβὶδ ἐλέησόν με ◦ σταθεὶς δὲ ὁ ἰησοῦς 40
ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτὸν ἐγγίσαντος δὲ αὐτοῦ ἐπη-
ρώτησεν αὐτόν ◦ λέγων τί σοι θέλεις ποιήσω ὁ δὲ εἶπεν κύριε ἵνα 41
ἀναβλέψω ◦ καὶ ὁ ἰησοῦς εἶπεν αὐτῷ ἀνάβλεψον ἡ πίστις σου 42
σέσωκέν σε ◦ καὶ παραχρῆμα ἀνέβλεψεν καὶ ἠκολούθει αὐτῷ 43
δοξάζων τὸν θεὸν καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ θεῷ ◦

καὶ εἰσελθὼν διήρχετο τὴν ἰεριχώ ◦ καὶ ἰδοὺ ἀνὴρ ὀνόματι **19**, 2
καλούμενος ζακχαῖος καὶ αὐτὸς ἦν ἀρχιτελώνης καὶ οὗτος˚ ἦν
πλούσιος ◦ καὶ ἐζήτει ἰδεῖν τὸν ἰησοῦν τίς ἐστιν καὶ οὐκ ἠδύ- 3
νατο ἀπὸ τοῦ ὄχλου ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν ◦ καὶ προδραμὼν 4
ἔμπροσθεν ἀνέβη ἐπὶ συκομωραίαν ἵνα ἴδῃ αὐτὸν ὅτι διʼ ἐκείνης
ἤμελλεν διέρχεσθαι ◦ καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον ἀναβλέψας ὁ 5
ἰησοῦς εἶδεν˚ αὐτὸν καὶ εἶπεν πρὸς αὐτὸν ζακχαῖε σπεύσας κα-
τάβηθι σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι ◦ καὶ σπεύσας 6
κατέβη καὶ ὑπεδέξατο αὐτὸν χαίρων ◦ καὶ ἰδόντες ἅπαντες δι- 7
εγόγγυζον λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθεν καταλῦ-

---

v.29 𝕋*: η γονεις η αδελφους η γυναικα, 𝕍: η γυναικα η αδελφους η γονεις. **v.29** 𝔼: τεκνα, D: τεκνα εν τω καιρω τουτω. **v.30** 𝕋*: ου, 𝕍: ουχι. **v.30** 𝕋*: απολαβη πολλαπλασιονα, 𝕍: [απο]λαβη πολλαπλασιονα, D: λαβη επταπλασιονα. **v.31** 𝕋*: ιεροσολυμα, 𝕍: ιερουσαλημ. **v.35** 𝕋*: προσαιτων, 𝕍: επαιτων. **v.38** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.39** 𝕋*: σιωπηση, 𝕍: σιγηση. **v.39** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.41** 𝕋*: λεγων, 𝕍: ∅. **19.v.2** 𝕋*: ουτος ην, 𝕍: αυτος. **v.4** 𝕋*: εμπροσθεν, 𝕍: εις το εμπροσθεν. **v.4** 𝕋*: συκομωραιαν, 𝕍: συκομορεαν. **v.4** 𝕋 𝕂: δι, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂 𝕍: ημελλεν, 𝕄: εμελλεν. **v.5** 𝕋*: ειδεν αυτον και, 𝕍: ∅. **v.7** 𝕋 𝕂: απαντες, 𝕄 𝕍: παντες.

8 σαι ⸰ σταθεὶς δὲ ζακχαῖος εἶπεν πρὸς τὸν κύριον ἰδοὺ τὰ ἡμίση˚
τῶν ὑπαρχόντων μου κύριε δίδωμι τοῖς πτωχοῖς καὶ εἴ τινός τι
9 ἐσυκοφάντησα ἀποδίδωμι τετραπλοῦν ⸰ εἶπεν δὲ πρὸς αὐτὸν ὁ
ἰησοῦς ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο καθότι καὶ
10 αὐτὸς υἱὸς ἀβραάμ ἐστιν ⸰ ἦλθεν γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζη-
11 τῆσαι καὶ σῶσαι τὸ ἀπολωλός ⸰ ἀκουόντων δὲ αὐτῶν ταῦτα προ-
σθεὶς εἶπεν παραβολὴν διὰ τὸ ἐγγὺς αὐτὸν˚ εἶναι ἱερουσαλὴμ
καὶ δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ θεοῦ
12 ἀναφαίνεσθαι ⸰ εἶπεν οὖν ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς
13 χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι ⸰ κα-
λέσας δὲ δέκα δούλους ἑαυτοῦ ἔδωκεν αὐτοῖς δέκα μνᾶς καὶ
14 εἶπεν πρὸς αὐτοὺς πραγματεύσασθε ἕως ἔρχομαι ⸰ οἱ δὲ πολῖται
αὐτοῦ ἐμίσουν αὐτὸν καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ
15 λέγοντες οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ᾽ ἡμᾶς ⸰ καὶ ἐγένετο
ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν καὶ εἶπεν φωνη-
θῆναι αὐτῷ τοὺς δούλους τούτους οἷς ἔδωκεν̈ τὸ ἀργύριον ἵνα
16 γνῷ˚ τίς τί διεπραγματεύσατο ⸰ παρεγένετο δὲ ὁ πρῶτος λέγων
17 κύριε ἡ μνᾶ σου προσειργάσατο˚ δέκα μνᾶς ⸰ καὶ εἶπεν αὐτῷ
εὖ ἀγαθὲ δοῦλε ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου ἴσθι ἐξουσίαν ἔ-
18 χων ἐπάνω δέκα πόλεων ⸰ καὶ ἦλθεν ὁ δεύτερος λέγων κύριε˚ ἡ
19 μνᾶ σου ἐποίησεν πέντε μνᾶς ⸰ εἶπεν δὲ καὶ τούτῳ καὶ σὺ γί-
20 νου˚ ἐπάνω πέντε πόλεων ⸰ καὶ ἕτερος ἦλθεν λέγων κύριε ἰδοὺ
21 ἡ μνᾶ σου ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ ⸰ ἐφοβούμην γάρ
σε ὅτι ἄνθρωπος αὐστηρὸς εἶ αἴρεις ὃ οὐκ ἔθηκας καὶ θερίζεις
22 ὃ οὐκ ἔσπειρας ⸰ λέγει δὲ˚ αὐτῷ ἐκ τοῦ στόματός σου κρινῶ σε
πονηρὲ δοῦλε ᾔδεις ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι αἴρων ὃ
23 οὐκ ἔθηκα καὶ θερίζων ὃ οὐκ ἔσπειρα ⸰ καὶ διατὶ οὐκ ἔδωκας
τὸ˚ ἀργύριόν μου ἐπὶ τὴν τράπεζαν καὶ˚ ἐγὼ ἐλθὼν σὺν τόκῳ ἂν
24 ἔπραξα˚ αὐτό ⸰ καὶ τοῖς παρεστῶσιν εἶπεν ἄρατε ἀπ᾽ αὐτοῦ τὴν
25 μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι ⸰ καὶ εἶπόν αὐτῷ κύριε
26 ἔχει δέκα μνᾶς ⸰ λέγω γὰρ ὑμῖν ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται
27 ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ˚ αὐτοῦ ⸰ πλὴν

---

v.8 𝕋*: ημιση των υπαρχοντων μου κυριε διδωμι τοις πτωχοις, 𝕍: ημισια μου των υπαρχοντων κυριε τοις πτωχοις διδωμι. **v.11** 𝕋*: αυτον ειναι ιερουσαλημ, 𝕍: ειναι ιερουσαλημ αυτον. **v.13** 𝕋*: εως, 𝕍: εν ω. **v.15** 𝕋*: εδωκεν, 𝕍: δεδωκει. **v.15** 𝕋*: γνω τις τι διεπραγματευσατο, 𝕍: γνοι τι διεπραγματευσαντο. **v.16** 𝕋*: προσειργασατο δεκα, 𝕍: δεκα προσηργασατο. **v.17** 𝕋*: ευ, 𝕍: ευγε. **v.18** 𝕋*: κυριε η μνα σου, 𝕍: η μνα σου κυριε. **v.19** 𝕋*: γινου επανω, 𝕍: επανω γινου. **v.20** 𝕋*: ετερος, 𝕍: ο ετερος. **v.22** 𝕋*: δε, 𝕍: ∅. **v.23** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.23** 𝕋*: το αργυριον μου, 𝕍: μου το αργυριον. **v.23** 𝕋 𝕂: την, 𝕄 𝕍: ∅. **v.23** 𝕋*: και εγω, 𝕍: καγω. **v.23** 𝕋*: επραξα αυτο, 𝕍: αυτο επραξα. **v.25** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.26** 𝕋*: γαρ, 𝕍: ∅. **v.26** 𝕋*: απ αυτου, 𝕍: ∅.

τοὺς ἐχθρούς μου ἐκείνους τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι
ἐπ᾽ αὐτοὺς ἀγάγετε ὧδε καὶ κατασφάξατέ ἔμπροσθέν μου ⸰ καὶ 28
εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς ἱεροσόλυμα ⸰
καὶ ἐγένετο ὡς ἤγγισεν εἰς βηθφαγὴ καὶ βηθανίαν πρὸς τὸ ὄ- 29
ρος τὸ καλούμενον ἐλαιῶν ἀπέστειλεν δύο τῶν μαθητῶν αὐτοῦ ⸰
εἰπὼν ὑπάγετε εἰς τὴν κατέναντι κώμην ἐν ᾗ εἰσπορευόμενοι 30
εὑρήσετε πῶλον δεδεμένον ἐφ᾽ ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐ-
κάθισεν λύσαντες αὐτὸν ἀγάγετε ⸰ καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ διατὶ 31
λύετε οὕτως ἐρεῖτε αὐτῷ ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει ⸰ ἀπελ- 32
θόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς ⸰ λυόντων 33
δὲ αὐτῶν τὸν πῶλον εἶπόν οἱ κύριοι αὐτοῦ πρὸς αὐτοὺς τί λύετε
τὸν πῶλον ⸰ οἱ δὲ εἶπόν ὁ κύριος αὐτοῦ χρείαν ἔχει ⸰ καὶ ἤγα- 34, 35
γον αὐτὸν πρὸς τὸν ἰησοῦν καὶ ἐπιρρίψαντες ἑαυτῶν τὰ ἱμάτια
ἐπὶ τὸν πῶλον ἐπεβίβασαν τὸν ἰησοῦν ⸰ πορευομένου δὲ αὐτοῦ 36
ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ ⸰ ἐγγίζοντος δὲ αὐτοῦ 37
ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν ἤρξαντο ἅπαν τὸ
πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ
περὶ πασῶν ὧν εἶδον δυνάμεων ⸰ λέγοντες εὐλογημένος ὁ ἐρ- 38
χόμενος βασιλεὺς ἐν ὀνόματι κυρίου εἰρήνη ἐν οὐρανῷ καὶ
δόξα ἐν ὑψίστοις ⸰ καί τινες τῶν φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπόν 39
πρὸς αὐτὸν διδάσκαλε ἐπιτίμησον τοῖς μαθηταῖς σου ⸰ καὶ ἀ- 40
ποκριθεὶς εἶπεν αὐτοῖς λέγω ὑμῖν ὅτι ἐὰν οὗτοι σιωπήσωσιν οἱ
λίθοι κεκράξονται ⸰ καὶ ὡς ἤγγισεν ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ᾽ 41
αὐτῇ ⸰ λέγων ὅτι εἰ ἔγνως καὶ σὺ καὶ γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ 42
τὰ πρὸς εἰρήνην σοῦ νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου ⸰ ὅτι 43
ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρα-
κά σοι καὶ περικυκλώσουσίν σε καὶ συνέξουσίν σε πάντοθεν ⸰
καὶ ἐδαφιοῦσίν σε καὶ τὰ τέκνα σου ἐν σοὶ καὶ οὐκ ἀφήσουσιν 44
ἐν σοὶ λίθον ἐπὶ λίθῳ ἀνθ᾽ ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπι-
σκοπῆς σου ⸰ καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς 45
πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας ⸰ λέγων αὐτοῖς γέγραπται 46

---

v.27 𝕋*: εκεινους, 𝕍: τουτους. **v.27** 𝕋*: κατασφαξατε, 𝕍: κατασφαξατε αυτους. **v.29** 𝕋 𝕂 𝕍: βηθφαγη, 𝕄: βηθσφαγη. **v.29** 𝕋*: βηθανιαν, 𝕍: βηθανια[ν]. **v.29** 𝕋*: αυτου, 𝕍: ∅. **v.30** 𝕋*: ειπων, 𝕍: λεγων. **v.30** 𝕋*: εκαθισεν, 𝕍: εκαθισεν και. **v.31** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.31** 𝕋*: αυτω, 𝕍: ∅. **v.33** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.34** 𝕋*: εἶπον, 𝕍: εἶπαν οτι. **v.35** 𝕋*: επιρριψαντες εαυτων, 𝕍: επιριψαντες αυτων. **v.38** 𝕋*: βασιλευς, 𝕍: ο βασιλευς. **v.38** 𝕋*: ειρηνη εν ουρανω, 𝕍: εν ουρανω ειρηνη. **v.39** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.40** 𝕋*: αυτοις, 𝕍: ∅. **v.40** 𝕋*: οτι, 𝕍: ∅. **v.40** 𝕋*: σιωπησωσιν, 𝕍: σιωπησουσιν. **v.40** 𝕋*: κεκραξονται, 𝕍: κραξουσιν. **v.41** 𝕋*: αυτη, 𝕍: αυτην. **v.42** 𝕋*: και συ και γε εν τη ημερα σου ταυτη, 𝕍: εν τη ημερα ταυτη και συ. **v.42** 𝕋*: σου, 𝕍: ∅. **v.43** 𝕋*: περιβαλουσιν, 𝕍: παρεμβαλουσιν. **v.44** 𝕋*: εν σοι λιθον επι λιθω, 𝕍: λιθον επι λιθον εν σοι. **v.45** 𝕋*: εν αυτω και αγοραζοντας, 𝕍: ∅.

ὁ˚ οἶκός μου οἶκος προσευχῆς ἐστὶν ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε
47 σπήλαιον λῃστῶν ◦ καὶ ἦν διδάσκων τὸ καθ᾽ ἡμέραν ἐν τῷ ἱερῷ
οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι καὶ
48 οἱ πρῶτοι τοῦ λαοῦ ◦ καὶ οὐχ εὕρισκον τὸ τί ποιήσωσιν ὁ λαὸς
γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων ◦

20 καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων διδάσκοντος αὐτοῦ
τὸν λαὸν ἐν τῷ ἱερῷ καὶ εὐαγγελιζομένου ἐπέστησαν οἱ ἀρχιερεῖς
2 καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις ◦ καὶ εἶπον˚ πρὸς αὐ-
τὸν λέγοντες εἰπὲ ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς ἢ τίς ἐστιν ὁ
3 δούς σοι τὴν ἐξουσίαν ταύτην ◦ ἀποκριθεὶς δὲ εἶπεν πρὸς αὐτοὺς
4 ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον καὶ εἴπατέ μοι ◦ τὸ βάπτισμα ἰω-
5 άννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων ◦ οἱ δὲ συνελογίσαντο πρὸς
ἑαυτοὺς λέγοντες ὅτι ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ ἐρεῖ διατί οὖν
6 οὐκ ἐπιστεύσατε αὐτῷ ◦ ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων πᾶς˚ ὁ λα-
ὸς καταλιθάσει ἡμᾶς πεπεισμένος γάρ ἐστιν ἰωάννην προφήτην
7, 8 εἶναι ◦ καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν ◦ καὶ ὁ ἰησοῦς εἶπεν
9 αὐτοῖς οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ ◦ ἤρ-
ξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην ἄνθρωπός
τις ἐφύτευσεν ἀμπελῶνα καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπε-
10 δήμησεν χρόνους ἱκανούς ◦ καὶ ἐν καιρῷ ἀπέστειλεν πρὸς τοὺς
γεωργοὺς δοῦλον ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δῶσιν
11 αὐτῷ οἱ δὲ γεωργοὶ δείραντες˚ αὐτὸν ἐξαπέστειλαν κενόν ◦ καὶ
προσέθετο πέμψαι˚ ἕτερον δοῦλον οἱ δὲ κἀκεῖνον δείραντες καὶ
12 ἀτιμάσαντες ἐξαπέστειλαν κενόν ◦ καὶ προσέθετο πέμψαι˚ τρίτον
13 οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον ◦ εἶπεν δὲ ὁ κύριος
τοῦ ἀμπελῶνος τί ποιήσω πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν ἴ-
14 σως τοῦτον ἰδόντες ἐντραπήσονται ◦ ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ
διελογίζοντο πρὸς ἑαυτοὺς λέγοντες οὗτός ἐστιν ὁ κληρονόμος
15 δεῦτε ἀποκτείνωμεν αὐτὸν ἵνα ἡμῶν γένηται ἡ κληρονομία ◦ καὶ
ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος ἀπέκτειναν τί οὖν ποιήσει
16 αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος ◦ ἐλεύσεται καὶ ἀπολέσει τοὺς
γεωργοὺς τούτους καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις ἀκούσαντες
17 δὲ εἶπόν μὴ γένοιτο ◦ ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπεν τί οὖν ἐστιν

---

v.46 𝕋*: ο οικος μου οικος προσευχης εστιν, 𝕍: και εσται ο οικος μου οικος προσευχης. **20.v.1** 𝕋*: εκεινων, 𝕍: ∅. **v.1** 𝕋 𝕂 𝕍: αρχιερεις, 𝕄: ιερεις. **v.2** 𝕋*: εἶπον πρὸς αὐτὸν λέγοντες εἰπὲ, 𝕍: εἶπαν λέγοντες πρὸς αὐτὸν εἶπον. **v.3** 𝕋*: ενα, 𝕍: ∅. **v.5** 𝕋 𝕂: διατι ουν, 𝕄 𝕍: δια τι. **v.6** 𝕋*: πας ο λαος, 𝕍: ο λαος απας. **v.9** 𝕋 𝕂: τις, 𝕄: ∅, 𝕍: [τις]. **v.9** 𝕋*: εξεδοτο, 𝕍: εξεδετο. **v.10** 𝕋*: εν, 𝕍: ∅. **v.10** 𝕋*: δωσιν, 𝕍: δωσουσιν. **v.10** 𝕋*: δειραντες αυτον εξαπεστειλαν, 𝕍: εξαπεστειλαν αυτον δειραντες. **v.11** 𝕋*: πεμψαι ετερον, 𝕍: ετερον πεμψαι. **v.12** 𝕋*: πεμψαι τριτον, 𝕍: τριτον πεμψαι. **v.13** 𝕋*: ιδοντες, 𝕍: ∅. **v.14** 𝕋*: εαυτους, 𝕍: αλληλους. **v.14** 𝕋*: δευτε, 𝕍: ∅. **v.16** 𝕋*: εἶπον, 𝕍: εἶπαν.

τὸ γεγραμμένον τοῦτο λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας ⸂ πᾶς ὁ πεσὼν ἐπ᾽ ἐκεῖνον 18
τὸν λίθον συνθλασθήσεται ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ λικμήσει αὐτόν ⸂ καὶ 19
ἐζήτησαν οἱ ἀρχιερεῖς˚ καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν ἐπ᾽ αὐτὸν
τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ καὶ ἐφοβήθησαν τὸν˚ λαὸν ἔγνωσαν
γὰρ ὅτι πρὸς αὐτοὺς τὴν˚ παραβολὴν ταύτην εἶπεν ⸂ καὶ παρατη- 20
ρήσαντες ἀπέστειλαν ἐγκαθέτους ὑποκρινομένους ἑαυτοὺς δι-
καίους εἶναι ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου εἰς˚ τὸ παραδοῦναι
αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος ⸂ καὶ ἐπηρώτησαν 21
αὐτὸν λέγοντες διδάσκαλε οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδά-
σκεις καὶ οὐ λαμβάνεις πρόσωπον ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁδὸν
τοῦ θεοῦ διδάσκεις ⸂ ἔξεστιν ἡμῖν καίσαρι φόρον δοῦναι ἢ οὔ ⸂ 22
κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν εἶπεν πρὸς αὐτούς τί˚ με 23
πειράζετε ⸂ ἐπιδείξατέ μοι δηνάριον τίνος ἔχει εἰκόνα καὶ ἐπι- 24
γραφὴν ἀποκριθέντες˚ δὲ εἶπον καίσαρος ⸂ ὁ δὲ εἶπεν αὐτοῖς˚ 25
ἀπόδοτε τοίνυν τὰ καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θε-
ῷ ⸂ καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ 26
λαοῦ καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ ἐσίγησαν ⸂ προ- 27
σελθόντες δέ τινες τῶν σαδδουκαίων οἱ ἀντιλέγοντες ἀνάστασιν
μὴ εἶναι ἐπηρώτησαν αὐτόν ⸂ λέγοντες διδάσκαλε μωϋσῆς ἔγρα- 28
ψεν ἡμῖν ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα καὶ οὗτος
ἄτεκνος ἀποθάνῃ ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα καὶ
ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ ⸂ ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν 29
καὶ ὁ πρῶτος λαβὼν γυναῖκα ἀπέθανεν ἄτεκνος ⸂ καὶ ἔλαβεν˚ ὁ 30
δεύτερος τὴν γυναῖκα καὶ οὗτος ἀπέθανεν ἄτεκνος ⸂ καὶ ὁ τρί- 31
τος ἔλαβεν αὐτὴν ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ οὐ κατέλιπον τέκνα
καὶ ἀπέθανον ⸂ ὕστερον δὲ˚ πάντων˚ ἀπέθανεν καὶ ἡ γυνή ⸂ ἐν˚ 32, 33
τῇ οὖν ἀναστάσει τίνος αὐτῶν γίνεται γυνή οἱ γὰρ ἑπτὰ ἔσχον
αὐτὴν γυναῖκα ⸂ καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὁ ἰησοῦς οἱ υἱοὶ 34
τοῦ αἰῶνος τούτου γαμοῦσιν καὶ ἐκγαμίσκονται ⸂ οἱ δὲ κατα- 35
ξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς ἐκ
νεκρῶν οὔτε γαμοῦσιν οὔτε ἐκγαμίσκονται ⸂ οὐδὲ γὰρ ἀποθα- 36

v.19 𝕋*: αρχιερεις και οι γραμματεις, 𝕍: γραμματεις και οι αρχιερεις. **v.19** 𝕋 𝕂 𝕍: τον λαον, 𝕄: ∅. **v.19** 𝕋*: την παραβολην ταυτην ειπεν, 𝕍: ειπεν την παραβολην ταυτην. **v.20** 𝕋*: εις το, 𝕍: ωστε. **v.22** 𝕋*: ημιν, 𝕍: ημας. **v.23** 𝕋*: τι με πειραζετε, 𝕍: ∅. **v.24** 𝕋*: επιδειξατε, 𝕍: δειξατε. **v.24** 𝕋*: αποκριθέντες δὲ εἶπον, 𝕍: οι δε εἶπαν. **v.25** 𝕋*: αυτοις αποδοτε τοινυν, 𝕍: προς αυτους τοινυν αποδοτε. **v.27** 𝕋*: αντιλεγοντες, 𝕍: [αντι]λεγοντες, ℵ B C D: λεγοντες. **v.28** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.28** 𝕋*: αποθανη, 𝕍: η. **v.30** 𝕋*: ελαβεν ο δευτερος την γυναικα και ουτος απεθανεν ατεκνος, 𝕍: ο δευτερος. **v.31** 𝕋 𝕄 𝕍: ου, 𝕂: και ου. **v.32** 𝕋 𝕄: δε, 𝕂 𝕍: ∅. **v.32** 𝕋*: παντων απεθανεν και η γυνη, 𝕍: και η γυνη απεθανεν. **v.33** 𝕋*: εν τη ουν, 𝕍: η γυνη ουν εν τη. **v.34** 𝕋*: αποκριθεις, 𝕍: ∅. **v.34** 𝕋*: εκγαμισκονται, 𝕍: γαμισκονται. **v.35** 𝕋 𝕂: εκγαμισκονται, 𝕄: εκγαμιζονται, 𝕍: γαμιζονται. **v.36** 𝕋*: ουτε, 𝕍: ουδε.

νεῖν ἔτι δύνανται ἰσάγγελοι γάρ εἰσιν καὶ υἱοί εἰσιν τοῦ θεοῦ τῆς
37 ἀναστάσεως υἱοὶ ὄντες· ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ καὶ μωϋσῆς
ἐμήνυσεν ἐπὶ τῆς βάτου ὡς λέγει κύριον τὸν θεὸν ἀβραὰμ καὶ
38 τὸν θεὸν ἰσαὰκ καὶ τὸν θεὸν ἰακώβ· θεὸς δὲ οὐκ ἔστιν νεκρῶν
39 ἀλλὰ ζώντων πάντες γὰρ αὐτῷ ζῶσιν· ἀποκριθέντες δέ τινες τῶν
40 γραμματέων εἶπόν διδάσκαλε καλῶς εἶπας· οὐκέτι δὲ ἐτόλμων
41 ἐπερωτᾶν αὐτὸν οὐδέν· εἶπεν δὲ πρὸς αὐτούς πῶς λέγουσιν τὸν
42 χριστὸν υἱὸν δαβὶδ εἶναι· καὶ αὐτὸς δαβὶδ λέγει ἐν βίβλῳ ψαλ-
43 μῶν εἶπεν ὁ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου· ἕως
44 ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· δαβὶδ οὖν
45 κύριον αὐτὸν καλεῖ καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν· ἀκούοντος δὲ
46 παντὸς τοῦ λαοῦ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· προσέχετε ἀπὸ τῶν
γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς καὶ φιλούντων
ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ πρωτοκαθεδρίας ἐν ταῖς συ-
47 ναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις· οἱ κατεσθίουσιν
τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσεύχονται οὗτοι
λήψονται περισσότερον κρίμα·

21 ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ
2 γαζοφυλάκιον πλουσίους· εἶδεν δὲ καί τινα χήραν πενιχρὰν
3 βάλλουσαν ἐκεῖ δύο λεπτά· καὶ εἶπεν ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ
4 χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν· ἅπαντες γὰρ οὗτοι
ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ αὕτη
δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλεν·
5 καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ ὅτι λίθοις καλοῖς καὶ ἀναθή-
6 μασιν κεκόσμηται εἶπεν· ταῦτα ἃ θεωρεῖτε ἐλεύσονται ἡμέραι
ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ καταλυθήσεται·
7 ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες διδάσκαλε πότε οὖν ταῦτα ἔσται
8 καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα γίνεσθαι· ὁ δὲ εἶπεν βλέ-
πετε μὴ πλανηθῆτε πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου
λέγοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικεν μὴ οὖν πορευθῆτε
9 ὀπίσω αὐτῶν· ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας
μὴ πτοηθῆτε δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον ἀλλ᾽ οὐκ εὐθέως

---

v.36 𝔼: δυναναι, D: μελλουσιν. **v.36** 𝕋*: του, 𝕍: ∅. **v.37** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.37** 𝕋*: τον, 𝕍: ∅. **v.38** 𝔼: θεος δε ουκ εστιν νεκρων, D: θεος νεκρων ουκ εστιν. **v.39** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.40** 𝕋 D: ουκετι, 𝕂 𝕄 𝕍: ουκ ετι. **v.40** 𝕋*: δε, 𝕍: γαρ. **v.41** 𝕋*: υιον δαβιδ ειναι, 𝕍: ειναι δαυιδ υιον. **v.42** 𝕋*: και αυτος δαβιδ, 𝕍: αυτος γαρ δαυιδ. **v.42** 𝕋*: ο, 𝕍: ∅. **v.44** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.44** 𝕋*: υιος αυτου, 𝕍: αυτου υιος. **v.47** 𝕋*: ληψονται, 𝕍: λημψονται. **21.v.1** 𝕋*: τα δωρα αυτων εις το γαζοφυλακιον, 𝕍: εις το γαζοφυλακιον τα δωρα αυτων. **v.2** 𝕋 𝕂: και τινα, 𝕄: τινα και, 𝕍: τινα. **v.2** 𝕋*: δυο λεπτα, 𝕍: λεπτα δυο. **v.3** 𝕋*: η πτωχη αυτη, 𝕍: αυτη η πτωχη. **v.4** 𝕋*: απαντες, 𝕍: παντες. **v.4** 𝕋*: του θεου, 𝕍: ∅. **v.4** 𝕋*: απαντα, 𝕍: παντα. **v.8** 𝕋*: οτι, 𝕍: ∅. **v.8** 𝕋*: ουν, 𝕍: ∅.

τὸ τέλος ⸓ τότε ἔλεγεν αὐτοῖς ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ 10
βασιλεία ἐπὶ βασιλείαν ⸓ σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ 11
λιμοὶ καὶ λοιμοὶ ἔσονται φόβητρά τε καὶ σημεῖα ἀπ᾽ οὐρανοῦ
μεγάλα ἔσται ⸓ πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ᾽ ὑμᾶς 12
τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν παραδιδόντες εἰς συναγωγὰς
καὶ φυλακὰς ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ
ὀνόματός μου ⸓ ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον ⸓ θέσθε οὖν 13, 14
εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι ⸓ ἐγὼ γὰρ 15
δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ
ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν ⸓ παραδοθήσεσθε δὲ καὶ 16
ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων καὶ θανα-
τώσουσιν ἐξ ὑμῶν ⸓ καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ 17
ὄνομά μου ⸓ καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται ⸓ 18
ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν ⸓ ὅταν δὲ ἴδητε 19, 20
κυκλουμένην ὑπὸ στρατοπέδων τὴν ἱερουσαλὴμ τότε γνῶτε ὅτι
ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς ⸓ τότε οἱ ἐν τῇ ἰουδαίᾳ φευγέτωσαν 21
εἰς τὰ ὄρη καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν καὶ οἱ ἐν ταῖς χώ-
ραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν ⸓ ὅτι ἡμέραι ἐκδικήσεως αὗταί 22
εἰσιν τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα ⸓ οὐαὶ δὲ ταῖς ἐν 23
γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις
ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ ἐν τῷ λαῷ τού-
τῳ ⸓ καὶ πεσοῦνται στόματι μαχαίρας καὶ αἰχμαλωτισθήσονται 24
εἰς πάντα τὰ ἔθνη καὶ ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐ-
θνῶν ἄχρι πληρωθῶσιν καιροὶ ἐθνῶν ⸓ καὶ ἔσται σημεῖα ἐν ἡλίῳ 25
καὶ σελήνῃ καὶ ἄστροις καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀ-
πορίᾳ ἠχούσης θαλάσσης καὶ σάλου ⸓ ἀποψυχόντων ἀνθρώπων 26
ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ αἱ
γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται ⸓ καὶ τότε ὄψονται 27
τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως
καὶ δόξης πολλῆς ⸓ ἀρχομένων δὲ τούτων γίνεσθαι ἀνακύψατε 28
καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑ-
μῶν ⸓ καὶ εἶπεν παραβολὴν αὐτοῖς ἴδετε τὴν συκῆν καὶ πάντα τὰ 29
δένδρα ⸓ ὅταν προβάλωσιν ἤδη βλέποντες ἀφ᾽ ἑαυτῶν γινώσκετε 30

---

v.10 𝕋*: επι, 𝕍: επ. **v.11** 𝕋*: κατα τοπους και, 𝕍: και κατα τοπους. **v.11** 𝕋*: σημεια απ ουρανου, 𝕍: απ ουρανου σημεια. **v.12** 𝕋 𝕂: απαντων, 𝕄 𝕍: παντων. **v.12** 𝕋*: συναγωγας, 𝕍: τας συναγωγας. **v.12** 𝕋*: αγομενους, 𝕍: απαγομενους. **v.13** 𝕋*: δε, 𝕍: ∅. **v.14** 𝕋*: θεσθε, 𝕍: θετε. **v.14** 𝕋*: εις τας καρδιας, 𝕍: εν ταις καρδιαις. **v.15** 𝕋*: αντειπειν ουδε αντιστηναι παντες, 𝕍: αντιστηναι η αντειπειν απαντες. **v.16** 𝕋 𝕂 𝕍: αδελφων και συγγενων και φιλων, 𝕄: συγγενων και φιλων και αδελφων. **v.20** 𝕋*: την, 𝕍: ∅. **v.22** 𝕋 𝕂: πληρωθηναι, 𝕄 𝕍: πλησθηναι. **v.23** 𝕋*: δε, 𝕍: ∅. **v.23** 𝕋*: εν, 𝕍: ∅. **v.24** 𝕋*: μαχαιρας, 𝕍: μαχαιρης. **v.24** 𝕋*: παντα τα εθνη, 𝕍: τα εθνη παντα. **v.24** 𝕋*: αχρι, 𝕍: αχρι ου. **v.25** 𝕋*: εσται, 𝕍: εσονται. **v.25** 𝕋*: ηχουσης, 𝕍: ηχους.

31 ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν ⸓ οὕτως καὶ ὑμεῖς ὅταν ἴδητε ταῦτα
32 γινόμενα γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ θεοῦ ⸓ ἀμὴν
λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένη-
33 ται ⸓ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται οἱ δὲ λόγοι μου οὐ μὴ
34 παρέλθωσιν ⸓ προσέχετε δὲ ἑαυτοῖς μήποτε βαρυνθῶσιν ὑμῶν
αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς καὶ
35 αἰφνίδιος˚ ἐφ᾽ ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη ⸓ ὡς παγὶς γὰρ˚ ἐπε-
λεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς
36 γῆς ⸓ ἀγρυπνεῖτε οὖν̓ ἐν παντὶ καιρῷ δεόμενοι ἵνα κατἀξιωθῆτε
ἐκφυγεῖν τἆῦτα πάντα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμ-
37 προσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ⸓ ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ
διδάσκων τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ
38 καλούμενον ἐλαιῶν ⸓ καὶ πᾶς ὁ λαὸς ὤρθριζεν πρὸς αὐτὸν ἐν τῷ
ἱερῷ ἀκούειν αὐτοῦ ⸓

22, 2 ἤγγιζεν δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα ⸓ καὶ ἐ-
ζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτὸν
3 ἐφοβοῦντο γὰρ τὸν λαόν ⸓ εἰσῆλθεν δὲ ὁ˚ σατανᾶς εἰς ἰούδαν τὸν
ἐπἰκαλούμενον ἰσκαριώτην ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα ⸓
4 καὶ ἀπελθὼν συνελάλησεν τοῖς ἀρχιερεῦσιν καὶ τοῖς στρατηγοῖς
5 τὸ πῶς αὐτὸν˚ παραδῷ αὐτοῖς ⸓ καὶ ἐχάρησαν καὶ συνέθεντο αὐ-
6 τῷ ἀργύριον δοῦναι ⸓ καὶ ἐξωμολόγησεν καὶ ἐζήτει εὐκαιρίαν
7 τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς˚ ἄτερ ὄχλου ⸓ ἦλθεν δὲ ἡ ἡμέρα
8 τῶν ἀζύμων ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα ⸓ καὶ ἀπέστειλεν πέτρον
καὶ ἰωάννην εἰπὼν πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα ἵνα
9, 10 φάγωμεν ⸓ οἱ δὲ εἶπόν αὐτῷ ποῦ θέλεις ἑτοιμάσῶμεν ⸓ ὁ δὲ εἶπεν
αὐτοῖς ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναντήσει ὑμῖν
ἄνθρωπος κεράμιον ὕδατος βαστάζων ἀκολουθήσατε αὐτῷ εἰς
11 τὴν οἰκίαν ὅῦ εἰσπορεύεται ⸓ καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰ-
κίας λέγει σοι ὁ διδάσκαλος ποῦ ἐστιν τὸ κατάλυμα ὅπου τὸ
12 πάσχα μετὰ τῶν μαθητῶν μου φάγω ⸓ κἀκεῖνος ὑμῖν δείξει ἀ-
13 νώγεον μέγα ἐστρωμένον ἐκεῖ ἑτοιμάσατε ⸓ ἀπελθόντες δὲ εὗρον
14 καθὼς εἴρηκεν̓ αὐτοῖς καὶ ἡτοίμασαν τὸ πάσχα ⸓ καὶ ὅτε ἐγέ-
15 νετο ἡ ὥρα ἀνέπεσεν καὶ οἱ δώδἐκα ἀπόστολοι σὺν αὐτῷ ⸓ καὶ
εἶπεν πρὸς αὐτοὺς ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν

---

v.33 𝕋*: παρελθωσιν, 𝕍: παρελευσονται. **v.34** 𝕋 𝕂: βαρυνθωσιν, 𝕄 𝕍: βαρηθωσιν. **v.34** 𝕋*: αιφνιδιος εφ υμας επιστη, 𝕍: επιστη εφ υμας αιφνιδιος. **v.35** 𝕋*: γαρ επελευσεται, 𝕍: επεισελευσεται γαρ. **v.36** 𝕋*: ουν, 𝕍: δε. **v.36** 𝕋*: καταξιωθητε, 𝕍: κατισχυσητε. **v.36** 𝕋 𝕂 𝕍: ταυτα, 𝕄: ∅. **22.v.3** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.3** 𝕋*: επικαλουμενον, 𝕍: καλουμενον. **v.4** 𝕋 𝕂: τοις, 𝕄 𝕍: ∅. **v.4** 𝕋*: αυτον παραδω αυτοις, 𝕍: αυτοις παραδω αυτον. **v.6** 𝕋*: αυτοις ατερ οχλου, 𝕍: ατερ οχλου αυτοις. **v.9** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.9** 𝕋 𝕂 𝕍: ετοιμασωμεν, 𝕄: ετοιμασομεν. **v.10** 𝕋*: ου, 𝕍: εις ην. **v.12** 𝕋*: ανωγεον, 𝕍: αναγαιον. **v.13** 𝕋*: ειρηκεν, 𝕍: ειρηκει. **v.14** 𝕋*: δωδεκα, 𝕍: ∅.

μεθ᾽ ὑμῶν πρὸ τοῦ με παθεῖν· λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ 16
φάγω ἐξ᾽ αὐτοῦ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ·
καὶ δεξάμενος ποτήριον εὐχαριστήσας εἶπεν λάβετε τοῦτο καὶ 17
διαμερίσατε ἑαυτοῖς· λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ 18
γενήματος τῆς ἀμπέλου ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ·
καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς λέ- 19
γων τοῦτό ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον τοῦτο
ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὡσαύτως᾽ καὶ τὸ ποτήριον μετὰ 20
τὸ δειπνῆσαι λέγων τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ
αἵματί μου τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον· πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ 21
παραδιδόντος με μετ᾽ ἐμοῦ ἐπὶ τῆς τραπέζης· καὶ᾽ ὁ μὲν υἱὸς 22
τοῦ ἀνθρώπου πορεύεται᾽ κατὰ τὸ ὡρισμένον πλὴν οὐαὶ τῷ ἀν-
θρώπῳ ἐκείνῳ δι᾽ οὗ παραδίδοται· καὶ αὐτοὶ ἤρξαντο συζητεῖν 23
πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσ-
σειν· ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς τὸ τίς αὐτῶν δοκεῖ 24
εἶναι μείζων· ὁ δὲ εἶπεν αὐτοῖς οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύ- 25
ουσιν αὐτῶν καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται·
ὑμεῖς δὲ οὐχ οὕτως ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν γενέσθω ὡς ὁ νεώτερος 26
καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν· τίς γὰρ μείζων ὁ ἀνακείμενος 27
ἢ ὁ διακονῶν οὐχὶ ὁ ἀνακείμενος ἐγὼ δὲ εἰμι᾽ ἐν μέσῳ ὑμῶν
ὡς ὁ διακονῶν· ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ᾽ ἐμοῦ ἐν 28
τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι 29
ὁ πατήρ μου βασιλείαν· ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης 30
μου ἐν τῇ βασιλείᾳ μου καὶ καθίσῃσθε ἐπὶ θρόνων κρίνοντες᾽
τὰς δώδεκα φυλὰς τοῦ ἰσραήλ· εἶπεν᾽ δὲ ὁ κύριος σίμων σίμων 31
ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· ἐ- 32
γὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου καὶ σὺ
ποτε ἐπιστρέψας στήριξὸν τοὺς ἀδελφούς σου· ὁ δὲ εἶπεν αὐτῷ 33
κύριε μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον
πορεύεσθαι· ὁ δὲ εἶπεν λέγω σοι πέτρε οὐ μὴ᾽ φωνήσει σήμε- 34
ρον ἀλέκτωρ πρὶν᾽ ἢ τρὶς ἀπαρνήσῃ᾽ μὴ εἰδέναι με· καὶ εἶπεν 35
αὐτοῖς ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ὑ-

v.16 𝕋*: ουκετι, 𝕍: ∅. **v.16** 𝕋*: εξ αυτου, 𝕍: αυτο. **v.17** 𝕋*: εαυτοις, 𝕍: εις εαυτους. **v.18** 𝕋 𝕂: γεννηματος, 𝕄: γενηματος, 𝕍: νυν απο του γενηματος. **v.18** 𝕋*: οτου, 𝕍: ου. **v.20** 𝕋*: ωσαυτως και το ποτηριον, 𝕍: και το ποτηριον ωσαυτως. **v.20** 𝕋*: εκχυνομενον, 𝕍: εκχυννομενον. **v.22** 𝕋*: και ο μεν υιος, 𝕍: οτι ο υιος μεν. **v.22** 𝕋*: πορευεται κατα το ωρισμενον, 𝕍: κατα το ωρισμενον πορευεται. **v.26** 𝕋*: γενεσθω, 𝕍: γινεσθω. **v.27** 𝕋*: ειμι εν μεσω υμων, 𝕍: εν μεσω υμων ειμι. **v.30** 𝕋*: εσθιητε, 𝕍: εσθητε. **v.30** 𝕋 𝕂: καθισησθε, 𝕄: καθισεσθε, 𝕍: καθησεσθε. **v.30** 𝕋*: κρινοντες τας δωδεκα φυλας, 𝕍: τας δωδεκα φυλας κρινοντες. **v.31** 𝕋*: ειπεν δε ο κυριος, 𝕍: ∅. **v.32** 𝕋 𝕂: εκλειπη, 𝕄 𝕍: εκλιπη. **v.32** 𝕋*: στηριξον, 𝕍: στηρισον. **v.34** 𝕋 𝕂: μη φωνησει, 𝕄: μη φωνηση, 𝕍: φωνησει. **v.34** 𝕋*: πριν η, 𝕍: εως. **v.34** 𝕋*: απαρνηση μη ειδεναι με, 𝕍: με απαρνηση ειδεναι. **v.35** 𝕋*: βαλαντιου, 𝕍: βαλλαντιου.

36 ποδημάτων μή τινος ὑστερήσατε οἱ δὲ εἶπον˙ οὐδενός ⸰ εἶπεν
ὁῦν αὐτοῖς ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω ὁμοίως καὶ πή-
ραν καὶ ὁ μὴ ἔχων πωληδάτω τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω
37 μάχαιραν ⸰ λέγω γὰρ ὑμῖν ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τε-
λεσθῆναι ἐν ἐμοὶ τὸ καὶ μετὰ ἀνόμων ἐλογίσθη καὶ γὰρ τὰ περὶ
38 ἐμοῦ τέλος ἔχει ⸰ οἱ δὲ εἶπὸν κύριε ἰδοὺ μάχαιραι ὧδε δύο ὁ δὲ
39 εἶπεν αὐτοῖς ἱκανόν ἐστιν ⸰ καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος
εἰς τὸ ὄρος τῶν ἐλαιῶν ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ
40 αὐτοῦ ⸰ γενόμενος δὲ ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς προσεύχεσθε
41 μὴ εἰσελθεῖν εἰς πειρασμόν ⸰ καὶ αὐτὸς ἀπεσπάσθη ἀπ᾽ αὐτῶν
42 ὡσεὶ λίθου βολὴν καὶ θεὶς τὰ γόνατα προσηύχετο ⸰ λέγων πάτερ
εἰ βούλει παρενεγκεῖν˙ τὸ˚ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ πλὴν μὴ τὸ
43 θέλημά μου ἀλλὰ τὸ σὸν γἐνέσθω ⸰ ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ᾽
44 οὐρανοῦ ἐνισχύων αὐτόν ⸰ καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστε-
ρον προσηύχετο ἐγένετο˚ δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵμα-
45 τος καταβαίνοντες ἐπὶ τὴν γῆν ⸰ καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς
ἐλθὼν πρὸς τοὺς μαθητὰς εὗρεν˚ αὐτοὺς κοιμωμένους ἀπὸ τῆς
46 λύπης ⸰ καὶ εἶπεν αὐτοῖς τί καθεύδετε ἀναστάντες προσεύχεσθε
47 ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν ⸰ ἔτι δὲ˚ αὐτοῦ λαλοῦντος ἰδοὺ
ὄχλος καὶ ὁ λεγόμενος ἰούδας εἷς τῶν δώδεκα προήρχετο αὐτῶν
48 καὶ ἤγγισεν τῷ ἰησοῦ φιλῆσαι αὐτόν ⸰ ὁ˚ δὲ ἰησοῦς εἶπεν αὐτῷ
49 ἰούδα φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως ⸰ ἰδόντες δὲ
οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπον˚ αὐτῷ κύριε εἰ πατάξομεν ἐν
50 μαχαίρᾳ ⸰ καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν˚ δοῦλον τοῦ ἀρ-
51 χιερέως καὶ ἀφεῖλεν αὐτοῦ˚ τὸ οὖς τὸ δεξιόν ⸰ ἀποκριθεὶς δὲ ὁ
ἰησοῦς εἶπεν ἐᾶτε ἕως τούτου καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ ἰ-
52 άσατο αὐτόν ⸰ εἶπεν δὲ ὁ˚ ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ᾽
αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους ὡς
53 ἐπὶ λῃστὴν ἐξελἠλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων ⸰ καθ᾽ ἡμέραν
ὄντος μου μεθ᾽ ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ᾽
ἐμὲ ἀλλ᾽ αὕτη ὑμῶν˚ ἐστιν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους ⸰

---

v.35 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.35** 𝕋 𝕂: ουδενος, 𝕄 𝕍: ουθενος. **v.36** 𝕋*: ουν, 𝕍: δε. **v.36** 𝕋*: βαλαντιον, 𝕍: βαλλαντιον. **v.36** 𝕋 𝕂 𝕍: πωλησατω, 𝕄: πωλησει. **v.36** 𝕋 𝕂 𝕍: αγορασατω, 𝕄: αγορασει. **v.37** 𝕋*: ετι, 𝕍: ∅. **v.37** 𝕋*: τα, 𝕍: το. **v.38** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.39** 𝕋*: αυτου, 𝕍: ∅. **v.42** 𝕋 𝕄: παρενεγκειν, 𝕂 𝕍: παρενεγκε. **v.42** 𝕋*: το ποτηριον τουτο, 𝕍: τουτο το ποτηριον. **v.42** 𝕋*: γενεσθω, 𝕍: γινεσθω. **v.43** 𝔼: απ, 𝔻: απο του. **v.44** 𝕋*: εγενετο δε, 𝕍: και εγενετο. **v.45** 𝕋 𝕄: ευρεν αυτους κοιμωμενους, 𝕂: αυτου ευρεν αυτους κοιμωμενους, 𝕍: ευρεν κοιμωμενους αυτους. **v.47** 𝕋*: δε, 𝕍: ∅. **v.47** 𝕋 𝕂: αυτων, 𝕄 𝕍: αυτους. **v.48** 𝕋*: ο δε ιησους, 𝕍: ιησους δε. **v.49** 𝕋*: εἶπον αὐτῷ, 𝕍: εἶπαν. **v.49** 𝕋*: μαχαιρα, 𝕍: μαχαιρη. **v.50** 𝕋*: τον δουλον του αρχιερεως, 𝕍: του αρχιερεως τον δουλον. **v.50** 𝕋*: αυτου το ους, 𝕍: το ους αυτου. **v.51** 𝕋*: αυτου, 𝕍: ∅. **v.52** 𝕋*: ο, 𝕍: ∅. **v.52** 𝕋*: εξεληλυθατε, 𝕍: εξηλθατε. **v.53** 𝕋*: υμων εστιν, 𝕍: εστιν υμων.

συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον αὐτὸν˚ εἰς τὸν οἶ- 54
κον τοῦ ἀρχιερέως ὁ δὲ πέτρος ἠκολούθει μακρόθεν ⸰ ἁψάντων 55
δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς καὶ συγκαθισάντων αὐτῶν ἐκάθητο
ὁ πέτρος ἐν˚ μέσῳ αὐτῶν ⸰ ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθή- 56
μενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπεν καὶ οὗτος σὺν
αὐτῷ ἦν ⸰ ὁ δὲ ἠρνήσατο αὐτὸν˚ λέγων γύναι οὐκ οἶδα αὐτόν ⸰ 57
καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη καὶ σὺ ἐξ αὐτῶν εἶ ὁ δὲ 58
πέτρος εἶπεν ἄνθρωπε οὐκ εἰμί ⸰ καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς 59
ἄλλος τις διϊσχυρίζετο λέγων ἐπ᾽ ἀληθείας καὶ οὗτος μετ᾽ αὐτοῦ
ἦν καὶ γὰρ γαλιλαῖός ἐστιν ⸰ εἶπεν δὲ ὁ πέτρος ἄνθρωπε οὐκ 60
οἶδα ὃ λέγεις καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ ἐφώνησεν ὁ˚
ἀλέκτωρ ⸰ καὶ στραφεὶς ὁ κύριος ἐνέβλεψεν τῷ πέτρῳ καὶ ὑπε- 61
μνήσθη ὁ πέτρος τοῦ λόγου τοῦ κυρίου ὡς εἶπεν αὐτῷ ὅτι πρὶν
ἀλέκτορα φωνῆσαι ἀπαρνήσῃ με τρίς ⸰ καὶ ἐξελθὼν ἔξω ὁ˚ πέ- 62
τρος ἔκλαυσεν πικρῶς ⸰ καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν˚ ἰησοῦν 63
ἐνέπαιζον αὐτῷ δέροντες ⸰ καὶ περικαλύψαντες αὐτὸν ἔτυπτον˚ 64
αὐτοῦ τὸ πρόσωπον καὶ ἐπηρώτων αὐτὸν λέγοντες προφήτευσον
τίς ἐστιν ὁ παίσας σε ⸰ καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον 65
εἰς αὐτόν ⸰ καὶ ὡς ἐγένετο ἡμέρα συνήχθη τὸ πρεσβυτέριον τοῦ 66
λαοῦ ἀρχιερεῖς τε καὶ γραμματεῖς καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ
συνέδριον ἑαυτῶν λέγοντες ⸰ εἰ σὺ εἶ ὁ χριστὸς εἰπὲ ἡμῖν εἶπεν 67
δὲ αὐτοῖς ἐὰν ὑμῖν εἴπω οὐ μὴ πιστεύσητε ⸰ ἐὰν δὲ καὶ ἐρωτήσω 68
οὐ μὴ ἀποκριθῆτέ μοι˚ ἢ ἀπολύσητε ⸰ ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς 69
τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ ⸰
εἶπὸν δὲ πάντες σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ ὁ δὲ πρὸς αὐτοὺς 70
ἔφη ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι ⸰ οἱ δὲ εἶπὸν τί ἔτι χρείαν˚ ἔχομεν 71
μαρτυρίας αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ ⸰

καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἦγαγὲν αὐτὸν ἐπὶ τὸν πι- **23**
λάτον ⸰ ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες τοῦτον εὕρομεν 2
διαστρέφοντα τὸ ἔθνος καὶ κωλύοντα καίσαρι˚ φόρους διδόναι
λέγοντα ἑαυτὸν χριστὸν βασιλέα εἶναι ⸰ ὁ δὲ πιλάτος ἐπηρώτη- 3

---

v.54 𝕋*: αυτον εις τον οικον, 𝕍: εις την οικιαν. **v.55** 𝕋*: αψαντων, 𝕍: περιαψαντων. **v.55** 𝕋*: αυτων, 𝕍: ∅. **v.55** 𝕋*: εν μεσω, 𝕍: μεσος. **v.57** 𝕋*: αυτον λεγων γυναι ουκ οιδα αυτον, 𝕍: λεγων ουκ οιδα αυτον γυναι. **v.58** 𝕋*: ειπεν, 𝕍: εφη. **v.60** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.61** 𝕋*: λογου, 𝕍: ρηματος. **v.61** 𝕋*: φωνησαι, 𝕍: φωνησαι σημερον. **v.62** 𝕋*: ο πετρος, 𝕍: ∅. **v.63** 𝕋*: τον ιησουν, 𝕍: αυτον. **v.64** 𝕋*: ετυπτον αυτου το προσωπον και επηρωτων αυτον, 𝕍: επηρωτων. **v.66** 𝕋 𝕂 𝕍: τε, 𝕄: ∅. **v.66** 𝕋*: ανηγαγον, 𝕍: απηγαγον. **v.66** 𝕋 𝕂: εαυτων, 𝕄 𝕍: αυτων. **v.67** 𝕋*: ειπὲ, 𝕍: εἶπον. **v.68** 𝕋*: και, 𝕍: ∅. **v.68** 𝕋*: μοι η απολυσητε, 𝕍: ∅. **v.69** 𝕋*: νυν, 𝕍: νυν δε. **v.70** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.71** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.71** 𝕋*: χρειαν εχομεν μαρτυριας, 𝕍: εχομεν μαρτυριας χρειαν. **23.v.1** 𝕋 𝕂: ηγαγεν, 𝕄 𝕍: ηγαγον. **v.2** 𝕋*: ευρομεν, 𝕍: ευραμεν. **v.2** 𝕋*: εθνος, 𝕍: εθνος ημων. **v.2** 𝕋*: καισαρι φορους διδοναι, 𝕍: φορους καισαρι διδοναι και.

σεν αὐτὸν λέγων σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων ὁ δὲ ἀποκριθεὶς
4 αὐτῷ ἔφη σὺ λέγεις ◦ ὁ δὲ πιλάτος εἶπεν πρὸς τοὺς ἀρχιερεῖς
5 καὶ τοὺς ὄχλους οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ ◦ οἱ
δὲ ἐπίσχυον λέγοντες ὅτι ἀνασείει τὸν λαὸν διδάσκων καθ᾽ ὅλης
6 τῆς ἰουδαίας ἀρξάμενος ἀπὸ τῆς γαλιλαίας ἕως ὧδε ◦ πιλάτος δὲ
ἀκούσας γαλιλαίαν ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος γαλιλαῖός ἐστιν ◦
7 καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας ἡρώδου ἐστὶν ἀνέπεμψεν αὐτὸν
πρὸς ἡρώδην ὄντα καὶ αὐτὸν ἐν ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡ-
8 μέραις ◦ ὁ δὲ ἡρώδης ἰδὼν τὸν ἰησοῦν ἐχάρη λίαν ἦν γὰρ θέλων˚
ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ καὶ ἤλ-
9 πιζέν τι σημεῖον ἰδεῖν ὑπ᾽ αὐτοῦ γινόμενον ◦ ἐπηρώτα δὲ αὐτὸν ἐν
10 λόγοις ἱκανοῖς αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ ◦ εἱστήκεισαν δὲ
οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ ◦
11 ἐξουθενήσας δὲ αὐτὸν ὁ ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ
καὶ ἐμπαίξας περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν ἀνέπεμψεν αὐ-
12 τὸν τῷ πιλάτῳ ◦ ἐγένοντο δὲ φίλοι ὅ τε πιλάτος˚ καὶ ὁ ἡρώδης ἐν
αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες
13 πρὸς ἑαυτούς ◦ πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ
14 τοὺς ἄρχοντας καὶ τὸν λαόν ◦ εἶπεν πρὸς αὐτοὺς προσηνέγκατέ
μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα τὸν λαὸν καὶ ἰδοὺ
ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ
15 αἴτιον ὧν κατηγορεῖτε κατ᾽ αὐτοῦ ◦ ἀλλ᾽ οὐδὲ ἡρώδης ἀνέπεμψα˚
γὰρ ὑμᾶς πρὸς αὐτὸν καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶν πε-
16, 17 πραγμένον αὐτῷ ◦ παιδεύσας οὖν αὐτὸν ἀπολύσω ◦ ἀνάγκην˚ δὲ
18 εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα ◦ ἀνέκραξᾶν δὲ παμπλη-
19 θεὶ λέγοντες αἶρε τοῦτον ἀπόλυσον δὲ ἡμῖν τὸν βαραββᾶν ◦ ὅστις
ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον βεβλημέ-
20 νος˚ εἰς φυλακήν ◦ πάλιν οὖν ὁ πιλάτος προσεφώνησεν θέλων
21 ἀπολῦσαι τὸν ἰησοῦν ◦ οἱ δὲ ἐπεφώνουν λέγοντες σταύρωσον˚
22 σταύρωσον αὐτόν ◦ ὁ δὲ τρίτον εἶπεν πρὸς αὐτοὺς τί γὰρ κακὸν
ἐποίησεν οὗτος οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ παιδεύσας
23 οὖν αὐτὸν ἀπολύσω ◦ οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτού-
μενοι αὐτὸν σταυρωθῆναι καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ˚

v.3 $\mathbb{T}^*$: επηρωτησεν, $\mathbb{V}$: ηρωτησεν. **v.5** $\mathbb{T}^*$: αρξαμενος, $\mathbb{V}$: και αρξαμενος. **v.6** $\mathbb{T}^*$: γαλιλαιαν, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}^*$: θελων εξ ικανου, $\mathbb{V}$: εξ ικανων χρονων θελων. **v.8** $\mathbb{T}^*$: πολλα, $\mathbb{V}$: ∅. **v.11** $\mathbb{T}^*$: αυτον, $\mathbb{V}$: αυτον [και]. **v.11** $\mathbb{T}^*$: αυτον, $\mathbb{V}$: ∅. **v.12** $\mathbb{T}^*$: πιλατος και ο ηρωδης, $\mathbb{V}$: ηρωδης και ο πιλατος. **v.12** $\mathbb{T}^*$: εαυτους, $\mathbb{V}$: αυτους. **v.14** $\mathbb{T}^*$: ουδεν, $\mathbb{V}$: ουθεν. **v.15** $\mathbb{T}^*$: ανεπεμψα γαρ υμας προς αυτον, $\mathbb{V}$: ανεπεμψεν γαρ αυτον προς ημας. **v.17** $\mathbb{T}^*$: αναγκην . . . ενα, $\mathbb{V}$: ∅. **v.18** $\mathbb{T}^*$: ανεκραξαν, $\mathbb{V}$: ανεκραγον. **v.18** $\mathbb{T}\,\mathbb{K}\,\mathbb{V}$: τον, $\mathbb{M}$: ∅. **v.19** $\mathbb{T}^*$: βεβλημενος εις φυλακην, $\mathbb{V}$: βληθεις εν τη φυλακη. **v.20** $\mathbb{T}^*$: ουν, $\mathbb{V}$: δε. **v.20** $\mathbb{T}^*$: προσεφωνησεν, $\mathbb{V}$: προσεφωνησεν αυτοις. **v.21** $\mathbb{T}^*$: σταυρωσον σταυρωσον, $\mathbb{V}$: σταυρου σταυρου. **v.23** $\mathbb{T}^*$: και των αρχιερεων, $\mathbb{V}$: ∅.

τῶν ἀρχιερέων ⸰ ὁ˚ δὲ πιλάτος ἐπέκρινεν γενέσθαι τὸ αἴτημα αὐ- 24
τῶν ⸰ ἀπέλυσεν δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον 25
εἰς τὴν φυλακὴν ὃν ᾐτοῦντο τὸν δὲ ἰησοῦν παρέδωκεν τῷ θε-
λήματι αὐτῶν ⸰ καὶ ὡς ἀπήγαγον αὐτὸν ἐπιλαβόμενοι σίμωνός˚ 26
τινος κυρηναίου τοῦ ἐρχομένου ἀπ᾽ ἀγροῦ ἐπέθηκαν αὐτῷ τὸν
σταυρὸν φέρειν ὄπισθεν τοῦ ἰησοῦ ⸰ ἠκολούθει δὲ αὐτῷ πολὺ 27
πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν
αὐτόν ⸰ στραφεὶς δὲ πρὸς αὐτὰς ὁ ἰησοῦς εἶπεν θυγατέρες ἰε- 28
ρουσαλὴμ μὴ κλαίετε ἐπ᾽ ἐμὲ πλὴν ἐφ᾽ ἑαυτὰς κλαίετε καὶ ἐπὶ
τὰ τέκνα ὑμῶν ⸰ ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσιν μα- 29
κάριαι αἱ στεῖραι καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν καὶ μαστοὶ οἳ
οὐκ ἐθήλασαν ⸰ τότε ἄρξονται λέγειν τοῖς ὄρεσιν πέσετε ἐφ᾽ ἡ- 30
μᾶς καὶ τοῖς βουνοῖς καλύψατε ἡμᾶς ⸰ ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ 31
ταῦτα ποιοῦσιν ἐν τῷ ξηρῷ τί γένηται ⸰ ἤγοντο δὲ καὶ ἕτεροι δύο˚ 32
κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι ⸰ καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τό- 33
πον τὸν καλούμενον κρανίον ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς
κακούργους ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ ἐξ ἀριστερῶν ⸰ ὁ δὲ ἰησοῦς 34
ἔλεγεν πάτερ ἄφες αὐτοῖς οὐ γὰρ οἴδασιν τί ποιοῦσιν διαμερι-
ζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον κλῆρον ⸰ καὶ εἱστήκει ὁ λαὸς 35
θεωρῶν ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν˚ αὐτοῖς λέγοντες
ἄλλους ἔσωσεν σωσάτω ἑαυτὸν εἰ οὗτός ἐστιν ὁ χριστὸς ὁ˚ τοῦ
θεοῦ ἐκλεκτός ⸰ ἐνέπαιζὸν δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερ- 36
χόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ ⸰ καὶ λέγοντες εἰ σὺ εἶ ὁ 37
βασιλεὺς τῶν ἰουδαίων σῶσον σεαυτόν ⸰ ἦν δὲ καὶ ἐπιγραφὴ γε- 38
γραμμένη˚ ἐπ᾽ αὐτῷ γράμμασιν ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς καὶ
ἑβραϊκοῖς οὗτός ἐστιν ὁ βασιλεὺς τῶν ἰουδαίων ⸰ εἷς δὲ τῶν κρε- 39
μασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων εἰ σὺ εἶ ὁ χρι-
στὸς σῶσον σεαυτὸν καὶ ἡμᾶς ⸰ ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα˚ 40
αὐτῷ λέγων οὐδὲ φοβῇ σὺ τὸν θεὸν ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ ⸰
καὶ ἡμεῖς μὲν δικαίως ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν 41
οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν ⸰ καὶ ἔλεγεν τῷ ἰησοῦ μνήσθητί 42

---

v.24 𝕋*: ο δε, 𝕍: και. **v.25** 𝕋 𝕂: αυτοις, 𝕄 𝕍: ∅. **v.25** 𝕋*: την, 𝕍: ∅. **v.26** 𝕋 𝕂: σιμωνος τινος κυρηναιου του ερχομενου, 𝕄: σιμωνος τινος κυρηναιου ερχομενου, 𝕍: σιμωνα τινα κυρηναιον ερχομενον. **v.27** 𝕋*: και, 𝕍: ∅. **v.29** 𝕋*: κοιλιαι, 𝕍: αι κοιλιαι. **v.29** 𝕋*: εθηλασαν, 𝕍: εθρεψαν. **v.32** 𝕋*: δυο κακουργοι, 𝕍: κακουργοι δυο. **v.33** 𝕋*: απηλθον, 𝕍: ηλθον. **v.34** 𝕋*: κληρον, 𝕍: κληρους. **v.35** 𝕋*: συν αυτοις, 𝕍: ∅. **v.35** 𝕋*: ο του θεου, 𝕍: του θεου ο. **v.36** 𝕋*: ενεπαιζον, 𝕍: ενεπαιξαν. **v.36** 𝕋*: και, 𝕍: ∅. **v.38** 𝕋*: γεγραμμένη ἐπ᾽ αὐτῷ γράμμασιν ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς καὶ ἑβραϊκοῖς οὗτός ἐστιν ὁ βασιλεὺς τῶν ἰουδαίων, 𝕍 ℕ: ἐπ᾽ αὐτῷ ὁ βασιλεὺς τῶν ἰουδαίων οὗτος. **v.39** 𝕋*: ει, 𝕍: ουχι. **v.40** 𝕋*: επετιμα αυτω λεγων, 𝕍: επιτιμων αυτω εφη. **v.42** 𝕋*: τω, 𝕍: ∅.

43 μου κύριε ὅταν᾽ ἔλθῃς ἐν τῇ βασιλείᾳ σου ⸓ καὶ εἶπεν αὐτῷ ὁ᾽
ἰησοῦς ἀμὴν᾽ λέγω σοι σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδεί-
44 σῳ ⸓ ἦν᾽ δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν
45 ἕως ὥρας ἐνάτης ⸓ καὶ᾽ ἐσκοτίσθη ὁ ἥλιος καὶ ἐσχίσθη τὸ κατα-
46 πέτασμα τοῦ ναοῦ μέσον ⸓ καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ ἰησοῦς
εἶπεν πάτερ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου καὶ᾽
47 ταῦτα εἰπὼν ἐξέπνευσεν ⸓ ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον
ἐδόξαδεν τὸν θεὸν λέγων ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν ⸓
48 καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην
θεωροῦντες τὰ γενόμενα τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρε-
49 φον ⸓ εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν καὶ γυ-
ναῖκες αἱ συνακολουθήδασαι αὐτῷ ἀπὸ τῆς γαλιλαίας ὁρῶσαι
50 ταῦτα ⸓ καὶ ἰδοὺ ἀνὴρ ὀνόματι ἰωσὴφ βουλευτὴς ὑπάρχων ἀνὴρ
51 ἀγαθὸς καὶ δίκαιος ⸓ οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βου-
λῇ καὶ τῇ πράξει αὐτῶν ἀπὸ ἁριμαθαίας πόλεως τῶν ἰουδαίων
52 ὃς καὶ᾽ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ θεοῦ ⸓ οὗτος
53 προσελθὼν τῷ πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ ἰησοῦ ⸓ καὶ καθε-
λὼν αὐτὸ ἐνετύλιξεν αὐτὸ σινδόνι καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι
54 λαξευτῷ οὗ οὐκ ἦν οὐδέπω᾽ οὐδεὶς κείμενος ⸓ καὶ ἡμέρα ἦν πα-
55 ρασκεὐὴ κἀὶ σάββατον ἐπέφωσκεν ⸓ κατακολουθήσασαι δὲ κἀὶ
γυναῖκες αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ᾽ ἐκ τῆς γαλιλαίας
56 ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ ⸓ ὑποστρέ-
ψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα καὶ τὸ μὲν σάββατον
ἡσύχασαν κατὰ τὴν ἐντολήν ⸓

24 τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον᾽ ἐπὶ τὸ μνῆμα
2 φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα καί᾽ τινες σὺν αὐταῖς ⸓ εὗρον
3 δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου ⸓ καὶ᾽ εἰσελ-
4 θοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου ἰησοῦ ⸓ καὶ ἐγένετο ἐν
τῷ διἀπορεῖσθαι αὐτὰς περὶ τούτου καὶ ἰδοὺ δύο᾽ ἄνδρες ἐπέ-

---

v.42 𝕋*: κυριε, 𝕍: ∅. **v.42** 𝕋*: οταν ελθης εν τη βασιλεια, 𝕍: οταν ελθης εις την βασιλειαν, D: εν τη ημερα της ελευσεως σου. **v.43** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.43** 𝕋*: αμην λεγω σοι, 𝕍: αμην σοι λεγω, D: θαρσει. **v.44** 𝕋*: ην δε, 𝕍: και ην ηδη. **v.44** 𝕋 𝕂: εννατης, 𝕄 𝕍: ενατης. **v.45** 𝕋*: και εσκοτισθη ο ηλιος και εσχισθη, 𝕍: του ηλιου εκλιποντος εσχισθη δε. **v.46** 𝕋*: παραθησομαι, 𝕍: παρατιθεμαι. **v.46** 𝕋*: και ταυτα, 𝕍: τουτο δε. **v.47** 𝕋*: εκατονταρχος, 𝕍: εκατονταρχης. **v.47** 𝕋*: εδοξασεν, 𝕍: εδοξαζεν. **v.48** 𝕋*: θεωρουντες, 𝕍: θεωρησαντες. **v.48** 𝕋*: εαυτων, 𝕍: ∅. **v.49** 𝕋*: αυτου, 𝕍: αυτω απο. **v.49** 𝕋*: συνακολουθησασαι, 𝕍: συνακολουθουσαι. **v.50** 𝕋*: ανηρ, 𝕍: [και] ανηρ. **v.51** 𝕋*: και προσεδεχετο και αυτος, 𝕍: προσεδεχετο. **v.53** 𝕋*: αυτο, 𝕍: ∅. **v.53** 𝕋*: αυτο, 𝕍: αυτον. **v.53** 𝕋*: ουδεπω ουδεις, 𝕍: ουδεις ουπω. **v.54** 𝕋*: παρασκευη, 𝕍: παρασκευης. **v.54** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.55** 𝕋 𝕂: και, 𝕄: ∅, 𝕍: αι. **v.55** 𝕋*: αυτω εκ της γαλιλαιας, 𝕍: εκ της γαλιλαιας αυτω. **24.v.1** 𝕋 𝕂: βαθεος, 𝕄 𝕍: βαθεως. **v.1** 𝕋*: ηλθον επι το μνημα, 𝕍: επι το μνημα ηλθον. **v.1** 𝕋*: και τινες συν αυταις, 𝕍: ∅. **v.3** 𝕋*: και εισελθουσαι, 𝕍: εισελθουσαι δε. **v.4** 𝕋*: διαπορεισθαι, 𝕍: απορεισθαι. **v.4** 𝕋 𝕂: δυο ανδρες, 𝕄 𝕍: ανδρες δυο.

στησαν αὐταῖς ἐν ἐσθήσεσιν˚ ἀστραπτούσαις ⸓ ἐμφόβων δὲ γε- 5
νομένων αὐτῶν καὶ κλινουσῶν τὸ˚ πρόσωπον εἰς τὴν γῆν εἶπόν
πρὸς αὐτὰς τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν ⸓ οὐκ ἔστιν ὧδε 6
ἀλλ᾽ ἠγέρθη μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ γαλιλαίᾳ ⸓
λέγων ὅτι˚ δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας 7
ἀνθρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀ-
ναστῆναι ⸓ καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ ⸓ καὶ ὑποστρέ- 8, 9
ψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα
καὶ πᾶσιν τοῖς λοιποῖς ⸓ ἦσαν δὲ ἡ μαγδαληνὴ μαρία καὶ ἰω- 10
άννα καὶ μαρία ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς αἳ ἔλεγον
πρὸς τοὺς ἀποστόλους ταῦτα ⸓ καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡ- 11
σεὶ λῆρος τὰ ῥήματα αὐτῶν καὶ ἠπίστουν αὐταῖς ⸓ ὁ δὲ πέτρος 12
ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον καὶ παρακύψας βλέπει τὰ
ὀθόνια κείμενα μόνα καὶ ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ
γεγονός ⸓ καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν˚ πορευόμενοι ἐν αὐτῇ τῇ 13
ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ ἱερουσα-
λὴμ ᾗ ὄνομα ἐμμαούς ⸓ καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ 14
πάντων τῶν συμβεβηκότων τούτων ⸓ καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν 15
αὐτοὺς καὶ συζητεῖν καὶ αὐτὸς ὁ˚ ἰησοῦς ἐγγίσας συνεπορεύετο
αὐτοῖς ⸓ οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐ- 16
τόν ⸓ εἶπεν δὲ πρὸς αὐτοὺς τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε 17
πρὸς ἀλλήλους περιπατοῦντες καὶ ἐστε σκυθρωποί ⸓ ἀποκριθεὶς 18
δὲ ὁ˚ εἷς ᾧ ὄνομα κλεόπας εἶπεν πρὸς αὐτόν σὺ μόνος παροι-
κεῖς ἐν ἱερουσαλὴμ καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς
ἡμέραις ταύταις ⸓ καὶ εἶπεν αὐτοῖς ποῖα οἱ δὲ εἶπόν αὐτῷ τὰ πε- 19
ρὶ ἰησοῦ τοῦ ναζωραίου ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν
ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ θεοῦ καὶ παντὸς τοῦ λαοῦ ⸓ ὅπως τε 20
παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα
θανάτου καὶ ἐσταύρωσαν αὐτόν ⸓ ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός 21
ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν ἰσραὴλ ἀλλά γε σὺν πᾶσιν τού-
τοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ᾽ οὗ ταῦτα ἐγένετο ⸓
ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς γενόμεναι ὄρ- 22
θριαι ἐπὶ τὸ μνημεῖον ⸓ καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ ἦλθον 23

---

v.4 $\mathbb{T}^*$: εσθησεσιν αστραπτουσαις, $\mathbb{V}$: εσθητι αστραπτουση. **v.5** $\mathbb{T}^*$: το προσωπον, $\mathbb{V}$: τα προσωπα. **v.5** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.6** $\mathbb{T}^*$: αλλ, $\mathbb{V}$: αλλα. **v.7** $\mathbb{T}^*$: οτι δει τον υιον του ανθρωπου, $\mathbb{V}$: τον υιον του ανθρωπου οτι δει. **v.10** $\mathbb{T}^*$: ιακωβου, $\mathbb{V}$: η ιακωβου. **v.10** $\mathbb{T}^*$: αι, $\mathbb{V}$: ∅. **v.11** $\mathbb{T}^*$: αυτων, $\mathbb{V}$: ταυτα. **v.12** $\mathbb{T}^*$: κειμενα, $\mathbb{V}$: ∅. **v.13** $\mathbb{T}^*$: ησαν πορευομενοι εν αυτη τη ημερα, $\mathbb{V}$: εν αυτη τη ημερα ησαν πορευομενοι. **v.15** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.17** $\mathbb{T}^*$: εστε, $\mathbb{V}$: εσταθησαν. **v.18** $\mathbb{T}^*$: ο εις ω ονομα, $\mathbb{V}$: εις ονοματι. **v.18** $\mathbb{T}\,\mathbb{K}$: εν, $\mathbb{M}\,\mathbb{V}$: ∅. **v.19** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.19** $\mathbb{T}^*$: ναζωραιου, $\mathbb{V}$: ναζαρηνου. **v.21** $\mathbb{T}^*$: συν, $\mathbb{V}$: και συν. **v.21** $\mathbb{T}^*$: σημερον, $\mathbb{V}$: ∅. **v.22** $\mathbb{T}^*$: ορθριαι, $\mathbb{V}$: ορθριναι.

λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι οἳ λέγουσιν αὐτὸν
24 ζῆν ⸰ καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον καὶ εὗ-
ρον οὕτως καθὼς καὶ αἱ γυναῖκες εἶπον αὐτὸν δὲ οὐκ εἶδον ⸰
25 καὶ αὐτὸς εἶπεν πρὸς αὐτοὺς ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρ-
26 δίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται ⸰ οὐχὶ
ταῦτα ἔδει παθεῖν τὸν χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐ-
27 τοῦ ⸰ καὶ ἀρξάμενος ἀπὸ μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν
28 διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ ⸰ καὶ
ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο καὶ αὐτὸς προσεποιεῖτο˚
29 πορρωτέρω πορεύεσθαι ⸰ καὶ παρεβιάσαντο αὐτὸν λέγοντες μεῖ-
νον μεθ᾽ ἡμῶν ὅτι πρὸς ἑσπέραν ἐστὶν καὶ κέκλικεν ἡ˚ ἡμέρα
30 καὶ εἰσῆλθεν τοῦ μεῖναι σὺν αὐτοῖς ⸰ καὶ ἐγένετο ἐν τῷ κατακλι-
θῆναι αὐτὸν μετ᾽ αὐτῶν λαβὼν τὸν ἄρτον εὐλόγησεν καὶ κλάσας
31 ἐπεδίδου αὐτοῖς ⸰ αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ καὶ ἐπέ-
32 γνωσαν αὐτὸν καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν ⸰ καὶ εἶπὸν
πρὸς ἀλλήλους οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ὡς
33 ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ κἀὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς ⸰ καὶ
ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς ἱερουσαλὴμ καὶ εὗρον
34 ὄυνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς ⸰ λέγοντας
35 ὅτι ἠγέρθη˚ ὁ κύριος ὄντως καὶ ὤφθη σίμωνι ⸰ καὶ αὐτοὶ ἐξη-
γοῦντο τὰ ἐν τῇ ὁδῷ καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ
36 ἄρτου ⸰ ταῦτα δὲ αὐτῶν λαλούντων αὐτὸς ὁ˚ ἰησοῦς ἔστη ἐν μέσῳ
37 αὐτῶν καὶ λέγει αὐτοῖς εἰρήνη ὑμῖν ⸰ πτοηθέντες δὲ καὶ ἔμφοβοι
38 γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν ⸰ καὶ εἶπεν αὐτοῖς τί τεται-
ραγμένοι ἐστὲ καὶ διατὶ διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς˚ καρ-
39 δίαις ὑμῶν ⸰ ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου ὅτι αὐτὸς˚
ἐγώ εἰμι ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα
40 οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα ⸰ καὶ τοῦτο εἰπὼν ἐπέδειξεν
41 αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας ⸰ ἔτι δὲ ἀπιστούντων αὐτῶν
ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν αὐτοῖς ἔχετέ τι βρώσι-
42 μον ἐνθάδε ⸰ οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος καὶ˚ ἀπὸ
43, 44 μελισσίου κηρίου ⸰ καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν ⸰ εἶπεν δὲ
αὐτοῖς οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν
ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωσέως

v.27 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.27** 𝕋*: διηρμηνευεν, 𝕍: διερμηνευσεν. **v.28** 𝕋*: προσεποιειτο πορρωτερω, 𝕍: προσεποιησατο πορρωτερον. **v.29** 𝕋*: η, 𝕍: ηδη η. **v.32** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.32** 𝕋*: και, 𝕍: ∅. **v.33** 𝕋*: συνηθροισμενους, 𝕍: ηθροισμενους. **v.34** 𝕋*: ηγερθη ο κυριος οντως, 𝕍: οντως ηγερθη ο κυριος. **v.36** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.38** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.38** 𝕋*: ταις καρδιαις, 𝕍: τη καρδια. **v.39** 𝕋*: αυτος εγω ειμι, 𝕍: εγω ειμι αυτος. **v.40** 𝕋*: επεδειξεν, 𝕍: εδειξεν. **v.42** 𝕋*: και απο μελισσιου κηριου, 𝕍: ∅. **v.44** 𝕋*: αυτοις, 𝕍: προς αυτους. **v.44** 𝕋*: λογοι, 𝕍: λογοι μου. **v.44** 𝕋*: μωσεως, 𝕍: μωυσεως.

καὶ προφήταις καὶ ψαλμοῖς περὶ ἐμοῦ ⸓ τότε διήνοιξεν αὐτῶν 45
τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς ⸓ καὶ εἶπεν αὐτοῖς ὅτι οὕτως 46
γέγραπται καὶ οὕτως ἔδει παθεῖν τὸν χριστὸν καὶ ἀναστῆναι ἐκ
νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ ⸓ καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ 47
μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη ἀρξάμενοι ἀ-
πὸ ἱερουσαλήμ ⸓ ὑμεῖς δέ ἐστε μάρτυρες τούτων ⸓ καὶ ἰδοὺ ἐγὼ 48, 49
ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ᾽ ὑμᾶς ὑμεῖς δὲ
καθίσατε ἐν τῇ πόλει ἱερουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν
ἐξ ὕψους ⸓ ἐξήγαγεν δὲ αὐτοὺς ἔξω ἕως εἰς βηθανίαν καὶ ἐπάρας 50
τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς ⸓ καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν 51
αὐτὸν αὐτοὺς διέστη ἀπ᾽ αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν ⸓
καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν ὑπέστρεψαν εἰς ἱερουσαλὴμ 52
μετὰ χαρᾶς μεγάλης ⸓ καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ αἰνοῦντες 53
καὶ εὐλογοῦντες τὸν θεὸν ἀμήν ⸓

v.44 $\mathbb{T}^*$: προφηταις, $\mathbb{V}$: τοις προφηταις. **v.46** $\mathbb{T}^*$: και ουτως εδει, $\mathbb{V}$: ∅. **v.47** $\mathbb{T}^*$: και, $\mathbb{V}$: εις. **v.47** $\mathbb{T}^*$: αρξαμενον, $\mathbb{V}$: αρξαμενοι. **v.48** $\mathbb{T}^*$: δε εστε, $\mathbb{V}$: ∅. **v.49** $\mathbb{T}^*$: ιερουσαλημ, $\mathbb{V}$: ∅. **v.49** $\mathbb{T}^*$: δυναμιν εξ υψους, $\mathbb{V}$: εξ υψους δυναμιν. **v.50** $\mathbb{T}^*$: εις, $\mathbb{V}$: προς. **v.53** $\mathbb{T}$: διαπαντος, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: δια παντος. **v.53** $\mathbb{T}^*$: αινουντες και, $\mathbb{V}$: ∅. **v.53** $\mathbb{T}^*$: αμην, $\mathbb{V}$: ∅.

ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

1 ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς
2, 3 ἦν ὁ λόγος ⸰ οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν ⸰ πάντα δι᾽ αὐτοῦ
4 ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν ⸰ ἐν αὐτῷ ζωὴ
5 ἦν καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων ⸰ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ
6 φαίνει καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν ⸰ ἐγένετο ἄνθρωπος ἀ-
7 πεσταλμένος παρὰ θεοῦ ὄνομα αὐτῷ ἰωάννης ⸰ οὗτος ἦλθεν εἰς
μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς ἵνα πάντες πιστεύσω-
8 σιν δι᾽ αὐτοῦ ⸰ οὐκ ἦν ἐκεῖνος τὸ φῶς ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ
9 τοῦ φωτός ⸰ ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον
10 ἐρχόμενον εἰς τὸν κόσμον ⸰ ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι᾽
11 αὐτοῦ ἐγένετο καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω ⸰ εἰς τὰ ἴδια ἦλθεν
12 καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον ⸰ ὅσοι δὲ ἔλαβον αὐτὸν ἔδω-
κεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς
13 τὸ ὄνομα αὐτοῦ ⸰ οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς
14 οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ᾽ ἐκ θεοῦ ἐγεννήθησαν ⸰ καὶ ὁ
λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα τὴν
δόξαν αὐτοῦ δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς πλήρης χάρι-
15 τος καὶ ἀληθείας ⸰ ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγεν
λέγων οὗτος ἦν ὃν εἶπον ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν
16 μου γέγονεν ὅτι πρῶτός μου ἦν ⸰ κἀὶ ἐκ τοῦ πληρώματος αὐ-
17 τοῦ ἡμεῖς πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος ⸰ ὅτι ὁ νόμος
διὰ μωσέως ἐδόθη ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ ἰησοῦ χριστοῦ
18 ἐγένετο ⸰ θεὸν οὐδεὶς ἑώρακεν πώποτε ὁ˚ μονογενὴς υἱὸς ὁ ὢν
19 εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο ⸰ καὶ αὕτη ἐστὶν
ἡ μαρτυρία τοῦ ἰωάννου ὅτε ἀπέστειλαν οἱ ἰουδαῖοι ἐξ ἱεροσο-
20 λύμων ἱερεῖς καὶ λευΐτας ἵνα ἐρωτήσωσιν αὐτὸν σὺ τίς εἶ ⸰ καὶ
ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο καὶ ὡμολόγησεν ὅτι οὐκ˚ εἰμὶ
21 ἐγὼ ὁ χριστός ⸰ καὶ ἠρώτησαν αὐτὸν τί οὖν ἠλίας˚ εἶ σὺ καὶ λέγει
22 οὐκ εἰμὶ ὁ προφήτης εἶ σὺ καὶ ἀπεκρίθη οὔ ⸰ εἶπὸν οὖν αὐτῷ
τίς εἶ ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς τί λέγεις πε-
23 ρὶ σεαυτοῦ ⸰ ἔφη ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ εὐθύνατε τὴν
24 ὁδὸν κυρίου καθὼς εἶπεν ἡσαΐας ὁ προφήτης ⸰ καὶ οἱ ἀπεσταλ-

---

𝕋: ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, 𝕂: ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ, 𝕄 𝕍: ΚΑΤΑ ΙΩΑΝΝΗΝ. **1.v.16** 𝕋*: και, 𝕍: οτι. **v.17** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.18** 𝕋*: ο μονογενης υιος, 𝕍: μονογενης θεος. **v.19** 𝕋*: απεστειλαν, 𝕍: απεστειλαν [προς αυτον]. **v.20** 𝕋*: ουκ ειμι εγω, 𝕍: εγω ουκ ειμι. **v.21** 𝕋*: ηλιας ει συ, 𝕍: συ ηλιας ει. **v.22** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.23** 𝕋: ἡσαΐας, 𝕂 𝕄 𝕍: ἡσαΐας, ℕ: ἡσαίας. **v.24** 𝕋*: οι, 𝕍: ∅.

μένοι ἦσαν ἐκ τῶν φαρισαίων ⸰ καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπὸν 25
αὐτῷ τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὔτε ἡλίας οὔτε
ὁ προφήτης ⸰ ἀπεκρίθη αὐτοῖς ὁ ἰωάννης λέγων ἐγὼ βαπτίζω ἐν 26
ὕδατι μέσος δὲ ὑμῶν ἔστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε ⸰ αὐτός ἐστιν 27
ὁ ὀπίσω μου ἐρχόμενος ὃς ἔμπροσθέν μου γέγονεν οὗ ἐγὼ οὐκ
εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος ⸰ ταῦτα ἐν 28
βηθαβαρᾶ ἐγένετο πέραν τοῦ ἰορδάνου ὅπου ἦν ἰὠάννης βαπτί-
ζων ⸰ τῇ ἐπαύριον βλέπει ὁ ἰωάννης τὸν ἰησοῦν ἐρχόμενον πρὸς 29
αὐτὸν καὶ λέγει ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ
κόσμου ⸰ οὗτός ἐστιν ὑπερὶ οὗ ἐγὼ εἶπον ὀπίσω μου ἔρχεται ἀνὴρ 30
ὃς ἔμπροσθέν μου γέγονεν ὅτι πρῶτός μου ἦν ⸰ κἀγὼ οὐκ ᾔδειν 31
αὐτὸν ἀλλ᾽ ἵνα φανερωθῇ τῷ ἰσραὴλ διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ
ὕδατι βαπτίζων ⸰ καὶ ἐμαρτύρησεν ἰωάννης λέγων ὅτι τεθέαμαι 32
τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ ἔμεινεν
ἐπ᾽ αὐτόν ⸰ κἀγὼ οὐκ ᾔδειν αὐτὸν ἀλλ᾽ ὁ πέμψας με βαπτίζειν 33
ἐν ὕδατι ἐκεῖνός μοι εἶπεν ἐφ ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον
καὶ μένον ἐπ᾽ αὐτὸν οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ ⸰
κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θε- 34
οῦ ⸰ τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ ἰωάννης καὶ ἐκ τῶν μαθητῶν 35
αὐτοῦ δύο ⸰ καὶ ἐμβλέψας τῷ ἰησοῦ περιπατοῦντι λέγει ἴδε ὁ ἀ- 36
μνὸς τοῦ θεοῦ ⸰ καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος 37
καὶ ἠκολούθησαν τῷ ἰησοῦ ⸰ στραφεὶς δὲ ὁ ἰησοῦς καὶ θεασά- 38
μενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς τί ζητεῖτε οἱ δὲ εἶπὸν
αὐτῷ ῥαββὶ ὃ λέγεται ἑρμηνευόμενον διδάσκαλε ποῦ μένεις ⸰
λέγει αὐτοῖς ἔρχεσθε καὶ ἴδετε ἦλθον καὶ εἶδὸν ποῦ μένει καὶ 39
παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην ὥρα δὲ ἦν ὡς δεκάτη ⸰
ἦν ἀνδρέας ὁ ἀδελφὸς σίμωνος πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀ- 40
κουσάντων παρὰ ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ ⸰ εὑρίσκει 41
οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον σίμωνα καὶ λέγει αὐτῷ εὑ-
ρήκαμεν τὸν μεσσίαν ὅ ἐστιν μεθερμηνευόμενον ὁ χριστός ⸰ κἀι 42
ἤγαγεν αὐτὸν πρὸς τὸν ἰησοῦν ἐμβλέψας δὲ αὐτῷ ὁ ἰησοῦς εἶ-
πεν σὺ εἶ σίμων ὁ υἱὸς ἰωνᾶ σὺ κληθήσῃ κηφᾶς ὃ ἑρμηνεύεται

---

v.25 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.25** 𝕋*: ουτε, 𝕍: ουδε. **v.26** 𝕋*: δε, 𝕍: ∅. **v.27** 𝕋*: αυτος εστιν ο οπισω μου ερχομενος ος εμπροσθεν μου γεγονεν ου εγω ουκ ειμι, 𝕍: ο οπισω μου ερχομενος ου ουκ ειμι [εγω]. **v.28** 𝕋 𝕂: βηθαβαρα, 𝕄 𝕍: βηθανια. **v.28** 𝕋*: ιωαννης, 𝕍: ο ιωαννης. **v.29** 𝕋 𝕂: ο ιωαννης, 𝕄 𝕍: ∅. **v.30** 𝕋*: περι, 𝕍: υπερ. **v.31** 𝕋*: τω, 𝕍: ∅. **v.32** 𝕋*: ωσει, 𝕍: ως. **v.37** 𝕋*: αυτου οι δυο μαθηται, 𝕍: οι δυο μαθηται αυτου. **v.38** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.38** 𝕋*: ερμηνευομενον, 𝕍: μεθερμηνευομενον. **v.39** 𝕋*: ιδετε ηλθον, 𝕍: οψεσθε ηλθαν ουν. **v.39** 𝕋*: ειδον, 𝕍: ειδαν. **v.39** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.41** 𝕋*: πρωτος, 𝕍: πρωτον. **v.41** 𝕋 𝕂 𝕍: μεσσιαν, 𝕄: μεσιαν. **v.41** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.42** 𝕋*: και, 𝕍: ∅. **v.42** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.42** 𝕋*: ιωνα, 𝕍: ιωαννου.

43 πέτρος ⸓ τῇ ἐπαύριον ἠθέλησεν ὁ˚ ἰησοῦς ἐξελθεῖν εἰς τὴν γα-
λιλαίαν καὶ εὑρίσκει φίλιππον καὶ λέγει αὐτῷ ἀκολούθει μοι ⸓
44 ἦν δὲ ὁ φίλιππος ἀπὸ βηθσαϊδὰ ἐκ τῆς πόλεως ἀνδρέου καὶ
45 πέτρου ⸓ εὑρίσκει φίλιππος τὸν ναθαναὴλ καὶ λέγει αὐτῷ ὃν ἔ-
γραψεν μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται εὑρήκαμεν ἰησοῦν
46 τὸν υἱὸν τοῦ ἰωσὴφ τὸν ἀπὸ ναζαρέτ ⸓ καὶ εἶπεν αὐτῷ ναθαναὴλ
ἐκ ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι λέγει αὐτῷ φίλιππος ἔρχου
47 καὶ ἴδε ⸓ εἶδεν ὁ ἰησοῦς τὸν ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν
καὶ λέγει περὶ αὐτοῦ ἴδε ἀληθῶς ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ
48 ἔστιν ⸓ λέγει αὐτῷ ναθαναὴλ πόθεν με γινώσκεις ἀπεκρίθη ὁ˚ ἰ-
ησοῦς καὶ εἶπεν αὐτῷ πρὸ τοῦ σε φίλιππον φωνῆσαι ὄντα ὑπὸ
49 τὴν συκῆν εἶδόν σε ⸓ ἀπεκρίθη ναθαναὴλ˚ καὶ λέγει αὐτῷ ῥαββὶ
50 σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ σὺ˚ εἶ ὁ βασιλεὺς τοῦ ἰσραήλ ⸓ ἀπεκρίθη
ἰησοῦς καὶ εἶπεν αὐτῷ ὅτι εἶπόν σοι εἶδόν σε ὑποκάτω τῆς συ-
51 κῆς πιστεύεις μείζω τούτων ὄψει ⸓ καὶ λέγει αὐτῷ ἀμὴν ἀμὴν
λέγω ὑμῖν ἀπ˚ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγ-
γέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν
τοῦ ἀνθρώπου ⸓

2 καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν κανᾷ τῆς γαλιλαίας
2 καὶ ἦν ἡ μήτηρ τοῦ ἰησοῦ ἐκεῖ ⸓ ἐκλήθη δὲ καὶ ὁ ἰησοῦς καὶ
3 οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον ⸓ καὶ ὑστερήσαντος οἴνου λέγει
4 ἡ μήτηρ τοῦ ἰησοῦ πρὸς αὐτὸν οἶνον οὐκ ἔχουσιν ⸓ λέγει αὐτῇ
5 ὁ ἰησοῦς τί ἐμοὶ καὶ σοὶ γύναι οὔπω ἥκει ἡ ὥρα μου ⸓ λέγει
6 ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις ὅ τι ἂν λέγῃ ὑμῖν ποιήσατε ⸓ ἦ-
σαν δὲ ἐκεῖ ὑδρίαι˚ λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν
7 τῶν ἰουδαίων χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς ⸓ λέγει αὐτοῖς
ὁ ἰησοῦς γεμίσατε τὰς ὑδρίας ὕδατος καὶ ἐγέμισαν αὐτὰς ἕως
8 ἄνω ⸓ καὶ λέγει αὐτοῖς ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλί-
9 νῳ καὶ ἤνεγκαν ⸓ ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον
γεγενημένον καὶ οὐκ ᾔδει πόθεν ἐστὶν οἱ δὲ διάκονοι ᾔδεισαν
10 οἱ ἠντληκότες τὸ ὕδωρ φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος ⸓ καὶ
λέγει αὐτῷ πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησιν καὶ
ὅταν μεθυσθῶσιν τότε τὸν ἐλάσσω σὺ τετήρηκας τὸν καλὸν οἶ-
11 νον ἕως ἄρτι ⸓ ταύτην ἐποίησεν τὴν ἀρχὴν τῶν σημείων ὁ ἰησοῦς

---

v.43 𝕋 𝕂: ο ιησους, 𝕄 𝕍: ∅. **v.43** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτω ο ιησους. **v.45** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.45** 𝕋*: τον, 𝕍: ∅. **v.45** 𝕋 𝕄 𝕍: ναζαρετ, 𝕂: ναζαρεθ. **v.46** 𝕋 𝕄 𝕍: ναζαρετ, 𝕂: ναζαρεθ. **v.46** 𝕋*: φιλιππος, 𝕍: [ο] φιλιππος. **v.48** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.49** 𝕋*: ναθαναηλ και λεγει αυτω, 𝕍: αυτω ναθαναηλ. **v.49** 𝕋*: συ ει ο βασιλευς, 𝕍: συ βασιλευς ει. **v.50** 𝕋*: ειδον, 𝕍: οτι ειδον. **v.50** 𝕋*: οψει, 𝕍: οψη. **v.51** 𝕋*: απ αρτι, 𝕍: ∅. **2.v.4** 𝕋*: λεγει, 𝕍: [και] λεγει. **v.6** 𝕋*: υδριαι λιθιναι εξ κειμεναι κατα τον καθαρισμον των ιουδαιων, 𝕍: λιθιναι υδριαι εξ κατα τον καθαρισμον των ιουδαιων κειμεναι. **v.8** 𝕋*: και, 𝕍: οι δε. **v.10** 𝕋*: τοτε, 𝕍: ∅. **v.11** 𝕋*: την, 𝕍: ∅.

ἐν κανᾷ τῆς γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ καὶ ἐ-
πίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ ⸰ μετὰ τοῦτο κατέβη εἰς 12
καπερναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ
καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας ⸰ καὶ 13
ἐγγὺς ἦν τὸ πάσχα τῶν ἰουδαίων καὶ ἀνέβη εἰς ἱεροσόλυμα ὁ
ἰησοῦς ⸰ καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρό- 14
βατα καὶ περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους ⸰ καὶ 15
ποιήσας φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ
τά τε πρόβατα καὶ τοὺς βόας καὶ τῶν κολλυβιστῶν ἐξέχεεν τὸ
κέρμα καὶ τὰς τραπέζας ἀνέστρεψεν ⸰ καὶ τοῖς τὰς περιστερὰς 16
πωλοῦσιν εἶπεν ἄρατε ταῦτα ἐντεῦθεν μὴ ποιεῖτε τὸν οἶκον τοῦ
πατρός μου οἶκον ἐμπορίου ⸰ ἐμνήσθησαν δὲ˚ οἱ μαθηταὶ αὐτοῦ 17
ὅτι γεγραμμένον ἐστὶν ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεν με ⸰ ἀ- 18
πεκρίθησαν οὖν οἱ ἰουδαῖοι καὶ εἶπὸν αὐτῷ τί σημεῖον δεικνύεις
ἡμῖν ὅτι ταῦτα ποιεῖς ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν αὐτοῖς λύ- 19
σατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν ⸰ εἶπὸν 20
οὖν οἱ ἰουδαῖοι τεσσᾰράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς
οὗτος καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν ⸰ ἐκεῖνος δὲ ἔλεγεν 21
περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ ⸰ ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν 22
ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν αὐτοῖς καὶ ἐπί-
στευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ᾧ˚ εἶπεν ὁ ἰησοῦς ⸰ ὡς δὲ ἦν ἐν 23
ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ πολλοὶ ἐπίστευσαν εἰς
τὸ ὄνομα αὐτοῦ θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ⸰ αὐτὸς 24
δὲ ὁ˚ ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώ-
σκειν πάντας ⸰ καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ 25
τοῦ ἀνθρώπου αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ ⸰

ἦν δὲ ἄνθρωπος ἐκ τῶν φαρισαίων νικόδημος ὄνομα αὐτῷ **3**
ἄρχων τῶν ἰουδαίων ⸰ οὗτος ἦλθεν πρὸς τὸν˚ ἰησοῦν νυκτὸς καὶ 2
εἶπεν αὐτῷ ῥαββί οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος
οὐδεὶς γὰρ ταῦτα˚ τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς ἐὰν μὴ
ᾖ ὁ θεὸς μετ᾽ αὐτοῦ ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν αὐτῷ ἀμὴν 3
ἀμὴν λέγω σοι ἐὰν μή τις γεννηθῇ ἄνωθεν οὐ δύναται ἰδεῖν τὴν
βασιλείαν τοῦ θεοῦ ⸰ λέγει πρὸς αὐτὸν ὁ νικόδημος πῶς δύναται 4
ἄνθρωπος γεννηθῆναι γέρων ὢν μὴ δύναται εἰς τὴν κοιλίαν τῆς

---

v.12 𝕋*: καπερναουμ, 𝕍: καφαρναουμ. **v.15** 𝕋*: ανεστρεψεν, 𝕍: ανετρεψεν. **v.17** 𝕋*: δε, 𝕍: ∅. **v.17** 𝕋 𝕂: κατεφαγεν, 𝕄 𝕍: καταφαγεται. **v.18** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.19** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.20** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.20** 𝕋*: ωκοδομηθη, 𝕍: οικοδομηθη. **v.22** 𝕋 𝕂: αυτοις, 𝕄 𝕍: ∅. **v.22** 𝕋*: ω, 𝕍: ον. **v.23** 𝕋 𝕂: εν, 𝕄 𝕍: εν τοις. **v.24** 𝕋*: ο, 𝕍: ∅. **v.24** 𝕋*: εαυτον, 𝕍: αυτον. **3.v.2** 𝕋 𝕂: τον ιησουν, 𝕄 𝕍: αυτον. **v.2** 𝕋*: ταυτα τα σημεια δυναται, 𝕍: δυναται ταυτα τα σημεια. **v.3** 𝕋*: ο, 𝕍: ∅.

μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι ⸰ ἀπεκρίθη ὁ˚
ἰησοῦς ἀμὴν ἀμὴν λέγω σοι ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ
πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ ⸰
τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν καὶ τὸ γεγεννημέ-
νον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν ⸰ μὴ θαυμάσῃς ὅτι εἶπόν
σοι δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν ⸰ τὸ πνεῦμα ὅπου θέλει πνεῖ
καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ
ποῦ ὑπάγει οὕτως ἐστὶν πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος ⸰
ἀπεκρίθη νικόδημος καὶ εἶπεν αὐτῷ πῶς δύναται ταῦτα γενέ-
σθαι ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν αὐτῷ σὺ εἶ ὁ διδάσκαλος
τοῦ ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις ⸰ ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ
οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν καὶ τὴν μαρ-
τυρίαν ἡμῶν οὐ λαμβάνετε ⸰ εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πι-
στεύετε πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε ⸰ καὶ οὐδεὶς
ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς
ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ˚ ὢν ἐν τῷ οὐρανῷ ⸰ καὶ καθὼς μωσῆς
ὕψωσεν τὸν ὄφιν ἐν τῇ ἐρήμῳ οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ
ἀνθρώπου ⸰ ἵνα πᾶς ὁ πιστεύων εἰς˚ αὐτὸν μὴ ἀπόληται ἀλλ᾽ ἔχῃ
ζωὴν αἰώνιον ⸰ οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον ὥστε τὸν
υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν
μὴ ἀπόληται ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον ⸰ οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς
τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον ἀλλ᾽ ἵνα
σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ ⸰ ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται ὁ δὲ
μὴ πιστεύων ἤδη κέκριται ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ
μονογενοῦς υἱοῦ τοῦ θεοῦ ⸰ αὕτη δέ ἐστιν ἡ κρίσις ὅτι τὸ φῶς
ἐλήλυθεν εἰς τὸν κόσμον καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον
τὸ σκότος ἢ τὸ φῶς ἦν γὰρ πονηρὰ˚ αὐτῶν τὰ ἔργα ⸰ πᾶς γὰρ ὁ
φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς ἵνα
μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ ⸰ ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται
πρὸς τὸ φῶς ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα ὅτι ἐν θεῷ ἐστιν εἰρ-
γασμένα ⸰ μετὰ ταῦτα ἦλθεν ὁ ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς
τὴν ἰουδαίαν γῆν καὶ ἐκεῖ διέτριβεν μετ᾽ αὐτῶν καὶ ἐβάπτιζεν ⸰
ἦν δὲ καὶ ἰωάννης βαπτίζων ἐν αἰνὼν ἐγγὺς τοῦ σαλεὶμ ὅτι ὕ-
δατα πολλὰ ἦν ἐκεῖ καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο ⸰ οὔπω γὰρ
ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ ἰωάννης ⸰ ἐγένετο οὖν ζήτησις
ἐκ τῶν μαθητῶν ἰωάννου μετὰ ἰουδαίων περὶ καθαρισμοῦ ⸰ καὶ

---

v.5 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.10** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.13** 𝕋*: ο ων εν τω ουρανω, 𝕍: ∅. **v.14** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.15** 𝕋*: εις αυτον μη απολητα αλλ, 𝕍: εν αυτω. **v.16** 𝕋*: αυτου, 𝕍: ∅. **v.17** 𝕋*: αυτου, 𝕍: ∅. **v.19** 𝕋*: πονηρα αυτων, 𝕍: αυτων πονηρα. **v.23** 𝕋*: ιωαννης, 𝕍: ο ιωαννης. **v.23** 𝕋 𝕂 𝕍: σαλειμ, 𝕄: σαλημ. **v.25** 𝕋 𝕂: ιουδαιων, 𝕄 𝕍: ιουδαιου.

ἦλθον πρὸς τὸν ἰωάννην καὶ εἶπόν αὐτῷ ῥαββὶ ὃς ἦν μετὰ σοῦ
πέραν τοῦ ἰορδάνου ᾧ σὺ μεμαρτύρηκας ἴδε οὗτος βαπτίζει καὶ
πάντες ἔρχονται πρὸς αὐτόν ◦ ἀπεκρίθη ἰωάννης καὶ εἶπεν οὐ 27
δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν ἐὰν μὴ ᾖ δεδομένον αὐ-
τῷ ἐκ τοῦ οὐρανοῦ ◦ αὐτοὶ ὑμεῖς μοὶ μαρτυρεῖτε ὅτι εἶπον οὐκ 28
εἰμὶ ἐγὼ ὁ χριστὸς ἀλλ᾽ ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκεί-
νου ◦ ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστὶν ὁ δὲ φίλος τοῦ νυμφίου 29
ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ
νυμφίου αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται ◦ ἐκεῖνον δεῖ αὐ- 30
ξάνειν ἐμὲ δὲ ἐλαττοῦσθαι ◦ ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων 31
ἐστὶν ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστιν καὶ ἐκ τῆς γῆς λαλεῖ ὁ
ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν ◦ καὶ ὃ ἑώρακεν 32
καὶ ἤκουσεν τοῦτο μαρτυρεῖ καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς
λαμβάνει ◦ ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ θεὸς 33
ἀληθής ἐστιν ◦ ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς τὰ ῥήματα τοῦ θεοῦ 34
λαλεῖ οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ˚ θεὸς τὸ πνεῦμα ◦ ὁ πατὴρ ἀ- 35
γαπᾷ τὸν υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ ◦ ὁ πιστεύων 36
εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον ὁ δὲ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται
ζωὴν ἀλλ᾽ ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ᾽ αὐτόν ◦

ὡς οὖν ἔγνω ὁ κύριος ὅτι ἤκουσαν οἱ φαρισαῖοι ὅτι ἰησοῦς **4**
πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ ἰωάννης ◦ καίτοιγε ἰη- 2
σοῦς αὐτὸς οὐκ ἐβάπτιζεν ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ ◦ ἀφῆκεν τὴν 3
ἰουδαίαν καὶ ἀπῆλθεν πάλιν εἰς τὴν γαλιλαίαν ◦ ἔδει δὲ αὐτὸν 4
διέρχεσθαι διὰ τῆς σαμαρείας ◦ ἔρχεται οὖν εἰς πόλιν τῆς σα- 5
μαρείας λεγομένην συχὰρ πλησίον τοῦ χωρίου ὃ ἔδωκεν ἰακὼβ
ἰὼσὴφ τῷ υἱῷ αὐτοῦ ◦ ἦν δὲ ἐκεῖ πηγὴ τοῦ ἰακὼβ ὁ οὖν ἰησοῦς 6
κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ
ὥρα ἦν ὡσεὶ ἕκτη ◦ ἔρχεται γυνὴ ἐκ τῆς σαμαρείας ἀντλῆσαι ὕ- 7
δωρ λέγει αὐτῇ ὁ ἰησοῦς δός μοι πιεῖν ◦ οἱ γὰρ μαθηταὶ αὐτοῦ 8
ἀπεληλύθεισαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσιν ◦ λέγει οὖν 9
αὐτῷ ἡ γυνὴ ἡ σαμαρεῖτις πῶς σὺ ἰουδαῖος ὢν παρ᾽ ἐμοῦ πιεῖν
αἰτεῖς οὔσης˚ γυναικὸς σαμαρείτιδος οὐ γὰρ συγχρῶνται ἰου-
δαῖοι σαμαρείταις ◦ ἀπεκρίθη ἰησοῦς καὶ εἶπεν αὐτῇ εἰ ᾔδεις 10
τὴν δωρεὰν τοῦ θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι δός μοι πιεῖν
σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν ◦ λέγει αὐτῷ ἡ 11

v.26 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.27** 𝕋*: ουδεν, 𝕍: ουδε εν. **v.28** 𝕋 𝕂 𝕍: μοι, 𝕄: ∅. **v.28** 𝕋*: ουκ, 𝕍: [οτι] ουκ. **v.32** 𝕋*: και, 𝕍: ∅. **v.34** 𝕋*: ο θεος, 𝕍: ∅. **v.36** 𝕋 𝕂 𝕍: ζωην, 𝕄: την ζωην. **4.v.1** 𝕋*: κυριος, 𝕍: ιησους. **v.3** 𝕋 𝕂 𝕍: παλιν, 𝕄: ∅. **v.5** 𝕋*: ιωσηφ, 𝕍: [τω] ιωσηφ. **v.6** 𝕋*: ωσει, 𝕍: ως. **v.7** 𝕋*: πιειν, 𝕍: πειν. **v.9** 𝕋*: σαμαρειτις, 𝕍: σαμαριτις. **v.9** 𝕋*: πιειν, 𝕍: πειν. **v.9** 𝕋*: ουσης γυναικος σαμαρειτιδος, 𝕍: γυναικος σαμαριτιδος ουσης. **v.9** 𝕋*: σαμαρειταις, 𝕍: σαμαριταις. **v.10** 𝕋*: πιειν, 𝕍: πειν.

γυνὴ κύριε οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ ἐστὶν βαθὺ πόθεν
12 οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν ◦ μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν
ἰακὼβ ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν καὶ
13 οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ ◦ ἀπεκρίθη ὁ ◦ ἰησοῦς καὶ
εἶπεν αὐτῇ πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν ◦
14 ὃς δ᾽ ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ οὐ μὴ διψήσῃ εἰς
τὸν αἰῶνα ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ
15 ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον ◦ λέγει πρὸς αὐτὸν ἡ γυνὴ
κύριε δός μοι τοῦτο τὸ ὕδωρ ἵνα μὴ διψῶ μηδὲ ἔρχωμαι ἐνθάδε
16 ἀντλεῖν ◦ λέγει αὐτῇ ὁ ◦ ἰησοῦς ὕπαγε φώνησον τὸν ἄνδρα σοῦ
17 καὶ ἐλθὲ ἐνθάδε ◦ ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν οὐκ ἔχω ἄνδρα
18 λέγει αὐτῇ ὁ ἰησοῦς καλῶς εἶπας ὅτι ἄνδρα οὐκ ἔχω ◦ πέντε γὰρ
ἄνδρας ἔσχες καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνὴρ τοῦτο ἀληθὲς
19 εἴρηκας ◦ λέγει αὐτῷ ἡ γυνὴ κύριε θεωρῶ ὅτι προφήτης εἶ σύ ◦
20 οἱ πατέρες ἡμῶν ἐν τούτῳ ◦ τῷ ὄρει προσεκύνησαν καὶ ὑμεῖς λέ-
γετε ὅτι ἐν ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ ◦ προσκυνεῖν ◦
21 λέγει αὐτῇ ὁ ἰησοῦς γύναι ◦ πίστευσόν μοι ὅτι ἔρχεται ὥρα ὅτε
οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν ἱεροσολύμοις προσκυνήσετε τῷ
22 πατρί ◦ ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε ἡμεῖς προσκυνοῦμεν ὃ
23 οἴδαμεν ὅτι ἡ σωτηρία ἐκ τῶν ἰουδαίων ἐστίν ◦ ἀλλ᾽ ἔρχεται ὥρα
καὶ νῦν ἐστιν ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ
πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ
24 τοὺς προσκυνοῦντας αὐτόν ◦ πνεῦμα ὁ θεὸς καὶ τοὺς προσκυ-
25 νοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν ◦ λέγει
αὐτῷ ἡ γυνὴ οἶδα ὅτι μεσσίας ἔρχεται ὁ λεγόμενος χριστὸς ὅ-
26 ταν ἔλθῃ ἐκεῖνος ἀναγγελεῖ ἡμῖν ἅπαντα ◦ λέγει αὐτῇ ὁ ἰησοῦς
27 ἐγώ εἰμι ὁ λαλῶν σοι ◦ καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ
καὶ ἐθαύμαδαν ὅτι μετὰ γυναικὸς ἐλάλει οὐδεὶς μέντοι εἶπεν
28 τί ζητεῖς ἢ τί λαλεῖς μετ᾽ αὐτῆς ◦ ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς
ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν καὶ λέγει τοῖς ἀνθρώποις ◦
29 δεῦτε ἴδετε ἄνθρωπον ὃς εἶπέν μοι πάντα ὅσα ἐποίησα μήτι οὗ-
30 τός ἐστιν ὁ χριστός ◦ ἐξῆλθον οὖν ἐκ τῆς πόλεως καὶ ἤρχοντο
31 πρὸς αὐτόν ◦ ἐν δὲ ◦ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγον-
32 τες ῥαββὶ φάγε ◦ ὁ δὲ εἶπεν αὐτοῖς ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν

---

v.13 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.14** 𝕋*: διψηση, 𝕍: διψησει. **v.15** 𝕋 𝕂: ερχωμαι, 𝕄: ερχομαι, 𝕍: διερχωμαι. **v.16** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.17** 𝕋*: ειπεν, 𝕍: ειπεν αυτω. **v.20** 𝕋 𝕂: τουτω τω ορει, 𝕄 𝕍: τω ορει τουτω. **v.20** 𝕋*: δει προσκυνειν, 𝕍: προσκυνειν δει. **v.21** 𝕋*: γυναι πιστευσον μοι, 𝕍: πιστευε μοι γυναι. **v.23** 𝕋*: αλλ, 𝕍: αλλα. **v.25** 𝕋 𝕂 𝕍: μεσσιας, 𝕄: μεσιας. **v.25** 𝕋*: παντα, 𝕍: απαντα. **v.27** 𝕋*: ηλθον, 𝕍: ηλθαν. **v.27** 𝕋*: εθαυμασαν, 𝕍: εθαυμαζον. **v.30** 𝕋 𝕂: ουν, 𝕄 𝕍: ∅. **v.31** 𝕋*: δε, 𝕍: ∅.

ὑμεῖς οὐκ οἴδατε ⸓ ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους μήτις 33
ἤνεγκεν αὐτῷ φαγεῖν ⸓ λέγει αὐτοῖς ὁ ἰησοῦς ἐμὸν βρῶμά ἐστιν 34
ἵνα πὁιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ
ἔργον ⸓ οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνόν ἐστιν καὶ ὁ θερισμὸς 35
ἔρχεται ἰδοὺ λέγω ὑμῖν ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θε-
άσασθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη ⸓ κἀὶ ὁ 36
θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον
ἵνα κἀὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων ⸓ ἐν γὰρ τούτῳ ὁ 37
λόγος ἐστὶν ὁ˚ ἀληθινὸς ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ
θερίζων ⸓ ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε 38
ἄλλοι κεκοπιάκασιν καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύ-
θατε ⸓ ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν 39
τῶν σαμαρἐιτῶν διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης ὅτι
εἶπέν μοι πάντα ὅσα ἐποίησα ⸓ ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ σα- 40
μαρἐῖται ἠρώτων αὐτὸν μεῖναι παρ᾽ αὐτοῖς καὶ ἔμεινεν ἐκεῖ δύο
ἡμέρας ⸓ καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ ⸓ 41
τῇ τε γυναικὶ ἔλεγον ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν 42
αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ
σωτὴρ τοῦ κόσμου ὁ˚ χριστός ⸓ μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν 43
ἐκεῖθεν καὶ˚ ἀπῆλθεν εἰς τὴν γαλιλαίαν ⸓ αὐτὸς γὰρ ὁ˚ ἰησοῦς 44
ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει ⸓
ὅτε οὖν ἦλθεν εἰς τὴν γαλιλαίαν ἐδέξαντο αὐτὸν οἱ γαλιλαῖοι 45
πάντα ἑωρακότες ἃ˚ ἐποίησεν ἐν ἱεροσολύμοις ἐν τῇ ἑορτῇ καὶ
αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν ⸓ ἦλθεν οὖν ὁ˚ ἰησοῦς πάλιν εἰς 46
τὴν κανᾶ τῆς γαλιλαίας ὅπου ἐποίησεν τὸ ὕδωρ οἶνον καὶ ἦν
τις βασιλικὸς οὗ ὁ υἱὸς ἠσθένει ἐν καπερναούμ ⸓ οὗτος ἀκού- 47
σας ὅτι ἰησοῦς ἥκει ἐκ τῆς ἰουδαίας εἰς τὴν γαλιλαίαν ἀπῆλθεν
πρὸς αὐτὸν καὶ ἠρώτα αὐτὸν ἵνα καταβᾷ καὶ ἰάσηται αὐτοῦ τὸν
υἱὸν ἤμελλεν γὰρ ἀποθνήσκειν ⸓ εἶπεν οὖν ὁ ἰησοῦς πρὸς αὐτὸν 48
ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε οὐ μὴ πιστεύσητε ⸓ λέγει πρὸς 49
αὐτὸν ὁ βασιλικὸς κύριε κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον
μου ⸓ λέγει αὐτῷ ὁ ἰησοῦς πορεύου ὁ υἱός σου ζῇ κἀὶ ἐπίστευσεν 50
ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ˚ εἶπεν αὐτῷ ἰἡσοῦς καὶ ἐπορεύετο ⸓ ἤδη 51
δὲ αὐτοῦ καταβαίνοντος οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν˚ αὐτῷ καὶ

v.33 𝕋 𝕂: μητις, 𝕄 𝕍: μη τις. **v.34** 𝕋*: ποιω, 𝕍: ποιησω. **v.35** 𝕋 𝕂: τετραμηνον, 𝕄 𝕍: τετραμηνος. **v.36** 𝕋*: και, 𝕍: ∅. **v.37** 𝕋 𝕄: ο, 𝕂 𝕍: ∅. **v.39** 𝕋*: σαμαρειτων, 𝕍: σαμαριτων. **v.39** 𝕋*: οσα, 𝕍: α. **v.40** 𝕋*: σαμαρειται, 𝕍: σαμαριται. **v.42** 𝕋*: ο χριστος, 𝕍: ∅. **v.43** 𝕋*: και απηλθεν, 𝕍: ∅. **v.44** 𝕋*: ο, 𝕍: ∅. **v.45** 𝕋*: α, 𝕍: οσα. **v.46** 𝕋 𝕂: ο ιησους παλιν, 𝕄: παλιν ο ιησους, 𝕍: παλιν. **v.46** 𝕋*: καπερναουμ, 𝕍: καφαρναουμ. **v.47** 𝕋*: αυτον, 𝕍: ∅. **v.47** 𝕋 𝕂 𝕍: ημελλεν, 𝕄: εμελλεν. **v.50** 𝕋*: και, 𝕍: ∅. **v.50** 𝕋*: ω, 𝕍: ον. **v.50** 𝕋 𝕂: ιησους, 𝕄 𝕍: ο ιησους. **v.51** 𝕋*: απηντησαν αυτω και απηγγειλαν, 𝕍: υπηντησαν αυτω.

52 ἀπήγγειλαν λέγοντες ὅτι ὁ παῖς σου ζῇ ⸰ ἐπύθετο οὖν παρ᾽ αὐ-
τῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἔσχεν καὶ᾽ εἶπον αὐτῷ ὅτι χθὲς
53 ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός ⸰ ἔγνω οὖν ὁ πατὴρ ὅτι
ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ ἰησοῦς ὅτι ὁ υἱός σου ζῇ
54 καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη ⸰ τοῦτό πάλιν δεύ-
τερον σημεῖον ἐποίησεν ὁ ἰησοῦς ἐλθὼν ἐκ τῆς ἰουδαίας εἰς τὴν
γαλιλαίαν ⸰

5 μετὰ ταῦτα ἦν ἑορτὴ τῶν ἰουδαίων καὶ ἀνέβη ὁ᾽ ἰησοῦς εἰς
2 ἱεροσόλυμα ⸰ ἔστιν δὲ ἐν τοῖς ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ
κολυμβήθρα ἡ ἐπιλεγομένη ἑβραϊστὶ βηθεσδὰ πέντε στοὰς ἔ-
3 χουσα ⸰ ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων τυ-
4 φλῶν χωλῶν ξηρῶν ἐκδεχομένων᾽ τὴν τοῦ ὕδατος κίνησιν ⸰ ἄγ-
γελος᾽ γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ καὶ ἐ-
τάρασσεν τὸ ὕδωρ ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ
5 ὕδατος ὑγιὴς ἐγίνετο ᾧ δήποτε κατείχετο νοσήματι ⸰ ἦν δέ τις
6 ἄνθρωπος ἐκεῖ τριακονταὁκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ ⸰ τοῦτον
ἰδὼν ὁ ἰησοῦς κατακείμενον καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔ-
7 χει λέγει αὐτῷ θέλεις ὑγιὴς γενέσθαι ⸰ ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν
κύριε ἄνθρωπον οὐκ ἔχω ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ βάλλῃ με
εἰς τὴν κολυμβήθραν ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ ἄλλος πρὸ ἐμοῦ κα-
8 ταβαίνει ⸰ λέγει αὐτῷ ὁ ἰησοῦς ἔγειραι ἆρον τὸν κράββάτόν σου
9 καὶ περιπάτει ⸰ καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος καὶ ἦρεν
τὸν κράββατον αὐτοῦ καὶ περιεπάτει ἦν δὲ σάββατον ἐν ἐκείνῃ
10 τῇ ἡμέρᾳ ⸰ ἔλεγον οὖν οἱ ἰουδαῖοι τῷ τεθεραπευμένῳ σάββατόν
11 ἐστιν οὐκ ἔξεστίν σοι ἆραι τὸν κράββατον ⸰ ἀπεκρίθη αὐτοῖς ὁ
ποιήσας με ὑγιῆ ἐκεῖνός μοι εἶπεν ἆρον τὸν κράββατόν σου καὶ
12 περιπάτει ⸰ ἠρώτησαν οὖν αὐτὸν τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών
13 σοι ἆρον τὸν᾽ κράββατόν σου καὶ περιπάτει ⸰ ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει
14 τίς ἐστιν ὁ γὰρ ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ ⸰ μετὰ
ταῦτα εὑρίσκει αὐτὸν ὁ ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ ἴδε
ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε ἵνα μὴ χεῖρόν τί᾽ σοι γένηται ⸰
15 ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγειλεν τοῖς ἰουδαίοις ὅτι ἰησοῦς

v.51 𝕋*: σου, 𝕍: αυτου. **v.52** 𝕋*: παρ αυτων την ωραν, 𝕍: την ωραν παρ αυτων. **v.52** 𝕋*: και εἶπον, 𝕍: εἶπαν ουν. **v.52** 𝕋*: χθες, 𝕍: εχθες. **v.53** 𝕋*: οτι, 𝕍: ∅. **v.54** 𝕋*: τουτο, 𝕍: τουτο [δε]. **5.v.1** 𝕋 𝕂 𝕍: εορτη, 𝕄: η εορτη. **v.1** 𝕋*: ο, 𝕍: ∅. **v.2** 𝕋*: βηθεσδα, 𝕍: βηθζαθα. **v.3** 𝕋*: πολυ, 𝕍: ∅. **v.3** 𝕋*: εκδεχομενων την του υδατος κινησιν, 𝕍: ∅. **v.4** 𝕋*: αγγελος . . . νοσηματι, 𝕍: ∅. **v.5** 𝕋: τριακονταοκτω, 𝕂 𝕄: τριακοντα και οκτω, 𝕍: τριακοντα [και] οκτω. **v.5** 𝕋*: ασθενεια, 𝕍: ασθενεια αυτου. **v.7** 𝕋 𝕂: βαλλη, 𝕄 𝕍: βαλη. **v.8** 𝕋*: εγειραι, 𝕍: εγειρε. **v.8** 𝕋*: κραββατον, 𝕍: κραβαττον. **v.9** 𝕋*: κραββατον, 𝕍: κραβαττον. **v.10** 𝕋*: ουκ, 𝕍: και ουκ. **v.10** 𝕋*: κραββατον, 𝕍: κραβαττον σου. **v.11** 𝕋*: απεκριθη, 𝕍: ο δε απεκριθη. **v.11** 𝕋*: κραββατον, 𝕍: κραβαττον. **v.12** 𝕋*: ουν, 𝕍: ∅. **v.12** 𝕋*: τον κραββατον σου, 𝕍: ∅. **v.14** 𝕋*: τι σοι, 𝕍: σοι τι.

ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ ◦ καὶ διὰ τοῦτο ἐδίωκον τὸν˚ ἰησοῦν 16
οἱ ἰουδαῖοι καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι ὅτι ταῦτα ἐποίει ἐν
σαββάτῳ ◦ ὁ δὲ ἰησοῦς ἀπεκρίνατο αὐτοῖς ὁ πατήρ μου ἕως ἄρτι 17
ἐργάζεται κἀγὼ ἐργάζομαι ◦ διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐ- 18
τὸν οἱ ἰουδαῖοι ἀποκτεῖναι ὅτι οὐ μόνον ἔλυεν τὸ σάββατον ἀλλὰ
καὶ πατέρα ἴδιον ἔλεγεν τὸν θεὸν ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ ◦
ἀπεκρίνατο οὖν ὁ ἰησοῦς καὶ εἶπεν αὐτοῖς ἀμὴν ἀμὴν λέγω ὑ- 19
μῖν οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδὲν ἐὰν μή τι βλέπῃ
τὸν πατέρα ποιοῦντα ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ ταῦτα καὶ ὁ υἱὸς
ὁμοίως ποιεῖ ◦ ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν καὶ πάντα δείκνυσιν 20
αὐτῷ ἃ αὐτὸς ποιεῖ καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα ἵνα ὑ-
μεῖς θαυμάζητε ◦ ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ 21
ζωοποιεῖ οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ ◦ οὐδὲ γὰρ ὁ πατὴρ 22
κρίνει οὐδένα ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ υἱῷ ◦ ἵνα πάν- 23
τες τιμῶσιν τὸν υἱὸν καθὼς τιμῶσιν τὸν πατέρα ὁ μὴ τιμῶν τὸν
υἱὸν οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν ◦ ἀμὴν ἀμὴν λέγω 24
ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με
ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται ἀλλὰ μεταβέβηκεν
ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν ◦ ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται 25
ὥρα καὶ νῦν ἐστιν ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ
τοῦ θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται ◦ ὥσπερ γὰρ ὁ πατὴρ ἔχει 26
ζωὴν ἐν ἑαυτῷ οὕτως ἔδωκεν˚ καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ ◦
καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ κἀι κρίσιν ποιεῖν ὅτι υἱὸς ἀνθρώπου 27
ἐστίν ◦ μὴ θαυμάζετε τοῦτο ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν 28
τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ ◦ καὶ ἐκπορεύσον- 29
ται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς οἱ δὲ τὰ φαῦλα
πράξαντες εἰς ἀνάστασιν κρίσεως ◦ οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ 30
ἐμαυτοῦ οὐδὲν καθὼς ἀκούω κρίνω καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία
ἐστὶν ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμ-
ψαντός με πατρός ◦ ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ ἡ μαρτυρία 31
μου οὐκ ἔστιν ἀληθής ◦ ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ καὶ 32
οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ ◦ ὑμεῖς 33
ἀπεστάλκατε πρὸς ἰωάννην καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ ◦ ἐγὼ 34
δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω ἀλλὰ ταῦτα λέγω
ἵνα ὑμεῖς σωθῆτε ◦ ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων 35
ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαὸθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐ-

v.16 𝕋*: τον ιησουν οι ιουδαιοι και εζητουν αυτον αποκτειναι, 𝕍: οι ιουδαιοι τον ιησουν. **v.19** 𝕋*: ειπεν, 𝕍: ελεγεν. **v.25** 𝕋*: ακουσονται, 𝕍: ακουσουσιν. **v.25** 𝕋*: ζησονται, 𝕍: ζησουσιν. **v.26** 𝕋*: εδωκεν και τω υιω, 𝕍: και τω υιω εδωκεν. **v.27** 𝕋*: και, 𝕍: ∅. **v.28** 𝕋*: ακουσονται, 𝕍: ακουσουσιν. **v.30** 𝕋*: πατρος, 𝕍: ∅. **v.35** 𝕋 𝕂: αγαλλιασθηναι, 𝕄 𝕍: αγαλλιαθηναι.

36 τοῦ ⸓ ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ ἰωάννου τὰ γὰρ ἔργα ἃ
ἔδωκέν μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτὰ αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ
37 μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκεν ⸓ καὶ ὁ πέμψας
με πατὴρ αὐτὸς μεμαρτύρηκεν περὶ ἐμοῦ οὔτε φωνὴν αὐτοῦ
38 ἀκηκόατε˚ πώποτε οὔτε εἶδος αὐτοῦ ἑωράκατε ⸓ καὶ τὸν λόγον
αὐτοῦ οὐκ ἔχετε μένοντα˚ ἐν ὑμῖν ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος τού-
39 τῳ ὑμεῖς οὐ πιστεύετε ⸓ ἐρεύνατε τὰς γραφὰς ὅτι ὑμεῖς δοκεῖτε
ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι
40, 41 περὶ ἐμοῦ ⸓ καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν ἔχητε ⸓ δόξαν
42 παρὰ ἀνθρώπων οὐ λαμβάνω ⸓ ἀλλ᾽ ἔγνωκα ὑμᾶς ὅτι τὴν ἀγάπην
43 τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς ⸓ ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ
πατρός μου καὶ οὐ λαμβάνετέ με ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι
44 τῷ ἰδίῳ ἐκεῖνον λήψεσθε ⸓ πῶς δύνασθε ὑμεῖς πιστεῦσαι δόξαν
παρὰ ἀλλήλων λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου
45 θεοῦ οὐ ζητεῖτε ⸓ μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν
πατέρα ἔστιν ὁ κατηγορῶν ὑμῶν μωσῆς εἰς ὃν ὑμεῖς ἠλπίκατε ⸓
46 εἰ γὰρ ἐπιστεύετε μωσῇ ἐπιστεύετε ἂν ἐμοὶ περὶ γὰρ ἐμοῦ ἐκεῖ-
47 νος ἔγραψεν ⸓ εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε πῶς
τοῖς ἐμοῖς ῥήμασιν πιστεύσετε ⸓

6 μετὰ ταῦτα ἀπῆλθεν ὁ ἰησοῦς πέραν τῆς θαλάσσης τῆς γα-
2 λιλαίας τῆς τιβεριάδος ⸓ καὶ˚ ἠκολούθει αὐτῷ ὄχλος πολὺς ὅτι
3 ἐώρων˚ αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων ⸓ ἀνῆλ-
θεν δὲ εἰς τὸ ὄρος ὁ˚ ἰησοῦς καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μα-
4 θητῶν αὐτοῦ ⸓ ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν ἰουδαίων ⸓
5 ἐπάρας οὖν ὁ˚ ἰησοῦς τοὺς ὀφθαλμοὺς καὶ θεασάμενος ὅτι πο-
λὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν λέγει πρὸς τὸν φίλιππον πόθεν
6 ἀγοράσωμεν ἄρτους ἵνα φάγωσιν οὗτοι ⸓ τοῦτο δὲ ἔλεγεν πει-
7 ράζων αὐτὸν αὐτὸς γὰρ ᾔδει τί ἔμελλεν ποιεῖν ⸓ ἀπεκρίθη αὐτῷ
φίλιππος διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς ἵνα
8 ἕκαστος αὐτῶν βραχύ τι λάβῃ ⸓ λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν
9 αὐτοῦ ἀνδρέας ὁ ἀδελφὸς σίμωνος πέτρου ⸓ ἔστιν παιδάριον ἓν˚
ὧδε ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια ἀλλὰ ταῦτα
10 τί ἐστιν εἰς τοσούτους ⸓ εἶπεν δὲ˚ ὁ ἰησοῦς ποιήσατε τοὺς ἀν-

---

v.36 𝕋*: εδωκεν, 𝕍: δεδωκεν. **v.36** 𝕋*: εγω, 𝕍: ∅. **v.37** 𝕋*: αυτος, 𝕍: εκεινος. **v.37** 𝕋*: ακηκοατε πωποτε, 𝕍: πωποτε ακηκοατε. **v.38** 𝕋*: μενοντα εν υμιν, 𝕍: εν υμιν μενοντα. **v.39** 𝕋*: ερευνατε, 𝕍: εραυνατε. **v.42** 𝕋*: αλλ, 𝕍: αλλα. **v.43** 𝕋*: ληψεσθε, 𝕍: λημψεσθε. **v.45** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.46** 𝕋*: μωση, 𝕍: μωυσει. **6.v.2** 𝕋*: και ηκολουθει, 𝕍: ηκολουθει δε. **v.2** 𝕋*: εωρων αυτου, 𝕍: εθεωρουν. **v.3** 𝕋*: ο, 𝕍: ∅. **v.5** 𝕋*: ο ιησους τους οφθαλμους, 𝕍: τους οφθαλμους ο ιησους. **v.5** 𝕋*: τον, 𝕍: ∅. **v.5** 𝕋*: αγορασομεν, 𝕍: αγορασωμεν. **v.7** 𝕋*: φιλιππος, 𝕍: [ο] φιλιππος. **v.7** 𝕋*: αυτων, 𝕍: ∅. **v.9** 𝕋*: εν ωδε ο, 𝕍: ωδε ος. **v.10** 𝕋*: δε, 𝕍: ∅.

θρώπους ἀναπεσεῖν ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ ἀνέπεσὸν
οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι ⋄ ἔλαβεν δὲ˚ τοὺς 11
ἄρτους ὁ ἰησοῦς καὶ εὐχαριστήσας διέδωκεν τοῖς˚ μαθηταῖς οἱ
δὲ μαθηταὶ τοῖς ἀνακειμένοις ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον
ἤθελον ⋄ ὡς δὲ ἐνεπλήσθησαν λέγει τοῖς μαθηταῖς αὐτοῦ συνα- 12
γάγετε τὰ περισσεύσαντα κλάσματα ἵνα μή τι ἀπόληται ⋄ συνή- 13
γαγον οὖν καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν
πέντε ἄρτων τῶν κριθίνων ἃ ἐπερίσσευσὲν τοῖς βεβρωκόσιν ⋄ οἱ 14
οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησεν σημεῖον ὁ˚ ἰησοῦς ἔλεγον ὅτι
οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον ⋄
ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν 15
ἵνα ποιήσωσιν αὐτὸν˚ βασιλέα ἀνεχώρησεν πάλιν εἰς τὸ ὄρος
αὐτὸς μόνος ⋄ ὡς δὲ ὀψία ἐγένετο κατέβησαν οἱ μαθηταὶ αὐτοῦ 16
ἐπὶ τὴν θάλασσαν ⋄ καὶ ἐμβάντες εἰς τὸ πλοῖον ἤρχοντο πέραν 17
τῆς θαλάσσης εἰς καπερναοὺμ καὶ σκοτία ἤδη ἐγεγόνει καὶ οὐκ
ἐληλύθει πρὸς αὐτοὺς ὁ ἰησοῦς ⋄ ἥ τε θάλασσα ἀνέμου μεγάλου 18
πνέοντος διηγείρετο ⋄ ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε 19
ἢ τριάκοντα θεωροῦσιν τὸν ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θα-
λάσσης καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον καὶ ἐφοβήθησαν ⋄ ὁ δὲ 20
λέγει αὐτοῖς ἐγώ εἰμι μὴ φοβεῖσθε ⋄ ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς 21
τὸ πλοῖον καὶ εὐθέως τὸ˚ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆ-
γον ⋄ τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης ἰδὼν 22
ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ ἓν ἐκεῖνο˚ εἰς ὁ ἐνέβησαν
οἱ μαθηταὶ αὐτοῦ καὶ ὅτι οὐ συνεισῆλθεν τοῖς μαθηταῖς αὐτοῦ
ὁ ἰησοῦς εἰς τὸ πλοιάριον ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλ-
θον ⋄ ἄλλα δὲ˚ ἦλθεν πλοιάρια ἐκ τιβεριάδος ἐγγὺς τοῦ τόπου 23
ὅπου ἔφαγον τὸν ἄρτον εὐχαριστήσαντος τοῦ κυρίου ⋄ ὅτε οὖν 24
εἶδεν ὁ ὄχλος ὅτι ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐ-
τοῦ ἐνέβησαν κἀὶ αὐτοὶ εἰς τὰ πλοῖἀ καὶ ἦλθον εἰς καπερναοὺμ
ζητοῦντες τὸν ἰησοῦν ⋄ καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης 25
εἶπον αὐτῷ ῥαββὶ πότε ὧδε γέγονας ⋄ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς 26
καὶ εἶπεν ἀμὴν ἀμὴν λέγω ὑμῖν ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα
ἀλλ᾽ ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε ⋄ ἐργάζεσθε μὴ 27

---

v.10 $\mathbb{T}^*$: ανεπεσον, $\mathbb{V}$: ανεπεσαν. **v.10** $\mathbb{T}^*$: ωσει, $\mathbb{V}$: ως. **v.11** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ουν. **v.11** $\mathbb{T}^*$: τοις μαθηταις οι δε μαθηται, $\mathbb{V}$: ∅. **v.13** $\mathbb{T}^*$: επερισσευσεν, $\mathbb{V}$: επερισσευσαν. **v.14** $\mathbb{T}^*$: ο ιησους, $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}^*$: αυτον, $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: παλιν, $\mathbb{M}$: ∅. **v.17** $\mathbb{T}^*$: το, $\mathbb{V}$: ∅. **v.17** $\mathbb{T}^*$: καπερναουμ, $\mathbb{V}$: καφαρναουμ. **v.17** $\mathbb{T}^*$: ουκ, $\mathbb{V}$: ουπω. **v.18** $\mathbb{T}^*$: διηγειρετο, $\mathbb{V}$: διεγειρετο. **v.19** $\mathbb{T}$ $\mathbb{K}$: εικοσιπεντε, $\mathbb{M}$ $\mathbb{V}$: εικοσι πεντε. **v.21** $\mathbb{T}^*$: το πλοιον εγενετο, $\mathbb{V}$: εγενετο το πλοιον. **v.22** $\mathbb{T}^*$: ιδων, $\mathbb{V}$: ειδον. **v.22** $\mathbb{T}^*$: εκεινο εις ο ενεβησαν οι μαθηται αυτου, $\mathbb{V}$: ∅. **v.22** $\mathbb{T}^*$: πλοιαριον, $\mathbb{V}$: πλοιον. **v.23** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅. **v.23** $\mathbb{T}^*$: πλοιαρια, $\mathbb{V}$: πλοια[ρια]. **v.24** $\mathbb{T}$ $\mathbb{K}$: και, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.24** $\mathbb{T}^*$: πλοια, $\mathbb{V}$: πλοιαρια. **v.24** $\mathbb{T}^*$: καπερναουμ, $\mathbb{V}$: καφαρναουμ.

τὴν βρῶσιν τὴν ἀπολλυμένην ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς
ζωὴν αἰώνιον ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει τοῦτον γὰρ
28 ὁ πατὴρ ἐσφράγισεν ὁ θεός ◦ εἶπον οὖν πρὸς αὐτὸν τί ποιοῦμεν
29 ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ ◦ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶ-
πεν αὐτοῖς τοῦτό ἐστιν τὸ ἔργον τοῦ θεοῦ ἵνα πιστεύ̈ητε εἰς ὃν
30 ἀπέστειλεν ἐκεῖνος ◦ εἶπον οὖν αὐτῷ τί οὖν ποιεῖς σὺ σημεῖον
31 ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι τί ἐργάζῃ ◦ οἱ πατέρες ἡμῶν τὸ
μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ καθώς ἐστιν γεγραμμένον ἄρτον ἐκ
32 τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν ◦ εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς
ἀμὴν ἀμὴν λέγω ὑμῖν οὐ μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ
οὐρανοῦ ἀλλ᾽ ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐ-
33 ρανοῦ τὸν ἀληθινόν ◦ ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων
34 ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ ◦ εἶπον οὖν πρὸς αὐ-
35 τὸν κύριε πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον ◦ εἶπεν δὲ˚ αὐτοῖς
ὁ ἰησοῦς ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς ὁ ἐρχόμενος πρός μὲ οὐ
36 μὴ πεινάσῃ καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσ̈ῃ πώποτε ◦ ἀλλ᾽
37 εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ με καὶ οὐ πιστεύετε ◦ πᾶν ὃ δίδωσίν
μοι ὁ πατὴρ πρὸς ἐμὲ ἥξει καὶ τὸν ἐρχόμενον πρός μὲ οὐ μὴ
38 ἐκβάλω ἔξω ◦ ὅτι καταβέβηκα ἐκ̈ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ
39 θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με ◦ τοῦτο δέ
ἐστιν τὸ θέλημα τοῦ πέμψαντός με παṭ̀ρὸς ἵνα πᾶν ὃ δέδωκέν
μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ ἀλλὰ ἀναστήσω αὐṭ̀ὸ ἐṽ τῇ ἐσχάτῃ
40 ἡμέρᾳ ◦ τοῦτο δέ˚ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός˚ με ἵνα πᾶς ὁ
θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον καὶ
41 ἀναστήσω αὐτὸν ἐγὼ τῇ̃ ἐσχάτῃ ἡμέρᾳ ◦ ἐγόγγυζον οὖν οἱ ἰου-
δαῖοι περὶ αὐτοῦ ὅτι εἶπεν ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ
42 οὐρανοῦ ◦ καὶ ἔλεγον οὐχ οὗτός ἐστιν ἰησοῦς ὁ υἱὸς ἰωσὴφ οὗ
ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα πῶς ὑṽ̄ λέγει οὗṭ̀ος
43 ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα ◦ ἀπεκρίθη οὖν˚ ὁ ἰησοῦς καὶ
44 εἶπεν αὐτοῖς μὴ γογγύζετε μετ᾽ ἀλλήλων ◦ οὐδεὶς δύναται ἐλθεῖν
πρός με ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτὸν καὶ˚ ἐγὼ
45 ἀναστήσω αὐτὸν τῇ̃ ἐσχάτῃ ἡμέρᾳ ◦ ἔστιν γεγραμμένον ἐν τοῖς
προφήταις καὶ ἔσονται πάντες διδακτοὶ τοῦ̃ θεοῦ πᾶς ὑṽ̄ ὁ ἀ-

---

v.28 𝕋: ποιουμεν, 𝕂 𝕄 𝕍: ποιωμεν. **v.29** 𝕋 𝕂: ο, 𝕄: ∅, 𝕍: [ο]. **v.29** 𝕋*: πιστευσητε, 𝕍: πιστευητε. **v.32** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.35** 𝕋*: δε, 𝕍: ∅. **v.35** 𝕋*: με, 𝕍: εμε. **v.35** 𝕋*: διψηση, 𝕍: διψησει. **v.37** 𝕋*: με, 𝕍: εμε. **v.38** 𝕋*: εκ, 𝕍: απο. **v.39** 𝕋*: πατρος, 𝕍: ∅. **v.39** 𝕋 𝕂 𝕍: αυτο, 𝕄: αυτον. **v.39** 𝕋 𝕂: εν, 𝕄: ∅, 𝕍: [εν]. **v.40** 𝕋*: δε, 𝕍: γαρ. **v.40** 𝕋*: πεμψαντος με, 𝕍: πατρος μου. **v.40** 𝕋*: τη, 𝕍: [εν] τη. **v.42** 𝕋*: ουν, 𝕍: νυν. **v.42** 𝕋*: ουτος, 𝕍: ∅. **v.43** 𝕋*: ουν ο, 𝕍: ∅. **v.44** 𝕋*: και εγω, 𝕍: καγω. **v.44** 𝕋 𝕂: τη, 𝕄 𝕍: εν τη. **v.45** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.45** 𝕋*: ουν, 𝕍: ∅.

κούδας παρὰ τοῦ πατρὸς καὶ μαθὼν ἔρχεται πρός μέ ⸰ οὐχ ὅτι 46
τὸν πατέρα τις˚ ἑώρακεν εἰ μὴ ὁ ὢν παρὰ τοῦ θεοῦ οὗτος ἑώ-
ρακεν τὸν πατέρα ⸰ ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ πιστεύων εἰς˚ ἐμὲ 47
ἔχει ζωὴν αἰώνιον ⸰ ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς ⸰ οἱ πατέρες ὑμῶν 48, 49
ἔφαγον τὸ˚ μάννα ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον ⸰ οὗτός ἐστιν ὁ ἄρ- 50
τος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ
μὴ ἀποθάνῃ ⸰ ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς 51
ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα καὶ ὁ
ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μού ἐστιν ἣν˚ ἐγὼ δώσω ὑπὲρ τῆς
τοῦ κόσμου ζωῆς ⸰ ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ ἰουδαῖοι λέ- 52
γοντες πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκά φαγεῖν ⸰ εἶπεν 53
οὖν αὐτοῖς ὁ ἰησοῦς ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ φάγητε τὴν
σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα οὐκ
ἔχετε ζωὴν ἐν ἑαυτοῖς ⸰ ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου 54
τὸ αἷμα ἔχει ζωὴν αἰώνιον καὶ˚ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ
ἡμέρᾳ ⸰ ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστιν βρῶσις καὶ τὸ αἷμά μου 55
ἀληθῶς ἐστιν πόσις ⸰ ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου 56
τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ ⸰ καθὼς ἀπέστειλέν με ὁ 57
ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα καὶ ὁ τρώγων με κἀκεῖνος
ζήσεται δι˙ ἐμέ ⸰ οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ˚ τοῦ οὐρανοῦ καταβὰς 58
οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν˚ τὸ μάννα καὶ ἀπέθανον ὁ
τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα ⸰ ταῦτα εἶπεν ἐν 59
συναγωγῇ διδάσκων ἐν καπερναούμ ⸰ πολλοὶ οὖν ἀκούσαντες 60
ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπόν σκληρός ἐστιν οὗτος˚ ὁ λόγος τίς
δύναται αὐτοῦ ἀκούειν ⸰ εἰδὼς δὲ ὁ ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύ- 61
ζουσιν περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ εἶπεν αὐτοῖς τοῦτο ὑμᾶς
σκανδαλίζει ⸰ ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαί- 62
νοντα ὅπου ἦν τὸ πρότερον ⸰ τὸ πνεῦμά ἐστιν τὸ ζωοποιοῦν ἡ 63
σὰρξ οὐκ ὠφελεῖ οὐδὲν τὰ ῥήματα ἃ ἐγὼ λάλῶ ὑμῖν πνεῦμά
ἐστιν καὶ ζωή ἐστιν ⸰ ἀλλ᾽ εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν 64
ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς
ἐστιν ὁ παραδώσων αὐτόν ⸰ καὶ ἔλεγεν διὰ τοῦτο εἴρηκα ὑμῖν ὅτι 65
οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ

---

v.45 𝕋 𝕂 𝕍: ακουσας, 𝕄: ακουων. **v.45** 𝕋*: με, 𝕍: εμε. **v.46** 𝕋*: τις εωρακεν, 𝕍: εωρακεν τις. **v.47** 𝕋*: εις εμε, 𝕍: ∅. **v.49** 𝕋*: το μαννα εν τη ερημω, 𝕍: εν τη ερημω το μαννα. **v.51** 𝕋*: ζησεται, 𝕍: ζησει. **v.51** 𝕋*: ην εγω δωσω, 𝕍: ∅. **v.52** 𝕋*: σαρκα, 𝕍: σαρκα [αυτου]. **v.54** 𝕋*: και εγω, 𝕍: καγω. **v.55** 𝕋*: αληθως, 𝕍: αληθης. **v.57** 𝕋*: ζησεται, 𝕍: ζησει. **v.58** 𝕋*: εκ του, 𝕍: εξ. **v.58** 𝕋*: υμων το μαννα, 𝕍: ∅. **v.58** 𝕋*: ζησεται, 𝕍: ζησει. **v.59** 𝕋*: καπερναουμ, 𝕍: καφαρναουμ. **v.60** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.60** 𝕋*: ουτος ο λογος, 𝕍: ο λογος ουτος. **v.63** 𝕋*: λαλω, 𝕍: λελαληκα.

66 πατρός μοῦ ⸰ ἐκ τούτου πολλοὶ ἀπῆλθον˚ τῶν μαθητῶν αὐτοῦ
67 εἰς τὰ ὀπίσω καὶ οὐκ˚ ἔτι μετ᾽ αὐτοῦ περιεπάτουν ⸰ εἶπεν οὖν ὁ
68 ἰησοῦς τοῖς δώδεκα μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν ⸰ ἀπεκρίθη ὀὖν
αὐτῷ σίμων πέτρος κύριε πρὸς τίνα ἀπελευσόμεθα ῥήματα ζω-
69 ῆς αἰωνίου ἔχεις ⸰ καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι
70 σὺ εἶ ὁ χριστὸς˚ ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ⸰ ἀπεκρίθη αὐτοῖς ὁ˚
ἰησοῦς οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην καὶ ἐξ ὑμῶν εἷς
71 διάβολός ἐστιν ⸰ ἔλεγεν δὲ τὸν ἰούδαν σίμωνος ἰσκαριώτην οὗτος
γὰρ ἤμελλεν˚ αὐτὸν παραδιδόναι εἷς ὢν ἐκ τῶν δώδεκα ⸰

7 καὶ περιεπάτει˚ ὁ ἰησοῦς μετὰ ταῦτα ἐν τῇ γαλιλαίᾳ οὐ γὰρ
ἤθελεν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν ὅτι ἐζήτουν αὐτὸν οἱ ἰουδαῖοι
2 ἀποκτεῖναι ⸰ ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν ἰουδαίων ἡ σκηνοπηγία ⸰
3 εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ μετάβηθι ἐντεῦθεν καὶ
ὕπαγε εἰς τὴν ἰουδαίαν ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσιν˚
4 τὰ ἔργα σου ἃ ποιεῖς ⸰ οὐδεὶς γὰρ ἐν˚ κρυπτῷ τι ποιεῖ καὶ ζητεῖ
αὐτὸς ἐν παρρησίᾳ εἶναι εἰ ταῦτα ποιεῖς φανέρωσον σεαυτὸν τῷ
5, 6 κόσμῳ ⸰ οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν ⸰ λέγει
οὖν αὐτοῖς ὁ ἰησοῦς ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν ὁ δὲ καιρὸς
7 ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος ⸰ οὐ δύναται ὁ κόσμος μισεῖν
ὑμᾶς ἐμὲ δὲ μισεῖ ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα
8 αὐτοῦ πονηρά ἐστιν ⸰ ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτ᾽ην ἐγὼ
οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην ὅτι ὁ˚ καιρὸς ὁ ἐμὸς οὔπω
9, 10 πεπλήρωται ⸰ ταῦτα δὲ εἰπὼν αὐτὸῖς ἔμεινεν ἐν τῇ γαλιλαίᾳ ⸰ ὡς
δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ τότε˚ καὶ αὐτὸς ἀνέβη εἰς τὴν
11 ἑορτὴν οὐ φανερῶς ἀλλ᾽ ὡς ἐν κρυπτῷ ⸰ οἱ οὖν ἰουδαῖοι ἐζήτουν
12 αὐτὸν ἐν τῇ ἑορτῇ καὶ ἔλεγον ποῦ ἐστιν ἐκεῖνος ⸰ καὶ γογγυσμὸς
πολὺς˚ περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις οἱ μὲν ἔλεγον ὅτι ἀγαθός
13 ἐστιν ἄλλοι δὲ˚ ἔλεγον οὒ ἀλλὰ πλανᾷ τὸν ὄχλον ⸰ οὐδεὶς μέντοι
14 παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν ἰουδαίων ⸰ ἤδη
δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ˚ ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδα-
15 σκεν ⸰ καὶ˚ ἐθαύμαζον οἱ ἰουδαῖοι λέγοντες πῶς οὗτος γράμματα

---

v.65 𝕋*: μου, 𝕍: ∅. **v.66** 𝕋*: απηλθον των μαθητων αυτου, 𝕍: [εκ] των μαθητων αυτου απηλθον. **v.66** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.68** 𝕋*: ουν, 𝕍: ∅. **v.69** 𝕋*: χριστος ο υιος του θεου του ζωντος, 𝕍: αγιος του θεου. **v.70** 𝕋 𝕂 𝕍: ο ιησους, 𝕄: ∅. **v.71** 𝕋*: ισκαριωτην, 𝕍: ισκαριωτου. **v.71** 𝕋 𝕂: ημελλεν αυτον παραδιδοναι εις ων, 𝕄: εμελλεν αυτον παραδιδοναι εις ων, 𝕍: εμελλεν παραδιδοναι αυτον εις. **7.v.1** 𝕋*: περιεπατει ο ιησους μετα ταυτα, 𝕍: μετα ταυτα περιεπατει ο ιησους. **v.3** 𝕋*: θεωρησωσιν τα εργα σου, 𝕍: θεωρησουσιν σου τα εργα. **v.4** 𝕋*: εν κρυπτω τι, 𝕍: τι εν κρυπτω. **v.8** 𝕋*: ταυτην, 𝕍: ∅. **v.8** 𝕋*: ουπω, 𝕍: ουκ. **v.8** 𝕋*: ο καιρος ο εμος, 𝕍: ο εμος καιρος. **v.9** 𝕋*: αυτοις, 𝕍: αυτος. **v.10** 𝕋*: τοτε και αυτος ανεβη εις την εορτην, 𝕍: εις την εορτην τοτε και αυτος ανεβη. **v.10** 𝕋*: αλλ, 𝕍: αλλα. **v.12** 𝕋*: πολυς περι αυτου ην, 𝕍: περι αυτου ην πολυς. **v.12** 𝕋 𝕂: δε, 𝕄: ∅, 𝕍: [δε]. **v.14** 𝕋*: ο, 𝕍: ∅. **v.15** 𝕋*: και εθαυμαζον, 𝕍: εθαυμαζον ουν.

οἶδεν μὴ μεμαθηκώς ⸂ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς καὶ εἶπεν ἡ ἐ- 16
μὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ ἀλλὰ τοῦ πέμψαντός με ⸂ ἐάν τις θέλῃ 17
τὸ θέλημα αὐτοῦ ποιεῖν γνώσεται περὶ τῆς διδαχῆς πότερον ἐκ
τοῦ θεοῦ ἐστιν ἢ ἐγὼ ἀπ᾽ ἐμαυτοῦ λαλῶ ⸂ ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν τὴν 18
δόξαν τὴν ἰδίαν ζητεῖ ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐ-
τὸν οὗτος ἀληθής ἐστιν καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν ⸂ οὐ μωσῆς 19
δέδωκεν ὑμῖν τὸν νόμον καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον τί
με ζητεῖτε ἀποκτεῖναι ⸂ ἀπεκρίθη ὁ ὄχλος καὶ˚ εἶπεν δαιμόνιον 20
ἔχεις τίς σε ζητεῖ ἀποκτεῖναι ⸂ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν αὐ- 21
τοῖς ἓν ἔργον ἐποίησα καὶ πάντες θαυμάζετε ⸂ διὰ τοῦτο μωσῆς 22
δέδωκεν ὑμῖν τὴν περιτομὴν οὐχ ὅτι ἐκ τοῦ μωσέως ἐστὶν ἀλλ᾽
ἐκ τῶν πατέρων καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον ⸂ εἰ πε- 23
ριτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ ἵνα μὴ λυθῇ ὁ νόμος
μωσέως ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββά-
τῳ ⸂ μὴ κρίνετε κατ᾽ ὄψιν ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε ⸂ ἔλε- 24, 25
γον οὖν τινες ἐκ τῶν ἱεροσολυμιτῶν οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν
ἀποκτεῖναι ⸂ καὶ ἴδε παρρησίᾳ λαλεῖ καὶ οὐδὲν αὐτῷ λέγουσιν 26
μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ἀληθῶς
ὁ χριστός ⸂ ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστὶν ὁ δὲ χριστὸς ὅταν 27
ἔρχηται οὐδεὶς γινώσκει πόθεν ἐστίν ⸂ ἔκραξεν οὖν ἐν τῷ ἱερῷ 28
διδάσκων ὁ ἰησοῦς καὶ λέγων κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰ-
μὶ καὶ ἀπ᾽ ἐμαυτοῦ οὐκ ἐλήλυθα ἀλλ᾽ ἔστιν ἀληθινὸς ὁ πέμψας
με ὃν ὑμεῖς οὐκ οἴδατε ⸂ ἐγὼ δὲ˚ οἶδα αὐτὸν ὅτι παρ᾽ αὐτοῦ εἰμι 29
κἀκεῖνός με ἀπέστειλεν ⸂ ἐζήτουν οὖν αὐτὸν πιάσαι καὶ οὐδεὶς 30
ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὴν χεῖρα ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ ⸂
πολλοὶ˚ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτὸν καὶ ἔλεγον ὅτι 31
ὁ χριστὸς ὅταν ἔλθῃ μήτι πλείονα σημεῖα τούτων ποιήσει ὧν
οὗτος ἐποίησεν ⸂ ἤκουσαν οἱ φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος 32
περὶ αὐτοῦ ταῦτα καὶ ἀπέστειλαν οἱ˚ φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς
ὑπηρέτας ἵνα πιάσωσιν αὐτόν ⸂ εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς ἔτι 33
μικρὸν˚ χρόνον μεθ᾽ ὑμῶν εἰμι καὶ ὑπάγω πρὸς τὸν πέμψαντά
με ⸂ ζητήσετέ με καὶ οὐχ εὑρήσετε˙ καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ 34
δύνασθε ἐλθεῖν ⸂ εἶπον οὖν οἱ ἰουδαῖοι πρὸς ἑαυτούς ποῦ οὗ- 35

---

v.16 𝕋 𝕂: απεκριθη, 𝕄 𝕍: απεκριθη ουν. **v.19** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.20** 𝕋*: και ειπεν, 𝕍: ∅. **v.21** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.22** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.22** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.23** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.24** 𝕋*: κρινατε, 𝕍: κρινετε. **v.26** 𝕋*: αληθως, 𝕍: ∅. **v.29** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.31** 𝕋*: πολλοι δε εκ του οχλου, 𝕍: εκ του οχλου δε πολλοι. **v.31** 𝕋*: οτι, 𝕍: ∅. **v.31** 𝕋*: μητι, 𝕍: μη. **v.31** 𝕋*: τουτων, 𝕍: ∅. **v.32** 𝕋 𝕂: οι φαρισαιοι και οι αρχιερεις υπηρετας, 𝕄: υπηρετας οι φαρισαιοι και οι αρχιερεις, 𝕍: οι αρχιερεις και οι φαρισαιοι υπηρετας. **v.33** 𝕋 𝕂: αυτοις, 𝕄 𝕍: ∅. **v.33** 𝕋*: μικρον χρονον, 𝕍: χρονον μικρον. **v.34** 𝕋*: ευρησετε, 𝕍: ευρησετε [με].

τος μέλλει πορεύεσθαι ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτὸν μὴ εἰς
τὴν διασποράν τῶν ἑλλήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν
36 τοὺς ἕλληνας ◦ τίς ἐστιν οὗτος˚ ὁ λόγος ὃν εἶπεν ζητήσετέ με καὶ
37 οὐχ εὑρήσετε καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ◦ ἐν
δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ ἰησοῦς
38 καὶ ἔκραξεν λέγων ἐάν τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω ◦ ὁ
πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφὴ ποταμοὶ ἐκ τῆς κοιλίας
39 αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος ◦ τοῦτο δὲ εἶπεν περὶ τοῦ πνεύ-
ματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτὸν οὔπω γὰρ
40 ἦν πνεῦμα ἅγιον ὅτι ὁ˚ ἰησοῦς οὐδέπω ἐδοξάσθη ◦ πολλοὶ˚ οὖν
ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν˚ λόγον ἔλεγον οὗτός ἐστιν ἀληθῶς
41 ὁ προφήτης ◦ ἄλλοι ἔλεγον οὗτός ἐστιν ὁ χριστὸς ἄλλοι˚ δὲ ἔλε-
42 γον μὴ γὰρ ἐκ τῆς γαλιλαίας ὁ χριστὸς ἔρχεται ◦ οὐχὶ ἡ γραφὴ
εἶπεν ὅτι ἐκ τοῦ σπέρματος δαβὶδ καὶ ἀπὸ βηθλέὲμ τῆς κώμης
43 ὅπου ἦν δαβὶδ ὁ˚ χριστὸς ἔρχεται ◦ σχίσμα οὖν ἐν˚ τῷ ὄχλῳ ἐ-
44 γένετο δι˚ αὐτόν ◦ τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτὸν ἀλλ˚
45 οὐδεὶς ἐπέβαλεν ἐπ˚ αὐτὸν τὰς χεῖρας ◦ ἦλθον οὖν οἱ ὑπηρέται
πρὸς τοὺς ἀρχιερεῖς καὶ φαρισαίους καὶ εἶπον αὐτοῖς ἐκεῖνοι
46 διατὶ οὐκ ἠγάγετε αὐτόν ◦ ἀπεκρίθησαν οἱ ὑπηρέται οὐδέποτε
47 οὕτως˚ ἐλάλησεν ἄνθρωπος ὡς˚ οὗτος ὁ ἄνθρωπος ◦ ἀπεκρίθη-
48 σαν οὖν αὐτοῖς οἱ φαρισαῖοι μὴ καὶ ὑμεῖς πεπλάνησθε ◦ μή τις
49 ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν φαρισαίων ◦ ἀλλ˚
50 ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπικατάρατοί εἰσιν ◦ λέ-
γει νικόδημος πρὸς αὐτοὺς ὁ ἐλθὼν νυκτὸς˚ πρὸς αὐτὸν εἷς ὢν
51 ἐξ αὐτῶν ◦ μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον ἐὰν μὴ ἀκούσῃ
52 παρ˚ αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ ◦ ἀπεκρίθησαν καὶ εἶπόν
αὐτῷ μὴ καὶ σὺ ἐκ τῆς γαλιλαίας εἶ ἐρεύνησον καὶ ἴδε ὅτι προ-
53 φήτης˚ ἐκ τῆς γαλιλαίας οὐκ ἐγήγερται ◦ καὶ ἐπορεύθη ἕκαστος
εἰς τὸν οἶκον αὐτοῦ ◦

8, 2 ἰησοῦς˚ δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν ◦ ὄρθρου δὲ πά-

---

v.36 𝕋*: outos o logos, 𝕍: o logos outos. **v.36** 𝕋*: eurhsete, 𝕍: eurhsete [me]. **v.39** 𝕋*: ou, 𝕍: o. **v.39** 𝕋*: pisteuontes, 𝕍: pisteusantes. **v.39** 𝕋*: agion, 𝕍: ∅. **v.39** 𝕋 𝕂: o, 𝕄 𝕍: ∅. **v.40** 𝕋*: pollοι oun ek tou oxlou, 𝕍: ek tou oxlou oun. **v.40** 𝕋*: ton logon, 𝕍: twn logwn toutwn. **v.41** 𝕋 𝕂: allοι de, 𝕄: allοι, 𝕍: oi de. **v.42** 𝕋*: ouxi, 𝕍: oux. **v.42** 𝕋*: dabὶd, 𝕍: dauὶd. **v.42** 𝕋 𝕂 ℕ: bhqleὲm, 𝕄 𝕍: bhqleὲm. **v.42** 𝕋*: ὁ χριστὸς ἔρχεται, 𝕍: ἔρχεται ὁ χριστὸς. **v.43** 𝕋*: en tw oxlw egeneto, 𝕍: egeneto en tw oxlw. **v.45** 𝕋 𝕂: diati, 𝕄 𝕍: dia ti. **v.46** 𝕋*: outwς elalhsen, 𝕍: elalhsen outwς. **v.46** 𝕋*: ως outος ο anqrwpos, 𝕍: ∅. **v.49** 𝕋*: allὰ, 𝕍: allα. **v.49** 𝕋*: epikataratοι, 𝕍: eparatοι. **v.50** 𝕋*: nuktος pros autον, 𝕍: pros autον [το] proteron. **v.51** 𝕋*: par autου proteron, 𝕍: prwtον par autου. **v.52** 𝕋*: eἶpον, 𝕍: eἶpαν. **v.52** 𝕋*: ereunhsον, 𝕍: eraunhsον. **v.52** 𝕋*: προφητης εκ της γαλιλαιας ουκ εγηγερται, 𝕍: εκ της γαλιλαιας προφητης ουκ εγειρεται. **v.53** 𝕋 𝕂: eporeuqh, 𝕄: apηlqen, 𝕍: eporeuqhsαν. **8.v.1** 𝕋 𝕂 𝕍: ihsους δε, 𝕄: και ο ιησους.

λιν παρεῦένετο εἰς τὸ ἱερὸν καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτὸν
καὶ καθίσας ἐδίδασκεν αὐτούς ⸰ ἄγουσιν δὲ οἱ γραμματεῖς καὶ 3
οἱ φαρισαῖοι πρὸς˚ αὐτὸν γυναῖκα ἐν̓ μοιχείᾳ κατειλημμένην
καὶ στήσαντες αὐτὴν ἐν μέσῳ ⸰ λέγουσιν αὐτῷ διδάσκαλε αὕτη˚ 4
ἡ γυνὴ κατειλήφθη ἐπαυτοφώρῳ μοιχευομένη ⸰ ἐν δὲ τῷ νόμῳ 5
μωσῆς˚ ἡμῖν ἐνετείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι σὺ οὖν τί
λέγεις ⸰ τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν ἵνα ἔχωσιν κατη- 6
γορεῖν αὐτοῦ ὁ δὲ ἰησοῦς κάτω κύψας τῷ δακτύλῳ ἔγραφεν
εἰς τὴν γῆν̓ ⸰ ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτὸν ἀνακύψας εἶπεν 7
πρὸς˚ αὐτοὺς ὁ ἀναμάρτητος ὑμῶν πρῶτος τὸν˚ λίθον ἐπ̓ αὐ-
τῇ βαλέτω ⸰ καὶ πάλιν κάτω˚ κύψας ἔγραφεν εἰς τὴν γῆν ⸰ οἱ δὲ 8, 9
ἀκούσαντες καὶ˚ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι ἐξήρχοντο
εἷς καθ̓ εἷς ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως˚ τῶν ἐσχάτων
καὶ κατελείφθη μόνος ὁ˚ ἰησοῦς καὶ ἡ γυνὴ ἐν μέσῳ ἑστῶσα ⸰
ἀνακύψας δὲ ὁ ἰησοῦς καὶ˚ μηδένα θεασάμενος πλὴν τῆς γυ- 10
ναικὸς εἶπεν αὐτῇ ἡ˚ γυνὴ ποῦ εἰσιν ἐκεῖνοι˚ οἱ κατήγοροί σου
οὐδείς σε κατέκρινεν ⸰ ἡ δὲ εἶπεν οὐδεὶς κύριε εἶπεν δὲ αὐτῇ ὁ 11
ἰησοῦς οὐδὲ ἐγώ σε κατακρίνω πορεύου καὶ˚ μηκέτι ἁμάρτανε ⸰
πάλιν οὖν ὁ˚ ἰησοῦς αὐτοῖς ἐλάλησεν λέγων ἐγώ εἰμι τὸ φῶς τοῦ 12
κόσμου ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ ἀλλ̓
ἕξει τὸ φῶς τῆς ζωῆς ⸰ εἶπον οὖν αὐτῷ οἱ φαρισαῖοι σὺ περὶ σε- 13
αυτοῦ μαρτυρεῖς ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής ⸰ ἀπεκρίθη 14
ἰησοῦς καὶ εἶπεν αὐτοῖς κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ ἀλη-
θής ἐστιν ἡ μαρτυρία μου ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω
ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι κἀι ποῦ ὑπάγω ⸰ ὑμεῖς κα- 15
τὰ τὴν σάρκα κρίνετε ἐγὼ οὐ κρίνω οὐδένα ⸰ καὶ ἐὰν κρίνω δὲ 16
ἐγὼ ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν ὅτι μόνος οὐκ εἰμὶ ἀλλ̓ ἐγὼ

v.2 𝕋 𝕂 𝕍: παρεγενετο, 𝕄: βαθεως ηλθεν ο ιησους. **v.3** 𝕋*: προς αυτον, 𝕍: ∅. **v.3** 𝕋 𝕂: εν, 𝕄 𝕍: επι. **v.3** 𝕋 𝕂 𝕍: μεσω, 𝕄: τω μεσω. **v.4** 𝕋 𝕂 𝕍: λέγουσιν, 𝕄: εἶπον. **v.4** 𝕋 𝕂: αυτη η γυνη κατειληφθη επαυτοφωρω μοιχευομενη, 𝕄: ταυτην ευρομεν επ αυτοφωρω μοιχευομενην, 𝕍: αυτη η γυνη κατειληπται επ αυτοφωρω μοιχευομενη. **v.5** 𝕋 𝕂: μωσης ημιν, 𝕄: ημων μωσης, 𝕍: ημιν μωυσης. **v.5** 𝕋 𝕂: λιθοβολεισθαι, 𝕄 𝕍: λιθαζειν. **v.5** 𝕋 𝕂 𝕍: λεγεις, 𝕄: λεγεις περι αυτης. **v.6** 𝕋 𝕂 𝕍: κατηγορειν, 𝕄: κατηγοριαν κατ. **v.6** 𝕋*: εγραφεν, 𝕍: κατεγραφεν. **v.6** 𝕋 𝕄 𝕍: γην, 𝕂: γην μη προσποιουμενος. **v.7** 𝕋 𝕂 𝕍: ερωτωντες, 𝕄: επερωτωντες. **v.7** 𝕋 𝕂: ανακυψας, 𝕄: αναβλεψας, 𝕍: ανεκυψεν και. **v.7** 𝕋 𝕂: προς αυτους, 𝕄 𝕍: αυτοις. **v.7** 𝕋 𝕂: τον λιθον επ αυτη βαλετω, 𝕄: λιθον βαλετω επ αυτην, 𝕍: επ αυτην βαλετω λιθον. **v.8** 𝕋*: κατω κυψας, 𝕍: κατακυψας. **v.9** 𝕋 𝕂: και υπο της συνειδησεως ελεγχομενοι, 𝕄 𝕍: ∅. **v.9** 𝕋: καθεις, 𝕂 𝕄 𝕍: καθ εις. **v.9** 𝕋*: εως των εσχατων, 𝕍: ∅. **v.9** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.9** 𝕋 𝕂: εστωσα, 𝕄 𝕍: ουσα. **v.10** 𝕋 𝕂: και μηδενα θεασαμενος πλην της γυναικος, 𝕄: ειδεν αυτην και, 𝕍: ∅. **v.10** 𝕋 𝕂 𝕍: αυτη, 𝕄: ∅. **v.10** 𝕋 𝕂: η γυνη, 𝕄 𝕍: γυναι. **v.10** 𝕋 𝕂: εκεινοι οι κατηγοροι σου, 𝕄: οι κατηγοροι σου, 𝕍: ∅. **v.11** 𝕋*: αυτη, 𝕍: ∅. **v.11** 𝕋 𝕂: και μηκετι, 𝕄: και απο του νυν μηκετι, 𝕍: [και] απο του νυν μηκετι. **v.12** 𝕋 𝕂: ο ιησους αυτοις ελαλησεν, 𝕄: αυτοις ο ιησους ελαλησεν, 𝕍: αυτοις ελαλησεν ο ιησους. **v.12** 𝕋 𝕂: περιπατησει, 𝕄 𝕍: περιπατηση. **v.14** 𝕋*: και, 𝕍: η. **v.16** 𝕋*: αληθης, 𝕍: αληθινη.

17 καὶ ὁ πέμψας με πατήρ ⸰ καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέ-
18 γραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν ⸰ ἐγώ εἰμι
ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας
19 με πατήρ ⸰ ἔλεγον οὖν αὐτῷ ποῦ ἐστιν ὁ πατήρ σου ἀπεκρίθη
ὁ˚ ἰησοῦς οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου εἰ ἐμὲ ᾔδειτε
20 καὶ τὸν πατέρα μου ᾔδειτε˚ ἄν ⸰ ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ˚
ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ καὶ οὐδεὶς ἐ-
21 πίασεν αὐτὸν ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ ⸰ εἶπεν οὖν πάλιν
αὐτοῖς ὁ˚ ἰησοῦς ἐγὼ ὑπάγω καὶ ζητήσετέ με καὶ ἐν τῇ ἁμαρτίᾳ
ὑμῶν ἀποθανεῖσθε ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ⸰
22 ἔλεγον οὖν οἱ ἰουδαῖοι μήτι ἀποκτενεῖ ἑαυτὸν ὅτι λέγει ὅπου
23 ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ⸰ καὶ εἶπεν αὐτοῖς ὑμεῖς ἐκ
τῶν κάτω ἐστὲ ἐγὼ ἐκ τῶν ἄνω εἰμὶ ὑμεῖς ἐκ τοῦ˚ κόσμου τούτου
24 ἐστὲ ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου ⸰ εἶπον οὖν ὑμῖν ὅτι
ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι
25 ἐγώ εἰμι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν ⸰ ἔλεγον οὖν αὐτῷ
σὺ τίς εἶ κἀι εἶπεν αὐτοῖς ὁ ἰησοῦς τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ
26 ὑμῖν ⸰ πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν ἀλλ᾽ ὁ πέμψας
με ἀληθής ἐστιν κἀγὼ ἃ ἤκουσα παρ᾽ αὐτοῦ ταῦτα λέγω εἰς
27, 28 τὸν κόσμον ⸰ οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν ⸰ εἶπεν
οὖν αὐτοῖς ὁ ἰησοῦς ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου τότε
γνώσεσθε ὅτι ἐγώ εἰμι καὶ ἀπ᾽ ἐμαυτοῦ ποιῶ οὐδὲν ἀλλὰ καθὼς
29 ἐδίδαξέν με ὁ πατήρ μου ταῦτα λαλῶ ⸰ καὶ ὁ πέμψας με μετ᾽
ἐμοῦ ἐστιν οὐκ ἀφῆκέν με μόνον ὁ˚ πατὴρ ὅτι ἐγὼ τὰ ἀρεστὰ
30 αὐτῷ ποιῶ πάντοτε ⸰ ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν
31 εἰς αὐτόν ⸰ ἔλεγεν οὖν ὁ ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ
ἰουδαίους ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ ἀληθῶς μαθηταί
32 μου ἐστέ ⸰ καὶ γνώσεσθε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια ἐλευθερώ-
33 σει ὑμᾶς ⸰ ἀπεκρίθησαν αὐτῷ σπέρμα ἀβραάμ ἐσμεν καὶ οὐδενὶ
δεδουλεύκαμεν πώποτε πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσε-
34 σθε ⸰ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι πᾶς
35 ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς ἁμαρτίας ⸰ ὁ δὲ δοῦλος
οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα ⸰
36, 37 ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ ὄντως ἐλεύθεροι ἔσεσθε ⸰ οἶδα
ὅτι σπέρμα ἀβραάμ ἐστε ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι ὅτι ὁ λόγος
38 ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν ⸰ ἐγὼ˚ ὃ ἑώρακα παρὰ τῷ πατρί μου

v.19 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.19** 𝕋*: ηδειτε αν, 𝕍: αν ηδειτε. **v.20** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.21** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.23** 𝕋*: ειπεν, 𝕍: ελεγεν. **v.23** 𝕋*: του κοσμου τουτου, 𝕍: τουτου του κοσμου. **v.25** 𝕋*: και, 𝕍: ∅. **v.26** 𝕋*: λεγω, 𝕍: λαλω. **v.28** 𝕋*: μου, 𝕍: ∅. **v.29** 𝕋*: ο πατηρ, 𝕍: ∅. **v.33** 𝕋*: αυτω, 𝕍: προς αυτον. **v.38** 𝕋*: εγω ο, 𝕍: α εγω. **v.38** 𝕋*: μου, 𝕍: ∅.

λαλῶ καὶ ὑμεῖς οὖν ὃ˚ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν ποιεῖτε ⸰
ἀπεκρίθησαν καὶ εἶπόν αὐτῷ ὁ πατήρ ἡμῶν ἀβραάμ ἐστιν λέγει 39
αὐτοῖς ὁ ἰησοῦς εἰ τέκνα τοῦ ἀβραὰμ ἦτε τὰ ἔργα τοῦ ἀβραὰμ
ἐποιεῖτε ἄν ⸰ νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλή- 40
θειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ θεοῦ τοῦτο ἀβραὰμ
οὐκ ἐποίησεν ⸰ ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν εἶπόν 41
οὖν αὐτῷ ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα ἕνα πατέρα ἔχο-
μεν τὸν θεόν ⸰ εἶπεν ὖν αὐτοῖς ὁ ἰησοῦς εἰ ὁ θεὸς πατὴρ ὑμῶν 42
ἦν ἠγαπᾶτε ἂν ἐμὲ ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω οὐδὲ
γὰρ ἀπ᾽ ἐμαυτοῦ ἐλήλυθα ἀλλ᾽ ἐκεῖνός με ἀπέστειλεν ⸰ διατὶ τὴν 43
λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον
τὸν ἐμόν ⸰ ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας 44
τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ᾽
ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν
αὐτῷ ὅταν λαλῇ τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλεῖ ὅτι ψεύστης ἐστὶν
καὶ ὁ πατὴρ αὐτοῦ ⸰ ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω οὐ πιστεύ- 45
ετέ μοι ⸰ τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας εἰ δὲ˚ ἀλήθειαν 46
λέγω διατὶ ὑμεῖς οὐ πιστεύετέ μοι ⸰ ὁ ὢν ἐκ τοῦ θεοῦ τὰ ῥή- 47
ματα τοῦ θεοῦ ἀκούει διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε ὅτι ἐκ τοῦ
θεοῦ οὐκ ἐστέ ⸰ ἀπεκρίθησαν οὖν οἱ ἰουδαῖοι καὶ εἶπόν αὐτῷ 48
οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον
ἔχεις ⸰ ἀπεκρίθη ἰησοῦς ἐγὼ δαιμόνιον οὐκ ἔχω ἀλλὰ τιμῶ τὸν 49
πατέρα μου καὶ ὑμεῖς ἀτιμάζετέ με ⸰ ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν 50
μου ἔστιν ὁ ζητῶν καὶ κρίνων ⸰ ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐάν τις τὸν˚ 51
λόγον τὸν ἐμὸν τηρήσῃ θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα ⸰
εἶπον οὖν αὐτῷ οἱ ἰουδαῖοι νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις 52
ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται καὶ σὺ λέγεις ἐάν τις τὸν
λόγον μου τηρήσῃ οὐ μὴ γεύσεται θανάτου εἰς τὸν αἰῶνα ⸰ μὴ 53
σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν ἀβραὰμ ὅστις ἀπέθανεν καὶ οἱ
προφῆται ἀπέθανον τίνα σεαυτὸν ὀὺ ποιεῖς ⸰ ἀπεκρίθη ἰησοῦς 54
ἐὰν ἐγὼ δοξάζῳ ἐμαυτὸν ἡ δόξα μου οὐδέν ἐστιν ἔστιν ὁ πατήρ
μου ὁ δοξάζων με ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ὑμῶν ἐστιν ⸰ καὶ οὐκ 55
ἐγνώκατε αὐτὸν ἐγὼ δὲ οἶδα αὐτὸν καὶ˚ ἐὰν εἴπω ὅτι οὐκ οἶδα

---

v.38 𝕋*: ο εωρακατε παρα τω πατρι υμων, 𝕍: α ηκουσατε παρα του πατρος. **v.39** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.39** 𝕋*: ητε, 𝕍: εστε. **v.39** 𝕋 𝕂: αν, 𝕄 𝕍: ∅. **v.41** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.42** 𝕋 𝕄: ουν, 𝕂 𝕍: ∅. **v.43** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.44** 𝕋 𝕂: πατρος, 𝕄 𝕍: του πατρος. **v.44** 𝕋*: ουχ, 𝕍: ουκ. **v.46** 𝕋*: δε, 𝕍: ∅. **v.46** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.48** 𝕋*: ουν, 𝕍: ∅. **v.48** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.48** 𝕋*: σαμαρειτης, 𝕍: σαμαριτης. **v.51** 𝕋*: τον λογον τον εμον, 𝕍: τον εμον λογον. **v.52** 𝕋 𝕂: γευσεται, 𝕄 𝕍: γευσηται. **v.53** 𝕋*: συ, 𝕍: ∅. **v.54** 𝕋*: δοξαζω, 𝕍: δοξασω. **v.54** 𝕋 𝕂: υμων, 𝕄 𝕍: ημων. **v.55** 𝕋*: και εαν, 𝕍: καν.

αὐτὸν ἔσομαι ὅμοιος ὑμῶν ψεύστης ἀλλ᾽ οἶδα αὐτὸν καὶ τὸν
56 λόγον αὐτοῦ τηρῶ ⸰ ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ
57 τὴν ἡμέραν τὴν ἐμὴν καὶ εἶδεν καὶ ἐχάρη ⸰ εἶπον οὖν οἱ ἰουδαῖοι
πρὸς αὐτὸν πεντήκοντα ἔτη οὔπω ἔχεις καὶ ἀβραὰμ ἑώρακας ⸰
58 εἶπεν αὐτοῖς ὁ᾽ ἰησοῦς ἀμὴν ἀμὴν λέγω ὑμῖν πρὶν ἀβραὰμ γε-
59 νέσθαι ἐγώ εἰμι ⸰ ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ᾽ αὐτὸν ἰησοῦς
δὲ ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ διελθὼν᾽ διὰ μέσου αὐτῶν
καὶ παρῆγεν οὕτως ⸰

9, 2 καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς ⸰ καὶ ἠρώτη-
σαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες ῥαββὶ τίς ἥμαρτεν οὗτος ἢ
3 οἱ γονεῖς αὐτοῦ ἵνα τυφλὸς γεννηθῇ ⸰ ἀπεκρίθη ὁ᾽ ἰησοῦς οὔτε
οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ ἀλλ᾽ ἵνα φανερωθῇ τὰ ἔργα
4 τοῦ θεοῦ ἐν αὐτῷ ⸰ ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός
με ἕως ἡμέρα ἐστὶν ἔρχεται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι ⸰
5, 6 ὅταν ἐν τῷ κόσμῳ ὦ φῶς εἰμι τοῦ κόσμου ⸰ ταῦτα εἰπὼν ἔπτυ-
σεν χαμαὶ καὶ ἐποίησεν πηλὸν ἐκ τοῦ πτύσματος καὶ ἐπέχρισεν
7 τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ᾽ τυφλοῦ ⸰ καὶ εἶπεν αὐτῷ
ὕπαγε νίψαι εἰς τὴν κολυμβήθραν τοῦ σιλωὰμ ὃ ἑρμηνεύεται
8 ἀπεσταλμένος ἀπῆλθεν οὖν καὶ ἐνίψατο καὶ ἦλθεν βλέπων ⸰ οἱ
οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι τυφλὸς
9 ἦν ἔλεγον οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν ⸰ ἄλλοι
ἔλεγον ὅτι οὗτός ἐστιν ἄλλοι δὲ᾽ ὅτι ὅμοιος αὐτῷ ἐστιν ἐκεῖνος
10 ἔλεγεν ὅτι ἐγώ εἰμι ⸰ ἔλεγον οὖν αὐτῷ πῶς ἀνεῴχθησάν σου οἱ
11 ὀφθαλμοί ⸰ ἀπεκρίθη ἐκεῖνος καὶ᾽ εἶπεν ἄνθρωπος λεγόμενος ἰ-
ησοῦς πηλὸν ἐποίησεν καὶ ἐπέχρισέν μου τοὺς ὀφθαλμοὺς καὶ
εἶπέν μοι ὕπαγε εἰς τὴν᾽ κολυμβήθραν τοῦ σιλωὰμ καὶ νίψαι ἀ-
12 πελθὼν δὲ᾽ καὶ νιψάμενος ἀνέβλεψα ⸰ εἶπον᾽ οὖν αὐτῷ ποῦ ἐστιν
13 ἐκεῖνος λέγει οὐκ οἶδα ⸰ ἄγουσιν αὐτὸν πρὸς τοὺς φαρισαίους
14 τόν ποτε τυφλόν ⸰ ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν ἐποίησεν ὁ ἰ-
15 ησοῦς καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς ⸰ πάλιν οὖν ἠρώτων
αὐτὸν καὶ οἱ φαρισαῖοι πῶς ἀνέβλεψεν ὁ δὲ εἶπεν αὐτοῖς πηλὸν
ἐπέθηκεν ἐπὶ᾽ τοὺς ὀφθαλμούς μου καὶ ἐνιψάμην καὶ βλέπω ⸰
16 ἔλεγον οὖν ἐκ τῶν φαρισαίων τινὲς οὗτος᾽ ὁ ἄνθρωπος οὐκ ἐ-

v.55 𝕋*: υμων, 𝕍: υμιν. **v.55** 𝕋*: αλλ, 𝕍: αλλα. **v.58** 𝕋*: ο, 𝕍: ∅. **v.59** 𝕋*: διελθων δια μεσου αυτων και παρηγεν ουτως, 𝕍: ∅. **9.v.3** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.4** 𝕋*: εμε, 𝕍: ημας. **v.4** 𝔼: με, 𝔎* 𝔓66,75: ημας. **v.6** 𝕋*: τον, 𝕍: αυτου τον. **v.6** 𝕋*: του τυφλου, 𝕍: ∅. **v.8** 𝕋*: τυφλος, 𝕍: προσαιτης. **v.9** 𝕋*: δε οτι, 𝕍: ελεγον ουχι αλλα. **v.10** 𝕋*: ανεωχθησαν, 𝕍: [ουν] ηνεωχθησαν. **v.11** 𝕋*: και ειπεν ανθρωπος, 𝕍: ο ανθρωπος ο. **v.11** 𝕋*: μοι, 𝕍: μοι οτι. **v.11** 𝕋*: την κολυμβηθραν του, 𝕍: τον. **v.11** 𝕋*: δε, 𝕍: ουν. **v.12** 𝕋*: εἶπον ουν, 𝕍: και εἶπαν. **v.14** 𝕋*: οτε, 𝕍: εν η ημερα. **v.15** 𝕋 𝕂: επι τους οφθαλμους μου, 𝕄 𝕍: μου επι τους οφθαλμους. **v.16** 𝕋*: ουτος ο ανθρωπος ουκ εστιν παρα του θεου, 𝕍: ουκ εστιν ουτος παρα θεου ο ανθρωπος.

στιν παρὰ τοῦ θεοῦ ὅτι τὸ σάββατον οὐ τηρεῖ ἄλλοι ἔλεγον πῶς
δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν καὶ σχί-
σμα ἦν ἐν αὐτοῖς ⸰ λέγουσιν τῷ τυφλῷ πάλιν σὺ τί λέγεις περὶ 17
αὐτοῦ ὅτι ἤνοιξέν σου τοὺς ὀφθαλμούς ὁ δὲ εἶπεν ὅτι προφήτης
ἐστίν ⸰ οὐκ ἐπίστευσαν οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ ὅτι τυφλὸς 18
ἦν καὶ ἀνέβλεψεν ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀ-
ναβλέψαντος ⸰ καὶ ἠρώτησαν αὐτοὺς λέγοντες οὗτός ἐστιν ὁ υἱός 19
ὑμῶν ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη πῶς οὖν ἄρτι βλέ-
πει ⸰ ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ καὶ εἶπον οἴδαμεν ὅτι 20
οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν καὶ ὅτι τυφλὸς ἐγεννήθη ⸰ πῶς δὲ νῦν 21
βλέπει οὐκ οἴδαμεν ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἡμεῖς
οὐκ οἴδαμεν αὐτὸς ἡλικίαν ἔχει αὐτὸν ἐρωτήσατε αὐτὸς περὶ
ἑαυτοῦ λαλήσει ⸰ ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ ὅτι ἐφοβοῦντο τοὺς 22
ἰουδαίους ἤδη γὰρ συνετέθειντο οἱ ἰουδαῖοι ἵνα ἐάν τις αὐτὸν
ὁμολογήσῃ χριστὸν ἀποσυνάγωγος γένηται ⸰ διὰ τοῦτο οἱ γονεῖς 23
αὐτοῦ εἶπον ὅτι ἡλικίαν ἔχει αὐτὸν ἐρωτήσατε ⸰ ἐφώνησαν οὖν 24
ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλὸς καὶ εἶπον αὐτῷ δὸς
δόξαν τῷ θεῷ ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός
ἐστιν ⸰ ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν εἰ ἁμαρτωλός ἐστιν οὐκ 25
οἶδα ἓν οἶδα ὅτι τυφλὸς ὢν ἄρτι βλέπω ⸰ εἶπον δὲ αὐτῷ πάλιν τί 26
ἐποίησέν σοι πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς ⸰ ἀπεκρίθη αὐ- 27
τοῖς εἶπον ὑμῖν ἤδη καὶ οὐκ ἠκούσατε τί πάλιν θέλετε ἀκούειν
μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι ⸰ ἐλοιδόρησαν οὖν 28
αὐτὸν καὶ εἶπον σὺ εἶ μαθητὴς ἐκείνου ἡμεῖς δὲ τοῦ μωϋσέως
ἐσμὲν μαθηταί ⸰ ἡμεῖς οἴδαμεν ὅτι μωϋσῇ λελάληκεν ὁ θεὸς τοῦ- 29
τον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν ⸰ ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶ- 30
πεν αὐτοῖς ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν ὅτι ὑμεῖς οὐκ οἴδατε
πόθεν ἐστὶν καὶ ἀνέῳξέν μου τοὺς ὀφθαλμούς ⸰ οἴδαμεν δὲ ὅτι 31
ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει ἀλλ ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ
θέλημα αὐτοῦ ποιῇ τούτου ἀκούει ⸰ ἐκ τοῦ αἰῶνος οὐκ ἠκού- 32
σθη ὅτι ἤνοιξέν τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου ⸰ εἰ μὴ ἦν 33

---

v.16 𝕋*: αλλοι, 𝕍: αλλοι [δε]. **v.17** 𝕋*: λεγουσιν, 𝕍: λεγουσιν ουν. **v.17** 𝕋*: συ τι, 𝕍: τι συ. **v.17** 𝕋*: ηνοιξεν, 𝕍: ηνεωξεν. **v.18** 𝕋*: τυφλος ην, 𝕍: ην τυφλος. **v.19** 𝕋*: αρτι βλεπει, 𝕍: βλεπει αρτι. **v.20** 𝕋 𝕂: αυτοις, 𝕄: δε αυτοις, 𝕍: ουν. **v.20** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.21** 𝕋*: αυτος ηλικιαν εχει αυτον ερωτησατε, 𝕍: αυτον ερωτησατε ηλικιαν εχει. **v.21** 𝕋 𝕂: αυτου, 𝕄 𝕍: εαυτου. **v.22** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.23** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.23** 𝕋*: ερωτησατε, 𝕍: επερωτησατε. **v.24** 𝕋*: εκ δευτερου τον ανθρωπον, 𝕍: τον ανθρωπον εκ δευτερου. **v.24** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.24** 𝕋*: ο ανθρωπος outος, 𝕍: outος ο ανθρωπος. **v.25** 𝕋*: και ειπεν, 𝕍: ∅. **v.26** 𝕋*: δε αυτω παλιν, 𝕍: ουν αυτω. **v.28** 𝕋 𝕂: ελοιδορησαν ουν, 𝕄: ελοιδορησαν, 𝕍: και ελοιδορησαν. **v.28** 𝕋*: ει μαθητης, 𝕍: μαθητης ει. **v.28** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.29** 𝕋*: μωση, 𝕍: μωυσει. **v.30** 𝕋*: γαρ τουτω, 𝕍: τουτω γαρ το. **v.30** 𝕋*: ανεωξεν, 𝕍: ηνοιξεν. **v.31** 𝕋*: δε, 𝕍: ∅. **v.32** 𝕋*: ηνοιξεν, 𝕍: ηνεωξεν.

34 οὗτος παρὰ θεοῦ οὐκ ἠδύνατο ποιεῖν οὐδέν ⸰ ἀπεκρίθησαν καὶ
εἶπὸν αὐτῷ ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος καὶ σὺ διδάσκεις
35 ἡμᾶς καὶ ἐξέβαλον αὐτὸν ἔξω ⸰ ἤκουσεν ὁ˚ ἰησοῦς ὅτι ἐξέβαλον
αὐτὸν ἔξω καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ σὺ πιστεύεις εἰς τὸν υἱὸν
36 τοῦ θεοῦ ⸰ ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν τίς ἐστιν κύριε ἵνα πι-
37 στεύσω εἰς αὐτόν ⸰ εἶπεν δὲ˚ αὐτῷ ὁ ἰησοῦς καὶ ἑώρακας αὐτὸν
38 καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν ⸰ ὁ δὲ ἔφη πιστεύω κύριε καὶ
39 προσεκύνησεν αὐτῷ ⸰ καὶ εἶπεν ὁ ἰησοῦς εἰς κρίμα ἐγὼ εἰς τὸν
κόσμον τοῦτον ἦλθον ἵνα οἱ μὴ βλέποντες βλέπωσιν καὶ οἱ βλέ-
40 ποντες τυφλοὶ γένωνται ⸰ κἀὶ ἤκουσαν ἐκ τῶν φαρισαίων ταῦτα
οἱ ὄντες˚ μετ᾽ αὐτοῦ καὶ εἶπον αὐτῷ μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν ⸰
41 εἶπεν αὐτοῖς ὁ ἰησοῦς εἰ τυφλοὶ ἦτε οὐκ ἂν εἴχετε ἁμαρτίαν νῦν
δὲ λέγετε ὅτι βλέπομεν ἡ οὖν ἁμαρτία ὑμῶν μένει ⸰

10 ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς
τὴν αὐλὴν τῶν προβάτων ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν ἐκεῖνος
2 κλέπτης ἐστὶν καὶ λῃστής ⸰ ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας
3 ποιμήν ἐστιν τῶν προβάτων ⸰ τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ
πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει καὶ τὰ ἴδια πρόβατα κἀλεῖ
4 κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά ⸰ κἀὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ
ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ ὅτι
5 οἴδασιν τὴν φωνὴν αὐτοῦ ⸰ ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσῶσιν
ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν
6 φωνήν ⸰ ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ ἰησοῦς ἐκεῖνοι δὲ
7 οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς ⸰ εἶπεν οὖν πάλιν αὐτοῖς ὁ
ἰησοῦς ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβά-
8 των ⸰ πάντες ὅσοι πρὸ˚ ἐμοῦ ἦλθον κλέπται εἰσὶν καὶ λῃσταὶ ἀλλ᾽
9 οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα ⸰ ἐγώ εἰμι ἡ θύρα δι᾽ ἐμοῦ ἐάν
τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νο-
10 μὴν εὑρήσει ⸰ ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ
καὶ ἀπολέσῃ ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν ⸰
11 ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ
12 τίθησιν ὑπὲρ τῶν προβάτων ⸰ ὁ μισθωτὸς δὲ˚ καὶ οὐκ ὢν ποιμὴν
οὗ οὐκ εἰσὶν τὰ πρόβατα ἴδια θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ
ἀφίησιν τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ

---

v.34 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.35** 𝕋*: ο, 𝕍: ∅. **v.35** 𝕋*: αυτω, 𝕍: ∅. **v.35** 𝕋*: θεου, 𝕍: ανθρωπου. **v.36** 𝕋 𝕂: τις, 𝕄 𝕍: και τις. **v.37** 𝕋*: δε, 𝕍: ∅. **v.40** 𝕋*: και, 𝕍: ∅. **v.40** 𝕋*: οντες μετ αυτου, 𝕍: μετ αυτου οντες. **v.41** 𝕋*: ουν, 𝕍: ∅. **10.v.3** 𝕋*: καλει, 𝕍: φωνει. **v.4** 𝕋*: και, 𝕍: ∅. **v.4** 𝕋*: προβατα, 𝕍: παντα. **v.5** 𝕋*: ακολουθησωσιν, 𝕍: ακολουθησουσιν. **v.7** 𝕋*: αυτοις, 𝕍: ∅. **v.8** 𝕋 𝕂: προ εμου ηλθον, 𝕄: ηλθον, 𝕍: ηλθον [προ εμου]. **v.12** 𝕋*: δε, 𝕍: ∅. **v.12** 𝕋*: εισιν, 𝕍: εστιν.

σκορπίζει τὰ˚ πρόβατα ⸰ ὁ˚ δὲ μισθωτὸς φεύγει ὅτι μισθωτός ἐ- 13
στιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων ⸰ ἐγώ εἰμι ὁ ποιμὴν 14
ὁ καλὸς καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι˚ ὑπὸ τῶν ἐμῶν ⸰
καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα καὶ τὴν 15
ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων ⸰ καὶ ἄλλα πρόβατα ἔχω ἃ 16
οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης κἀκεῖνά με˚ δεῖ ἀγαγεῖν καὶ τῆς
φωνῆς μου ἀκούσουσιν καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν ⸰
διὰ τοῦτο ὁ˚ πατήρ με ἀγαπᾷ ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου ἵνα 17
πάλιν λάβω αὐτήν ⸰ οὐδεὶς αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ ἀλλ᾽ ἐγὼ τίθημι 18
αὐτὴν ἀπ᾽ ἐμαυτοῦ ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω
πάλιν λαβεῖν αὐτὴν ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πα-
τρός μου ⸰ σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς ἰουδαίοις διὰ τοὺς 19
λόγους τούτους ⸰ ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν δαιμόνιον ἔχει καὶ 20
μαίνεται τί αὐτοῦ ἀκούετε ⸰ ἄλλοι ἔλεγον ταῦτα τὰ ῥήματα οὐκ 21
ἔστιν δαιμονιζομένου μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς
ἀνοίγειν ⸰ ἐγένετο δὲ˚ τὰ ἐγκαίνια ἐν τοῖς ἱεροσολύμοις κρὰ χει- 22
μὼν ἦν ⸰ καὶ περιεπάτει ὁ ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ τοῦ σολο- 23
μῶντος ⸰ ἐκύκλωσαν οὖν αὐτὸν οἱ ἰουδαῖοι καὶ ἔλεγον αὐτῷ ἕως 24
πότε τὴν ψυχὴν ἡμῶν αἴρεις εἰ σὺ εἶ ὁ χριστὸς εἰπὲ ἡμῖν παρρη-
σίᾳ ⸰ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς εἶπον ὑμῖν καὶ οὐ πιστεύετε τὰ 25
ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου ταῦτα μαρτυρεῖ
περὶ ἐμοῦ ⸰ ἀλλ᾽ ὑμεῖς οὐ πιστεύετε οὐ˚ γάρ ἐστε ἐκ τῶν προβά- 26
των τῶν ἐμῶν καθὼς˚ εἶπον ὑμῖν ⸰ τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς 27
μου ἀκούει κἀγὼ γινώσκω αὐτὰ καὶ ἀκολουθοῦσίν μοι ⸰ κἀγὼ 28
ζωὴν˚ αἰώνιον δίδωμι αὐτοῖς καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα
καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου ⸰ ὁ πατήρ μου ὃς 29
δέδωκέν μοι μείζων˚ πάντων ἐστὶν καὶ οὐδεὶς δύναται ἁρπάζειν
ἐκ τῆς χειρὸς τοῦ πατρός μοῦ ⸰ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν ⸰ ἐ- 30, 31
βάστασαν οὖν πάλιν λίθους οἱ ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν ⸰
ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς πολλὰ καλὰ˚ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ 32
πατρός μου διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ˚ με ⸰ ἀπεκρίθησαν 33
αὐτῷ οἱ ἰουδαῖοι λέγοντες περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε

---

v.12 𝕋*: τα προβατα, 𝕍: ∅. **v.13** 𝕋*: ο δε μισθωτος φευγει, 𝕍: ∅. **v.14** 𝕋*: γινωσκομαι υπο των εμων, 𝕍: γινωσκουσι με τα εμα. **v.16** 𝕋*: με δει, 𝕍: δει με. **v.16** 𝕋*: γενησεται, 𝕍: γενησονται. **v.17** 𝕋*: ο πατηρ με, 𝕍: με ο πατηρ. **v.19** 𝕋*: ουν, 𝕍: ∅. **v.21** 𝕋*: ανοιγειν, 𝕍: ανοιξαι. **v.22** 𝕋*: δε, 𝕍: τοτε. **v.22** 𝕋 𝕂 𝕍: τοις, 𝕄: ∅. **v.22** 𝕋*: και, 𝕍: ∅. **v.23** 𝕋 𝕂 𝕍: του, 𝕄: ∅. **v.23** 𝕋 𝕂: σολομωντος, 𝕄 𝕍: σολομωνος. **v.26** 𝕋*: αλλ, 𝕍: αλλα. **v.26** 𝕋*: ου γαρ, 𝕍: οτι ουκ. **v.26** 𝕋*: καθως εἶπον υμιν, 𝕍: ∅. **v.27** 𝕋*: ακουει, 𝕍: ακουουσιν. **v.28** 𝕋*: ζωην αιωνιον διδωμι αυτοις, 𝕍: διδωμι αυτοις ζωην αιωνιον. **v.29** 𝕋*: ος, 𝕍: ο. **v.29** 𝕋*: μειζων παντων, 𝕍: παντων μειζον. **v.29** 𝕋*: μου, 𝕍: ∅. **v.31** 𝕋*: ουν, 𝕍: ∅. **v.32** 𝕋*: καλα εργα, 𝕍: εργα καλα. **v.32** 𝕋*: μου, 𝕍: ∅. **v.32** 𝕋*: λιθαζετε με, 𝕍: εμε λιθαζετε. **v.33** 𝕋*: λεγοντες, 𝕍: ∅.

ἀλλὰ περὶ βλασφημίας καὶ ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν
34 θεόν ◦ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς οὐκ ἔστιν γεγραμμένον ἐν τῷ
35 νόμῳ ὑμῶν ἐγὼ εἶπα θεοί ἐστε ◦ εἰ ἐκείνους εἶπεν θεοὺς πρὸς
οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο καὶ οὐ δύναται λυθῆναι ἡ γρα-
36 φή ◦ ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς
37 λέγετε ὅτι βλασφημεῖς ὅτι εἶπον υἱὸς τοῦ θεοῦ εἰμι ◦ εἰ οὐ ποιῶ
38 τὰ ἔργα τοῦ πατρός μου μὴ πιστεύετέ μοι ◦ εἰ δὲ ποιῶ κἂν ἐμοὶ
μὴ πιστεύητε τοῖς ἔργοις πιστεύσατε ἵνα γνῶτε καὶ πιστεύσητε
39 ὅτι ἐν ἐμοὶ ὁ πατὴρ κἀγὼ ἐν αὐτῷ ◦ ἐζήτουν οὖν πάλιν˚ αὐτὸν
40 πιάσαι καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν ◦ καὶ ἀπῆλθεν πάλιν
πέραν τοῦ ἰορδάνου εἰς τὸν τόπον ὅπου ἦν ἰωάννης τὸ πρῶτον
41 βαπτίζων καὶ ἔμεινεν ἐκεῖ ◦ καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν καὶ
ἔλεγον ὅτι ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδὲν πάντα δὲ ὅσα
42 εἶπεν ἰωάννης περὶ τούτου ἀληθῆ ἦν ◦ καὶ ἐπίστευσαν˚ πολλοὶ
ἐκεῖ εἰς αὐτόν ◦

11 ἦν δέ τις ἀσθενῶν λάζαρος ἀπὸ βηθανίας ἐκ τῆς κώμης μα-
2 ρίας καὶ μάρθας τῆς ἀδελφῆς αὐτῆς ◦ ἦν δὲ μαρίᾳ ἡ ἀλείψασα
τὸν κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν
3 αὐτῆς ἧς ὁ ἀδελφὸς λάζαρος ἠσθένει ◦ ἀπέστειλαν οὖν αἱ ἀδελ-
4 φαὶ πρὸς αὐτὸν λέγουσαι κύριε ἴδε ὃν φιλεῖς ἀσθενεῖ ◦ ἀκούσας
δὲ ὁ ἰησοῦς εἶπεν αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν πρὸς θάνατον ἀλλ᾽
ὑπὲρ τῆς δόξης τοῦ θεοῦ ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ δι᾽ αὐ-
5 τῆς ◦ ἠγάπα δὲ ὁ ἰησοῦς τὴν μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς
6 καὶ τὸν λάζαρον ◦ ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ τότε μὲν ἔμεινεν
7 ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας ◦ ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθη-
8 ταῖς ἄγωμεν εἰς τὴν ἰουδαίαν πάλιν ◦ λέγουσιν αὐτῷ οἱ μαθηταὶ
ῥαββὶ νῦν ἐζήτουν σε λιθάσαι οἱ ἰουδαῖοι καὶ πάλιν ὑπάγεις ἐ-
9 κεῖ ◦ ἀπεκρίθη ὁ˚ ἰησοῦς οὐχὶ δώδεκά εἰσιν˚ ὧραι τῆς ἡμέρας
ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ οὐ προσκόπτει ὅτι τὸ φῶς τοῦ
10 κόσμου τούτου βλέπει ◦ ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ προ-
11 σκόπτει ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ ◦ ταῦτα εἶπεν καὶ μετὰ
τοῦτο λέγει αὐτοῖς λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται ἀλλὰ πο-
12 ρεύομαι ἵνα ἐξυπνίσω αὐτόν ◦ εἶπὸν οὖν οἱ μαθηταὶ αὐτοῦ κύριε
13 εἰ κεκοίμηται σωθήσεται ◦ εἰρήκει δὲ ὁ ἰησοῦς περὶ τοῦ θανά-
του αὐτοῦ ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου
14 λέγει ◦ τότε οὖν εἶπεν αὐτοῖς ὁ ἰησοῦς παρρησίᾳ λάζαρος ἀπέ-

---

v.34 𝕋*: εγω, 𝕍: οτι εγω. **v.38** 𝕋*: πιστευσατε, 𝕍: πιστευετε. **v.38** 𝕋*: πιστευσητε, 𝕍: γινωσκητε. **v.38** 𝕋*: αυτω, 𝕍: τω πατρι. **v.39** 𝕋*: παλιν αυτον, 𝕍: αυτον παλιν. **v.42** 𝕋*: επιστευσαν πολλοι εκει εις αυτον, 𝕍: πολλοι επιστευσαν εις αυτον εκει. **11.v.2** 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.9** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.9** 𝕋*: εισιν ωραι, 𝕍: ωραι εισιν. **v.12** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.12** 𝕋*: αυτου, 𝕍: αυτω.

θανεν ⸰ καὶ χαίρω δι᾽ ὑμᾶς ἵνα πιστεύσητε ὅτι οὐκ ἤμην ἐκεῖ 15
ἀλλ᾽ ἄγωμεν πρὸς αὐτόν ⸰ εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος δίδυ- 16
μος τοῖς συμμαθηταῖς ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ᾽
αὐτοῦ ⸰ ἐλθὼν οὖν ὁ ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας˚ ἤδη 17
ἔχοντα ἐν τῷ μνημείῳ ⸰ ἦν δὲ ἡ βηθανία ἐγγὺς τῶν ἱεροσολύμων 18
ὡς ἀπὸ σταδίων δεκαπέντε ⸰ καὶ˚ πολλοὶ ἐκ τῶν ἰουδαίων ἐληλύ- 19
θεισαν πρὸς τὰς˚ περὶ μάρθαν καὶ μαρίαν ἵνα παραμυθήσωνται
αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτ̃ων ⸰ ἡ οὖν μάρθα ὡς ἤκουσεν ὅτι 20
ὁ˚ ἰησοῦς ἔρχεται ὑπήντησεν αὐτῷ μαρίᾳ δὲ ἐν τῷ οἴκῳ ἐκαθέ-
ζετο ⸰ εἶπεν οὖν ἡ˚ μάρθα πρὸς τὸν ἰησοῦν κύριε εἰ ἦς ὧδε ὁ˚ 21
ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει ⸰ ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν 22
αἰτήσῃ τὸν θεὸν δώσει σοι ὁ θεός ⸰ λέγει αὐτῇ ὁ ἰησοῦς ἀναστή- 23
σεται ὁ ἀδελφός σου ⸰ λέγει αὐτῷ μάρθα οἶδα ὅτι ἀναστήσεται 24
ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ⸰ εἶπεν αὐτῇ ὁ ἰησοῦς ἐγώ 25
εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωὴ ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ
ζήσεται ⸰ καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ 26
εἰς τὸν αἰῶνα πιστεύεις τοῦτο ⸰ λέγει αὐτῷ ναὶ κύριε ἐγὼ πεπί- 27
στευκα ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ εἰς τὸν κόσμον
ἐρχόμενος ⸰ καὶ τᾶῦτα εἰποῦσα ἀπῆλθεν καὶ ἐφώνησεν μαρίαν 28
τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα ὁ διδάσκαλος πάρεστιν καὶ
φωνεῖ σε ⸰ ἐκείνη ὡς ἤκουσεν ἐγείρεται˚ ταχὺ καὶ ἔρχεται πρὸς 29
αὐτόν ⸰ οὔπω δὲ ἐληλύθει ὁ ἰησοῦς εἰς τὴν κώμην ἀλλ᾽ ἦν ἐν 30
τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ μάρθα ⸰ οἱ οὖν ἰουδαῖοι οἱ ὄν- 31
τες μετ᾽ αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτὴν ἰδόντες
τὴν μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν ἠκολούθησαν αὐτῇ
λέγοντες ὅτι ὑπάγει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ ⸰ ἡ οὖν 32
μαρίᾳ ὡς ἦλθεν ὅπου ἦν ὁ˚ ἰησοῦς ἰδοῦσα αὐτὸν ἔπεσεν εἰς˚
τοὺς πόδας αὐτοῦ λέγουσα αὐτῷ κύριε εἰ ἦς ὧδε οὐκ ἂν ἀπέ-
θανέν˚ μου ὁ ἀδελφός ⸰ ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν 33
καὶ τοὺς συνελθόντας αὐτῇ ἰουδαίους κλαίοντας ἐνεβριμήσατο
τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτόν ⸰ καὶ εἶπεν ποῦ τεθείκατε αὐ- 34
τὸν λέγουσιν αὐτῷ κύριε ἔρχου καὶ ἴδε ⸰ ἐδάκρυσεν ὁ ἰησοῦς ⸰ 35

---

v.15 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.17** 𝕋*: ημερας ηδη, 𝕍: ηδη ημερας. **v.19** 𝕋*: και πολλοι, 𝕍: πολλοι δε. **v.19** 𝕋*: τας περι μαρθαν και μαριαν, 𝕍: την μαρθαν και μαριαμ. **v.19** 𝕋*: αυτων, 𝕍: ∅. **v.20** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.21** 𝕋 𝕂 𝕍: η, 𝕄: ∅. **v.21** 𝕋*: ο αδελφος μου ουκ αν ετεθνηκει, 𝕍: ουκ αν απεθανεν ο αδελφος μου. **v.24** 𝕋*: μαρθα, 𝕍: η μαρθα. **v.28** 𝕋*: ταυτα, 𝕍: τουτο. **v.28** 𝕋*: μαριαν, 𝕍: μαριαμ. **v.29** 𝕋*: εκεινη, 𝕍: εκεινη δε. **v.29** 𝕋*: εγειρεται ταχυ και ερχεται, 𝕍: ηγερθη ταχυ και ηρχετο. **v.30** 𝕋*: ην, 𝕍: ην ετι. **v.31** 𝕋*: μαριαν, 𝕍: μαριαμ. **v.31** 𝕋*: λεγοντες, 𝕍: δοξαντες. **v.32** 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.32** 𝕋*: ο, 𝕍: ∅. **v.32** 𝕋 𝕂: εις τους ποδας αυτου, 𝕄: αυτου εις τους ποδας, 𝕍: αυτου προς τους ποδας. **v.32** 𝕋*: απεθανεν μου, 𝕍: μου απεθανεν.

36, 37 ἔλεγον οὖν οἱ ἰουδαῖοι ἴδε πῶς ἐφίλει αὐτόν ⸓ τινὲς δὲ ἐξ αὐ-
τῶν εἶπόν οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ
38 τυφλοῦ ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ ⸓ ἰησοῦς οὖν πάλιν
ἐμβριμώμενος ἐν ἑαυτῷ ἔρχεται εἰς τὸ μνημεῖον ἦν δὲ σπήλαιον
39 καὶ λίθος ἐπέκειτο ἐπ᾽ αὐτῷ ⸓ λέγει ὁ ἰησοῦς ἄρατε τὸν λίθον
λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος μάρθα κύριε ἤδη ὄζει τε-
40 ταρταῖος γάρ ἐστιν ⸓ λέγει αὐτῇ ὁ ἰησοῦς οὐκ εἶπόν σοι ὅτι ἐὰν
41 πιστεύσῃς ὄψει τὴν δόξαν τοῦ θεοῦ ⸓ ἦραν οὖν τὸν λίθον οὗ᾽ ἦν
ὁ τεθνηκὼς κείμενος ὁ δὲ ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ
42 εἶπεν πάτερ εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου ⸓ ἐγὼ δὲ ᾔδειν ὅτι
πάντοτέ μου ἀκούεις ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον
43 ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας ⸓ καὶ ταῦτα εἰπὼν φωνῇ
44 μεγάλῃ ἐκραύγασεν λάζαρε δεῦρο ἔξω ⸓ κἀὶ ἐξῆλθεν ὁ τεθνηκὼς
δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις καὶ ἡ ὄψις αὐτοῦ
σουδαρίῳ περιεδέδετο λέγει αὐτοῖς ὁ ἰησοῦς λύσατε αὐτὸν καὶ
45 ἄφετὲ ὑπάγειν ⸓ πολλοὶ οὖν ἐκ τῶν ἰουδαίων οἱ ἐλθόντες πρὸς
τὴν μαρίαν᾽ καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ᾽ ἰησοῦς ἐπίστευσαν
46 εἰς αὐτόν ⸓ τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς φαρισαίους
47 καὶ εἶπὸν αὐτοῖς ἃ ἐποίησεν ὁ᾽ ἰησοῦς ⸓ συνήγαγον οὖν οἱ ἀρ-
χιερεῖς καὶ οἱ φαρισαῖοι συνέδριον καὶ ἔλεγον τί ποιοῦμεν ὅτι
48 οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα᾽ ποιεῖ ⸓ ἐὰν ἀφῶμεν αὐτὸν οὕ-
τως πάντες πιστεύσουσιν εἰς αὐτὸν καὶ ἐλεύσονται οἱ ῥωμαῖοι
49 καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος ⸓ εἷς δέ τις ἐξ αὐ-
τῶν καϊάφας ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου εἶπεν αὐτοῖς
50 ὑμεῖς οὐκ οἴδατε οὐδέν ⸓ οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ἡμῖν
ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος
51 ἀπόληται ⸓ τοῦτο δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν ἀλλὰ ἀρχιερεὺς ὢν
τοῦ ἐνιαυτοῦ ἐκείνου προἐφήτευσεν ὅτι ἔμελλεν ὁ᾽ ἰησοῦς ἀπο-
52 θνήσκειν ὑπὲρ τοῦ ἔθνους ⸓ καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον ἀλλ᾽
ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν ⸓
53 ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας ὠυνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν
54 αὐτόν ⸓ ἰησοῦς᾽ οὖν οὐκ ἔτι παρρησίᾳ περιεπάτει ἐν τοῖς ἰου-
δαίοις ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου
εἰς ἐφραΐμ λεγομένην πόλιν κἀκεῖ διέτριβεν μετὰ τῶν μαθητῶν

v.37 $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.37** $\mathbb{T}^*$: ηδυνατο, $\mathbb{V}$: εδυνατο. **v.39** $\mathbb{T}^*$: τεθνηκοτος, $\mathbb{V}$: τετελευτηκοτος. **v.40** $\mathbb{T}^*$: οψει, $\mathbb{V}$: οψη. **v.41** $\mathbb{T}^*$: ου ην ο τεθνηκως κειμενος, $\mathbb{V}$: ∅. **v.44** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.44** $\mathbb{T}^*$: αφετε, $\mathbb{V}$: αφετε αυτον. **v.45** $\mathbb{T}^*$: μαριαν, $\mathbb{V}$: μαριαμ. **v.45** $\mathbb{T}^*$: ο ιησους, $\mathbb{V}$: ∅. **v.46** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.46** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.47** $\mathbb{T}^*$: σημεια ποιει, $\mathbb{V}$: ποιει σημεια. **v.50** $\mathbb{T}^*$: διαλογιζεσθε, $\mathbb{V}$: λογιζεσθε. **v.50** $\mathbb{T}^*$: ημιν, $\mathbb{V}$: υμιν. **v.51** $\mathbb{T}^*$: προεφητευσεν, $\mathbb{V}$: επροφητευσεν. **v.51** $\mathbb{T}\,\mathbb{K}$: ο, $\mathbb{M}\,\mathbb{V}$: ∅. **v.53** $\mathbb{T}^*$: συνεβουλευσαντο, $\mathbb{V}$: εβουλευσαντο. **v.54** $\mathbb{T}\,\mathbb{K}$: ιησους ουν ουκ ετι, $\mathbb{M}$: ιησους ουν ουκετι, $\mathbb{V}$: ο ουν ιησους ουκετι. **v.54** $\mathbb{T}^*$: διετριβεν, $\mathbb{V}$: εμεινεν.

αὐτοῦ ⸰ ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν ἰουδαίων καὶ ἀνέβησαν πολ- 55
λοὶ εἰς ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα ἵνα ἁγνίσωσιν
ἑαυτούς ⸰ ἐζήτουν οὖν τὸν ἰησοῦν καὶ ἔλεγον μετ᾽ ἀλλήλων ἐν τῷ 56
ἱερῷ ἑστηκότες τί δοκεῖ ὑμῖν ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν ⸰ δε- 57
δώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολὴν ἵνα ἐάν
τις γνῷ ποῦ ἐστιν μηνύσῃ ὅπως πιάσωσιν αὐτόν ⸰

ὁ οὖν ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς βηθανίαν **12**
ὅπου ἦν λάζαρος ὁ˚ τεθνηκὼς ὃν ἤγειρεν ἐκ νεκρῶν ⸰ ἐποίη- 2
σαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ καὶ ἡ μάρθα διηκόνει ὁ δὲ λάζαρος
εἷς ἦν τῶν˚ συνανακειμένων αὐτῷ ⸰ ἡ οὖν μαρίὰ λαβοῦσα λί- 3
τραν μύρου νάρδου πιστικῆς πολυτίμου ἤλειψεν τοὺς πόδας
τοῦ ἰησοῦ καὶ ἐξέμαξεν ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ ἡ
δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου ⸰ λέγει οὖν˚ εἷς ἐκ 4
τῶν μαθητῶν αὐτοῦ ἰούδας σίμωνος ἰσκαριώτης ὁ μέλλων αὐ-
τὸν παραδιδόναι ⸰ διατὶ τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων 5
δηναρίων καὶ ἐδόθη πτωχοῖς ⸰ εἶπεν δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν 6
πτωχῶν ἔμελεν αὐτῷ ἀλλ᾽ ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον
εἶχεν˚ καὶ τὰ βαλλόμενα ἐβάσταζεν ⸰ εἶπεν οὖν ὁ ἰησοῦς ἄφες 7
αὐτὴν εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό ⸰
τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ᾽ ἑαυτῶν ἐμὲ δὲ οὐ πάν- 8
τοτε ἔχετε ⸰ ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν ἰουδαίων ὅτι ἐκεῖ ἐστιν 9
καὶ ἦλθον οὐ διὰ τὸν ἰησοῦν μόνον ἀλλ᾽ ἵνα καὶ τὸν λάζαρον
ἴδωσιν ὃν ἤγειρεν ἐκ νεκρῶν ⸰ ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα 10
καὶ τὸν λάζαρον ἀποκτείνωσιν ⸰ ὅτι πολλοὶ δι᾽ αὐτὸν ὑπῆγον τῶν 11
ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν ἰησοῦν ⸰ τῇ ἐπαύριον ὄχλος πο- 12
λὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν ἀκούσαντες ὅτι ἔρχεται ὁ˚ ἰησοῦς
εἰς ἱεροσόλυμα ⸰ ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς 13
ὑπάντησιν αὐτῷ καὶ ἔκραζον ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι κυρίου ὁ˚ βασιλεὺς τοῦ ἰσραήλ ⸰ εὑρὼν δὲ ὁ ἰησοῦς 14
ὀνάριον ἐκάθισεν ἐπ᾽ αὐτὸ καθὼς ἐστιν γεγραμμένον ⸰ μὴ φοβοῦ 15
θύγατερ σιὼν ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶ-
λον ὄνου ⸰ ταῦτα δὲ˚ οὐκ ἔγνωσαν οἱ˚ μαθηταὶ αὐτοῦ τὸ πρῶτον 16
ἀλλ᾽ ὅτε ἐδοξάσθη ὁ˚ ἰησοῦς τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ᾽

v.54 𝕋*: αυτου, 𝕍: ∅. **v.57** 𝕋*: και, 𝕍: ∅. **v.57** 𝕋*: εντολην, 𝕍: εντολας. **12.v.1** 𝕋*: ο τεθνηκως, 𝕍: ∅. **v.1** 𝕋*: νεκρων, 𝕍: νεκρων ιησους. **v.2** 𝕋 𝕂: των συνανακειμενων, 𝕄: των ανακειμενων συν, 𝕍: εκ των ανακειμενων συν. **v.3** 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.4** 𝕋*: ουν εις εκ των μαθητων αυτου ιουδας σιμωνος ισκαριωτης, 𝕍: δε ιουδας ο ισκαριωτης εις [εκ] των μαθητων αυτου. **v.5** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.6** 𝕋 𝕄 𝕍: αλλ, 𝕂: αλλα. **v.6** 𝕋*: ειχεν και, 𝕍: εχων. **v.7** 𝕋*: εις, 𝕍: ινα εις. **v.7** 𝕋*: τετηρηκεν, 𝕍: τηρηση. **v.9** 𝕋*: οχλος, 𝕍: [ο] οχλος. **v.12** 𝕋*: οχλος, 𝕍: ο οχλος. **v.12** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.13** 𝕋*: εκραζον, 𝕍: εκραυγαζον. **v.13** 𝕋 𝕂: ο, 𝕄: ∅, 𝕍: [και] ο. **v.15** 𝕋*: θυγατερ, 𝕍: θυγατηρ. **v.16** 𝕋*: δε, 𝕍: ∅. **v.16** 𝕋*: οι μαθηται αυτου, 𝕍: αυτου οι μαθηται. **v.16** 𝕋*: ο, 𝕍: ∅.

17 αὐτῷ γεγραμμένα καὶ ταῦτα ἐποίησαν αὐτῷ ⸰ ἐμαρτύρει οὖν ὁ
ὄχλος ὁ ὢν μετ᾽ αὐτοῦ ὅτε τὸν λάζαρον ἐφώνησεν ἐκ τοῦ μνη-
18 μείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν ⸰ διὰ τοῦτο καὶ ὑπήντησεν
αὐτῷ ὁ ὄχλος ὅτι ἤκουσὲν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον ⸰
19 οἱ οὖν φαρισαῖοι εἶπὸν πρὸς ἑαυτοὺς θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε
20 οὐδὲν ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν ⸰ ἦσαν δέ τινες˚ ἕλλη-
21 νες ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ ⸰ οὗτοι
οὖν προσῆλθον φιλίππῳ τῷ ἀπὸ βηθσαϊδὰ τῆς γαλιλαίας καὶ ἠ-
22 ρώτων αὐτὸν λέγοντες κύριε θέλομεν τὸν ἰησοῦν ἰδεῖν ⸰ ἔρχεται
φίλιππος καὶ λέγει τῷ ἀνδρέᾳ καὶ˚ πάλιν ἀνδρέας καὶ φίλιπ-
23 πος λέγουσιν τῷ ἰησοῦ ⸰ ὁ δὲ ἰησοῦς ἀπἐκρίνατο αὐτοῖς λέγων
24 ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου ⸰ ἀμὴν ἀμὴν
λέγω ὑμῖν ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθά-
25 νῃ αὐτὸς μόνος μένει ἐὰν δὲ ἀποθάνῃ πολὺν καρπὸν φέρει ⸰ ὁ
φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτὴν καὶ ὁ μισῶν τὴν ψυχὴν
26 αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν ⸰ ἐὰν
ἐμοὶ διακονῇ˚ τις ἐμοὶ ἀκολουθείτω καὶ ὅπου εἰμὶ ἐγὼ ἐκεῖ καὶ ὁ
διάκονος ὁ ἐμὸς ἔσται κἀὶ ἐάν τις ἐμοὶ διακονῇ τιμήσει αὐτὸν ὁ
27 πατήρ ⸰ νῦν ἡ ψυχή μου τετάρακται καὶ τί εἴπω πάτερ σῶσόν με
ἐκ τῆς ὥρας ταύτης ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην ⸰
28 πάτερ δόξασόν σου˚ τὸ ὄνομα ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρα-
29 νοῦ καὶ ἐδόξασα καὶ πάλιν δοξάσω ⸰ ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ
ἀκούσας ἔλεγεν βροντὴν γεγονέναι ἄλλοι ἔλεγον ἄγγελος αὐτῷ
30 λελάληκεν ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν οὐ δι᾽ ἐμὲ αὕτη˚ ἡ φω-
31 νὴ γέγονεν ἀλλὰ δι᾽ ὑμᾶς ⸰ νῦν κρίσις ἐστὶν τοῦ κόσμου τούτου
32 νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω ⸰ κἀγὼ ἐὰν
33 ὑψωθῶ ἐκ τῆς γῆς πάντας ἑλκύσω πρὸς ἐμαυτόν ⸰ τοῦτο δὲ ἔ-
34 λεγεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν ⸰ ἀπεκρίθἠ
αὐτῷ ὁ ὄχλος ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ χριστὸς μέ-
νει εἰς τὸν αἰῶνα καὶ πῶς σὺ˚ λέγεις ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν
35 τοῦ ἀνθρώπου τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου ⸰ εἶπεν οὖν
αὐτοῖς ὁ ἰησοῦς ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ᾽˚ ὑμῶν ἐστιν πε-
ριπατεῖτε ἕὡς τὸ φῶς ἔχετε ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ καὶ ὁ

---

v.18 𝕋*: ηκουσεν, 𝕍: ηκουσαν. **v.19** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.20** 𝕋*: τινες ελληνες, 𝕍: ελληνες τινες. **v.22** 𝕋*: φιλιππος, 𝕍: ο φιλιππος. **v.22** 𝕋*: και παλιν ανδρεας και φιλιππος, 𝕍: ερχεται ανδρεας και φιλιππος και. **v.23** 𝕋*: απεκρινατο, 𝕍: αποκρινεται. **v.25** 𝕋*: απολεσει, 𝕍: απολλυει. **v.26** 𝕋*: διακονη τις, 𝕍: τις διακονη. **v.26** 𝕋*: και, 𝕍: ∅. **v.28** 𝔼: σου το ονομα, 𝔹: μου το ονομα, 𝔻: σου το ονομα εν τη δοξη η ειχον παρα σοι προ του τον κοσμον γενεσθαι. **v.30** 𝕋*: ο, 𝕍: ∅. **v.30** 𝕋*: αυτη η φωνη, 𝕍: η φωνη αυτη. **v.33** 𝕋 𝕂 𝕍: ημελλεν, 𝕄: εμελλεν. **v.34** 𝕋*: απεκριθη, 𝕍: απεκριθη ουν. **v.34** 𝕋 𝕂: συ λεγεις οτι, 𝕄: συ λεγεις, 𝕍: λεγεις συ οτι. **v.35** 𝕋*: μεθ υμων, 𝕍: εν υμιν. **v.35** 𝕋*: εως, 𝕍: ως.

περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει ⸰ ἕως τὸ φῶς ἔχετε 36
πιστεύετε εἰς τὸ φῶς ἵνα υἱοὶ φωτὸς γένησθε ταῦτα ἐλάλησεν ὁ˚
ἰησοῦς καὶ ἀπελθὼν ἐκρύβη ἀπ᾽ αὐτῶν ⸰ τοσαῦτα δὲ αὐτοῦ ση- 37
μεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν οὐκ ἐπίστευον εἰς αὐτόν ⸰
ἵνα ὁ λόγος ἡσαΐου τοῦ προφήτου πληρωθῇ ὃν εἶπεν κύριε τίς 38
ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύ-
φθη ⸰ διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν ὅτι πάλιν εἶπεν ἡσαΐας ⸰ 39
τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ ἐπεπώρωκεν αὐτῶν τὴν 40
καρδίαν ἵνα μὴ ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ νοήσωσιν τῇ καρδίᾳ
καὶ ἐπιστραφῶσιν καὶ ἰάσωμαι αὐτούς ⸰ ταῦτα εἶπεν ἡσαΐας ὅτε 41
εἶδεν τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησεν περὶ αὐτοῦ ⸰ ὅμως μέντοι 42
καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν ἀλλὰ διὰ τοὺς
φαρισαίους οὐχ ὡμολόγουν ἵνα μὴ ἀποσυνάγωγοι γένωνται ⸰ ἠ- 43
γάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν
τοῦ θεοῦ ⸰ ἰησοῦς δὲ ἔκραξεν καὶ εἶπεν ὁ πιστεύων εἰς ἐμὲ οὐ 44
πιστεύει εἰς ἐμὲ ἀλλ᾽ εἰς τὸν πέμψαντά με ⸰ καὶ ὁ θεωρῶν ἐμὲ 45
θεωρεῖ τὸν πέμψαντά με ⸰ ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα ἵνα 46
πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ ⸰ καὶ ἐάν τις μου 47
ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ ἐγὼ οὐ κρίνω αὐτὸν οὐ
γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον ἀλλ᾽ ἵνα σώσω τὸν κόσμον ⸰ ὁ 48
ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου ἔχει τὸν κρίνοντα
αὐτὸν ὁ λόγος ὃν ἐλάλησα ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ
ἡμέρᾳ ⸰ ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα ἀλλ᾽ ὁ πέμψας με πα- 49
τὴρ αὐτός μοι ἐντολὴν ἔδωκεν τί εἴπω καὶ τί λαλήσω ⸰ καὶ οἶδα 50
ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν ἃ οὖν λαλῶ˚ ἐγὼ καθὼς
εἴρηκέν μοι ὁ πατὴρ οὕτως λαλῶ ⸰

πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ ἰησοῦς ὅτι ἐλήλυθεν **13**
αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα
ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ εἰς τέλος ἠγάπησεν
αὐτούς ⸰ καὶ δείπνου γενομένου τοῦ διαβόλου ἤδη βεβληκότος 2
εἰς τὴν καρδίαν ἰούδα˚ σίμωνος ἰσκαριώτου ἵνα αὐτὸν παρα-
δῷ ⸰ εἰδὼς ὁ˚ ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς 3
χεῖρας καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθεν καὶ πρὸς τὸν θεὸν ὑπάγει ⸰ ἐ- 4

---

v.36 𝕋*: εως, 𝕍: ως. **v.36** 𝕋*: ο, 𝕍: ∅. **v.38** 𝕋: ησαΐου, 𝕂 𝕄 𝕍: ησαΐου, ℕ: ησαίου. **v.39** 𝕋: ησαΐας, 𝕂 𝕄 𝕍: ησαΐας, ℕ: ησαίας. **v.40** 𝕋*: πεπωρωκεν, 𝕍: επωρωσεν. **v.40** 𝕋*: επιστραφωσιν, 𝕍: στραφωσιν. **v.40** 𝕋*: ιασωμαι, 𝕍: ιασομαι. **v.41** 𝕋: ησαΐας, 𝕂 𝕄 𝕍: ησαΐας, ℕ: ησαίας. **v.41** 𝕋*: ὅτε, 𝕍 ℕ: ὅτι. **v.44** 𝕋*: αλλ, 𝕍: αλλα. **v.47** 𝕋*: πιστευση, 𝕍: φυλαξη. **v.49** 𝕋*: εδωκεν, 𝕍: δεδωκεν. **v.50** 𝕋*: λαλω εγω, 𝕍: εγω λαλω. **13.v.1** 𝕋*: εληλυθεν, 𝕍: ηλθεν. **v.2** 𝕋*: γενομενου, 𝕍: γινομενου. **v.2** 𝕋*: ιουδα σιμωνος ισκαριωτου ινα αυτον παραδω, 𝕍: ινα παραδοι αυτον ιουδας σιμωνος ισκαριωτου. **v.3** 𝕋*: ο ιησους, 𝕍: ∅. **v.3** 𝕋*: δεδωκεν, 𝕍: εδωκεν.

γείρεται ἐκ τοῦ δείπνου καὶ τίθησιν τὰ ἱμάτια καὶ λαβὼν λέντιον
5 διέζωσεν ἑαυτόν ⸓ εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο
νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν
6 διεζωσμένος ⸓ ἔρχεται οὖν πρὸς σίμωνα πέτρον καὶ˚ λέγει αὐτῷ
7 ἐκεῖνος κύριε σύ μου νίπτεις τοὺς πόδας ⸓ ἀπεκρίθη ἰησοῦς καὶ
εἶπεν αὐτῷ ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι γνώσῃ δὲ μετὰ ταῦτα ⸓
8 λέγει αὐτῷ πέτρος οὐ μὴ νίψῃς τοὺς˚ πόδας μου εἰς τὸν αἰῶνα
ἀπεκρίθη αὐτῷ˚ ὁ ἰησοῦς ἐὰν μὴ νίψω σε οὐκ ἔχεις μέρος μετ᾽
9 ἐμοῦ ⸓ λέγει αὐτῷ σίμων πέτρος κύριε μὴ τοὺς πόδας μου μόνον
10 ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν ⸓ λέγει αὐτῷ ὁ ἰησοῦς ὁ
λελουμένος οὐ˚ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι ἀλλ᾽ ἔστιν
11 καθαρὸς ὅλος καὶ ὑμεῖς καθαροί ἐστε ἀλλ᾽ οὐχὶ πάντες ⸓ ᾔδει
γὰρ τὸν παραδιδόντα αὐτὸν διὰ τοῦτο εἶπεν οὐχὶ πάντες καθα-
12 ροί ἐστε ⸓ ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν καὶ ἔλαβεν τὰ ἱμάτια
αὐτοῦ ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς γινώσκετε τί πεποίηκα ὑ-
13 μῖν ⸓ ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος καὶ ὁ κύριος καὶ καλῶς
14 λέγετε εἰμὶ γάρ ⸓ εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος
καὶ ὁ διδάσκαλος καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πό-
15 δας ⸓ ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν
16 καὶ ὑμεῖς ποιῆτε ⸓ ἀμὴν ἀμὴν λέγω ὑμῖν οὐκ ἔστιν δοῦλος μεί-
ζων τοῦ κυρίου αὐτοῦ οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος
17, 18 αὐτόν ⸓ εἰ ταῦτα οἴδατε μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά ⸓ οὐ περὶ
πάντων ὑμῶν λέγω ἐγὼ οἶδα ὁὺς ἐξελεξάμην ἀλλ᾽ ἵνα ἡ γρα-
φὴ πληρωθῇ ὁ τρώγων μετ᾽˚ ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν
19 πτέρναν αὐτοῦ ⸓ ἀπ᾽ ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι ἵνα ὅταν˚
20 γένηται πιστεύσητε ὅτι ἐγώ εἰμι ⸓ ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ λαμβά-
νων ἐάν τινα πέμψω ἐμὲ λαμβάνει ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει
21 τὸν πέμψαντά με ⸓ ταῦτα εἰπὼν ὁ ἰησοῦς ἐταράχθη τῷ πνεύ-
ματι καὶ ἐμαρτύρησεν καὶ εἶπεν ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς
22 ἐξ ὑμῶν παραδώσει με ⸓ ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ
23 ἀπορούμενοι περὶ τίνος λέγει ⸓ ἦν δὲ˚ ἀνακείμενος εἷς τῶν μα-
24 θητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ ἰησοῦ ὃν ἠγάπα ὁ ἰησοῦς ⸓ νεύει
25 οὖν τούτῳ σίμων πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει ⸓ ἐ-
πιπεσὼν˚ δὲ ἐκεῖνος ἐπὶ τὸ στῆθος τοῦ ἰησοῦ λέγει αὐτῷ κύριε

---

v.6 $\mathbb{T}^*$: και λεγει αυτω εκεινος, $\mathbb{V}$: λεγει αυτω. **v.8** $\mathbb{T}^*$: τους ποδας μου, $\mathbb{V}$: μου τους ποδας. **v.8** $\mathbb{T}^*$: αυτω ο ιησους, $\mathbb{V}$: ιησους αυτω. **v.10** $\mathbb{T}^*$: ου χρειαν εχει η, $\mathbb{V}$: ουκ εχει χρειαν ει μη. **v.11** $\mathbb{T}^*$: ειπεν, $\mathbb{V}$: ειπεν οτι. **v.12** $\mathbb{T}^*$: αναπεσων, $\mathbb{V}$: και ανεπεσεν. **v.18** $\mathbb{T}^*$: ους, $\mathbb{V}$: τινας. **v.18** $\mathbb{T}^*$: μετ εμου, $\mathbb{V}$: μου. **v.19** $\mathbb{T}^*$: οταν γενηται πιστευσητε, $\mathbb{V}$: πιστευσητε οταν γενηται. **v.20** $\mathbb{T}^*$: εαν, $\mathbb{V}$: αν. **v.22** $\mathbb{T}^*$: ουν, $\mathbb{V}$: ∅. **v.23** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅. **v.23** $\mathbb{T}^*$: των, $\mathbb{V}$: εκ των. **v.25** $\mathbb{T}^*$: επιπεσων δε, $\mathbb{V}$: αναπεσων ουν. **v.25** $\mathbb{T}$ $\mathbb{K}$: επι, $\mathbb{M}$ $\mathbb{V}$: ουτως επι.

τίς ἐστιν ⸓ ἀποκρίνεται ὁ ἰησοῦς ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψᾶς τὸ 26
ψωμίον ἐπιδώσω˚ καὶ ἐμβάψας τὸ ψωμίον δίδωσιν ἰούδᾳ σίμω-
νος ἰσκαριώτη ⸓ καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον 27
ὁ σατανᾶς λέγει οὖν αὐτῷ ὁ ἰησοῦς ὃ ποιεῖς ποίησον τάχιον ⸓
τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ ⸓ τι- 28, 29
νὲς γὰρ ἐδόκουν ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ˚ ἰούδας ὅτι λέγει
αὐτῷ ὁ ἰησοῦς ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτὴν ἢ
τοῖς πτωχοῖς ἵνα τι δῷ ⸓ λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος εὐθέως˚ 30
ἐξῆλθεν ἦν δὲ νὺξ ὅτε ἐξῆλθεν ⸓ λέγει ὁ˚ ἰησοῦς νῦν ἐδοξάσθη 31
ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ ⸓ εἰ ὁ θεὸς 32
ἐδοξάσθη ἐν αὐτῷ καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ καὶ εὐθὺς
δοξάσει αὐτόν ⸓ τεκνία ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι ζητήσετέ με καὶ 33
καθὼς εἶπον τοῖς ἰουδαίοις ὅτι ὅπου ὑπάγω˚ ἐγὼ ὑμεῖς οὐ δύ-
νασθε ἐλθεῖν καὶ ὑμῖν λέγω ἄρτι ⸓ ἐντολὴν καινὴν δίδωμι ὑμῖν 34
ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς ἀ-
γαπᾶτε ἀλλήλους ⸓ ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί 35
ἐστε ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις ⸓ λέγει αὐτῷ σίμων πέτρος 36
κύριε ποῦ ὑπάγεις ἀπεκρίθη αὐτῷ ὁ˚ ἰησοῦς ὅπου ὑπάγω οὐ
δύνασαί μοι νῦν ἀκολουθῆσαι ὕστερον˚ δὲ ἀκολουθήσεις μοι ⸓
λέγει αὐτῷ ὁ˚ πέτρος κύριε διατὶ οὐ δύναμαί σοι ἀκολουθῆσαι 37
ἄρτι τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω ⸓ ἀπεκρίθη˚ αὐτῷ ὁ ἰησοῦς 38
τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις ἀμὴν ἀμὴν λέγω σοι οὐ μὴ
ἀλέκτωρ φωνήσει ἕως οὗ ἀπαρνήσῃ με τρίς ⸓

μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία πιστεύετε εἰς τὸν θεὸν καὶ εἰς **14**
ἐμὲ πιστεύετε ⸓ ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν εἰ 2
δὲ μὴ εἶπον ἂν ὑμῖν πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν ⸓ καὶ ἐὰν 3
πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν˚ τόπον πάλιν ἔρχομαι καὶ παρα-
λήψομαι ὑμᾶς πρὸς ἐμαυτὸν ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε ⸓
καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε καὶ˚ τὴν ὁδὸν οἴδατε ⸓ λέγει αὐτῷ 4, 5
θωμᾶς κύριε οὐκ οἴδαμεν ποῦ ὑπάγεις κἀι πῶς δυνάμεθα τὴν
ὁδὸν εἰδέναι ⸓ λέγει αὐτῷ ὁ ἰησοῦς ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλή- 6
θεια καὶ ἡ ζωὴ οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι᾽ ἐμοῦ ⸓

---

v.26 𝕋*: ο, 𝕍: ∅. **v.26** 𝕋*: επιδωσω και εμβαψας το ψωμιον διδωσιν ιουδα σιμωνος ισκαριωτη, 𝕍: και δωσω αυτω βαψας ουν το ψωμιον [λαμβανει και] διδωσιν ιουδα σιμωνος ισκαριωτου. **v.29** 𝕋*: ο, 𝕍: ∅. **v.30** 𝕋*: ευθεως εξηλθεν, 𝕍: εξηλθεν ευθυς. **v.30** 𝕋 𝕄: οτε, 𝕂 𝕍: οτε ουν. **v.31** 𝕋*: ο, 𝕍: ∅. **v.32** 𝕋*: εαυτω, 𝕍: αυτω. **v.33** 𝕋*: υπαγω εγω, 𝕍: εγω υπαγω. **v.36** 𝕋*: ο, 𝕍: ∅. **v.36** 𝕋*: υστερον δε ακολουθησεις μοι, 𝕍: ακολουθησεις δε υστερον. **v.37** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.37** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.38** 𝕋*: απεκριθη αυτω ο, 𝕍: αποκρινεται. **v.38** 𝕋 𝕂: φωνησει, 𝕄 𝕍: φωνηση. **v.38** 𝕋*: απαρνηση, 𝕍: αρνηση. **14.v.2** 𝕋*: πορευομαι, 𝕍: οτι πορευομαι. **v.3** 𝕋*: υμιν τοπον, 𝕍: τοπον υμιν. **v.3** 𝕋*: παραληψομαι, 𝕍: παραλημψομαι. **v.4** 𝕋*: και την οδον οιδατε, 𝕍: την οδον. **v.5** 𝕋*: και, 𝕍: ∅.

7 εἰ ἐγνώκειτέ με καὶ τὸν πατέρα μου ἐγνώκειτε· ἂν καὶ ἀπ᾽ ἄρτι
8 γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν· λέγει αὐτῷ φίλιππος κύ-
9 ριε δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν· λέγει αὐτῷ ὁ ἰησοῦς
τοσοῦτον· χρόνον μεθ᾽ ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με φίλιππε ὁ
ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα κἀὶ πῶς σὺ λέγεις δεῖξον ἡμῖν
10 τὸν πατέρα· οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐ-
μοί ἐστιν τὰ ῥήματα ἃ ἐγὼ λἀλῶ ὑμῖν ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ ὁ δὲ
11 πατὴρ ὁ· ἐν ἐμοὶ μένων αὐτὸς· ποιεῖ τὰ ἔργα· πιστεύετέ μοι ὅτι
ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ εἰ δὲ μὴ διὰ τὰ ἔργα αὐτὰ
12 πιστεύετέ μὁι· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα
ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει ὅτι ἐ-
13 γὼ πρὸς τὸν πατέρα μὁυ πορεύομαι· καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ
14 ὀνόματί μου τοῦτο ποιήσω ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ· ἐάν
15 τι αἰτήσητἐ ἐν τῷ ὀνόματί μου ἐγὼ ποιήσω· ἐὰν ἀγαπᾶτέ με τὰς
16 ἐντολὰς τὰς ἐμὰς τηρήσἀτε· καὶ· ἐγὼ ἐρωτήσω τὸν πατέρα καὶ
ἄλλον παράκλητον δώσει ὑμῖν ἵνα μέν̓ῃ μεθ᾽ ὑμῶν εἰς τὸν αἰ-
17 ῶνἀ· τὸ πνεῦμα τῆς ἀληθείας ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν ὅτι
οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτὸ· ὑμεῖς δὲ γινώσκετε αὐτὸ ὅτι
18 παρ᾽ ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται· οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς
19 ἔρχομαι πρὸς ὑμᾶς· ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκ· ἔτι θεωρεῖ
20 ὑμεῖς δὲ θεωρεῖτέ με ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεὀθε· ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν
21 ἐμοὶ κἀγὼ ἐν ὑμῖν· ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς
ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ
τοῦ πατρός μου καὶ· ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ
22 ἐμαυτόν· λέγει αὐτῷ ἰούδας οὐχ ὁ ἰσκἀριώτης κύριε τἱ γέγονεν
23 ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ· ἀπε-
κρίθη ὁ· ἰησοῦς καὶ εἶπεν αὐτῷ ἐάν τις ἀγαπᾷ με τὸν λόγον
μου τηρήσει καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν καὶ πρὸς αὐτὸν
24 ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν̓· ὁ μὴ ἀγαπῶν με
τοὺς λόγους μου οὐ τηρεῖ καὶ ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐ-
25 μὸς ἀλλὰ τοῦ πέμψαντός με πατρός· ταῦτα λελάληκα ὑμῖν παρ᾽
26 ὑμῖν μένων· ὁ δὲ παράκλητος τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ

---

v.7 𝕋*: εγνωκειτε, 𝕍: εγνωκατε. **v.7** 𝕋*: εγνωκειτε αν, 𝕍: γνωσεσθε. **v.9** 𝕋*: τοσουτον χρονον, 𝕍: τοσουτω χρονω. **v.9** 𝕋*: και, 𝕍: ∅. **v.10** 𝕋*: λαλω, 𝕍: λεγω. **v.10** 𝕋*: ο, 𝕍: ∅. **v.10** 𝕋*: αυτος ποιει τα εργα, 𝕍: ποιει τα εργα αυτου. **v.11** 𝕋*: μοι, 𝕍: ∅. **v.12** 𝕋*: μου, 𝕍: ∅. **v.14** 𝕋*: αιτησητε, 𝕍: αιτησητε με. **v.15** 𝕋*: τηρησατε, 𝕍: τηρησετε. **v.16** 𝕋*: και εγω, 𝕍: καγω. **v.16** 𝕋*: μενη, 𝕍: ∅. **v.16** 𝕋*: αιωνα, 𝕍: αιωνα η. **v.17** 𝕋*: αυτο υμεις δε, 𝕍: υμεις. **v.19** 𝕋 𝕂: ουκ ετι, 𝕄 𝕍: ουκετι. **v.19** 𝕋*: ζησεσθε, 𝕍: ζησετε. **v.21** 𝕋*: και εγω, 𝕍: καγω. **v.22** 𝔼: ισκαριωτης, 𝔻: απο καρυωτου. **v.22** 𝕋 𝕂: τι, 𝕄: και τι, 𝕍: [και] τι. **v.22** 𝔼: γεγονεν, 𝔻: εστιν. **v.23** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.23** 𝕋*: ποιησομεν, 𝕍: ποιησομεθα.

πατὴρ ἐν τῷ ὀνόματί μου ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπο-
μνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν ◦ εἰρήνην ἀφίημι ὑμῖν εἰρήνην 27
τὴν ἐμὴν δίδωμι ὑμῖν οὐ καθὼς ὁ κόσμος δίδωσιν ἐγὼ δίδωμι
ὑμῖν μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω ◦ ἠκούσατε 28
ὅτι ἐγὼ εἶπον ὑμῖν ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς εἰ ἠγαπᾶτέ
με ἐχάρητε ἂν ὅτι εἶπον πορεύομαι πρὸς τὸν πατέρα ὅτι ὁ πα-
τήρ μού μείζων μού ἐστιν ◦ καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι 29
ἵνα ὅταν γένηται πιστεύσητε ◦ οὐκ᾽ ἔτι πολλὰ λαλήσω μεθ᾽ ὑμῶν 30
ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων καὶ ἐν ἐμοὶ οὐκ ἔχει
οὐδέν ◦ ἀλλ᾽ ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα καὶ καθὼς 31
ἐνετείλατό μοι ὁ πατὴρ οὕτως ποιῶ ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν ◦

ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ πατήρ μου ὁ γεωργός **15**
ἐστιν ◦ πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτὸ καὶ πᾶν 2
τὸ καρπὸν φέρον καθαίρει αὐτὸ ἵνα πλείονα˚ καρπὸν φέρῃ ◦ ἤδη 3
ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν ◦ μείνατε ἐν 4
ἐμοὶ κἀγὼ ἐν ὑμῖν καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν
ἀφ᾽ ἑαυτοῦ ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ οὕτως οὐδὲ ὑμεῖς ἐὰν μὴ
ἐν ἐμοὶ μείνητε ◦ ἐγώ εἰμι ἡ ἄμπελος ὑμεῖς τὰ κλήματα ὁ μένων 5
ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ οὗτος φέρει καρπὸν πολὺν ὅτι χωρὶς ἐ-
μοῦ οὐ δύνασθε ποιεῖν οὐδέν ◦ ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ ἐβλήθη 6
ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη καὶ συνάγουσιν αὐτὰ καὶ εἰς
πῦρ βάλλουσιν καὶ καίεται ◦ ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά 7
μου ἐν ὑμῖν μείνῃ ὃ ἐὰν θέλητε αἰτήσεσθε καὶ γενήσεται ὑμῖν ◦
ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου ἵνα καρπὸν πολὺν φέρητε καὶ 8
γενήσεσθε ἐμοὶ μαθηταί ◦ καθὼς ἠγάπησέν με ὁ πατὴρ κἀγὼ 9
ἠγάπησα˚ ὑμᾶς μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ ◦ ἐὰν τὰς ἐντολάς 10
μου τηρήσητε μενεῖτε ἐν τῇ ἀγάπῃ μου καθὼς ἐγὼ τὰς ἐντο-
λὰς τοῦ πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ ◦
ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ καὶ ἡ 11
χαρὰ ὑμῶν πληρωθῇ ◦ αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ ἵνα ἀγαπᾶτε 12
ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς ◦ μείζονα ταύτης ἀγάπην οὐ- 13
δεὶς ἔχει ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ ◦
ὑμεῖς φίλοι μου ἐστὲ ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν ◦ οὐ- 14, 15
κέτι ὑμᾶς˚ λέγω δούλους ὅτι ὁ δοῦλος οὐκ οἶδεν τί ποιεῖ αὐτοῦ
ὁ κύριος ὑμᾶς δὲ εἴρηκα φίλους ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ

v.26 $\mathbb{T}^*$: υμιν, $\mathbb{V}$: υμιν [εγω]. **v.28** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: ∅. **v.28** $\mathbb{T}^*$: μου, $\mathbb{V}$: ∅. **v.30** $\mathbb{T}$ $\mathbb{K}$: ουκ ετι, $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **v.30** $\mathbb{T}$ $\mathbb{K}$: τουτου, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **15.v.2** $\mathbb{T}^*$: πλειονα καρπον, $\mathbb{V}$: καρπον πλειονα. **v.4** $\mathbb{T}^*$: μεινη, $\mathbb{V}$: μενη. **v.4** $\mathbb{T}^*$: μεινητε, $\mathbb{V}$: μενητε. **v.6** $\mathbb{T}^*$: μεινη, $\mathbb{V}$: μενη. **v.6** $\mathbb{T}$ $\mathbb{K}$: πυρ, $\mathbb{M}$ $\mathbb{V}$: το πυρ. **v.7** $\mathbb{T}^*$: αιτησεσθε, $\mathbb{V}$: αιτησασθε. **v.8** $\mathbb{T}^*$: γενησεσθε, $\mathbb{V}$: γενησθε. **v.9** $\mathbb{T}^*$: ηγαπησα υμας, $\mathbb{V}$: υμας ηγαπησα. **v.11** $\mathbb{T}^*$: μεινη, $\mathbb{V}$: η. **v.13** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: των, $\mathbb{M}$: ∅. **v.14** $\mathbb{T}^*$: οσα, $\mathbb{V}$: α. **v.15** $\mathbb{T}^*$: υμας λεγω, $\mathbb{V}$: λεγω υμας.

16 πατρός μου ἐγνώρισα ὑμῖν ◦ οὐχ ὑμεῖς με ἐξελέξασθε ἀλλ᾽ ἐγὼ
ἐξελεξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς ὑπάγητε καὶ καρ-
πὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ ἵνα ὅ τι ἂν αἰτήσητε τὸν
17 πατέρα ἐν τῷ ὀνόματί μου δῷ˚ ὑμῖν ◦ ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα
18 ἀγαπᾶτε ἀλλήλους ◦ εἰ ὁ κόσμος ὑμᾶς μισεῖ γινώσκετε ὅτι ἐμὲ
19 πρῶτον ὑμῶν μεμίσηκεν ◦ εἰ ἐκ τοῦ κόσμου ἦτε ὁ κόσμος ἂν τὸ
ἴδιον ἐφίλει ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ ἀλλ᾽ ἐγὼ ἐξελεξάμην
20 ὑμᾶς ἐκ τοῦ κόσμου διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος ◦ μνημο-
νεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν οὐκ ἔστιν δοῦλος μείζων
τοῦ κυρίου αὐτοῦ εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν εἰ τὸν λό-
21 γον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν ◦ ἀλλὰ ταῦτα
πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου ὅτι οὐκ οἴδασιν τὸν
22 πέμψαντά με ◦ εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς ἁμαρτίαν οὐκ
εἶχον νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ τῆς ἁμαρτίας αὐτῶν ◦
23, 24 ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ ◦ εἰ τὰ ἔργα μὴ ἐποίησα
ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν ἁμαρτίαν οὐκ εἶχον νῦν δὲ
καὶ ἑωράκασιν καὶ μεμισήκασιν καὶ ἐμὲ καὶ τὸν πατέρα μου ◦
25 ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος˚ ἐν τῷ νόμῳ αὐτῶν
26 ὅτι ἐμίσησάν με δωρεάν ◦ ὅταν δὲ˚ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ
πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς τὸ πνεῦμα τῆς ἀληθείας ὃ πα-
27 ρὰ τοῦ πατρὸς ἐκπορεύεται ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ ◦ καὶ
ὑμεῖς δὲ μαρτυρεῖτε ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε ◦

16, 2 ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε ◦ ἀποσυναγώ-
γους ποιήσουσιν ὑμᾶς ἀλλ᾽ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας
3 ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ ◦ καὶ ταῦτα ποιήσουσιν
4 ὑμῖν ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ ◦ ἀλλὰ ταῦτα λελά-
ληκα ὑμῖν ἵνα ὅταν ἔλθῃ ἡ ὥρα μνημονεύητε αὐτῶν ὅτι ἐγὼ
εἶπον ὑμῖν ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον ὅτι μεθ᾽ ὑμῶν ἤ-
5 μην ◦ νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με καὶ οὐδεὶς ἐξ ὑμῶν
6 ἐρωτᾷ με ποῦ ὑπάγεις ◦ ἀλλ᾽ ὅτι ταῦτα λελάληκα ὑμῖν ἡ λύπη
7 πεπλήρωκεν ὑμῶν τὴν καρδίαν ◦ ἀλλ᾽ ἐγὼ τὴν ἀλήθειαν λέγω ὑ-
μῖν συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω ἐὰν γὰρ μὴ ἀπέλθω ὁ παρά-
κλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς ἐὰν δὲ πορευθῶ πέμψω αὐτὸν
8 πρὸς ὑμᾶς ◦ καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρ-
9 τίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως ◦ περὶ ἁμαρτίας μὲν
10 ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ ◦ περὶ δικαιοσύνης δὲ ὅτι πρὸς τὸν

v.16 𝕋 𝕂 𝕍: δω, 𝕄: δωη. **v.21** 𝕋*: υμιν, 𝕍: εις υμας. **v.22** 𝕋*: ειχον, 𝕍: ειχοσαν. **v.24** 𝕋*: πεποιηκεν, 𝕍: εποιησεν. **v.24** 𝕋 𝕂 𝕍: ουκ, 𝕄: ουχ. **v.24** 𝕋*: ειχον, 𝕍: ειχοσαν. **v.25** 𝕋*: γεγραμμενος εν τω νομω αυτων, 𝕍: εν τω νομω αυτων γεγραμμενος. **v.26** 𝕋*: δε, 𝕍: ∅. **16.v.3** 𝕋 𝕂: υμιν, 𝕄 𝕍: ∅. **v.4** 𝕋*: ωρα, 𝕍: ωρα αυτων. **v.7** 𝕋 𝕂 𝕍: γαρ, 𝕄: γαρ εγω.

πατέρα μοῦ ὑπάγω καὶ οὐκ᾽ ἔτι θεωρεῖτέ με ◦ περὶ δὲ κρίσεως 11
ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται ◦ ἔτι πολλὰ ἔχω λέγειν᾽ 12
ὑμῖν ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι ◦ ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ 13
πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς᾽ πᾶσαν τὴν ἀλήθειαν
οὐ γὰρ λαλήσει ἀφ᾽ ἑαυτοῦ ἀλλ᾽ ὅσα ἂν᾽ ἀκούσῃ λαλήσει καὶ τὰ
ἐρχόμενα ἀναγγελεῖ ὑμῖν ◦ ἐκεῖνος ἐμὲ δοξάσει ὅτι ἐκ τοῦ ἐμοῦ 14
λήψεται καὶ ἀναγγελεῖ ὑμῖν ◦ πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν 15
διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν ◦
μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με ὅτι᾽ 16
ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα ◦ εἶπὸν οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ 17
πρὸς ἀλλήλους τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν μικρὸν καὶ οὐ θε-
ωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με καὶ ὅτι ἐγὼ ὑπάγω
πρὸς τὸν πατέρα ◦ ἔλεγον οὖν τοῦτο᾽ τί ἐστιν ὃ λέγει τὸ μικρὸν 18
οὐκ οἴδαμεν τί λαλεῖ ◦ ἔγνω οὖν᾽ ὁ ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρω- 19
τᾶν καὶ εἶπεν αὐτοῖς περὶ τούτου ζητεῖτε μετ᾽ ἀλλήλων ὅτι εἶπον
μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με ◦
ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς ὁ δὲ 20
κόσμος χαρήσεται ὑμεῖς δὲ᾽ λυπηθήσεσθε ἀλλ᾽ ἡ λύπη ὑμῶν
εἰς χαρὰν γενήσεται ◦ ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει ὅτι ἦλθεν ἡ 21
ὥρα αὐτῆς ὅταν δὲ γεννήσῃ τὸ παιδίον οὐκ᾽ ἔτι μνημονεύει τῆς
θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον ◦
καὶ ὑμεῖς οὖν λύπην᾽ μὲν νῦν ἔχετε πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ 22
χαρήσεται ὑμῶν ἡ καρδία καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽
ὑμῶν ◦ καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδὲν ἀμὴν 23
ἀμὴν λέγω ὑμῖν ὅτι᾽ ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόμα-
τί μου δώσει ὑμῖν ◦ ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί 24
μου αἰτεῖτε καὶ λήψεσθε ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη ◦
ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν ἀλλ᾽ ἔρχεται ὥρα ὅτε οὐκ᾽ 25
ἔτι ἐν παροιμίαις λαλήσω ὑμῖν ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς
ἀναγγελῶ ὑμῖν ◦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσε- 26
σθε καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν ◦
αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ πε- 27
πιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ θεοῦ ἐξῆλθον ◦ ἐξῆλθον παρὰ τοῦ 28

---

v.10 $\mathbb{T}^*$: μου, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}$ $\mathbb{K}$: ουκ ετι, $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **v.12** $\mathbb{T}^*$: λεγειν υμιν, $\mathbb{V}$: υμιν λεγειν. **v.13** $\mathbb{T}^*$: εις πασαν την αληθειαν, $\mathbb{V}$: εν τη αληθεια παση. **v.13** $\mathbb{T}^*$: αν ακουση, $\mathbb{V}$: ακουσει. **v.14** $\mathbb{T}^*$: ληψεται, $\mathbb{V}$: λημψεται. **v.15** $\mathbb{T}$ $\mathbb{K}$: ληψεται, $\mathbb{M}$ $\mathbb{V}$: λαμβανει. **v.16** $\mathbb{T}^*$: ου, $\mathbb{V}$: ουκετι. **v.16** $\mathbb{T}$ $\mathbb{K}$: οτι εγω υπαγω προς τον πατερα, $\mathbb{M}$: οτι υπαγω προς τον πατερα, $\mathbb{V}$: ∅. **v.17** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.17** $\mathbb{T}^*$: εγω, $\mathbb{V}$: ∅. **v.18** $\mathbb{T}^*$: τουτο τι εστιν, $\mathbb{V}$: τι εστιν τουτο. **v.19** $\mathbb{T}^*$: ουν ο, $\mathbb{V}$: [ο]. **v.20** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅. **v.21** $\mathbb{T}$ $\mathbb{K}$: ουκ ετι, $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **v.22** $\mathbb{T}^*$: λυπην μεν νυν, $\mathbb{V}$: νυν μεν λυπην. **v.22** $\mathbb{E}$: ἔχετε, $\mathbb{D}$: ἕξετε. **v.23** $\mathbb{T}^*$: οτι οσα αν, $\mathbb{V}$: αν τι. **v.24** $\mathbb{T}^*$: ληψεσθε, $\mathbb{V}$: λημψεσθε. **v.25** $\mathbb{T}$ $\mathbb{M}$: αλλ, $\mathbb{K}$ $\mathbb{V}$: ∅. **v.25** $\mathbb{T}$ $\mathbb{K}$: ουκ ετι, $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **v.25** $\mathbb{T}^*$: αναγγελω, $\mathbb{V}$: απαγγελω.

πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον πάλιν ἀφίημι τὸν κόσμον
29 καὶ πορεύομαι πρὸς τὸν πατέρα ⸰ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐ-
τοῦ ἴδε νῦν παρρησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις ⸰
30 νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρω-
31 τᾷ ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες ⸰ ἀπεκρίθη αὐτοῖς
32 ὁ ἰησοῦς ἄρτι πιστεύετε ⸰ ἰδοὺ ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν
ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ ἐμὲ μόνον ἀφῆτε καὶ
33 οὐκ εἰμὶ μόνος ὅτι ὁ πατὴρ μετ ἐμοῦ ἐστιν ⸰ ταῦτα λελάληκα
ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε ἐν τῷ κόσμῳ θλίψιν ἔξετε ἀλλὰ
θαρσεῖτε ἐγὼ νενίκηκα τὸν κόσμον ⸰

17 ταῦτα ἐλάλησεν ὁ ἰησοῦς καὶ ἐπῆρεν τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ εἰς τὸν οὐρανὸν κἀι εἶπεν πάτερ ἐλήλυθεν ἡ ὥρα δόξασόν
2 σου τὸν υἱὸν ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε ⸰ καθὼς ἔδωκας αὐτῷ
ἐξουσίαν πάσης σαρκὸς ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσῃ αὐτοῖς
3 ζωὴν αἰώνιον ⸰ αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσίν σε
τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας ἰησοῦν χριστόν ⸰
4 ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι
5 ἵνα ποιήσω ⸰ καὶ νῦν δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ
6 ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί ⸰ ἐφανέρωσά σου τὸ
ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου σοὶ ἦ-
σαν καὶ ἐμοὶ αὐτοὺς δέδωκας καὶ τὸν λόγον σου τετηρήκασιν ⸰
7, 8 νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν ⸰ ὅτι
τὰ ῥήματα ἃ δέδωκάς μοι δέδωκα αὐτοῖς καὶ αὐτοὶ ἔλαβον καὶ
ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον καὶ ἐπίστευσαν ὅτι σύ
9 με ἀπέστειλας ⸰ ἐγὼ περὶ αὐτῶν ἐρωτῶ οὐ περὶ τοῦ κόσμου ἐ-
10 ρωτῶ ἀλλὰ περὶ ὧν δέδωκάς μοι ὅτι σοί εἰσιν ⸰ καὶ τὰ ἐμὰ πάντα
11 σά ἐστιν καὶ τὰ σὰ ἐμὰ καὶ δεδόξασμαι ἐν αὐτοῖς ⸰ καὶ οὐκ ἔτι
εἰμὶ ἐν τῷ κόσμῳ καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶν καὶ ἐγὼ πρός
σε ἔρχομαι πάτερ ἅγιε τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου οὓς
12 δέδωκάς μοι ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ⸰ ὅτε ἤμην μετ αὐτῶν ἐν
τῷ κόσμῳ ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου οὓς δέδωκάς
μοι ἐφύλαξα καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπω-

---

v.29 𝕋*: αυτω, 𝕍: ∅. **v.29** 𝕋*: παρρησια, 𝕍: εν παρρησια. **v.31** 𝕋*: ο, 𝕍: ∅. **v.32** 𝕋*: νυν, 𝕍: ∅. **v.32** 𝕋*: και εμε, 𝕍: καμε. **v.33** 𝕄 𝕍: ἔχετε, 𝕂 D: ἔξετε, 𝕋: ἔξετε, In the actual Stephanus 1550 edition I read: ἐξ$^{\chi}$ετε, i.e., with the letter ξ crossed out and χ written above. **17.v.1** 𝕋*: ο, 𝕍: ∅. **v.1** 𝕋*: επηρεν, 𝕍: επαρας. **v.1** 𝕋*: και, 𝕍: ∅. **v.1** 𝕋*: και ο υιος σου, 𝕍: ο υιος. **v.2** 𝕋 𝕂 𝕍: δωση, 𝕄: δωσει. **v.4** 𝕋*: ετελειωσα, 𝕍: τελειωσας. **v.6** 𝕋*: δεδωκας, 𝕍: εδωκας. **v.6** 𝕋*: και εμοι, 𝕍: καμοι. **v.6** 𝕋*: τετηρηκασιν, 𝕍: τετηρηκαν. **v.7** 𝕋*: εστιν, 𝕍: εισιν. **v.8** 𝕋*: δεδωκας, 𝕍: εδωκας. **v.11** 𝕋 𝕂: ουκ ετι, 𝕄 𝕍: ουκετι. **v.11** 𝕋*: ουτοι, 𝕍: αυτοι. **v.11** 𝕋*: και εγω, 𝕍: καγω. **v.11** 𝕋 𝕂: ους, 𝕄 𝕍: ω. **v.12** 𝕋*: εν τω κοσμω, 𝕍: ∅. **v.12** 𝕋*: ους, 𝕍: ω. **v.12** 𝕋*: εφυλαξα, 𝕍: και εφυλαξα.

λείας ἵνα ἡ γραφὴ πληρωθῇ ⸰ νῦν δὲ πρός σε ἔρχομαι καὶ ταῦτα 13
λαλῶ ἐν τῷ κόσμῳ ἵνα ἔχωσιν τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμέ-
νην ἐν ἑαυτοῖς ⸰ ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου καὶ ὁ κόσμος 14
ἐμίσησεν αὐτούς ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου καθὼς ἐγὼ οὐκ
εἰμὶ ἐκ τοῦ κόσμου ⸰ οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου 15
ἀλλ᾽ ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ ⸰ ἐκ τοῦ κόσμου οὐκ 16
εἰσὶν καθὼς ἐγὼ ἐκ˚ τοῦ κόσμου οὐκ εἰμί ⸰ ἁγίασον αὐτοὺς ἐν τῇ 17
ἀληθείᾳ ὁσου ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν ⸰ καθὼς ἐμὲ ἀπέστει- 18
λας εἰς τὸν κόσμον κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον ⸰ καὶ 19
ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν ἵνα καὶ˚ αὐτοὶ ὦσιν ἡγιασμένοι
ἐν ἀληθείᾳ ⸰ οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον ἀλλὰ καὶ περὶ τῶν 20
πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ ⸰ ἵνα πάντες ἓν ὦσιν 21
καθὼς σὺ πάτερ ἐν ἐμοὶ κἀγὼ ἐν σοὶ ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν
ὦσιν ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας ⸰ καὶ˚ ἐγὼ τὴν 22
δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς
ἕν ἐσμεν ⸰ ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ ἵνα ὦσιν τετελειωμένοι 23
εἰς ἓν κἀι ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠ-
γάπησαςᾳ αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας ⸰ πάτερ ὃὗς δέδωκάς μοι 24
θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσιν μετ᾽ ἐμοῦ ἵνα θεωρῶσιν
τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδὠκάς μοι ὅτι ἠγάπησάς με πρὸ κατα-
βολῆς κόσμου ⸰ πάτερ δίκαιε καὶ ὁ κόσμος σε οὐκ ἔγνω ἐγὼ δέ 25
σε ἔγνων καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας ⸰ καὶ ἐγνώρισα 26
αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με
ἐν αὐτοῖς ᾖ κἀγὼ ἐν αὐτοῖς ⸰

ταῦτα εἰπὼν ὁ˚ ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέ- **18**
ραν τοῦ χειμάρρου τῶν κέδρων ὅπου ἦν κῆπος εἰς ὃν εἰσῆλθεν
αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ ⸰ ᾔδει δὲ καὶ ἰούδας ὁ παραδιδοὺς 2
αὐτὸν τὸν τόπον ὅτι πολλάκις συνήχθη ὁ˚ ἰησοῦς ἐκεῖ μετὰ τῶν
μαθητῶν αὐτοῦ ⸰ ὁ οὖν ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρ- 3
χιερέων κἀι φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ
λαμπάδων καὶ ὅπλων ⸰ ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ᾽ 4
αὐτὸν ἐξελθὼν˚ εἶπεν αὐτοῖς τίνα ζητεῖτε ⸰ ἀπεκρίθησαν αὐτῷ ἰ- 5
ησοῦν τὸν ναζωραῖον λέγει αὐτοῖς ὁ˚ ἰησοῦς ἐγώ εἰμι εἱστήκει
δὲ καὶ ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ᾽ αὐτῶν ⸰ ὡς οὖν εἶπεν 6

v.13 𝕋*: αυτοις, 𝕍: εαυτοις. **v.16** 𝕋*: εκ του κοσμου ουκ ειμι, 𝕍: ουκ ειμι εκ του κοσμου. **v.17** 𝕋*: σου, 𝕍: ∅. **v.19** 𝕋*: και αυτοι ωσιν, 𝕍: ωσιν και αυτοι. **v.20** 𝕋 𝕂: πιστευσοντων, 𝕄 𝕍: πιστευοντων. **v.21** 𝕋*: εν, 𝕍: ∅. **v.21** 𝕋*: πιστευση, 𝕍: πιστευη. **v.22** 𝕋*: και εγω, 𝕍: καγω. **v.22** 𝕋*: εσμεν, 𝕍: ∅. **v.23** 𝕋*: και, 𝕍: ∅. **v.23** 𝔼: ηγαπησας, 𝔻: ηγαπησα. **v.24** 𝕋*: ους, 𝕍: ο. **v.24** 𝕋*: εδωκας, 𝕍: δεδωκας. **18.v.1** 𝕋*: ο, 𝕍: ∅. **v.1** 𝕋*: των, 𝕍: του. **v.2** 𝕋 𝕂: ο, 𝕄: και ο, 𝕍: ∅. **v.3** 𝕋*: και, 𝕍: και εκ των. **v.4** 𝕋*: εξελθων ειπεν, 𝕍: εξηλθεν και λεγει. **v.5** 𝕋*: ο ιησους, 𝕍: ∅.

αὐτοῖς ὅτι ἐγώ εἰμι ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσὸν χαμαί ⸰
7 πάλιν οὖν αὐτοὺς˚ ἐπηρώτησεν τίνα ζητεῖτε οἱ δὲ εἶπόν ἰησοῦν
8 τὸν ναζωραῖον ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι εἰ
9 οὖν ἐμὲ ζητεῖτε ἄφετε τούτους ὑπάγειν ⸰ ἵνα πληρωθῇ ὁ λόγος ὃν
10 εἶπεν ὅτι οὓς δέδωκάς μοι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα ⸰ σί-
μων οὖν πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισεν τὸν
τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίὸν τὸ δεξιὸν
11 ἦν δὲ ὄνομα τῷ δούλῳ μάλχος ⸰ εἶπεν οὖν ὁ ἰησοῦς τῷ πέτρῳ
βάλε τὴν μάχαιράν ὀου εἰς τὴν θήκην τὸ ποτήριον ὃ δέδωκέν
12 μοι ὁ πατὴρ οὐ μὴ πίω αὐτό ⸰ ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ
οἱ ὑπηρέται τῶν ἰουδαίων συνέλαβον τὸν ἰησοῦν καὶ ἔδησαν αὐ-
13 τόν ⸰ καὶ ἀπήγαγον˚ αὐτὸν πρὸς ἄνναν πρῶτον ἦν γὰρ πενθερὸς
14 τοῦ καϊάφα ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου ⸰ ἦν δὲ καϊά-
φας ὁ συμβουλεύσας τοῖς ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον
15 ἀπόλέσθαι ὑπὲρ τοῦ λαοῦ ⸰ ἠκολούθει δὲ τῷ ἰησοῦ σίμων πέτρος
καὶ ὁ˚ ἄλλος μαθητὴς ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρ-
χιερεῖ καὶ συνεισῆλθεν τῷ ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως ⸰
16 ὁ δὲ πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω ἐξῆλθεν οὖν ὁ μαθη-
τὴς ὁ ἄλλος ὃς˚ ἦν γνωστὸς τῷ ἀρχιερεῖ καὶ εἶπεν τῇ θυρωρῷ
17 καὶ εἰσήγαγεν τὸν πέτρον ⸰ λέγει οὖν ἡ˚ παιδίσκη ἡ θυρωρὸς τῷ
πέτρῳ μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου λέ-
18 γει ἐκεῖνος οὐκ εἰμί ⸰ εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται
ἀνθρακιὰν πεποιηκότες ὅτι ψῦχος ἦν καὶ ἐθερμαίνοντο ἦν δὲ
19 μετ˚ αὐτῶν ὁ πέτρος ἑστὼς καὶ θερμαινόμενος ⸰ ὁ οὖν ἀρχιερεὺς
ἠρώτησεν τὸν ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς δι-
20 δαχῆς αὐτοῦ ⸰ ἀπεκρίθη αὐτῷ ὁ˚ ἰησοῦς ἐγὼ παρρησίᾳ ἐλάληὸα
τῷ κόσμῳ ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ ἱερῷ
ὅπου πάντὸτε οἱ ἰουδαῖοι συνέρχονται καὶ ἐν κρυπτῷ ἐλάλησα
21 οὐδέν ⸰ τί με ἐπερωτᾷς˚ ἐπερώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα
22 αὐτοῖς ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ ⸰ ταῦτα δὲ αὐτοῦ εἰπόντος
εἷς τῶν˚ ὑπηρετῶν παρεστηκὼς ἔδωκεν ῥάπισμα τῷ ἰησοῦ εἰ-
23 πὼν οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ ⸰ ἀπεκρίθη αὐτῷ ὁ˚ ἰησοῦς εἰ
κακῶς ἐλάλησα μαρτύρησον περὶ τοῦ κακοῦ εἰ δὲ καλῶς τί με

v.6 $\mathbb{T}^*$: οτι, $\mathbb{V}$: ∅. **v.6** $\mathbb{T}^*$: επεσον, $\mathbb{V}$: επεσαν. **v.7** $\mathbb{T}^*$: αυτους επηρωτησεν, $\mathbb{V}$: επηρωτησεν αυτους. **v.7** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.8** $\mathbb{T}\,\mathbb{K}$: ο, $\mathbb{M}\,\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: ωτιον, $\mathbb{V}$: ωταριον. **v.11** $\mathbb{T}^*$: σου, $\mathbb{V}$: ∅. **v.13** $\mathbb{T}^*$: απηγαγον αυτον, $\mathbb{V}$: ηγαγον. **v.14** $\mathbb{T}^*$: απολεσθαι, $\mathbb{V}$: αποθανειν. **v.15** $\mathbb{T}\,\mathbb{M}$: ο, $\mathbb{K}\,\mathbb{V}$: ∅. **v.16** $\mathbb{T}^*$: ος ην γνωστος τω αρχιερει, $\mathbb{V}$: ο γνωστος του αρχιερεως. **v.17** $\mathbb{T}^*$: η παιδισκη η θυρωρος τω πετρω, $\mathbb{V}$: τω πετρω η παιδισκη η θυρωρος. **v.18** $\mathbb{T}^*$: μετ αυτων ο πετρος, $\mathbb{V}$: και ο πετρος μετ αυτων. **v.20** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: ελαλησα, $\mathbb{V}$: λελαληκα. **v.20** $\mathbb{T}\,\mathbb{K}$: τη, $\mathbb{M}\,\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: παντοτε, $\mathbb{V}$: παντες. **v.21** $\mathbb{T}^*$: επερωτας επερωτησον, $\mathbb{V}$: ερωτας ερωτησον. **v.22** $\mathbb{T}^*$: των υπηρετων παρεστηκως, $\mathbb{V}$: παρεστηκως των υπηρετων. **v.23** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅.

δέρεις ⸰ ἀπέστειλεν αὐτὸν ὁ ἄννας δεδεμένον πρὸς καϊάφαν τὸν 24
ἀρχιερέα ⸰ ἦν δὲ σίμων πέτρος ἑστὼς καὶ θερμαινόμενος εἶπον 25
οὖν αὐτῷ μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ ἠρνήσατο ἐκεῖ-
νος καὶ εἶπεν οὐκ εἰμί ⸰ λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως 26
συγγενὴς ὢν οὗ ἀπέκοψεν πέτρος τὸ ὠτίον οὐκ ἐγώ σε εἶδον ἐν
τῷ κήπῳ μετ᾽ αὐτοῦ ⸰ πάλιν οὖν ἠρνήσατο ὁ᾽ πέτρος καὶ εὐθέως 27
ἀλέκτωρ ἐφώνησεν ⸰ ἄγουσιν οὖν τὸν ἰησοῦν ἀπὸ τοῦ καϊάφα 28
εἰς τὸ πραιτώριον ἦν δὲ πρωΐ καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ
πραιτώριον ἵνα μὴ μιανθῶσιν ἀλλ᾽᾽ ἵνα φάγωσιν τὸ πάσχα ⸰ ἐ- 29
ξῆλθεν οὖν ὁ πιλάτος πρὸς αὐτοὺς καὶ εἶπεν τίνα κατηγορίαν
φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου ⸰ ἀπεκρίθησαν καὶ εἶπον αὐ- 30
τῷ εἰ μὴ ἦν οὗτος κακοποιὸς οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν ⸰
εἶπεν οὖν αὐτοῖς ὁ πιλάτος λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν 31
νόμον ὑμῶν κρίνατε αὐτὸν εἶπον οὖν αὐτῷ οἱ ἰουδαῖοι ἡμῖν οὐκ
ἔξεστιν ἀποκτεῖναι οὐδένα ⸰ ἵνα ὁ λόγος τοῦ ἰησοῦ πληρωθῇ ὃν 32
εἶπεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν ⸰ εἰσῆλθεν 33
οὖν εἰς᾽ τὸ πραιτώριον πάλιν ὁ πιλάτος καὶ ἐφώνησεν τὸν ἰη-
σοῦν καὶ εἶπεν αὐτῷ σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων ⸰ ἀπεκρίθη 34
αὐτῷ᾽ ὁ ἰησοῦς ἀφ᾽ ἑαυτοῦ σὺ τοῦτο λέγεις ἢ ἄλλοι σοι᾽ εἶπον
περὶ ἐμοῦ ⸰ ἀπεκρίθη ὁ πιλάτος μήτι ἐγὼ ἰουδαῖός εἰμι τὸ ἔ- 35
θνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοὶ τί ἐποίησας ⸰
ἀπεκρίθη ὁ᾽ ἰησοῦς ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου 36
τούτου εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ οἱ ὑπηρέ-
ται ἂν᾽ οἱ ἐμοὶ ἠγωνίζοντο ἵνα μὴ παραδοθῶ τοῖς ἰουδαίοις νῦν
δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν ⸰ εἶπεν οὖν αὐτῷ ὁ πι- 37
λάτος οὐκοῦν βασιλεὺς εἶ σὺ ἀπεκρίθη ὁ᾽ ἰησοῦς σὺ λέγεις ὅτι
βασιλεύς εἰμι ἐγὼ ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλή-
λυθα εἰς τὸν κόσμον ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ πᾶς ὁ ὢν ἐκ τῆς
ἀληθείας ἀκούει μου τῆς φωνῆς ⸰ λέγει αὐτῷ ὁ πιλάτος τί ἐστιν 38
ἀλήθεια καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς τοὺς ἰουδαίους
καὶ λέγει αὐτοῖς ἐγὼ οὐδεμίαν αἰτίαν᾽ εὑρίσκω ἐν αὐτῷ ⸰ ἔστιν 39
δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν᾽ ἀπολύσω ἐν τῷ πάσχα βούλεσθε
οὖν ὑμῖν᾽ ἀπολύσω τὸν βασιλέα τῶν ἰουδαίων ⸰ ἐκραύγασαν οὖν 40

---

v.24 𝕋 𝕄: απεστειλεν, 𝕂 𝕍: απεστειλεν ουν. **v.25** 𝕋 𝕂 𝕍: ηρνησατο, 𝕄: ηρνησατο ουν. **v.27** 𝕋*: ο, 𝕍: ∅. **v.28** 𝕋 𝕂: πρωια, 𝕄 𝕍: πρωι. **v.28** 𝕋*: αλλ ινα, 𝕍: αλλα. **v.29** 𝕋*: προς, 𝕍: εξω προς. **v.29** 𝕋*: ειπεν, 𝕍: φησιν. **v.30** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.30** 𝕋*: κακοποιος, 𝕍: κακον ποιων. **v.31** 𝕋*: ουν, 𝕍: ∅. **v.33** 𝕋*: εις το πραιτωριον παλιν, 𝕍: παλιν εις το πραιτωριον. **v.34** 𝕋*: αυτω ο ιησους αφ εαυτου, 𝕍: ιησους απο σεαυτου. **v.34** 𝕋*: σοι εἶπον, 𝕍: εἶπον σοι. **v.36** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.36** 𝕋*: αν οι εμοι ηγωνιζοντο, 𝕍: οι εμοι ηγωνιζοντο [αν]. **v.37** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.37** 𝕋*: εγω, 𝕍: ∅. **v.38** 𝕋*: αιτιαν ευρισκω εν αυτω, 𝕍: ευρισκω εν αυτω αιτιαν. **v.39** 𝕋*: υμιν απολυσω, 𝕍: απολυσω υμιν.

πάλιν πάντες λέγοντες μὴ τοῦτον ἀλλὰ τὸν βαραββᾶν ἦν δὲ ὁ βαραββᾶς λῃστής ⋄
19, 2 τότε οὖν ἔλαβεν ὁ πιλάτος τὸν ἰησοῦν καὶ ἐμαστίγωσεν ⋄ καὶ οἱ
στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ
3 κεφαλῇ καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν ⋄ κἀὶ ἔλεγον
χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα ⋄
4 ἐξῆλθεν˚ οὖν πάλιν ἔξω ὁ πιλάτος καὶ λέγει αὐτοῖς ἴδε ἄγω ὑμῖν
5 αὐτὸν ἔξω ἵνα γνῶτε ὅτι ἐν˚ αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω ⋄ ἐ-
ξῆλθεν οὖν ὁ ἰησοῦς ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ
6 πορφυροῦν ἱμάτιον καὶ λέγει αὐτοῖς ἴδὲ ὁ ἄνθρωπος ⋄ ὅτε οὖν
εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται ἐκραύγασαν λέγον-
τες σταύρωσον σταύρωσον˚ λέγει αὐτοῖς ὁ πιλάτος λάβετε αὐτὸν
7 ὑμεῖς καὶ σταυρώσατε ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν ⋄ ἀ-
πεκρίθησαν αὐτῷ οἱ ἰουδαῖοι ἡμεῖς νόμον ἔχομεν καὶ κατὰ τὸν
νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν ὅτι ἑαυτὸν˚ υἱὸν θεοῦ ἐποίησεν ⋄
8 ὅτε οὖν ἤκουσεν ὁ πιλάτος τοῦτον τὸν λόγον μᾶλλον ἐφοβήθη ⋄
9 καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν καὶ λέγει τῷ ἰησοῦ πόθεν
10 εἶ σὺ ὁ δὲ ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ ⋄ λέγει οὖν αὐτῷ
ὁ πιλάτος ἐμοὶ οὐ λαλεῖς οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί
11 σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε ⋄ ἀπεκρίθη ὁ˚ ἰησοῦς οὐκ εἶχες
ἐξουσίαν οὐδεμίαν˚ κατ˚ ἐμοῦ εἰ μὴ ἦν σοι˚ δεδομένον ἄνωθεν
12 διὰ τοῦτο ὁ παράδιδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει ⋄ ἐκ τού-
του ἐζήτει˚ ὁ πιλάτος ἀπολῦσαι αὐτὸν οἱ δὲ ἰουδαῖοι ἔκραζον
λέγοντες ἐὰν τοῦτον ἀπολύσῃς οὐκ εἶ φίλος τοῦ καίσαρος πᾶς
13 ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ καίσαρι ⋄ ὁ οὖν πιλάτος ἀ-
κούσας τοῦτον˚ τὸν λογὸν ἤγαγεν ἔξω τὸν ἰησοῦν καὶ ἐκάθισεν
ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον ἑβραϊστὶ δὲ
14 γαββαθᾶ ⋄ ἦν δὲ παρασκευὴ τοῦ πάσχα ὥρα δὲ˚ ὡσεὶ ἕκτη καὶ
15 λέγει τοῖς ἰουδαίοις ἴδε ὁ βασιλεὺς ὑμῶν ⋄ οἱ˚ δὲ ἐκραύγασαν ἆ-
ρον ἆρον σταύρωσον αὐτὸν λέγει αὐτοῖς ὁ πιλάτος τὸν βασιλέα
ὑμῶν σταυρώσω ἀπεκρίθησαν οἱ ἀρχιερεῖς οὐκ ἔχομεν βασιλέα

---

v.40 𝕋*: παντες, 𝕍: ∅. **19.v.3** 𝕋*: και, 𝕍: και ηρχοντο προς αυτον και. **v.3** 𝕋*: εδιδουν, 𝕍: εδιδοσαν. **v.4** 𝕋*: εξηλθεν ουν, 𝕍: και εξηλθεν. **v.4** 𝕋*: εν αυτω ουδεμιαν αιτιαν ευρισκω, 𝕍: ουδεμιαν αιτιαν ευρισκω εν αυτω. **v.5** 𝕋*: ιδε, 𝕍: ιδου. **v.6** 𝕋 𝕂 𝕍: σταυρωσον, 𝕄: σταυρωσον αυτον. **v.7** 𝕋*: ημων, 𝕍: ∅. **v.7** 𝕋: εαυτον υιον θεου, 𝕂: εαυτον υιον του θεου, 𝕄: εαυτον θεου υιον, 𝕍: υιον θεου εαυτον. **v.10** 𝕋*: σταυρωσαι, 𝕍: απολυσαι. **v.10** 𝕋*: απολυσαι, 𝕍: σταυρωσαι. **v.11** 𝕋 𝕂: ο, 𝕄: ∅, 𝕍: [αυτω]. **v.11** 𝕋*: ουδεμιαν κατ εμου, 𝕍: κατ εμου ουδεμιαν. **v.11** 𝕋*: σοι δεδομενον, 𝕍: δεδομενον σοι. **v.11** 𝕋*: παραδιδους, 𝕍: παραδους. **v.12** 𝕋*: εζητει ο πιλατος, 𝕍: ο πιλατος εζητει. **v.12** 𝕋*: εκραζον, 𝕍: εκραυγασαν. **v.12** 𝕋 𝕂: αυτον, 𝕄 𝕍: εαυτον. **v.13** 𝕋*: τουτον τον λογον, 𝕍: των λογων τουτων. **v.13** 𝕋*: του, 𝕍: ∅. **v.14** 𝕋*: δε ωσει, 𝕍: ην ως. **v.14** 𝔼: ἕκτη, 𝔎² D^s L Δ Ψ ℓ844 *pc*: τριτη. **v.15** 𝕋*: οι δε εκραυγασαν, 𝕍: εκραυγασαν ουν εκεινοι.

εἰ μὴ καίσαρα ⸰ τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρω- 16
θῇ παρέλαβον δὲ˚ τὸν ἰησοῦν καὶ ἀπήγαγον ⸰ καὶ βαστάζων τὸν˚ 17
σταυρὸν αὐτοῦ ἐξῆλθεν εἰς τὸν˚ λεγόμενον κρανίου τόπον ὃς
λέγεται ἑβραϊστὶ γολγοθᾶ ⸰ ὅπου αὐτὸν ἐσταύρωσαν καὶ μετ᾽ αὐ- 18
τοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν μέσον δὲ τὸν ἰησοῦν ⸰
ἔγραψεν δὲ καὶ τίτλον ὁ πιλάτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ 19
ἦν δὲ γεγραμμένον ἰησοῦς ὁ ναζωραῖος ὁ βασιλεὺς τῶν ἰου-
δαίων ⸰ τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν ἰουδαίων 20
ὅτι ἐγγὺς ἦν τῆς˚ πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη ὁ ἰησοῦς
καὶ ἦν γεγραμμένον ἑβραϊστὶ ἑλληνιστὶ˚ ῥωμαϊστί ⸰ ἔλεγον οὖν 21
τῷ πιλάτῳ οἱ ἀρχιερεῖς τῶν ἰουδαίων μὴ γράφε ὁ βασιλεὺς τῶν
ἰουδαίων ἀλλ᾽ ὅτι ἐκεῖνος εἶπεν βασιλεύς εἰμι τῶν ἰουδαίων ⸰ ἀ- 22
πεκρίθη ὁ πιλάτος ὃ γέγραφα γέγραφα ⸰ οἱ οὖν στρατιῶται ὅτε 23
ἐσταύρωσαν τὸν ἰησοῦν ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν
τέσσαρα μέρη ἑκάστῳ στρατιώτῃ μέρος καὶ τὸν χιτῶνα ἦν δὲ
ὁ χιτὼν ἄρραφος ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι᾽ ὅλου ⸰ εἶπὸν οὖν 24
πρὸς ἀλλήλους μὴ σχίσωμεν αὐτὸν ἀλλὰ λάχωμεν περὶ αὐτοῦ
τίνος ἔσται ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα διεμερίσαντο τὰ
ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον
οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν ⸰ εἱστήκεισαν δὲ παρὰ τῷ 25
σταυρῷ τοῦ ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐ-
τοῦ μαρία ἡ τοῦ κλωπᾶ καὶ μαρία ἡ μαγδαληνή ⸰ ἰησοῦς οὖν 26
ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα λέγει
τῇ μητρὶ αὐτοῦ γύναι ἰδοὺ ὁ υἱός σου ⸰ εἶτα λέγει τῷ μαθητῇ 27
ἰδοὺ ἡ μήτηρ σου καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν˚ ὁ
μαθητὴς εἰς τὰ ἴδια ⸰ μετὰ τοῦτο εἰδὼς ὁ ἰησοῦς ὅτι πάντα˚ ἤδη 28
τετέλεσται ἵνα τελειωθῇ ἡ γραφὴ λέγει διψῶ ⸰ σκεῦος οὖν ἔκειτο 29
ὄξους μεστὸν οἱ˚ δὲ πλήσαντες σπόγγον ὄξους καὶ ὑσσώπῳ πε-
ριθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι ⸰ ὅτε οὖν ἔλαβεν τὸ ὄξος 30
ὁ ἰησοῦς εἶπεν τετέλεσται καὶ κλίνας τὴν κεφαλὴν παρέδωκεν
τὸ πνεῦμα ⸰ οἱ οὖν ἰουδαῖοι ἵνα˚ μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ 31
σώματα ἐν τῷ σαββάτῳ ἐπεὶ παρασκευὴ ἦν ἦν γὰρ μεγάλη ἡ

---

v.16 𝕋 𝕂: δε τον ιησουν και απηγαγον, 𝕄: δε τον ιησουν και ηγαγον, 𝕍: ουν τον ιησουν. **v.17** 𝕋*: τον σταυρον αυτου, 𝕍: εαυτω τον σταυρον. **v.17** 𝕋 𝕂: τον λεγομενον κρανιου τοπον ος, 𝕄: τοπον λεγομενον κρανιου τοπον ος, 𝕍: τον λεγομενον κρανιου τοπον ο. **v.20** 𝕋 𝕂: της πολεως ο τοπος, 𝕄 𝕍: ο τοπος της πολεως. **v.20** 𝕋*: ελληνιστι ρωμαιστι, 𝕍: ρωμαιστι ελληνιστι. **v.23** 𝕋 𝕂: αρραφος, 𝕄 𝕍: αραφος. **v.24** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.26** 𝕋*: αυτου, 𝕍: ∅. **v.26** 𝕋 𝕂: ιδου, 𝕄 𝕍: ιδε. **v.27** 𝕋*: ιδου, 𝕍: ιδε. **v.27** 𝕋 𝕂: αυτην ο μαθητης, 𝕄 𝕍: ο μαθητης αυτην. **v.28** 𝕋 𝕂 𝕍: ειδως, 𝕄: ιδων. **v.28** 𝕋*: παντα ηδη, 𝕍: ηδη παντα. **v.29** 𝕋*: ουν, 𝕍: ∅. **v.29** 𝕋*: οι δε πλησαντες σπογγον οξους και, 𝕍: σπογγον ουν μεστον του οξους. **v.31** 𝕋 𝕄: ινα μη μεινη επι του σταυρου τα σωματα εν τω σαββατω επει παρασκευη ην, 𝕂 𝕍: επει παρασκευη ην ινα μη μεινη επι του σταυρου τα σωματα εν τω σαββατω.

ἡμέρα ἐκείνου τοῦ σαββάτου ἠρώτησαν τὸν πιλάτον ἵνα κατεα-
32 γῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν ⸰ ἦλθον οὖν οἱ στρατιῶται καὶ
τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυ-
33 ρωθέντος αὐτῷ ⸰ ἐπὶ δὲ τὸν ἰησοῦν ἐλθόντες ὡς εἶδον αὐτὸν˚ ἤδη
34 τεθνηκότα οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη ⸰ ἀλλ᾽ εἷς τῶν στρατιω-
τῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν καὶ εὐθὺς˚ ἐξῆλθεν αἷμα
35 καὶ ὕδωρ ⸰ καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν καὶ ἀληθινὴ αὐτοῦ˚
ἐστιν ἡ μαρτυρία κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει ἵνα ὑμεῖς˚ πι-
36 στεύσητε ⸰ ἐγένετο γὰρ ταῦτα ἵνα ἡ γραφὴ πληρωθῇ ὀστοῦν οὐ
37 συντριβήσεται αὐτοῦ ⸰ καὶ πάλιν ἑτέρα γραφὴ λέγει ὄψονται εἰς
38 ὃν ἐξεκέντησαν ⸰ μετὰ δὲ˚ ταῦτα ἠρώτησεν τὸν πιλάτον ὁ˚ ἰωσὴφ
ὁ ἀπὸ ἀριμαθαίας ὢν μαθητὴς τοῦ ἰησοῦ κεκρυμμένος δὲ διὰ
τὸν φόβον τῶν ἰουδαίων ἵνα ἄρῃ τὸ σῶμα τοῦ ἰησοῦ καὶ ἐπέτρε-
39 ψεν ὁ πιλάτος ἦλθεν οὖν καὶ ἦρεν τὸ σῶμα τοῦ˚ ἰησοῦ ⸰ ἦλθεν
δὲ καὶ νικόδημος ὁ ἐλθὼν πρὸς τὸν˚ ἰησοῦν νυκτὸς τὸ πρῶτον
40 φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν ⸰ ἔλαβον
οὖν τὸ σῶμα τοῦ ἰησοῦ καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀ-
41 ρωμάτων καθὼς ἔθος ἐστὶν τοῖς ἰουδαίοις ἐνταφιάζειν ⸰ ἦν δὲ ἐν
τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος καὶ ἐν τῷ κήπῳ μνημεῖον καιν-
42 ὸν ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη ⸰ ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν
τῶν ἰουδαίων ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον ἔθηκαν τὸν ἰησοῦν ⸰

20 τῇ δὲ μιᾷ τῶν σαββάτων μαρία ἡ μαγδαληνὴ ἔρχεται πρωΐ
σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον καὶ βλέπει τὸν λίθον ἠρμένον
2 ἐκ τοῦ μνημείου ⸰ τρέχει οὖν καὶ ἔρχεται πρὸς σίμωνα πέτρον
καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ ἰησοῦς καὶ λέγει αὐτοῖς
ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν
3 αὐτόν ⸰ ἐξῆλθεν οὖν ὁ πέτρος καὶ ὁ ἄλλος μαθητὴς καὶ ἤρχοντο
4 εἰς τὸ μνημεῖον ⸰ ἔτρεχον δὲ οἱ δύο ὁμοῦ καὶ ὁ ἄλλος μαθη-
τὴς προέδραμεν τάχιον τοῦ πέτρου καὶ ἦλθεν πρῶτος εἰς τὸ
5 μνημεῖον ⸰ καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια οὐ μέν-
6 τοι εἰσῆλθεν ⸰ ἔρχεται οὖν ὀίμων πέτρος ἀκολουθῶν αὐτῷ καὶ
7 εἰσῆλθεν εἰς τὸ μνημεῖον καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα ⸰ καὶ τὸ
σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ οὐ μετὰ τῶν ὀθονίων
8 κείμενον ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον ⸰ τότε οὖν εἰ-

---

v.33 𝕋*: αυτον ηδη, 𝕍: ηδη αυτον. **v.34** 𝕋 𝕂: ευθυς εξηλθεν, 𝕄: ευθεως εξηλθεν, 𝕍: εξηλθεν ευθυς. **v.35** 𝕋 𝕂 𝕍: αυτου εστιν, 𝕄: εστιν αυτου. **v.35** 𝕋*: κακεινος, 𝕍: και εκεινος. **v.35** 𝕋*: υμεις πιστευσητε, 𝕍: και υμεις πιστευ[σ]ητε. **v.38** 𝕋 𝕂 𝕍: δε, 𝕄: Ø. **v.38** 𝕋*: ο ιωσηφ ο, 𝕍: ιωσηφ [ο]. **v.38** 𝕋*: του ιησου, 𝕍: αυτου. **v.39** 𝕋*: τον ιησουν, 𝕍: αυτον. **v.39** 𝕋* 𝕍: μίγμα, ℕ א* B W: ἕλιγμα, Ψ 892^{s} *pc*: σμιγμα. **v.39** 𝔼 א^{c} B: σμύρνης, א* D W: ζμύρνης. **v.39** 𝕋 𝕂: ὡσεὶ, 𝕄 𝕍 ℕ: ὡς. **v.40** 𝕋 𝕂 𝕍: οθονιοις, 𝕄: εν οθονιοις. **v.41** 𝕋*: ετεθη, 𝕍: ην τεθειμενος. **20.v.6** 𝕋*: σιμων, 𝕍: και σιμων.

σῆλθεν καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον καὶ
εἶδεν καὶ ἐπίστευσεν ⸰ οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν ὅτι δεῖ 9
αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι ⸰ ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς 10
οἱ μαθηταί ⸰ μαρία δὲ εἱστήκει πρὸς τὸ˚ μνημεῖον κλαίουσα ἔξω 11
ὡς οὖν ἔκλαιεν παρέκυψεν εἰς τὸ μνημεῖον ⸰ καὶ θεωρεῖ δύο ἀγ- 12
γέλους ἐν λευκοῖς καθεζομένους ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα
πρὸς τοῖς ποσὶν ὅπου ἔκειτο τὸ σῶμα τοῦ ἰησοῦ ⸰ καὶ λέγουσιν 13
αὐτῇ ἐκεῖνοι γύναι τί κλαίεις λέγει αὐτοῖς ὅτι ἦραν τὸν κύριόν
μου καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν ⸰ κἀὶ ταῦτα εἰποῦσα ἐ- 14
στράφη εἰς τὰ ὀπίσω καὶ θεωρεῖ τὸν ἰησοῦν ἑστῶτα καὶ οὐκ ᾔδει
ὅτι ὁ˚ ἰησοῦς ἐστιν ⸰ λέγει αὐτῇ ὁ˚ ἰησοῦς γύναι τί κλαίεις τίνα 15
ζητεῖς ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστιν λέγει αὐτῷ κύριε
εἰ σὺ ἐβάστασας αὐτὸν εἰπέ μοι ποῦ αὐτὸν˚ ἔθηκας κἀγὼ αὐτὸν
ἀρῶ ⸰ λέγει αὐτῇ ὁ˚ ἰησοῦς μαρίἀ στραφεῖσα ἐκείνη λέγει αὐτ̓ῷ 16
ῥαββουνὶ ὃ λέγεται διδάσκαλε ⸰ λέγει αὐτῇ ὁ˚ ἰησοῦς μή μου ἅ- 17
πτου οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μοῦ πορεύου δὲ
πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς ἀναβαίνω πρὸς τὸν
πατέρα μου καὶ πατέρα ὑμῶν καὶ θεόν μου καὶ θεὸν ὑμῶν ⸰
ἔρχεται μαρίἀ ἡ μαγδαληνὴ ἀπἀγγέλλουσα τοῖς μαθηταῖς ὅτι 18
ἑώρακὲν τὸν κύριον καὶ ταῦτα εἶπεν αὐτῇ ⸰ οὔσης οὖν ὀψίας τῇ 19
ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τ̂ων σαββάτων καὶ τῶν θυρῶν κεκλεισμένων
ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν ἰουδαίων
ἦλθεν ὁ ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς εἰρήνη
ὑμῖν ⸰ καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς˚ τὰς χεῖρας καὶ τὴν πλευ- 20
ρὰν αὐτοῦ ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν κύριον ⸰ εἶπεν 21
οὖν αὐτοῖς ὁ ἰησοῦς πάλιν εἰρήνη ὑμῖν καθὼς ἀπέσταλκέν με
ὁ πατὴρ κἀγὼ πέμπω ὑμᾶς ⸰ καὶ τοῦτο εἰπὼν ἐνεφύσησεν καὶ 22
λέγει αὐτοῖς λάβετε πνεῦμα ἅγιον ⸰ ἄν τινων ἀφῆτε τὰς ἁμαρ- 23
τίας ἀφίενται αὐτοῖς ἄν τινων κρατῆτε κεκράτηνται ⸰ θωμᾶς δὲ 24
εἷς ἐκ τῶν δώδεκα ὁ λεγόμενος δίδυμος οὐκ ἦν μετ̓ αὐτῶν ὅτε
ἦλθεν ὁ˚ ἰησοῦς ⸰ ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταὶ ἑωράκαμεν 25
τὸν κύριον ὁ δὲ εἶπεν αὐτοῖς ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ
τὸν τύπον τῶν ἥλων καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον

---

v.10 $\mathbb{T}^*$: εαυτους, $\mathbb{V}$: αυτους. **v.11** $\mathbb{T}^*$: το μνημειον κλαιουσα εξω, $\mathbb{V}$: τω μνημειω εξω κλαιουσα. **v.14** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.14** $\mathbb{T}$ $\mathbb{K}$: ο, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}$ $\mathbb{K}$: αυτον εθηκας, $\mathbb{M}$ $\mathbb{V}$: εθηκας αυτον. **v.16** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.16** $\mathbb{T}^*$: μαρια, $\mathbb{V}$: μαριαμ. **v.16** $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: αυτω εβραιστι. **v.17** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.17** $\mathbb{T}^*$: μου, $\mathbb{V}$: ∅. **v.18** $\mathbb{T}^*$: μαρια, $\mathbb{V}$: μαριαμ. **v.18** $\mathbb{T}^*$: απαγγελλουσα, $\mathbb{V}$: αγγελλουσα. **v.18** $\mathbb{T}^*$: εωρακεν, $\mathbb{V}$: εωρακα. **v.19** $\mathbb{T}^*$: των, $\mathbb{V}$: ∅. **v.19** $\mathbb{T}^*$: συνηγμενοι, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: αυτοις τας χειρας και την πλευραν αυτου, $\mathbb{V}$: τας χειρας και την πλευραν αυτοις. **v.23** $\mathbb{T}^*$: αφιενται, $\mathbb{V}$: αφεωνται. **v.24** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅.

τῶν ἥλων καὶ βάλω τὴν˚ χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ οὐ
26 μὴ πιστεύσω ◦ καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ
αὐτοῦ καὶ Θωμᾶς μετ᾽ αὐτῶν ἔρχεται ὁ ἰησοῦς τῶν θυρῶν κε-
27 κλεισμένων καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν εἰρήνη ὑμῖν ◦ εἶτα
λέγει τῷ Θωμᾷ φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς
μου καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου καὶ
28 μὴ γίνου ἄπιστος ἀλλὰ πιστός ◦ κἀὶ ἀπεκρίθη ὁ˚ Θωμᾶς καὶ εἶ-
29 πεν αὐτῷ ὁ κύριός μου καὶ ὁ Θεός μου ◦ λέγει αὐτῷ ὁ ἰησοῦς
ὅτι ἑώρακάς με Θωμᾷ πεπίστευκας μακάριοι οἱ μὴ ἰδόντες καὶ
30 πιστεύσαντες ◦ πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ ἰη-
σοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ ἃ οὐκ ἔστιν γεγραμμένα ἐν τῷ
31 βιβλίῳ τούτῳ ◦ ταῦτα δὲ γέγραπται ἵνα πιστεύ̈ητε ὅτι ὁ˚ ἰησοῦς
ἐστιν ὁ χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε
ἐν τῷ ὀνόματι αὐτοῦ ◦

21 μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ ἰησοῦς τοῖς μαθη-
ταῖς ἐπὶ τῆς θαλάσσης τῆς τιβεριάδος ἐφανέρωσεν δὲ οὕτως ◦
2 ἦσαν ὁμοῦ σίμων πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος δίδυμος καὶ
ναθαναὴλ ὁ ἀπὸ κανᾶ τῆς γαλιλαίας καὶ οἱ τοῦ ζεβεδαίου καὶ
3 ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο ◦ λέγει αὐτοῖς σίμων πέτρος
ὑπάγω ἁλιεύειν λέγουσιν αὐτῷ ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοὶ ἐ-
ξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον ἐὐθὺς καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ
4 ἐπίασαν οὐδέν ◦ πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ˚ ἰησοῦς εἰς
τὸν αἰγιαλὸν οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι ἰησοῦς ἐστιν ◦
5 λέγει οὖν αὐτοῖς ὁ ἰησοῦς παιδία μή τι προσφάγιον ἔχετε ἀπε-
6 κρίθησαν αὐτῷ οὔ ◦ ὁ δὲ εἶπεν αὐτοῖς βάλετε εἰς τὰ δεξιὰ μέρη
τοῦ πλοίου τὸ δίκτυον καὶ εὑρήσετε ἔβαλον οὖν καὶ οὐκ˚ ἔτι
7 αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων ◦ λέγει οὖν
ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ ἰησοῦς τῷ πέτρῳ ὁ κύριός ἐστιν
σίμων οὖν̈ πέτρος ἀκούσας ὅτι ὁ κύριός ἐστιν τὸν ἐπενδύτην
διεζώσατο ἦν γὰρ γυμνὸς καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν ◦
8 οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον οὐ γὰρ ἦσαν μακρὰν
ἀπὸ τῆς γῆς ἀλλ᾽ ὡς ἀπὸ πηχῶν διακοσίων σύροντες τὸ δίκτυον
9 τῶν ἰχθύων ◦ ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν βλέπουσιν ἀνθρακιὰν
10 κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον ◦ λέγει αὐτοῖς ὁ
11 ἰησοῦς ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν ◦ ἀνέβη̈ σί-

---

v.25 𝕋*: την χειρα μου, 𝕍: μου την χειρα. **v.28** 𝕋*: και, 𝕍: ∅. **v.28** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.29** 𝕋 𝕂: θωμα, 𝕄 𝕍: ∅. **v.31** 𝕋*: πιστευσητε, 𝕍: πιστευ[σ]ητε. **v.31** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **21.v.3** 𝕋 𝕂: ανεβησαν, 𝕄 𝕍: ενεβησαν. **v.3** 𝕋*: ευθυς, 𝕍: ∅. **v.4** 𝕋*: ο, 𝕍: ∅. **v.6** 𝕋 𝕂: ουκ ετι, 𝕄 𝕍: ουκετι. **v.6** 𝕋*: ισχυσαν, 𝕍: ισχυον. **v.7** 𝕋 𝕂 𝕍: ουν, 𝕄: ∅. **v.8** 𝕋*: αλλ, 𝕍: αλλα. **v.11** 𝕋*: ανεβη, 𝕍: ανεβη ουν.

μων πέτρος καὶ εἵλκυσεν τὸ δίκτυον ἐπὶ˚ τῆς γῆς μεστὸν ἰχθύων
μεγάλων ἑκατὸν πεντηκονταὁριῶν καὶ τοσούτων ὄντων οὐκ ἐσχί-
σθη τὸ δίκτυον ⸰ λέγει αὐτοῖς ὁ ἰησοῦς δεῦτε ἀριστήσατε οὐδεὶς 12
δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτὸν σὺ τίς εἶ εἰδότες ὅτι ὁ
κύριός ἐστιν ⸰ ἔρχεται οὖν˚ ὁ ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ 13
δίδωσιν αὐτοῖς καὶ τὸ ὀψάριον ὁμοίως ⸰ τοῦτο ἤδη τρίτον ἐφα- 14
νερώθη ὁ˚ ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν ⸰ ὅτε 15
οὖν ἠρίστησαν λέγει τῷ σίμωνι πέτρῳ ὁ ἰησοῦς σίμων ἰωνᾶ ἀ-
γαπᾷς με πλεῖον τούτων λέγει αὐτῷ ναὶ κύριε σὺ οἶδας ὅτι φιλῶ
σε λέγει αὐτῷ βόσκε τὰ ἀρνία μου ⸰ λέγει αὐτῷ πάλιν δεύτερον 16
σίμων ἰωνᾶ ἀγαπᾷς με λέγει αὐτῷ ναὶ κύριε σὺ οἶδας ὅτι φιλῶ
σε λέγει αὐτῷ ποίμαινε τὰ πρόβατά μου ⸰ λέγει αὐτῷ τὸ τρίτον 17
σίμων ἰωνᾶ φιλεῖς με ἐλυπήθη ὁ πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον
φιλεῖς με καὶ εἶπεν αὐτῷ κύριε σὺ˚ πάντα οἶδας σὺ γινώσκεις
ὅτι φιλῶ σε λέγει αὐτῷ ὁ ἰησοῦς βόσκε τὰ πρόβατά μου ⸰ ἀμὴν 18
ἀμὴν λέγω σοι ὅτε ἦς νεώτερος ἐζώννυες σεαυτὸν καὶ περιεπά-
τεις ὅπου ἤθελες ὅταν δὲ γηράσῃς ἐκτενεῖς τὰς χεῖράς σου καὶ
ἄλλος σε ζώσει καὶ οἴσει ὅπου οὐ θέλεις ⸰ τοῦτο δὲ εἶπεν σημαί- 19
νων ποίῳ θανάτῳ δοξάσει τὸν θεὸν καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ
ἀκολούθει μοι ⸰ ἐπιστραφεὶς δὲ˚ ὁ πέτρος βλέπει τὸν μαθητὴν 20
ὃν ἠγάπα ὁ ἰησοῦς ἀκολουθοῦντα ὃς καὶ ἀνέπεσεν ἐν τῷ δεί-
πνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπεν κύριε τίς ἐστιν ὁ παραδιδούς
σε ⸰ τοῦτον˙ ἰδὼν ὁ πέτρος λέγει τῷ ἰησοῦ κύριε οὗτος δὲ τί ⸰ λέ- 21, 22
γει αὐτῷ ὁ ἰησοῦς ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι τί πρός
σε σὺ ἀκολούθει˚ μοι ⸰ ἐξῆλθεν οὖν ὁ˚ λόγος οὗτος εἰς τοὺς ἀ- 23
δελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει καὶ˚ οὐκ εἶπεν
αὐτῷ ὁ ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει ἀλλ᾽ ἐὰν αὐτὸν θέλω μένειν
ἕως ἔρχομαι τί πρός σε ⸰ οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν πε- 24
ρὶ τούτων καὶ γράψας ταῦτα καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν˚ ἡ
μαρτυρία αὐτοῦ ⸰ ἔστιν δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ ἰη- 25
σοῦς ἅτινα ἐὰν γράφηται καθ᾽ ἓν οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον
χωρῆσαι τὰ γραφόμενα βιβλία ἀμήν ⸰

---

v.11 $\mathbb{T}^*$: επι της γης, $\mathbb{V}$: εις την γην. **v.11** $\mathbb{T}$ $\mathbb{K}$: πεντηκοντατριων, $\mathbb{M}$ $\mathbb{V}$: πεντηκοντα τριων. **v.13** $\mathbb{T}^*$: ουν ο, $\mathbb{V}$: ∅. **v.14** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.14** $\mathbb{T}^*$: αυτου, $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}^*$: ιωνα, $\mathbb{V}$: ιωαννου. **v.15** $\mathbb{T}^*$: πλειον, $\mathbb{V}$: πλεον. **v.16** $\mathbb{T}^*$: ιωνα, $\mathbb{V}$: ιωαννου. **v.17** $\mathbb{T}^*$: ιωνα, $\mathbb{V}$: ιωαννου. **v.17** $\mathbb{T}^*$: ειπεν, $\mathbb{V}$: λεγει. **v.17** $\mathbb{T}^*$: συ παντα, $\mathbb{V}$: παντα συ. **v.20** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅. **v.21** $\mathbb{T}^*$: τουτον, $\mathbb{V}$: τουτον ουν. **v.22** $\mathbb{T}^*$: ακολουθει μοι, $\mathbb{V}$: μοι ακολουθει. **v.23** $\mathbb{T}^*$: ο λογος ουτος, $\mathbb{V}$: ουτος ο λογος. **v.23** $\mathbb{T}^*$: και ουκ ειπεν, $\mathbb{V}$: ουκ ειπεν δε. **v.24** $\mathbb{T}^*$: γραψας, $\mathbb{V}$: ο γραψας. **v.24** $\mathbb{T}^*$: εστιν η μαρτυρια αυτου, $\mathbb{V}$: αυτου η μαρτυρια εστιν. **v.25** $\mathbb{T}^*$: οσα, $\mathbb{V}$: α. **v.25** $\mathbb{T}^*$: ουδε, $\mathbb{V}$: ουδ. **v.25** $\mathbb{T}^*$: αμην, $\mathbb{V}$: ∅.

ΠΡΑΞΕΙΣ
ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ˚

1 τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ θεόφιλε
2 ὧν ἤρξατο ὁ ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ⸰ ἄχρι ἧς ἡμέρας ἐν-
τειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου οὓς ἐξελέξατο
3 ἀνελήφθη ⸰ οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν
αὐτὸν ἐν πολλοῖς τεκμηρίοις δι᾽ ἡμερῶν τεσσαράκοντα ὀπτανό-
4 μενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ ⸰ καὶ
συναλιζόμενος˙ παρήγγειλεν αὐτοῖς ἀπὸ ἱεροσολύμων μὴ χωρί-
ζεσθαι ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ
5 μου ⸰ ὅτι ἰωάννης μὲν ἐβάπτισεν ὕδατι ὑμεῖς δὲ βαπτισθήσεσθε˚
6 ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας ⸰ οἱ μὲν οὖν
συνελθόντες ἐπ῾ηρώτων αὐτὸν λέγοντες κύριε εἰ ἐν τῷ χρόνῳ
7 τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ ἰσραήλ ⸰ εἶπεν δὲ πρὸς
αὐτοὺς οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ
8 ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ ⸰ ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ
ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε ἰερου-
σαλὴμ καὶ ἐν πάσῃ τῇ ἰουδαίᾳ καὶ σαμαρείᾳ καὶ ἕως ἐσχάτου
9 τῆς γῆς ⸰ καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρθη καὶ νεφέλη
10 ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν ⸰ καὶ ὡς ἀτενίζοντες
ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ καὶ ἰδοὺ ἄνδρες δύο
11 παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι˚ λευκῇ ⸰ οἳ καὶ εἶπὸν ἄνδρες
γαλιλαῖοι τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανὸν οὗτος ὁ ἰ-
ησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσε-
ται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν ⸰
12 τότε ὑπέστρεψαν εἰς ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου
13 ἐλαιῶνος ὅ ἐστιν ἐγγὺς ἰερουσαλὴμ σαββάτου ἔχον ὁδόν ⸰ καὶ
ὅτε εἰσῆλθον ἀνέβησαν˚ εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες
ὅ τε πέτρος καὶ ἰάκωβος˚ καὶ ἰωάννης καὶ ἀνδρέας φίλιππος
καὶ θωμᾶς βαρθολομαῖος καὶ ματθαῖος ἰάκωβος ἀλφαίου καὶ
14 σίμων ὁ ζηλωτὴς καὶ ἰούδας ἰακώβου ⸰ οὗτοι πάντες ἦσαν προ-
σκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ˚ τῇ δεήσει σὺν

𝕋: ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ, 𝕂: ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ, 𝕄 𝕍: ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ. **1.v.2** 𝕋*: ανεληφθη, 𝕍: ανελημφθη. **v.3** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.4** 𝕋 𝕄 𝕍: συναλιζομενος, 𝕂: συναλιζομενος μετ αυτων. **v.5** 𝕋*: βαπτισθησεσθε εν πνευματι, 𝕍: εν πνευματι βαπτισθησεσθε. **v.6** 𝕋*: επηρωτων, 𝕍: ηρωτων. **v.8** 𝕋*: ληψεσθε, 𝕍: λημψεσθε. **v.8** 𝕋*: μοι, 𝕍: μου. **v.10** 𝕋*: εσθητι λευκη, 𝕍: εσθησεσι λευκαις. **v.11** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.11** 𝕋*: εμβλεποντες, 𝕍: [εμ]βλεποντες. **v.11** 𝕋*: αναληφθεις, 𝕍: αναλημφθεις. **v.13** 𝕋*: ανεβησαν εις το υπερωον, 𝕍: εις το υπερωον ανεβησαν. **v.13** 𝕋*: ιακωβος και ιωαννης, 𝕍: ιωαννης και ιακωβος. **v.13** 𝕋*: ματθαιος, 𝕍: μαθθαιος. **v.14** 𝕋*: και τη δεησει, 𝕍: ∅.

γυναιξὶν καὶ μαρίᾳ τῇ μητρὶ τοῦ ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς
αὐτοῦ ⸰ καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς πέτρος ἐν μέσῳ τῶν 15
μαθητῶν εἶπεν ἦν τε ὄχλος ὀνομάτων ἐπὶτοαυτὸ ὡς ἑκατὸν εἴ-
κοσιν ⸰ ἄνδρες ἀδελφοὶ ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν 16
προεῖπεν τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος δαβὶδ περὶ ἰούδα τοῦ
γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν τὸν ἰησοῦν ⸰ ὅτι κατηριθ- 17
μημένος ἦν σὺν ἡμῖν καὶ ἔλαχεν τὸν κλῆρον τῆς διακονίας ταύ-
της ⸰ οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ τοῦ μισθοῦ τῆς ἀδικίας 18
καὶ πρηνὴς γενόμενος ἐλάκησεν μέσος καὶ ἐξεχύθη πάντα τὰ
σπλάγχνα αὐτοῦ ⸰ καὶ γνωστὸν ἐγένετο πᾶσιν τοῖς κατοικοῦσιν 19
ἰερουσαλὴμ ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ
αὐτῶν ἀκελδαμὰ τουτέστιν χωρίον αἵματος ⸰ γέγραπται γὰρ ἐν 20
βίβλῳ ψαλμῶν γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω
ὁ κατοικῶν ἐν αὐτῇ καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος ⸰ δεῖ 21
οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλ-
θεν καὶ ἐξῆλθεν ἐφ᾽ ἡμᾶς ὁ κύριος ἰησοῦς ⸰ ἀρξάμενος ἀπὸ τοῦ 22
βαπτίσματος ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ᾽ ἡμῶν
μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι˚ σὺν ἡμῖν ἕνα τούτων ⸰
καὶ ἔστησαν δύο ἰωσὴφ τὸν καλούμενον βαρσαβᾶν ὃς ἐπεκλήθη 23
ἰοῦστος καὶ ματθίαν ⸰ καὶ προσευξάμενοι εἶπὸν σὺ κύριε καρ- 24
διογνῶστα πάντων ἀνάδειξον ἐκ˚ τούτων τῶν δύο ἕνα ὃν ἐξελέξω ⸰
λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς ἐξ˚ ἧς 25
παρέβη ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον ⸰ καὶ ἔδωκαν 26
κλήρους αὐτῶν καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ματθίαν καὶ συγκατε-
ψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων ⸰

καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦ- **2**
σαν ἅπαντες˚ ὁμοθυμαδὸν ἐπὶτοαυτό ⸰ καὶ ἐγένετο ἄφνω ἐκ τοῦ 2
οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας καὶ ἐπλήρωσεν
ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι ⸰ καὶ ὤφθησαν αὐτοῖς δια- 3
μεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς ἐκάθισέν˚ τε ἐφ᾽ ἕνα ἕκαστον
αὐτῶν ⸰ καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου καὶ ἤρξαντο 4

---

v.14 𝕋*: μαρια, 𝕍: μαριαμ. **v.14** 𝕋*: συν, 𝕍: ∅. **v.15** 𝕋*: μαθητων, 𝕍: αδελφων. **v.15** 𝕋: επιτοαυτο, 𝕂 𝕄 𝕍: επι το αυτο. **v.15** 𝕋*: ως, 𝕍: ωσει. **v.16** 𝕋*: ταυτην, 𝕍: ∅. **v.16** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.16** 𝕋*: τον, 𝕍: ∅. **v.17** 𝕋*: συν, 𝕍: εν. **v.18** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.19** 𝕋*: ακελδαμα, 𝕍: ακελδαμαχ. **v.19** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.20** 𝕋*: λαβοι, 𝕍: λαβετω. **v.21** 𝕋*: εν, 𝕍: ∅. **v.22** 𝕋*: ανεληφθη, 𝕍: ανελημφθη. **v.22** 𝕋*: γενεσθαι συν ημιν, 𝕍: συν ημιν γενεσθαι. **v.23** 𝕋*: βαρσαβαν, 𝕍: βαρσαββαν. **v.23** 𝕋*: ματθιαν, 𝕍: μαθθιαν. **v.24** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.24** 𝕋: εκ τουτων των δυο ενα ον εξελεξω, 𝕂: εκ τουτων των δυο ον ενα εξελεξω, 𝕄 𝕍: ον εξελεξω εκ τουτων των δυο ενα. **v.25** 𝕋*: κληρον, 𝕍: τοπον. **v.25** 𝕋*: εξ, 𝕍: αφ. **v.26** 𝕋*: αυτων, 𝕍: αυτοις. **v.26** 𝕋*: ματθιαν, 𝕍: μαθθιαν. **2.v.1** 𝕋*: απαντες ομοθυμαδον, 𝕍: παντες ομου. **v.1** 𝕋: επιτοαυτο, 𝕂 𝕄 𝕍: επι το αυτο. **v.3** 𝕋*: εκαθισεν τε, 𝕍: και εκαθισεν. **v.4** 𝕋*: απαντες, 𝕍: παντες.

λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς˚ ἀ-
5 ποφθέγγεσθαι ⋄ ἦσαν δὲ ἐν̓ ἰερουσαλὴμ κατοικοῦντες ἰουδαῖοι
6 ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν ⋄ γενο-
μένης δὲ τῆς φωνῆς ταύτης συνῆλθεν τὸ πλῆθος καὶ συνεχύθη
7 ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν ⋄ ἐξί-
σταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς˚ ἀλλήλους οὐκ
8 ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες γαλιλαῖοι ⋄ καὶ πῶς ἡμεῖς
ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν ⋄
9 πάρθοι καὶ μῆδοι καὶ ἐλαμῖται καὶ οἱ κατοικοῦντες τὴν μεσο-
ποταμίαν ἰουδαίαν τε καὶ καππαδοκίαν πόντον καὶ τὴν ἀσίαν ⋄
10 φρυγίαν τε καὶ παμφυλίαν αἴγυπτον καὶ τὰ μέρη τῆς λιβύης τῆς
κατὰ κυρήνην καὶ οἱ ἐπιδημοῦντες ῥωμαῖοι ἰουδαῖοί τε καὶ προ-
11 σήλυτοι ⋄ κρῆτες καὶ ἄραβες ἀκούομεν λαλούντων αὐτῶν ταῖς
12 ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ θεοῦ ⋄ ἐξίσταντο δὲ πάντες
καὶ διηπόρουν ἄλλος πρὸς ἄλλον λέγοντες τί ἂν˚ θέλοι τοῦτο
13 εἶναι ⋄ ἕτεροι δὲ χλευάζοντες ἔλεγον ὅτι γλεύκους μεμεστωμέ-
14 νοι εἰσίν ⋄ σταθεὶς δὲ πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρεν τὴν φωνὴν
αὐτοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς ἄνδρες ἰουδαῖοι καὶ οἱ κατοι-
κοῦντες ἰερουσαλὴμ ἅπαντες τοῦτο ὑμῖν γνωστὸν ἔστω καὶ ἐνω-
15 τίσασθε τὰ ῥήματά μου ⋄ οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε οὗτοι
16 μεθύουσιν ἔστιν γὰρ ὥρα τρίτη τῆς ἡμέρας ⋄ ἀλλὰ τοῦτό ἐστιν τὸ
17 εἰρημένον διὰ τοῦ προφήτου ἰωήλ ⋄ καὶ ἔσται ἐν ταῖς ἐσχάταις
ἡμέραις λέγει ὁ θεὸς ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν
σάρκα καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑ-
μῶν καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται καὶ οἱ πρεσβύτεροι
18 ὑμῶν ἐνύπνιᾰ ἐνυπνιασθήσονται ⋄ καί˚ γε ἐπὶ τοὺς δούλους μου
καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ
19 πνεύματός μου καὶ προφητεύσουσιν ⋄ καὶ δώσω τέρατα ἐν τῷ οὐ-
ρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω αἷμα καὶ πῦρ καὶ ἀτμίδα
20 καπνοῦ ⋄ ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς
αἷμα πρὶν ἢ˚ ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφα-
21 νῆ ⋄ καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσε-
22 ται ⋄ ἄνδρες ἰσραηλῖται ἀκούσατε τοὺς λόγους τούτους ἰησοῦν
τὸν ναζωραῖον ἄνδρα ἀπὸ˚ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς
δυνάμεσιν καὶ τέρασιν καὶ σημείοις οἷς ἐποίησεν δι᾽ αὐτοῦ ὁ

v.4 𝕋*: αυτοις αποφθεγγεσθαι, 𝕍: αποφθεγγεσθαι αυτοις. **v.5** 𝕋*: εν, 𝕍: εις. **v.7** 𝕋 𝕂: παντες, 𝕄 𝕍: Ø. **v.7** 𝕋*: προς αλληλους ουκ ιδου παντες, 𝕍: ουχ ιδου απαντες. **v.12** 𝕋*: αν θελοι, 𝕍: θελει. **v.13** 𝕋*: χλευαζοντες, 𝕍: διαχλευαζοντες. **v.14** 𝕋*: πετρος, 𝕍: ο πετρος. **v.14** 𝔼: ενδεκα, 𝔻: δεκα αποστολοις. **v.14** 𝕋*: απαντες, 𝕍: παντες. **v.17** 𝕋*: ενυπνια, 𝕍: ενυπνιοις. **v.18** 𝕋 𝕂 𝕍: και γε, 𝕄: καιγε. **v.20** 𝕋*: η ελθειν την, 𝕍: ελθειν. **v.22** 𝕋*: απο του θεου αποδεδειγμενον, 𝕍: αποδεδειγμενον απο του θεου.

θεὸς ἐν μέσῳ ὑμῶν καθὼς κἀὶ αὐτοὶ οἴδατε ⸰ τοῦτον τῇ ὡρισμέ- 23
νῃ βουλῇ καὶ προγνώσει τοῦ θεοῦ ἔκδοτον λαβόντες˚ διὰ χειρῶν
ἀνόμων προσπήξαντες ἀνείλἐτε ⸰ ὃν ὁ θεὸς ἀνέστησεν λύσας τὰς 24
ὠδῖνας τοῦ θαν̀άτου καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν
ὑπ᾽ αὐτοῦ ⸰ δαβὶδ γὰρ λέγει εἰς αὐτὸν προωρώμην τὸν κύριον ἐ- 25
νώπιόν μου διὰ παντὸς ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ ⸰
διὰ τοῦτο ἐὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά 26
μου ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι ⸰ ὅτι οὐκ 27
ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδὸυ οὐδὲ δώσεις τὸν ὅσιόν
σου ἰδεῖν διαφθοράν ⸰ ἐγνώρισάς μοι ὁδοὺς ζωῆς πληρώσεις με 28
εὐφροσύνης μετὰ τοῦ προσώπου σου ⸰ ἄνδρες ἀδελφοὶ ἐξὸν εἰ- 29
πεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου δαβὶδ ὅτι
καὶ ἐτελεύτησεν καὶ ἐτάφη καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν
ἄχρι τῆς ἡμέρας ταύτης ⸰ προφήτης οὖν ὑπάρχων καὶ εἰδὼς ὅτι 30
ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ˚
κατὰ σάρκα ἀναστήσειν τὸν χριστὸν καθίσαι ἐπὶ τοῦ˚ θρόνου
αὐτοῦ ⸰ προϊδὼν ἐλάλησεν περὶ τῆς ἀναστάσεως τοῦ χριστοῦ ὅτι 31
οὐ˚ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶ-
δεν διαφθοράν ⸰ τοῦτον τὸν ἰησοῦν ἀνέστησεν ὁ θεὸς οὗ πάντες 32
ἡμεῖς ἐσμεν μάρτυρες ⸰ τῇ δεξιᾷ οὖν τοῦ θεοῦ ὑψωθεὶς τήν τε 33
ἐπαγγελίαν τοῦ ἁγίου˚ πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς ἐ-
ξέχεεν τοῦτο ὃ νῦν˚ ὑμεῖς βλέπετε καὶ ἀκούετε ⸰ οὐ γὰρ δαβὶδ 34
ἀνέβη εἰς τοὺς οὐρανοὺς λέγει δὲ αὐτὸς εἶπεν ὁ κύριος τῷ κυρίῳ
μου κάθου ἐκ δεξιῶν μου ⸰ ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπό- 35
διον τῶν ποδῶν σου ⸰ ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος ἰσραὴλ 36
ὅτι καὶ κύριον καὶ˚ χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησεν τοῦτον τὸν
ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε ⸰ ἀκούσαντες δὲ κατενύγησαν τῇ˚ 37
καρδίᾳ εἶπόν τε πρὸς τὸν πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους
τί ποιήσὁμεν ἄνδρες ἀδελφοί ⸰ πέτρος δὲ ἔφη πρὸς αὐτοὺς με- 38
τανοήσατὲ καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι ἰησοῦ
χριστοῦ εἰς ἄφεσιν ἁμαρ̀τιῶν καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου
πνεύματος ⸰ ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν 39

---

v.22 𝕋*: και, 𝕍: ∅. **v.23** 𝕋*: λαβοντες δια χειρων, 𝕍: δια χειρος. **v.23** 𝕋*: ανειλετε, 𝕍: ανειλατε. **v.24** 𝔼: θανατου, D: αδου. **v.25** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.25** 𝕋*: προωρωμην, 𝕍: προορωμην. **v.26** 𝕋*: ευφρανθη, 𝕍: ηυφρανθη. **v.27** 𝕋*: αδου, 𝕍: αδην. **v.29** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.30** 𝕋*: το κατα σαρκα αναστησειν τον χριστον, 𝕍: ∅. **v.30** 𝕋*: του θρονου, 𝕍: τον θρονον. **v.31** 𝕋*: ου κατελειφθη η ψυχη αυτου εις αδου ουδε, 𝕍: ουτε εγκατελειφθη εις αδην ουτε. **v.33** 𝕋*: αγιου πνευματος, 𝕍: πνευματος του αγιου. **v.33** 𝕋*: νυν υμεις, 𝕍: υμεις [και]. **v.34** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.36** 𝕋*: και χριστον αυτον ο θεος εποιησεν, 𝕍: αυτον και χριστον εποιησεν ο θεος. **v.37** 𝕋*: τη καρδια, 𝕍: την καρδιαν. **v.37** 𝕋 𝕂: ποιησομεν, 𝕄 𝕍: ποιησωμεν. **v.38** 𝕋*: εφη, 𝕍: ∅. **v.38** 𝕋*: μετανοησατε, 𝕍: μετανοησατε [φησιν]. **v.38** 𝕋*: αμαρτιων, 𝕍: των αμαρτιων υμων. **v.38** 𝕋*: ληψεσθε, 𝕍: λημψεσθε.

καὶ πᾶσιν τοῖς εἰς μακρὰν ὅσους ἂν προσκαλέσηται κύριος ὁ
40 θεὸς ἡμῶν ◦ ἑτέροις τε λόγοις πλείοσιν διεμαρτύρετο καὶ παρε-
41 κάλει λέγων σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης ◦ οἱ μὲν
οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν καὶ
42 προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι ◦ ἦσαν δὲ
προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ
43 κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς ◦ ἐγένετο δὲ πάσῃ
ψυχῇ φόβος πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων
44 ἐγίνετο ◦ πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶτοαυτὸ καὶ εἶχον ἅ-
45 παντα κοινά ◦ καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον καὶ
46 διεμέριζον αὐτὰ πᾶσιν καθότι ἄν τις χρείαν εἶχεν ◦ καθ᾽ ἡμέραν
τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ κλῶντές τε κατ᾽
οἶκον ἄρτον μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι
47 καρδίας ◦ αἰνοῦντες τὸν θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν
λαὸν ὁ δὲ κύριος προσετίθει τοὺς σωζομένους καθ᾽ ἡμέραν τῇ˚
ἐκκλησία ◦

3 ἐπιτοαυτὸ˚ δὲ πέτρος καὶ ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐ-
2 πὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην ◦ καί τις ἀνὴρ χωλὸς
ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο ὃν ἐτίθουν καθ᾽
ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν τοῦ
3 αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν ◦ ὃς
ἰδὼν πέτρον καὶ ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν ἠρώτα
4 ἐλεημοσύνην λάβεῖν ◦ ἀτενίσας δὲ πέτρος εἰς αὐτὸν σὺν τῷ ἰω-
5 άννῃ εἶπεν βλέψον εἰς ἡμᾶς ◦ ὁ δὲ ἐπεῖχεν αὐτοῖς προσδοκῶν
6 τι παρ᾽ αὐτῶν λαβεῖν ◦ εἶπεν δὲ πέτρος ἀργύριον καὶ χρυσίον
οὐχ ὑπάρχει μοι ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι ἐν τῷ ὀνόματι ἰη-
7 σοῦ χριστοῦ τοῦ ναζωραίου ἔγειραι˚ καὶ περιπάτει ◦ καὶ πιάσας
αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν παραχρῆμα δὲ ἐστερεώθησαν
8 αὐτοῦ˚ αἱ βάσεις καὶ τὰ σφυρά ◦ καὶ ἐξαλλόμενος ἔστη καὶ πε-
ριεπάτει καὶ εἰσῆλθεν σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περιπατῶν καὶ
9 ἁλλόμενος καὶ αἰνῶν τὸν θεόν ◦ καὶ εἶδεν αὐτὸν˚ πᾶς ὁ λαὸς πε-
10 ριπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν ◦ ἐπεγίνωσκόν τε αὐτὸν ὅτι
οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύ-
λῃ τοῦ ἱεροῦ καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ

v.40 𝕋*: διεμαρτυρετο, 𝕍: διεμαρτυρατο. **v.40** 𝕋*: παρεκαλει, 𝕍: παρεκαλει αυτους. **v.41** 𝕋*: ασμενως, 𝕍: ∅. **v.41** 𝕋*: τη, 𝕍: εν τη. **v.42** 𝕋*: και, 𝕍: ∅. **v.43** 𝕋*: εγενετο, 𝕍: εγινετο. **v.44** 𝕋: επιτοαυτο, 𝕂 𝕄 𝕍: επι το αυτο. **v.47** 𝕋*: τη εκκλησια, 𝕍: ∅. **3.v.1** 𝕋: επιτοαυτο δε πετρος, 𝕂 𝕄: επι το αυτο δε πετρος, 𝕍: πετρος δε. **v.1** 𝕋 𝕂: εννατην, 𝕄 𝕍: ενατην. **v.3** 𝕋 𝕍: λαβειν, 𝕂 𝕄: ∅. **v.6** 𝕋*: εγειραι και, 𝕍: [εγειρε και]. **v.7** 𝕋*: ηγειρεν, 𝕍: ηγειρεν αυτον. **v.7** 𝕋*: αυτου αι βασεις, 𝕍: αι βασεις αυτου. **v.7** 𝕋*: σφυρα, 𝕍: σφυδρα. **v.9** 𝕋*: αυτον πας ο λαος, 𝕍: πας ο λαος αυτον. **v.10** 𝕋*: τε, 𝕍: δε. **v.10** 𝕋*: ουτος, 𝕍: αυτος.

συμβεβηκότι αὐτῷ ◦ κρατοῦντος δὲ τοῦ˚ ἰαθέντος χωλοῦ τὸν πέ- 11
τρον καὶ ἰῶάννην συνέδραμεν πρὸς˚ αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ
στοᾷ τῇ καλουμένῃ σολομῶντος ἔκθαμβοι ◦ ἰδὼν δὲ ῥ̔έτρος ἀ- 12
πεκρίνατο πρὸς τὸν λαὸν ἄνδρες ἰσραηλῖται τί θαυμάζετε ἐπὶ
τούτῳ ἢ ἡμῖν τί ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκό-
σιν τοῦ περιπατεῖν αὐτόν ◦ ὁ θεὸς ἀβραὰμ καὶ ἰσαὰκ˚ καὶ ἰακὼβ 13
ὁ θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασεν τὸν παῖδα αὐτοῦ ἰησοῦν ὃν
ὑμεῖς̣ παρεδώκατε καὶ ἠρνήσασθε αὐῥ̔ὸν κατὰ πρόσωπον πιλά-
του κρίναντος ἐκείνου ἀπολύειν ◦ ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον 14
ἠρνήσασθε καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν ◦ τὸν δὲ 15
ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν οὗ
ἡμεῖς μάρτυρές ἐσμεν ◦ καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ 16
τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε ἐστερέωσεν τὸ ὄνομα αὐτοῦ καὶ
ἡ πίστις ἡ δἰ αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀ-
πέναντι πάντων ὑμῶν ◦ καὶ νῦν ἀδελφοὶ οἶδα ὅτι κατὰ ἄγνοιαν 17
ἐπράξατε ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν ◦ ὁ δὲ θεὸς ἃ προκατήγ- 18
γειλεν διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ˚ παθεῖν τὸν
χριστὸν ἐπλήρωσεν οὕτως ◦ μετανοήσατε οὖν καὶ ἐπιστρέψατε 19
εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας ὅπως ἂν ἔλθωσιν καιροὶ
ἀναψύξεως ἀπὸ προσώπου τοῦ κυρίου ◦ καὶ ἀποστείλῃ τὸν 20
προκεκηρυγμένον˚ ὑμῖν ἰησοῦν χριστόν ◦ ὃν δεῖ οὐρανὸν μὲν 21
δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ
θεὸς διὰ στόματος πάντων˚ ἁγίων αὐτοῦ προφητῶν ἀπ̓ αἰῶνος ◦
μωσ̊ῆς μὲν γὰρ˚ πρὸς τοὺς πατέρας εἶπεν ὅτι προφήτην ὑμῖν 22
ἀναστήσει κύριος ὁ θεὸς ὑμ̊ῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ
αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς ◦ ἔ- 23
σται δὲ πᾶσα ψυχὴ ἥτις ἂν̊ μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου
ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ ◦ καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ 24
σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν καὶ πρ̊οκατήγγειλαν
τὰς ἡμέρας ταύτας ◦ ὑμεῖς ἐστε υ̊ἱοὶ τῶν προφητῶν καὶ τῆς δια- 25
θήκης ἧς διέθετο ὁ θεὸς πρὸς τοὺς πατέρας ἡμ̊ῶν λέγων πρὸς

---

v.11 𝕋*: του ιαθεντος χωλου, 𝕍: αυτου. **v.11** 𝕋*: ιωαννην, 𝕍: τον ιωαννην. **v.11** 𝕋*: πρὸς αὐτοὺς πᾶς ὁ λαὸς, 𝕍: πᾶς ὁ λαὸς πρὸς αὐτοὺς. **v.12** 𝕋*: πετρος, 𝕍: ο πετρος. **v.13** 𝕋*: ισαακ και ιακωβ, 𝕍: [ο θεος] ισαακ και [ο θεος] ιακωβ. **v.13** 𝕋 𝕂: υμεις, 𝕄 𝕍: υμεις μεν. **v.13** 𝕋*: αυτον, 𝕍: ∅. **v.14** 𝔼: ηρνησασθε, 𝔻: εβαρυνατε. **v.18** 𝕋*: αυτου παθειν τον χριστον, 𝕍: παθειν τον χριστον αυτου. **v.20** 𝕋 𝕂: προκεκηρυγμενον υμιν ιησουν χριστον, 𝕄 𝕍: προκεχειρισμενον υμιν χριστον ιησουν. **v.21** 𝕋 𝕂: παντων αγιων αυτου προφητων απ αιωνος, 𝕄: παντων των αγιων αυτου προφητων απ αιωνος, 𝕍: των αγιων απ αιωνος αυτου προφητων. **v.22** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.22** 𝕋*: γαρ προς τους πατερας, 𝕍: ∅. **v.22** 𝕋 𝕂 𝕍: υμων, 𝕄: ημων, 𝔹: ∅. **v.23** 𝕋 𝕂: αν, 𝕄 𝕍: εαν. **v.23** 𝕋*: εξολοθρευθησεται, 𝕍: εξολεθρευθησεται. **v.24** 𝕋 𝕂: προκατηγγειλαν, 𝕄 𝕍: κατηγγειλαν. **v.25** 𝕋*: υιοι, 𝕍: οι υιοι. **v.25** 𝕋*: ημων, 𝕍: υμων.

ἀβραὰμ καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πα-
26 τριαὶ τῆς γῆς ⸰ ὑμῖν πρῶτον ὁ˚ θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ
ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν
ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν ⸰

4 λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν ἐπέστησαν αὐτοῖς οἱ ἱ-
2 ερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ σαδδουκαῖοι ⸰ διαπο-
νούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν
3 ἐν τῷ ἰησοῦ τὴν ἀνάστασιν τὴν˚ ἐκ νεκρῶν ⸰ καὶ ἐπέβαλον αὐ-
τοῖς τὰς χεῖρας καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον ἦν γὰρ
4 ἑσπέρα ἤδη ⸰ πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν
5 καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε ⸰ ἐγέ-
νετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ
6 πρεσβυτέρους καὶ γραμματεῖς εἰς ἰερουσαλήμ ⸰ καὶ ἄνναν˚ τὸν
ἀρχιερέα καὶ καϊάφαν καὶ ἰωάννην καὶ ἀλέξανδρον καὶ ὅσοι
7 ἦσαν ἐκ γένους ἀρχιερατικοῦ ⸰ καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέ-
σῳ ἐπυνθάνοντο ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε
8 τοῦτο ὑμεῖς ⸰ τότε πέτρος πλησθεὶς πνεύματος ἁγίου εἶπεν πρὸς
9 αὐτοὺς ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ˚ ἰσραήλ ⸰ εἰ ἡ-
μεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς
10 ἐν τίνι οὗτος σέσωσται ⸰ γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ
λαῷ ἰσραὴλ ὅτι ἐν τῷ ὀνόματι ἰησοῦ χριστοῦ τοῦ ναζωραίου ὃν
ὑμεῖς ἐσταυρώσατε ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν ἐν τούτῳ οὗτος
11 παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής ⸰ οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθε-
νηθεὶς ὑφ᾽ ὑμῶν τῶν οἰκοδομούντων ὁ γενόμενος εἰς κεφαλὴν
12 γωνίας ⸰ καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ˚ σωτηρία οὔτε γὰρ ὄνο-
μά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις ἐν
13 ᾧ δεῖ σωθῆναι ἡμᾶς ⸰ θεωροῦντες δὲ τὴν τοῦ πέτρου παρρησίαν
καὶ ἰωάννου καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσιν
καὶ ἰδιῶται ἐθαύμαζον ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ ἰησοῦ
14 ἦσαν ⸰ τὸν δὲ˚ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθε-
15 ραπευμένον οὐδὲν εἶχον ἀντειπεῖν ⸰ κελεύσαντες δὲ αὐτοὺς ἔξω
16 τοῦ συνεδρίου ἀπελθεῖν συνέβαλὸν πρὸς ἀλλήλους ⸰ λέγοντες τί
ποιήσὸμεν τοῖς ἀνθρώποις τούτοις ὅτι μὲν γὰρ γνωστὸν σημεῖον
γέγονεν δι᾽ αὐτῶν πᾶσιν τοῖς κατοικοῦσιν ἰερουσαλὴμ φανερὸν

v.25 𝕋 𝕂: τω, 𝕄 𝕍: εν τω. **v.25** 𝕋*: ενευλογηθησονται, 𝕍: [εν]ευλογηθησονται. **v.26** 𝕋*: ο θεος αναστησας, 𝕍: αναστησας ο θεος. **v.26** 𝕋*: ιησουν, 𝕍: ∅. **4.v.2** 𝕋 𝕂 𝕍: την εκ, 𝕄: των. **v.4** 𝕋*: ωσει, 𝕍: [ως]. **v.5** 𝕋*: και, 𝕍: και τους. **v.5** 𝕋*: εις, 𝕍: εν. **v.6** 𝕋*: ανναν τον αρχιερεα και καιαφαν και ιωαννην και αλεξανδρον, 𝕍: αννας ο αρχιερευς και καιαφας και ιωαννης και αλεξανδρος. **v.7** 𝕋 𝕂 𝕍: τω, 𝕄: ∅. **v.8** 𝕋*: του ισραηλ, 𝕍: ∅. **v.9** 𝕋*: σεσωσται, 𝕍: σεσωται. **v.11** 𝕋*: οικοδομουντων, 𝕍: οικοδομων. **v.12** 𝔼: η σωτηρια, D: ∅. **v.12** 𝕋*: ουτε, 𝕍: ουδε. **v.14** 𝕋*: δε, 𝕍: τε. **v.15** 𝕋 𝕂: συνεβαλον, 𝕄 𝕍: συνεβαλλον. **v.16** 𝕋 𝕂: ποιησομεν, 𝕄 𝕍: ποιησωμεν.

καὶ οὐ δυνάμεθα ἀρνήσασθαι ⸰ ἀλλ᾽ ἵνα μὴ ἐπὶ πλεῖον διανε- 17
μηθῇ εἰς τὸν λαὸν ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν
ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων ⸰ καὶ καλέσαντες αὐτοὺς 18
παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν
ἐπὶ τῷ ὀνόματι τοῦ ἰησοῦ ⸰ ὁ δὲ πέτρος καὶ ἰωάννης ἀποκριθέν- 19
τες πρὸς˚ αὐτοὺς εἶπον εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ ὑμῶν
ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ κρίνατε ⸰ οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ 20
εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν ⸰ οἱ δὲ προσαπειλησάμενοι ἀ- 21
πέλυσαν αὐτοὺς μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτοὺς
διὰ τὸν λαὸν ὅτι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγονότι ⸰ ἐ- 22
τῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ᾽ ὃν ἐγεγόνει
τὸ σημεῖον τοῦτο τῆς ἰάσεως ⸰ ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς 23
ἰδίους καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ
πρεσβύτεροι εἶπον ⸰ οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν 24
πρὸς τὸν θεὸν καὶ εἶπον δέσποτα σὺ ὁ˚ θεὸς ὁ ποιήσας τὸν οὐ-
ρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς ⸰
ὁ διὰ˚ στόματος δαβὶδ τοῦ παιδός σου εἰπὼν ἱνατὶ ἐφρύαξαν ἔ- 25
θνη καὶ λαοὶ ἐμελέτησαν κενά ⸰ παρέστησαν οἱ βασιλεῖς τῆς γῆς 26
καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ
κατὰ τοῦ χριστοῦ αὐτοῦ ⸰ συνήχθησαν γὰρ ἐπ᾽ ἀληθείας ἔπὶ τὸν 27
ἅγιον παῖδά σου ἰησοῦν ὃν ἔχρισας ἡρώδης τε καὶ πόντιος πι-
λάτος σὺν ἔθνεσιν καὶ λαοῖς ἰσραήλ ⸰ ποιῆσαι ὅσα ἡ χείρ σου 28
καὶ ἡ βουλή σου προώρισεν γενέσθαι ⸰ καὶ τὰ νῦν κύριε ἔπιδε 29
ἐπὶ τὰς ἀπειλὰς αὐτῶν καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρη-
σίας πάσης λαλεῖν τὸν λόγον σου ⸰ ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν 30
σε εἰς ἴασιν καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος
τοῦ ἁγίου παιδός σου ἰησοῦ ⸰ καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη 31
ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι καὶ ἐπλήσθησαν ἅπαντες πνεύ-
ματος˚ ἁγίου καὶ ἐλάλουν τὸν λόγον τοῦ θεοῦ μετὰ παρρησίας ⸰
τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ˚ καρδία καὶ ἡ˚ ψυχὴ μία 32
καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι ἀλλ᾽ ἦν
αὐτοῖς ἅπαντα κοινά ⸰ καὶ μεγάλῃ˚ δυνάμει ἀπεδίδουν τὸ μαρ- 33
τύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ κυρίου ἰησοῦ χάρις τε

v.16 𝕋*: αρνησασθαι, 𝕍: αρνεισθαι. **v.17** 𝕋*: απειλη, 𝕍: ∅. **v.18** 𝕋*: αυτοις, 𝕍: ∅. **v.19** 𝕋*: πρὸς αὐτοὺς εἶπον, 𝕍: εἶπον πρὸς αὐτοὺς. **v.20** 𝕋*: ειδομεν, 𝕍: ειδαμεν. **v.21** 𝕋 𝕂 𝕍: κολασωνται, 𝕄: κολασονται. **v.22** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.22** 𝕋*: εγεγονει, 𝕍: γεγονει. **v.23** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.24** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.24** 𝕋*: ο θεος, 𝕍: ∅. **v.25** 𝕋 𝕂: δια στοματος δαβιδ του, 𝕄: δια στοματος δαβιδ, 𝕍: του πατρος ημων δια πνευματος αγιου στοματος δαυιδ. **v.27** 𝕋*: επι, 𝕍: εν τη πολει ταυτη επι. **v.27** 𝔼: λαοῖς ¦ λαος Ψ 326 *pc* sy. **v.31** 𝕋*: πνευματος αγιου, 𝕍: του αγιου πνευματος. **v.32** 𝕋*: η, 𝕍: ∅. **v.32** 𝕋 𝕄 𝕍: ουδε, 𝕂: ουδ. **v.32** 𝕋 𝕂 𝕍: αυτω, 𝕄: αυτων. **v.33** 𝕋*: μεγαλη δυναμει, 𝕍: δυναμει μεγαλη.

34 μεγάλη ἦν ἐπὶ πάντας αὐτούς ⸰ οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν
αὐτοῖς ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον πωλοῦντες
35 ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων ⸰ καὶ ἐτίθουν παρὰ τοὺς
πόδας τῶν ἀποστόλων διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν
36 εἶχεν ⸰ ἰωσῆς δὲ ὁ ἐπικληθεὶς βαρνάβας ὑπὸ τῶν ἀποστόλων ὅ ἐ-
στιν μεθερμηνευόμενον υἱὸς παρακλήσεως λευΐτης κύπριος τῷ
37 γένει ⸰ ὑπάρχοντος αὐτῷ ἀγροῦ πωλήσας ἤνεγκεν τὸ χρῆμα καὶ
ἔθηκεν πὰρὰ τοὺς πόδας τῶν ἀποστόλων ⸰

5 ἀνὴρ δέ τις ἀνανίας ὀνόματι σὺν σαπφεἰρῃ τῇ γυναικὶ αὐτοῦ
2 ἐπώλησεν κτῆμα ⸰ καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς συνειδυίᾶς καὶ
τῆς γυναικὸς αὐτοῦ καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν
3 ἀποστόλων ἔθηκεν ⸰ εἶπεν δὲ πέτρος ἀνανία διατὶ ἐπλήρωσεν ὁ
σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον
4 καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου ⸰ οὐχὶ μένον σοὶ ἔ-
μενεν καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν τί ὅτι ἔθου ἐν τῇ
καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ
5 θεῷ ⸰ ἀκούων δὲ ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξεν
6 καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα ⸰ ἀ-
ναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν καὶ ἐξενέγκαντες
7 ἔθαψαν ⸰ ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα καὶ ἡ γυνὴ αὐτοῦ
8 μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν ⸰ ἀπεκρίθη δὲ αὐτῇ˚ ὁ πέτρος
εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε ἡ δὲ εἶπεν ναὶ το-
9 σούτου ⸰ ὁ δὲ πέτρος εἶπεν πρὸς αὐτὴν τί ὅτι συνεφωνήθη ὑμῖν
πειράσαι τὸ πνεῦμα κυρίου ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄν-
10 δρα σου ἐπὶ τῇ θύρᾳ καὶ ἐξοίσουσίν σε ⸰ ἔπεσεν δὲ παραχρῆμα
πὰρὰ τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν εἰσελθόντες δὲ οἱ νεανί-
σκοι εὗρον αὐτὴν νεκρὰν καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν
11 ἄνδρα αὐτῆς ⸰ καὶ ἐγένετο φόβος μέγας ἐφ᾽ ὅλην τὴν ἐκκλησίαν
12 καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα ⸰ διὰ δὲ τῶν χειρῶν τῶν
ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν˚ τῷ λαῷ πολλὰ καὶ
13 ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ σολομῶντος ⸰ τῶν δὲ λοι-
πῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς
14 ὁ λαός ⸰ μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ κυρίῳ πλήθη
15 ἀνδρῶν τε καὶ γυναικῶν ⸰ ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς

---

v.34 𝕋*: υπηρχεν, 𝕍: ην. **v.35** 𝕋*: διεδιδοτο, 𝕍: διεδιδετο. **v.36** 𝕋*: ιωσης, 𝕍: ιωσηφ. **v.36** 𝕋 𝕂: υπο, 𝕄 𝕍: απο. **v.37** 𝕋*: παρα, 𝕍: προς. **5.v.1** 𝕋*: σαπφειρη, 𝕍: σαπφιρη. **v.2** 𝕋*: συνειδυιας, 𝕍: συνειδυιης. **v.2** 𝕋*: αυτου, 𝕍: ∅. **v.3** 𝕋*: πετρος, 𝕍: ο πετρος. **v.3** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.3** 𝕋 𝕂 𝕍: νοσφισασθαι, 𝕄: νοσφισασθαι σε. **v.5** 𝕋 𝕂: ανανιας, 𝕄 𝕍: ο ανανιας. **v.5** 𝕋*: ταυτα, 𝕍: ∅. **v.8** 𝕋*: αυτη ο, 𝕍: προς αυτην. **v.9** 𝕋*: εἶπεν, 𝕍: ∅. **v.10** 𝕋*: παρα, 𝕍: προς. **v.12** 𝕋: εγενετο, 𝕂 𝕄 𝕍: εγινετο. **v.12** 𝕋*: εν τω λαω πολλα, 𝕍: πολλα εν τω λαω. **v.15** 𝕋*: κατα, 𝕍: και εις.

ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν˚ καὶ κραββάτων ἵνα ἐρχομένου
πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν ◦ συνήρχετο δὲ καὶ τὸ 16
πλῆθος τῶν πέριξ πόλεων εἰς ἱερουσαλὴμ φέροντες ἀσθενεῖς καὶ
ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων οἵτινες ἐθεραπεύοντο
ἅπαντες ◦ ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ ἡ 17
οὖσα αἵρεσις τῶν σαδδουκαίων ἐπλήσθησαν ζήλου ◦ καὶ ἐπέβα- 18
λον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους καὶ ἔθεντο αὐτοὺς
ἐν τηρήσει δημοσίᾳ ◦ ἄγγελος δὲ κυρίου διὰ τῆς νυκτὸς ἤνοιξεν 19
τὰς θύρας τῆς φυλακῆς ἐξαγαγών τε αὐτοὺς εἶπεν ◦ πορεύεσθε 20
καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς
ζωῆς ταύτης ◦ ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱ- 21
ερὸν καὶ ἐδίδασκον παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν
αὐτῷ συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν
υἱῶν ἰσραὴλ καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐ-
τούς ◦ οἱ δὲ ὑπηρέται˚ παραγενόμενοι οὐχ εὗρον αὐτοὺς ἐν τῇ 22
φυλακῇ ἀναστρέψαντες δὲ ἀπήγγειλαν ◦ λέγοντες ὅτι τὸ μὲν δε- 23
σμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ καὶ τοὺς
φύλακας ἔξω˚ ἑστῶτας πρὸ τῶν θυρῶν ἀνοίξαντες δὲ ἔσω οὐδένα
εὕρομεν ◦ ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ τε ἱερεὺς˚ καὶ 24
ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς διηπόρουν περὶ αὐτῶν
τί ἂν γένοιτο τοῦτο ◦ παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς 25
λέγων ὅτι ἰδοὺ οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ εἰσὶν ἐν τῷ
ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν ◦ τότε ἀπελθὼν ὁ στρατη- 26
γὸς σὺν τοῖς ὑπηρέταις ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας ἐφοβοῦντο
γὰρ τὸν λαὸν ἵνα μὴ λιθασθῶσιν ◦ ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν 27
ἐν τῷ συνεδρίῳ καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεύς ◦ λέγων οὐ 28
παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι
τούτῳ καὶ ἰδοὺ πεπληρώκατε τὴν ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν
καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τού-
του ◦ ἀποκριθεὶς δὲ ὁ˚ πέτρος καὶ οἱ ἀπόστολοι εἶπόν πειθαρχεῖν 29
δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις ◦ ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν 30
ἰησοῦν ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου ◦ τοῦτον ὁ 31
θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσεν τῇ δεξιᾷ αὐτοῦ δοῦναι μετά-
νοιαν τῷ ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν ◦ καὶ ἡμεῖς ἐσμεν αὐτοῦ 32

---

v.15 𝕋*: κλινων και κραββατων, 𝕍: κλιναριων και κραβαττων. **v.16** 𝕋*: εις, 𝕍: ∅. **v.18** 𝕋*: αυτων, 𝕍: ∅. **v.19** 𝕋*: της, 𝕍: ∅. **v.19** 𝕋*: ηνοιξεν, 𝕍: ανοιξας. **v.22** 𝕋*: υπηρεται παραγενομενοι, 𝕍: παραγενομενοι υπηρεται. **v.23** 𝕋*: μεν, 𝕍: ∅. **v.23** 𝕋 𝕂: εξω εστωτας προ, 𝕄: εστωτας προ, 𝕍: εστωτας επι. **v.24** 𝕋*: ιερευς και ο, 𝕍: ∅. **v.25** 𝕋 𝕂: λεγων, 𝕄 𝕍: ∅. **v.26** 𝕋*: ηγαγεν, 𝕍: ηγεν. **v.26** 𝕋*: ινα, 𝕍: ∅. **v.29** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.29** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.31** 𝕋*: δουναι, 𝕍: [του] δουναι. **v.32** 𝕋*: αυτου, 𝕍: ∅.

μάρτυρες τῶν ῥημάτων τούτων καὶ τὸ πνεῦμα δὲ˚ τὸ ἅγιον ὃ
33 ἔδωκεν ὁ θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ ◦ οἱ δὲ ἀκούσαντες διε-
34 πρίοντο καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς ◦ ἀναστὰς δέ τις ἐν τῷ
συνεδρίῳ φαρισαῖος ὀνόματι γαμαλιὴλ νομοδιδάσκαλος τίμιος
παντὶ τῷ λαῷ ἐκέλευσεν ἔξω βραχύ τι˚ τοὺς ἀποστόλους ποι-
35 ῆσαι ◦ εἶπέν τε πρὸς αὐτούς ἄνδρες ἰσραηλῖται προσέχετε ἑαυ-
36 τοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν ◦ πρὸ γὰρ
τούτων τῶν ἡμερῶν ἀνέστη θευδᾶς λέγων εἶναί τινα ἑαυτὸν ᾧ
προσεκολλήθη˚ ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων ὃς ἀνῃρέθη
καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο εἰς
37 οὐδέν ◦ μετὰ τοῦτον ἀνέστη ἰούδας ὁ γαλιλαῖος ἐν ταῖς ἡμέραις
τῆς ἀπογραφῆς καὶ ἀπέστησεν λαὸν ἱκανὸν ὀπίσω αὐτοῦ κἀκεῖ-
νος ἀπώλετο καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν ◦
38 καὶ τὰ νῦν λέγω ὑμῖν ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων καὶ
ἐάσατε αὐτοὺς ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον
39 τοῦτο καταλυθήσεται ◦ εἰ δὲ ἐκ θεοῦ ἐστιν οὐ δύνασθε˚ καταλῦ-
40 σαι αὐτὸ μήποτε καὶ θεομάχοι εὑρεθῆτε ◦ ἐπείσθησαν δὲ αὐτῷ
καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους δείραντες παρήγγειλαν
41 μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ ἰησοῦ καὶ ἀπέλυσαν αὐτούς ◦ οἱ
μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου ὅτι
42 ὑπὲρ˚ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι ◦ πᾶσάν
τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ᾽ οἶκον οὐκ ἐπαύοντο διδάσκοντες
καὶ εὐαγγελιζόμενοι ἰησοῦν˚ τὸν χριστόν ◦

6 ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν ἐγέ-
νετο γογγυσμὸς τῶν ἑλληνιστῶν πρὸς τοὺς ἑβραίους ὅτι παρε-
2 θεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν ◦ προ-
σκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπόν οὐκ
ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ διακο-
3 νεῖν τραπέζαις ◦ ἐπισκέψασθε οὖν ἀδελφοὶ ἄνδρας ἐξ ὑμῶν μαρ-
τυρουμένους ἑπτὰ πλήρεις πνεύματος ἁγίου καὶ σοφίας οὓς
4 καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης ◦ ἡμεῖς δὲ τῇ προσευχῇ
5 καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν ◦ καὶ ἤρεσεν ὁ

---

v.32 𝕋*: δε, 𝕍: ∅. **v.33** 𝕋*: εβουλευοντο, 𝕍: εβουλοντο. **v.34** 𝕋*: τι τους αποστολους, 𝕍: τους ανθρωπους. **v.36** 𝕋 𝕂: προσεκολληθη αριθμος ανδρων ωσει, 𝕄: προσεκληθη αριθμος ανδρων ωσει, 𝕍: προσεκλιθη ανδρων αριθμος ως. **v.37** 𝕋*: ικανον, 𝕍: ∅. **v.38** 𝕋*: εασατε, 𝕍: αφετε. **v.38** 𝕋 𝕂 𝕍: αυτη, 𝕄: ∅. **v.39** 𝕋*: δυνασθε καταλυσαι αυτο, 𝕍: δυνησεσθε καταλυσαι αυτους, D: δυνησεσθαι καλυσαι αυτους ουτε υμεις ουτε βασιλεις ουτε τψραννοι απεχεσθαι ουν απο των ανθρωπων τουτω. **v.40** 𝕋*: αυτους, 𝕍: ∅. **v.41** 𝕋 𝕂: υπερ του ονοματος αυτου κατηξιωθησαν, 𝕄: υπερ του ονοματος του ιησου κατηξιωθησαν, 𝕍: κατηξιωθησαν υπερ του ονοματος. **v.42** 𝕋*: ιησουν τον χριστον, 𝕍: τον χριστον ιησουν. **6.v.2** 𝔼: δωδεκα, D: $\overline{\iota\beta}$. **v.2** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.3** 𝕋*: ουν, 𝕍: δε. **v.3** 𝕋*: αγιου, 𝕍: ∅. **v.3** 𝕋 𝕂 𝕍: καταστησομεν, 𝕄: καταστησωμεν.

λόγος ἐνώπιον παντὸς τοῦ πλήθους καὶ ἐξελέξαντο στέφανον
ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου καὶ φίλιππον καὶ
πρόχορον καὶ νικάνορα καὶ τίμωνα καὶ παρμενᾶν καὶ νικόλαον
προσήλυτον ἀντιοχέα · οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων καὶ 6
προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας · καὶ ὁ λόγος τοῦ 7
θεοῦ ηὔξανεν καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν ἰερου-
σαλὴμ σφόδρα πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει ·
στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ 8
σημεῖα μεγάλα ἐν τῷ λαῷ · ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συ- 9
ναγωγῆς τῆς λεγομένης λιβερτίνων καὶ κυρηναίων καὶ ἀλεξαν-
δρέων καὶ τῶν ἀπὸ κιλικίας καὶ ἀσίας συζητοῦντες τῷ στεφάνῳ ·
καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει · 10
τότε ὑπέβαλον ἄνδρας λέγοντας ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦν- 11
τος ῥήματα βλάσφημα εἰς μωσῆν καὶ τὸν θεόν · συνεκίνησάν 12
τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς καὶ
ἐπιστάντες συνήρπασαν αὐτὸν καὶ ἤγαγον εἰς τὸ συνέδριον · ἔ- 13
στησάν τε μάρτυρας ψευδεῖς λέγοντας ὁ ἄνθρωπος οὗτος οὐ
παύεται ῥήματα˚ βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου
τούτου καὶ τοῦ νόμου · ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι ἰη- 14
σοῦς ὁ ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει
τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν μωϋσῆς · καὶ ἀτενίσαντες εἰς αὐτὸν 15
ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ εἶδον τὸ πρόσωπον αὐ-
τοῦ ὡσεὶ πρόσωπον ἀγγέλου ·

εἶπεν δὲ ὁ ἀρχιερεὺς εἰ ἄρα ταῦτα οὕτως ἔχει · ὁ δὲ ἔφη ἄν- **7**, 2
δρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατε ὁ θεὸς τῆς δόξης ὤφθη τῷ
πατρὶ ἡμῶν ἀβραὰμ ὄντι ἐν τῇ μεσοποταμίᾳ πρὶν ἢ κατοικῆσαι
αὐτὸν ἐν χαρράν · καὶ εἶπεν πρὸς αὐτὸν ἔξελθε ἐκ τῆς γῆς σου 3
καὶ ἐκ τῆς συγγενείας σου καὶ δεῦρο εἰς ἣν ἄν σοι δείξω ·
τότε ἐξελθὼν ἐκ γῆς χαλδαίων κατῴκησεν ἐν χαρρὰν κἀκεῖθεν 4
μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτὸν εἰς τὴν
γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε · καὶ οὐκ ἔδωκεν αὐτῷ 5
κληρονομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδὸς καὶ ἐπηγγείλατο αὐ-
τῷ˚ δοῦναι εἰς κατάσχεσιν αὐτὴν καὶ τῷ σπέρματι αὐτοῦ μετ᾽
αὐτὸν οὐκ ὄντος αὐτῷ τέκνου · ἐλάλησεν δὲ οὕτως ὁ θεὸς ὅτι 6
ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ καὶ δουλώ-
σουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια · καὶ τὸ ἔθνος ᾧ 7

v.5 𝕋 𝕂: πληρη, 𝕄 𝕍: πληρης. **v.8** 𝕋*: πιστεως, 𝕍: χαριτος. **v.11** 𝕋*: μωσην, 𝕍: μωυσην. **v.13** 𝕋*: ρηματα βλασφημα λαλων, 𝕍: λαλων ρηματα. **v.13** 𝕋 𝕂: τουτου, 𝕄: ∅, 𝕍: [τουτου]. **v.14** 𝕋 𝕂 𝕍: μωυσης, 𝕄: μωσης. **v.15** 𝕋*: απαντες, 𝕍: παντες. **7.v.1** 𝕋*: αρα, 𝕍: ∅. **v.3** 𝕋*: γην, 𝕍: την γην. **v.5** 𝕋 𝕂: αυτω δουναι, 𝕄 𝕍: δουναι αυτω.

ἐὰν δουλεύσῶσιν κρινῶ ἐγὼ εἶπεν˚ ὁ θεὸς καὶ μετὰ ταῦτα ἐξε-
8 λεύσονται καὶ λατρεύσουσίν μοι ἐν τῷ τόπῳ τούτῳ ◦ καὶ ἔδωκεν
αὐτῷ διαθήκην περιτομῆς καὶ οὕτως ἐγέννησεν τὸν ἰσαὰκ καὶ
περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ὁ˚ ἰσαὰκ τὸν ἰακὼβ καὶ
9 ὁ˚ ἰακὼβ τοὺς δώδεκα πατριάρχας ◦ καὶ οἱ πατριάρχαι ζηλώσαν-
τες τὸν ἰωσὴφ ἀπέδοντο εἰς αἴγυπτον καὶ ἦν ὁ θεὸς μετ᾽ αὐτοῦ ◦
10 καὶ ἐξείλἐτο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ καὶ ἔδωκεν
αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον φαραὼ βασιλέως αἰγύπτου καὶ
κατέστησεν αὐτὸν ἡγούμενον ἐπ᾽ αἴγυπτον καὶ ὅλὸν τὸν οἶκον
11 αὐτοῦ ◦ ἦλθεν δὲ λιμὸς ἐφ᾽ ὅλην τὴν γῆν˚ αἰγύπτου καὶ χαναάν
καὶ θλίψις μεγάλη καὶ οὐχ ἔὕρισκον χορτάσματα οἱ πατέρες
12 ἡμῶν ◦ ἀκούσας δὲ ἰακὼβ ὄντα σῖτα˚ ἐν αἰγύπτῳ ἐξαπέστειλεν
13 τοὺς πατέρας ἡμῶν πρῶτον ◦ καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη ἰ-
ωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ φανερὸν ἐγένετο τῷ φαραὼ τὸ
14 γένος τοῦ ἰωσήφ ◦ ἀποστείλας δὲ ἰωσὴφ μετεκαλέσατο τὸν˚ πα-
τέρα αὐτοῦ ἰακὼβ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ ἐν ψυχαῖς
15 ἑβδομήκοντα πέντε ◦ κατέβη˚ δὲ ἰακὼβ εἰς αἴγυπτον καὶ ἐτελεύ-
16 τησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν ◦ καὶ μετετέθησαν εἰς σὺχὲμ
καὶ ἐτέθησαν ἐν τῷ μνήματι ὃ˚ ὠνήσατο ἀβραὰμ τιμῆς ἀργυρίου
17 παρὰ τῶν υἱῶν ἐμμὸρ˚ τοῦ συχέμ ◦ καθὼς δὲ ἤγγιζεν ὁ χρόνος
τῆς ἐπαγγελίας ἧς ὥμοὸεν ὁ θεὸς τῷ ἀβραὰμ ηὔξησεν ὁ λαὸς
18 καὶ ἐπληθύνθη ἐν αἰγύπτῳ ◦ ἄχριᾳ οὗ ἀνέστη βασιλεὺς ἕτεροᾳ
19 ὃς οὐκ ᾔδει τὸν ἰωσήφ ◦ οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν
ἐκάκωσεν τοὺς πατέρας ἡμῶν τοῦ ποιεῖν ἔκθετα˚ τὰ βρέφη αὐ-
20 τῶν εἰς τὸ μὴ ζωογονεῖσθαι ◦ ἐν ᾧ καιρῷ ἐγεννήθη μωσῆς καὶ ἦν
ἀστεῖος τῷ θεῷ ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρὸς
21 αὐτοῦ ◦ ἐκτεθέντα˚ δὲ αὐτὸν ἀνείλετο αὐτὸν ἡ θυγάτηρ φαραὼ
22 καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν ◦ καὶ ἐπαιδεύθη μωσῆς
πάσῃ˚ σοφίᾳ αἰγυπτίων ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν˚ ἔργοις ◦
23 ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος ἀνέβη ἐπὶ τὴν
καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱ-

v.7 $\mathbb{T}^*$: δουλευσωσιν, $\mathbb{V}$: δουλευσουσιν. **v.7** $\mathbb{T}^*$: εἶπεν ὁ θεὸς, $\mathbb{V}$: ὁ θεὸς εἶπεν. **v.8** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{E}$: δωδεκα, D: $\overline{\iota\beta}$. **v.10** $\mathbb{T}^*$: εξειλετο, $\mathbb{V}$: εξειλατο. **v.10** $\mathbb{T}^*$: ολον, $\mathbb{V}$: [εφ] ολον. **v.11** $\mathbb{T}^*$: γην αιγυπτου, $\mathbb{V}$: αιγυπτον. **v.11** $\mathbb{T}^*$: ευρισκον, $\mathbb{V}$: ηυρισκον. **v.12** $\mathbb{T}^*$: σιτα εν αιγυπτω, $\mathbb{V}$: σιτια εις αιγυπτον. **v.14** $\mathbb{T}^*$: τον πατερα αυτου ιακωβ, $\mathbb{V}$: ιακωβ τον πατερα αυτου. **v.14** $\mathbb{T}$ $\mathbb{K}$: αυτου, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}^*$: κατεβη δε, $\mathbb{V}$: και κατεβη. **v.16** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$: συχεμ, $\mathbb{K}$: σιχεμ. **v.16** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ω. **v.16** $\mathbb{T}$ $\mathbb{M}$: εμμορ του συχεμ, $\mathbb{K}$: εμορ του σιχεμ, $\mathbb{V}$: εμμωρ εν συχεμ. **v.17** $\mathbb{T}^*$: ωμοσεν, $\mathbb{V}$: ωμολογησεν, D: επηγγειλατο. **v.18** $\mathbb{T}^*$: αχρις, $\mathbb{V}$: αχρι. **v.18** $\mathbb{T}^*$: ετερος, $\mathbb{V}$: ετερος [επ αιγυπτον]. **v.19** $\mathbb{T}^*$: εκθετα τα βρεφη, $\mathbb{V}$: τα βρεφη εκθετα. **v.20** $\mathbb{T}^*$: μωσης, $\mathbb{V}$: μωυσης. **v.20** $\mathbb{T}$ $\mathbb{K}$: αυτου, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.21** $\mathbb{T}$ $\mathbb{K}$: εκτεθεντα δε αυτον ανειλετο αυτον, $\mathbb{M}$: εκτεθεντα δε αυτον ανειλετο, $\mathbb{V}$: εκτεθεντος δε αυτου ανειλατο αυτον. **v.22** $\mathbb{T}^*$: παση σοφια, $\mathbb{V}$: [εν] παση σοφια, D: πασαν την σοφιαν. **v.22** $\mathbb{T}$ $\mathbb{K}$: εν εργοις, $\mathbb{M}$: εργοις, $\mathbb{V}$: εργοις αυτου. **v.23** $\mathbb{T}^*$: τεσσαρακονταετης, $\mathbb{V}$: τεσσερακονταετης.

οὺς ἰσραήλ ⸰ καὶ ἰδών τινα ἀδικούμενον ἠμύνατο καὶ ἐποίησεν 24
ἐκδίκησιν τῷ καταπονουμένῳ πατάξας τὸν αἰγύπτιον ⸰ ἐνόμιζεν 25
δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ ὅτι ὁ θεὸς διὰ χειρὸς αὐτοῦ
δίδωσιν αὐτοῖς˙ σωτηρίαν οἱ δὲ οὐ συνῆκαν ⸰ τῇ τε ἐπιούσῃ ἡμέ- 26
ρᾳ ὤφθη αὐτοῖς μαχομένοις καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην
εἰπὼν ἄνδρες ἀδελφοί ἐστε ὑμεῖς ἵνατί ἀδικεῖτε ἀλλήλους ⸰ ὁ 27
δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο αὐτὸν εἰπών τίς σε κατέστη-
σεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμᾶς ⸰ μὴ ἀνελεῖν με σὺ θέλεις 28
ὃν τρόπον ἀνεῖλες χθὲς τὸν αἰγύπτιον ⸰ ἔφυγεν δὲ μωσῆς ἐν τῷ 29
λόγῳ τούτῳ καὶ ἐγένετο πάροικος ἐν γῇ μαδιὰμ οὗ ἐγέννησεν
υἱοὺς δύο ⸰ καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα ὤφθη αὐτῷ ἐν 30
τῇ ἐρήμῳ τοῦ ὄρους σινᾶ ἄγγελος κυρίου ἐν φλογὶ πυρὸς βά-
του ⸰ ὁ δὲ μωσῆς ἰδὼν ἐθαύμαδεν τὸ ὅραμα προσερχομένου δὲ 31
αὐτοῦ κατανοῆσαι ἐγένετο φωνὴ κυρίου πρὸς˙ αὐτόν ⸰ ἐγὼ ὁ θε- 32
ὸς τῶν πατέρων σου ὁ θεὸς ἀβραὰμ καὶ ὁ˙ θεὸς ἰσαὰκ καὶ ὁ˙
θεὸς ἰακὼβ ἔντρομος δὲ γενόμενος μωσῆς οὐκ ἐτόλμα κατα-
νοῆσαι ⸰ εἶπεν δὲ αὐτῷ ὁ κύριος λῦσον τὸ ὑπόδημα τῶν ποδῶν 33
σου ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστίν ⸰ ἰδὼν εἶδον τὴν κά- 34
κωσιν τοῦ λαοῦ μου τοῦ ἐν αἰγύπτῳ καὶ τοῦ στεναγμοῦ αὐτῶν
ἤκουσα καὶ κατέβην ἐξελέσθαι αὐτοὺς καὶ νῦν δεῦρο ἀποστέλῶ
σε εἰς αἴγυπτον ⸰ τοῦτον τὸν μωϋσῆν ὃν ἠρνήσαντο εἰπόντες τίς 35
σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν τοῦτον ὁ θεὸς ἄρχοντα
καὶ λυτρωτὴν ἀπέστειλεν˙ ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ
ἐν τῇ βάτῳ ⸰ οὗτος ἐξήγαγεν αὐτοὺς ποιήσας τέρατα καὶ σημεῖα 36
ἐν γῇ αἰγύπτοὺ καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ καὶ ἐν τῇ ἐρήμῳ ἔτη
τεσσαράκοντα ⸰ οὗτός ἐστιν ὁ μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς ἰσραὴλ 37
προφήτην ὑμῖν ἀναστήσει κύριος˙ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελ-
φῶν ὑμῶν ὡς ἐμὲ αὐτοῦ˙ ἀκούσεσθε ⸰ οὗτός ἐστιν ὁ γενόμενος 38
ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος
αὐτῷ ἐν τῷ ὄρει σινᾶ καὶ τῶν πατέρων ἡμῶν ὃς ἐδέξατο λόγια
ζῶντα δοῦναι ἡμῖν ⸰ ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέ- 39

---

v.25 𝕋*: αυτοις σωτηριαν, 𝕍: σωτηριαν αυτοις. **v.26** 𝕋 𝕄 𝕍: τε, 𝕂: δε. **v.26** 𝕋*: συνηλασεν, 𝕍: συνηλλασσεν. **v.26** 𝕋*: υμεις, 𝕍: ∅. **v.27** 𝕋*: ημας, 𝕍: ημων. **v.28** 𝕋*: χθες, 𝕍: εχθες. **v.29** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.30** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.30** 𝕋*: κυριου, 𝕍: ∅. **v.31** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.31** 𝕋 𝕂: εθαυμασεν, 𝕄 𝕍: εθαυμαζεν. **v.31** 𝕋*: πρὸς αὐτόν, 𝕍: ∅. **v.32** 𝕋*: ο θεος, 𝕍: ∅. **v.32** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.33** 𝕋*: εν, 𝕍: εφ. **v.34** 𝕋*: αποστελω, 𝕍: αποστειλω. **v.35** 𝕋 𝕂 𝕍: μωυσην, 𝕄: μωσην. **v.35** 𝕋*: αρχοντα, 𝕍: [και] αρχοντα. **v.35** 𝕋*: απεστειλεν εν, 𝕍: απεσταλκεν συν. **v.36** 𝕋 𝕂: αιγυπτου, 𝕄 𝕍: αιγυπτω. **v.36** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.37** 𝕋 𝕂 𝕍: μωυσης, 𝕄: μωσης. **v.37** 𝕋*: ειπων, 𝕍: ειπας. **v.37** 𝕋 𝕂: κυριος ο θεος υμων, 𝕄: κυριος ο θεος ημων, 𝕍: ο θεος. **v.37** 𝕋 𝕂: αυτου ακουσεσθε, 𝕄 𝕍: ∅.

ρες ἡμῶν ἀλλ᾽ ἀπώσαντο καὶ ἐστράφησαν ταῖς˚ καρδίαις αὐτῶν
40 εἰς αἴγυπτον ◦ εἰπόντες τῷ ἀαρὼν ποίησον ἡμῖν θεοὺς οἳ προπο-
ρεύσονται ἡμῶν ὁ γὰρ μωσῆς οὗτος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς
41 αἰγύπτου οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ ◦ καὶ ἐμοσχοποίησαν ἐν
ταῖς ἡμέραις ἐκείναις καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ καὶ εὐ-
42 φραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν ◦ ἔστρεψεν δὲ ὁ θεὸς
καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ κα-
θὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν μὴ σφάγια καὶ θυσίας
προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ οἶκος ἰσραήλ ◦
43 καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ μολόχ καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑ-
μῶν ῥεμφὰν τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς καὶ
44 μετοικιῶ ὑμᾶς ἐπέκεινα βαβυλῶνος ◦ ἡ σκηνὴ τοῦ μαρτυρίου
ἦν ἐν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ καθὼς διετάξατο ὁ λα-
45 λῶν τῷ μωσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει ◦ ἣν
καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ ἰησοῦ ἐν τῇ
κατασχέσει τῶν ἐθνῶν ὧν ἔξωσεν ὁ θεὸς ἀπὸ προσώπου τῶν πα-
46 τέρων ἡμῶν ἕως τῶν ἡμερῶν δαβίδ ◦ ὃς εὗρεν χάριν ἐνώπιον τοῦ
47 θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ θεῷ ἰακώβ ◦ σολομὼν δὲ
48 ᾠκοδόμησεν αὐτῷ οἶκον ◦ ἀλλ᾽ οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις
49 ναοῖς κατοικεῖ καθὼς ὁ προφήτης λέγει ◦ ὁ οὐρανός μοι θρόνος
ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου ποῖον οἶκον οἰκοδομήσετέ
50 μοι λέγει κύριος ἢ τίς τόπος τῆς καταπαύσεώς μου ◦ οὐχὶ ἡ χείρ
51 μου ἐποίησεν ταῦτα πάντα ◦ σκληροτράχηλοι καὶ ἀπερίτμητοι
τῇ˚ καρδίᾳ καὶ τοῖς ὠσὶν ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντι-
52 πίπτετε ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς ◦ τίνα τῶν προφητῶν οὐκ
ἐδίωξαν οἱ πατέρες ὑμῶν καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαν-
τας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου οὗ νῦν ὑμεῖς προδόται καὶ
53 φονεῖς ἐγένησθε ◦ οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγ-
54 γέλων καὶ οὐκ ἐφυλάξατε ◦ ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς
55 καρδίαις αὐτῶν καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ᾽ αὐτόν ◦ ὑπάρχων
δὲ πλήρης πνεύματος ἁγίου ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδεν δό-
56 ξαν θεοῦ καὶ ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ ◦ καὶ εἶπεν ἰδοὺ
θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώ-
57 που ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ ◦ κράξαντες δὲ φωνῇ μεγάλῃ

---

v.39 𝕋*: αλλ, 𝕍: αλλα. **v.39** 𝕋 𝕂: ταις καρδιαις, 𝕄: τη καρδια, 𝕍: εν ταις καρδιαις. **v.40** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.40** 𝕋*: γεγονεν, 𝕍: εγενετο. **v.42** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.43** 𝕋*: ρεμφαν, 𝕍: ραιφαν, 𝔻: ρεμφαμ, ℵ: ρομφαν, 𝔹: ρομφα, XXX: ρεφα. **v.44** 𝕋: εν, 𝕂 𝕄 𝕍: ∅. **v.44** 𝕋*: μωση, 𝕍: μωυση. **v.45** 𝕋: ἔξωσεν, 𝕂 𝕄 𝕍: ἐξῶσεν, ℵ: εξεωσεν. **v.45** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.46** 𝕋*: θεω, 𝕍: οικω. **v.47** 𝕋*: ωκοδομησεν, 𝕍: οικοδομησεν. **v.48** 𝕋*: ναοις, 𝕍: ∅. **v.51** 𝕋*: τη καρδια, 𝕍: καρδιαις. **v.52** 𝕋*: γεγενησθε, 𝕍: εγενεσθε. **v.56** 𝕋*: ανεωγμενους, 𝕍: διηνοιγμενους.

συνέσχον τὰ ὦτα αὐτῶν καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν ⸰
καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν καὶ οἱ μάρτυρες 58
ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμέ-
νου σαύλου ⸰ καὶ ἐλιθοβόλουν τὸν στέφανον ἐπικαλούμενον καὶ 59
λέγοντα κύριε ἰησοῦ δέξαι τὸ πνεῦμά μου ⸰ θεὶς δὲ τὰ γόνατα 60
ἔκραξεν φωνῇ μεγάλῃ κύριε μὴ στήσῃς αὐτοῖς τὴν˚ ἁμαρτίαν
ταύτην καὶ τοῦτο εἰπὼν ἐκοιμήθη ⸰

σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ ἐγένετο δὲ **8**
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν
ἱεροσολύμοις πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς ἰ-
ουδαίας καὶ σαμαρείας πλὴν τῶν ἀποστόλων ⸰ συνεκόμισαν δὲ 2
τὸν στέφανον ἄνδρες εὐλαβεῖς καὶ ἐποιήσανto κοπετὸν μέγαν
ἐπ᾽ αὐτῷ ⸰ σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴ- 3
κους εἰσπορευόμενος σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου
εἰς φυλακήν ⸰ οἱ μὲν οὖν διασπαρέντες διῆλθον εὐαγγελιζόμε- 4
νοι τὸν λόγον ⸰ φίλιππος δὲ κατελθὼν εἰς ῾πόλιν τῆς σαμαρείας 5
ἐκήρυσσεν αὐτοῖς τὸν χριστόν ⸰ προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγο- 6
μένοις ὑπὸ τοῦ φιλίππου ὁμοθυμαδὸν ἐν τῷ ἀκούειν αὐτοὺς καὶ
βλέπειν τὰ σημεῖα ἃ ἐποίει ⸰ πολλῶν᾽ γὰρ τῶν ἐχόντων πνεύματα 7
ἀκάθαρτα βοῶντα μεγάλῃ˚ φωνῇ ἐξήρχετο πολλοὶ δὲ παραλελυ-
μένοι καὶ χωλοὶ ἐθεραπεύθησαν ⸰ καὶ˚ ἐγένετο χαρὰ μεγάλη ἐν 8
τῇ πόλει ἐκείνῃ ⸰ ἀνὴρ δέ τις ὀνόματι σίμων προϋπῆρχεν ἐν τῇ 9
πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς σαμαρείας λέγων εἶναί
τινα ἑαυτὸν μέγαν ⸰ ᾧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγά- 10
λου λέγοντες οὗτός ἐστιν ἡ δύναμις τοῦ θεοῦ ἡ μεγάλη ⸰ προ- 11
σεῖχον δὲ αὐτῷ διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι
αὐτούς ⸰ ὅτε δὲ ἐπίστευσαν τῷ φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ 12
τῆς βασιλείας τοῦ θεοῦ καὶ τοῦ ὀνόματος τοῦ ἰησοῦ χριστοῦ
ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες ⸰ ὁ δὲ σίμων καὶ αὐτὸς ἐπί- 13
στευσεν καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ φιλίππῳ θεωρῶν τε
σημεῖα˚ καὶ δυνάμεις μεγάλας γινομένας ἐξίστατο ⸰ ἀκούσαντες 14
δὲ οἱ ἐν ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ σαμάρεια τὸν
λόγον τοῦ θεοῦ ἀπέστειλαν πρὸς αὐτοὺς τὸν πέτρον καὶ ἰωάν-
νην ⸰ οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν ὅπως λάβωσιν 15

v.58 𝕋 𝕂 𝕍: αυτων, 𝕄: ∅. **v.60** 𝕋*: την αμαρτιαν ταυτην, 𝕍: ταυτην την αμαρτιαν. **8.v.1** 𝕋 𝕂 𝕍: τη, 𝕄: τω. **v.1** 𝕋 𝕂: τε, 𝕄 𝕍: δε. **v.2** 𝕋*: εποιησαντο, 𝕍: εποιησαν. **v.5** 𝕋*: πολιν, 𝕍: [την] πολιν. **v.6** 𝕋*: τε, 𝕍: δε. **v.7** 𝕋*: πολλων, 𝕍: πολλοι. **v.7** 𝕋 𝕂: μεγαλη φωνη εξηρχετο, 𝕄: φωνη μεγαλη εξηρχετο, 𝕍: φωνη μεγαλη εξηρχοντο. **v.8** 𝕋*: και εγενετο χαρα μεγαλη, 𝕍: εγενετο δε πολλη χαρα. **v.9** 𝕋*: εξιστων, 𝕍: εξιστανων. **v.10** 𝕋 𝕂 𝕍: παντες, 𝕄: ∅. **v.10** 𝕋*: μεγαλη, 𝕍: καλουμενη μεγαλη. **v.12** 𝕋*: τα, 𝕍: ∅. **v.12** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.13** 𝕋 𝕍: σημεια και δυναμεις μεγαλας γινομενας, 𝕂 𝕄: δυναμεις και σημεια γινομενα. **v.14** 𝕋*: τον, 𝕍: ∅.

16 πνεῦμα ἅγιον ◦ οὔπω γὰρ ἦν ἐπ᾽ οὐδενὶ αὐτῶν ἐπιπεπτωκὸς μό-
νον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ κυρίου ἰησοῦ ◦
17 τότε ἐπετίθουν τὰς χεῖρας ἐπ᾽ αὐτοὺς καὶ ἐλάμβανον πνεῦμα ἅ-
18 γιον ◦ θεασάμενος δὲ ὁ σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν
τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ˚ ἅγιον προσήνεγκεν αὐτοῖς
19 χρήματα ◦ λέγων δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην ἵνα ᾧ˙ ἂν ἐπιθῶ
20 τὰς χεῖρας λαμβάνῃ πνεῦμα ἅγιον ◦ πέτρος δὲ εἶπεν πρὸς αὐτὸν
τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν ὅτι τὴν δωρεὰν τοῦ
21 θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι ◦ οὐκ ἔστιν σοι μερὶς οὐδὲ
κλῆρος ἐν τῷ λόγῳ τούτῳ ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα
22 ἐνώπιον τοῦ θεοῦ ◦ μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης
καὶ δεήθητι τοῦ θεοῦ εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρ-
23 δίας σου ◦ εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ
24 σε ὄντα ◦ ἀποκριθεὶς δὲ ὁ σίμων εἶπεν δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ
25 πρὸς τὸν κύριον ὅπως μηδὲν ἐπέλθῃ ἐπ᾽ ἐμὲ ὧν˙ εἰρήκατε ◦ οἱ μὲν
οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ κυρίου ὑ-
πέστρεψαν˚ εἰς ἱερουσαλὴμ πολλάς τε κώμας τῶν σαμαρειτῶν˚
26 εὐηγγελίσαντο ◦ ἄγγελος δὲ κυρίου ἐλάλησεν πρὸς φίλιππον λέ-
γων ἀνάστηθι καὶ πορεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν
καταβαίνουσαν ἀπὸ ἱερουσαλὴμ εἰς γάζαν αὕτη ἐστὶν ἔρημος ◦
27 καὶ ἀναστὰς ἐπορεύθη καὶ ἰδοὺ ἀνὴρ αἰθίοψ εὐνοῦχος δυνά-
στης κανδάκης τῆς βασιλίσσης αἰθιόπων ὃς ἦν ἐπὶ πάσης τῆς
28 γάζης αὐτῆς ὃς ἐληλύθει προσκυνήσων εἰς ἱερουσαλήμ ◦ ἦν τε
ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ καὶ ἀνεγί-
29 νωσκεν τὸν προφήτην ἡσαΐαν ◦ εἶπεν δὲ τὸ πνεῦμα τῷ φιλίππῳ
30 πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ ◦ προσδραμὼν δὲ ὁ
φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν˚ προφήτην ἡσα-
31 ΐαν καὶ εἶπεν ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις ◦ ὁ δὲ εἶπεν πῶς
γὰρ ἂν δυναίμην ἐὰν μή τις ὁδηγήσῃ με παρεκάλεσέν τε τὸν φί-
32 λιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ ◦ ἡ δὲ περιοχὴ τῆς γραφῆς
ἣν ἀνεγίνωσκεν ἦν αὕτη ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς
ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος οὕτως οὐκ ἀνοίγει
33 τὸ στόμα αὐτοῦ ◦ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη
τὴν δὲ˚ γενεὰν αὐτοῦ τίς διηγήσεται ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ

v.16 $\mathbb{T}^*$: ουπω, $\mathbb{V}$: ουδεπω. **v.16** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: κυριου, $\mathbb{M}$: χριστου. **v.17** $\mathbb{T}^*$: επετιθουν, $\mathbb{V}$: επετιθεσαν. **v.18** $\mathbb{T}^*$: θεασαμενος, $\mathbb{V}$: ιδων. **v.18** $\mathbb{T}^*$: το αγιον, $\mathbb{V}$: ∅. **v.19** $\mathbb{T}$: αν, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: εαν. **v.21** $\mathbb{T}^*$: ενωπιον, $\mathbb{V}$: εναντι. **v.22** $\mathbb{T}^*$: θεου, $\mathbb{V}$: κυριου. **v.25** $\mathbb{T}^*$: υπεστρεψαν εις ιερουσαλημ, $\mathbb{V}$: υπεστρεφον εις ιεροσολυμα. **v.25** $\mathbb{T}^*$: σαμαρειτων ευηγγελισαντο, $\mathbb{V}$: σαμαριτων ευηγγελιζοντο. **v.27** $\mathbb{T}^*$: της, $\mathbb{V}$: ∅. **v.28** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$: και, $\mathbb{K}$: ∅. **v.28** $\mathbb{T}$: ἡσαΐαν, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ἡσαΐαν, $\mathbb{N}$: ἡσαίαν. **v.30** $\mathbb{T}^*$: τὸν προφήτην ἡσαΐαν, $\mathbb{V}$: ἡσαΐαν τὸν προφήτην, $\mathbb{N}$: ἡσαίαν τὸν προφήτην. **v.31** $\mathbb{T}^*$: οδηγηση, $\mathbb{V}$: οδηγησει. **v.32** $\mathbb{T}$ $\mathbb{K}$: κειροντος, $\mathbb{M}$ $\mathbb{V}$: κειραντος. **v.33** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅.

ζωὴ αὐτοῦ ⸓ ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ φιλίππῳ εἶπεν δέο- 34
μαί σου περὶ τίνος ὁ προφήτης λέγει τοῦτο περὶ ἑαυτοῦ ἢ περὶ
ἑτέρου τινός ⸓ ἀνοίξας δὲ ὁ φίλιππος τὸ στόμα αὐτοῦ καὶ ἀρξά- 35
μενος ἀπὸ τῆς γραφῆς ταύτης εὐηγγελίσατο αὐτῷ τὸν ἰησοῦν ⸓
ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν ἦλθον ἐπί τι ὕδωρ καί φησιν 36
ὁ εὐνοῦχος ἰδοὺ ὕδωρ τί κωλύει με βαπτισθῆναι ⸓ εἶπεν˚ δὲ ὁ 37
φίλιππος εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας ἔξεστιν ἀποκριθεὶς
δὲ εἶπεν πιστεύω τὸν υἱὸν τοῦ θεοῦ εἶναι τὸν ἰησοῦν χριστόν ⸓
καὶ ἐκέλευσεν στῆναι τὸ ἅρμα καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ 38
ὕδωρ ὅ τε φίλιππος καὶ ὁ εὐνοῦχος καὶ ἐβάπτισεν αὐτόν ⸓ ὅτε 39
δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος πνεῦμα κυρίου ἥρπασεν τὸν φίλιπ-
πον καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος ἐπορεύετο γὰρ τὴν
ὁδὸν αὐτοῦ χαίρων ⸓ φίλιππος δὲ εὑρέθη εἰς ἄζωτον καὶ διερχό- 40
μενος εὐηγγελίζετο τὰς πόλεις πάσας ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς
καισάρειαν ⸓

ὁ δὲ σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μα- **9**
θητὰς τοῦ κυρίου προσελθὼν τῷ ἀρχιερεῖ ⸓ ᾐτήσατο παρ᾽ αὐτοῦ 2
ἐπιστολὰς εἰς δαμασκὸν πρὸς τὰς συναγωγὰς ὅπως ἐάν τινας
εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας δεδεμένους ἀγά-
γῃ εἰς ἱερουσαλήμ ⸓ ἐν δὲ τῷ πορεύεσθαι ἐγένετο αὐτὸν ἐγγίζειν 3
τῇ δαμασκῷ καὶ˚ ἐξαίφνης περιήστραψεν˚ αὐτὸν φῶς ἀπὸ τοῦ
οὐρανοῦ ⸓ καὶ πεσὼν ἐπὶ τὴν γῆν ἤκουσεν φωνὴν λέγουσαν αὐ- 4
τῷ σαοὺλ σαοὺλ τί με διώκεις ⸓ εἶπεν δὲ τίς εἶ κύριε ὁ δὲ κύριος˚ 5
εἶπεν ἐγώ εἰμι ἰησοῦς ὃν σὺ διώκεις σκληρόν˚ σοι πρὸς κέντρα
λακτίζειν ⸓ τρέμων˚ τε καὶ θαμβῶν εἶπεν κύριε τί με θέλεις ποιῆ- 6
σαι καὶ ὁ κύριος πρὸς αὐτὸν ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν
καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν ⸓ οἱ δὲ ἄνδρες οἱ συνοδεύον- 7
τες αὐτῷ εἱστήκεισαν ἐνεοί ἀκούοντες μὲν τῆς φωνῆς μηδένα
δὲ θεωροῦντες ⸓ ἠγέρθη δὲ ὁ˚ σαῦλος ἀπὸ τῆς γῆς ἀνεῳγμένων 8
δὲ˚ τῶν ὀφθαλμῶν αὐτοῦ οὐδένα ἔβλεπεν χειραγωγοῦντες δὲ αὐ-
τὸν εἰσήγαγον εἰς δαμασκόν ⸓ καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων 9
καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν ⸓ ἦν δέ τις μαθητὴς ἐν δαμασκῷ ὀνό- 10
ματι ἀνανίας καὶ εἶπεν πρὸς αὐτὸν ὁ˚ κύριος ἐν ὁράματι ἀνανία
ὁ δὲ εἶπεν ἰδοὺ ἐγὼ κύριε ⸓ ὁ δὲ κύριος πρὸς αὐτὸν ἀναστὰς 11

---

v.37 𝕋 𝕂: εἶπεν . . . ⸓, 𝕄 𝕍: ∅. **v.39** 𝔼: πνευμα, **XXX**: πνευμα αγιον επεπεσεν επι τον ευνουχον αγγελος δε. **9.v.3** 𝕋*: και εξαιφνης, 𝕍: εξαιφνης τε. **v.3** 𝕋*: περιηστραψεν αυτον, 𝕍: αυτον περιηστραψεν. **v.3** 𝕋*: απο, 𝕍: εκ. **v.5** 𝕋*: κύριος εἶπεν, 𝕍: ∅. **v.5** 𝕋 𝕂: σκληρόν . . . ⸓, 𝕄 𝕍: ∅. **v.6** 𝕋 𝕂: τρεμων τε και θαμβων ειπεν κυριε τι με θελεις ποιησαι και ο κυριος προς αυτον, 𝕄 𝕍: αλλα. **v.6** 𝕋*: τι, 𝕍: ο τι. **v.7** 𝕋 𝕂: εννεοι, 𝕄 𝕍: ενεοι. **v.8** 𝕋*: ο, 𝕍: ∅. **v.8** 𝕋 𝕂 𝕍: δε, 𝕄: τε. **v.8** 𝕋*: ουδενα, 𝕍: ουδεν. **v.10** 𝕋*: ο κυριος εν οραματι, 𝕍: εν οραματι ο κυριος.

πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν καὶ ζήτησον
ἐν οἰκίᾳ ἰούδα σαῦλον ὀνόματι ταρσέα ἰδοὺ γὰρ προσεύχεται ⸰
12 καὶ εἶδεν ἐν˚ ὁράματι ἄνδρα ὀνόματι˚ ἀνανίαν εἰσελθόντα καὶ
13 ἐπιθέντα αὐτῷ χεῖρα ὅπως ἀναβλέψῃ ⸰ ἀπεκρίθη δὲ ὁ˚ ἀνανίας
κύριε ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου ὅσα κακὰ
14 ἐποίησεν˚ τοῖς ἁγίοις σου ἐν ἰερουσαλήμ ⸰ καὶ ὧδε ἔχει ἐξουσίαν
παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄ-
15 νομά σου ⸰ εἶπεν δὲ πρὸς αὐτὸν ὁ κύριος πορεύου ὅτι σκεῦος
ἐκλογῆς μοι˚ ἐστὶν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐ-
16 θνῶν κἀι βασιλέων υἱῶν τε ἰσραήλ ⸰ ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα
17 δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν ⸰ ἀπῆλθεν δὲ ἀνανίας
καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν καὶ ἐπιθεὶς ἐπ᾽ αὐτὸν τὰς χεῖρας
εἶπεν σαοὺλ ἀδελφὲ ὁ κύριος ἀπέσταλκέν με ἰησοῦς ὁ ὀφθείς
σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύ-
18 ματος ἁγίου ⸰ καὶ εὐθέως ἀπέπεσον ἀπὸ˚ τῶν ὀφθαλμῶν αὐτοῦ
ὡσεὶ λεπίδες ἀνέβλεψέν τε παραχρῆμα καὶ ἀναστὰς ἐβαπτίσθη ⸰
19 καὶ λαβὼν τροφὴν ἐνίσχυσεν ἐγένετο δὲ ὁ˚ σαῦλος μετὰ τῶν ἐν
20 δαμασκῷ μαθητῶν ἡμέρας τινάς ⸰ καὶ εὐθέως ἐν ταῖς συναγω-
γαῖς ἐκήρυσσεν τὸν χριστὸν ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ ⸰
21 ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες καὶ ἔλεγον οὐχ οὗτός ἐστιν ὁ
πορθήσας ἐν ἰερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο
καὶ ὧδε εἰς τοῦτο ἐληλύθει ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ
22 τοὺς ἀρχιερεῖς ⸰ σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνεν
τοὺς ἰουδαίους τοὺς κατοικοῦντας ἐν δαμασκῷ συμβιβάζων ὅτι
23 οὗτός ἐστιν ὁ χριστός ⸰ ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναὶ συνε-
24 βουλεύσαντο οἱ ἰουδαῖοι ἀνελεῖν αὐτόν ⸰ ἐγνώσθη δὲ τῷ σαύλῳ
ἡ ἐπιβουλὴ αὐτῶν παρετήρουν˚ τε τὰς πύλας ἡμέρας τε καὶ
25 νυκτὸς ὅπως αὐτὸν ἀνέλωσιν ⸰ λαβόντες δὲ αὐτὸν˚ οἱ μαθηταὶ
26 νυκτὸς καθῆκαν˚ διὰ τοῦ τείχους χαλάσαντες ἐν σπυρίδι ⸰ πα-
ραγενόμενος δὲ ὁ˚ σαῦλος εἰς ἰερουσαλὴμ ἐπειρᾶτο κολλᾶσθαι
τοῖς μαθηταῖς καὶ πάντες ἐφοβοῦντο αὐτὸν μὴ πιστεύοντες ὅτι
27 ἐστὶν μαθητής ⸰ βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγεν πρὸς

---

v.12 𝕋*: εν οραματι ανδρα, 𝕍: ανδρα [εν οραματι]. **v.12** 𝕋*: ονοματι ανανιαν, 𝕍: ανανιαν ονοματι. **v.12** 𝕋*: χειρα, 𝕍: [τας] χειρας. **v.13** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.13** 𝕋*: ακηκοα, 𝕍: ηκουσα. **v.13** 𝕋*: εποιησεν τοις αγιοις σου, 𝕍: τοις αγιοις σου εποιησεν. **v.15** 𝕋*: μοι εστιν, 𝕍: εστιν μοι. **v.15** 𝕋*: και, 𝕍: τε και. **v.17** 𝕋 𝕂 𝕍: ιησους, 𝕄: ∅. **v.18** 𝕋*: απο των οφθαλμων αυτου, 𝕍: αυτου απο των οφθαλμων. **v.18** 𝕋*: ωσει, 𝕍: ως. **v.18** 𝕋 𝕂: παραχρημα, 𝕄 𝕍: ∅. **v.19** 𝕋*: ο σαυλος, 𝕍: ∅. **v.20** 𝕋*: χριστον, 𝕍: ιησουν. **v.21** 𝕋*: εν, 𝕍: εις. **v.21** 𝕋 𝕂 𝕍: εληλυθει, 𝕄: εληλυθεν. **v.22** 𝕋*: συνεχυνεν, 𝕍: συνεχυννεν. **v.24** 𝕋*: παρετηρουν τε, 𝕍: παρετηρουντο δε και. **v.25** 𝕋*: αυτον οι μαθηται, 𝕍: οι μαθηται αυτου. **v.25** 𝕋*: καθηκαν δια του τειχους, 𝕍: δια του τειχους καθηκαν αυτον. **v.26** 𝕋*: ο σαυλος, 𝕍: ∅. **v.26** 𝕋 𝕂 𝕍: εις, 𝕄: εν. **v.26** 𝕋*: επειρατο, 𝕍: επειραζεν.

τοὺς ἀποστόλους καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδεν τὸν κύριον καὶ ὅτι ἐλάλησεν αὐτῷ καὶ πῶς ἐν δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι τοῦ ἰησοῦ ⸰ καὶ ἦν μετ᾽ αὐτῶν εἰσπορευόμενος καὶ˚ ἐκπορευόμενος ἐν ἰερουσαλήμ ⸰ κἀὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ κυρίου ἰησοῦ ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς ἑλληνιστὰς οἱ δὲ ἐπεχείρουν αὐτὸν˚ ἀνελεῖν ⸰ ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς καισάρειαν καὶ ἐξαπέστειλαν αὐτὸν εἰς ταρσόν ⸰ αἱ˚ μὲν οὖν ἐκκλησίαι καθ᾽ ὅλης τῆς ἰουδαίας καὶ γαλιλαίας καὶ σαμαρείας εἶχὸν εἰρήνην οἰκοδομούμεναι˚ καὶ πορευόμεναι τῷ φόβῳ τοῦ κυρίου καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνὸντο ⸰ ἐγένετο δὲ πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας λύδδαν᾽ ⸰ εὗρεν δὲ ἐκεῖ ἄνθρωπόν τινα αἰνέαν˚ ὀνόματι ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββᾶτῳ ὃς ἦν παραλελυμένος ⸰ καὶ εἶπεν αὐτῷ ὁ πέτρος αἰνέα ἰᾶταί σε ἰησοῦς ὁ˚ χριστὸς ἀνάστηθι καὶ στρῶσον σεαυτῷ καὶ εὐθέως ἀνέστη ⸰ καὶ εἶδὸν αὐτὸν πάντες οἱ κατοικοῦντες λύδδαν᾽ καὶ τὸν σαρωνᾶν᾽ οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν κύριον ⸰ ἐν ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι ταβιθὰ ἣ διερμηνευομένη λέγεται δορκὰς αὕτη ἦν πλήρης ἀγαθῶν˚ ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει ⸰ ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν λούσαντες δὲ αὐτὴν˚ ἔθηκαν ἐν ὑπερῴῳ ⸰ ἐγγὺς δὲ οὔσης λύδδης τῇ ἰόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι πέτρος ἐστὶν ἐν αὐτῇ ἀπέστειλαν δύο˚ ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀκνῆσἀι διελθεῖν ἕως αὐτ̔ῶν ⸰ ἀναστὰς δὲ πέτρος συνῆλθεν αὐτοῖς ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ δορκάς ⸰ ἐκβαλὼν δὲ ἔξω πάντας ὁ πέτρος θεὶς τὰ γόνατα προσηύξατο καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπεν ταβιθὰ ἀνάστηθι ἡ δὲ ἤνοιξεν τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ ἰδοῦσα τὸν πέτρον ἀνεκάθισεν ⸰ δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτὴν φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν ⸰ γνωστὸν

v.28 𝕋 𝕂: και εκπορευομενος εν, 𝕄: εις, 𝕍: και εκπορευομενος εις. **v.29** 𝕋*: και, 𝕍: ∅. **v.29** 𝕋*: ιησου, 𝕍: ∅. **v.29** 𝕋*: αυτον ανελειν, 𝕍: ανελειν αυτον. **v.31** 𝕋*: αι μεν ουν εκκλησιαι, 𝕍: η μεν ουν εκκλησια. **v.31** 𝕋*: ειχον, 𝕍: ειχεν. **v.31** 𝕋*: οικοδομουμεναι και πορευομεναι, 𝕍: οικοδομουμενη και πορευομενη. **v.31** 𝕋*: επληθυνοντο, 𝕍: επληθυνετο. **v.32** 𝕋*: λυδδαν, 𝕍: λυδδα. **v.33** 𝕋*: αινεαν ονοματι, 𝕍: ονοματι αινεαν. **v.33** 𝕋*: κραββατω, 𝕍: κραβαττου. **v.34** 𝕋*: ο, 𝕍: ∅. **v.35** 𝕋*: ειδον, 𝕍: ειδαν. **v.35** 𝕋*: λυδδαν, 𝕍: λυδδα. **v.35** 𝕋: σαρωναν, 𝕂 𝕍: σαρωνα, 𝕄: ασσαρωνα. **v.36** 𝕋*: αγαθων εργων, 𝕍: εργων αγαθων. **v.37** 𝕋*: αυτην εθηκαν, 𝕍: εθηκαν [αυτην]. **v.38** 𝕋*: λυδδης, 𝕍: λυδδας. **v.38** 𝕋 𝕂 𝕍: δυο ανδρας, 𝕄: ∅. **v.38** 𝕋*: οκνησαι, 𝕍: οκνησης. **v.38** 𝕋*: αυτων, 𝕍: ημων. **v.40** 𝕋*: θεις, 𝕍: και θεις.

δὲ ἐγένετο καθ᾽ ὅλης τῆς ἰόππης καὶ πολλοὶ˚ ἐπίστευσαν ἐπὶ τὸν
43 κύριον ⋄ ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν ἰόππῃ παρά
τινι σίμωνι βυρσεῖ ⋄

10 ἀνὴρ δέ τις ἦν ἐν καισαρείᾳ ὀνόματι κορνήλιος ἑκατοντάρ-
2 χης ἐκ σπείρης τῆς καλουμένης ἰταλικῆς ⋄ εὐσεβὴς καὶ φοβού-
μενος τὸν θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ ποιῶν τε ἐλεημοσύνας
3 πολλὰς τῷ λαῷ καὶ δεόμενος τοῦ θεοῦ διαπαντός ⋄ εἶδεν ἐν ὁρά-
ματι φανερῶς ὡσεὶ ὥραν˚ ἐννάτην τῆς ἡμέρας ἄγγελον τοῦ θεοῦ
4 εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ κορνήλιε ⋄ ὁ δὲ ἀτε-
νίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπεν τί ἐστιν κύριε εἶπεν
δὲ αὐτῷ αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν
5 εἰς μνημόσυνον ἐνώπιον τοῦ θεοῦ ⋄ καὶ νῦν πέμψον εἰς˚ ἰόπ-
πην ἄνδρας καὶ μετάπεμψαι σίμωνα ὃς˚ ἐπικαλεῖται πέτρος ⋄
6 οὗτος ξενίζεται παρά τινι σίμωνι βυρσεῖ ᾧ˙ ἐστιν οἰκία παρὰ θά-
7 λασσαν οὗτος˚ λαλήσει σοι τί σε δεῖ ποιεῖν ⋄ ὡς δὲ ἀπῆλθεν ὁ
ἄγγελος ὁ λαλῶν τῷ˚ κορνηλίῳ φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ
8 καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ ⋄ καὶ ἐξη-
γησάμενος αὐτοῖς˚ ἅπαντα ἀπέστειλεν αὐτοὺς εἰς τὴν ἰόππην ⋄
9 τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόν-
των ἀνέβη πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην ⋄
10 ἐγένετο δὲ πρόσπεινος καὶ ἤθελεν γεύσασθαι παρασκευαζόν-
11 των δὲ ἐκείνων˚ ἐπέπεσεν ἐπ᾽ αὐτὸν ἔκστασις ⋄ καὶ θεωρεῖ τὸν
οὐρανὸν ἀνεῳγμένον καὶ καταβαῖνον ἐπ᾽˚ αὐτὸν σκεῦός τι ὡς
ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς δεδεμένον˚ καὶ καθιέμενον
12 ἐπὶ τῆς γῆς ⋄ ἐν ᾧ ὑπῆρχεν πάντα τὰ τετράποδα τῆς˚ γῆς καὶ τὰ
13 θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ⋄ καὶ ἐγένετο
14 φωνὴ πρὸς αὐτὸν ἀναστὰς πέτρε θῦσον καὶ φάγε ⋄ ὁ δὲ πέτρος
εἶπεν μηδαμῶς κύριε ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ˚ ἀ-
15 κάθαρτον ⋄ καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτὸν ἃ ὁ θεὸς
16 ἐκαθάρισεν σὺ μὴ κοίνου ⋄ τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς καὶ πάλιν˚
17 ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν ⋄ ὡς δὲ ἐν ἑαυτῷ διηπό-
ρει ὁ πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδεν καὶ ἰδοὺ οἱ ἄνδρες

---

v.42 𝕋*: πολλοι επιστευσαν, 𝕍: επιστευσαν πολλοι. **v.43** 𝕋*: αυτον, 𝕍: ∅. **10.v.1** 𝕋*: ην, 𝕍: ∅. **v.2** 𝕋*: τε, 𝕍: ∅. **v.2** 𝕋: διαπαντος, 𝕂 𝕄 𝕍: δια παντος. **v.3** 𝕋 𝕂: ωραν εννατην, 𝕄: ωραν ενατην, 𝕍: περι ωραν ενατην. **v.4** 𝕋*: ενωπιον, 𝕍: εμπροσθεν. **v.5** 𝕋*: εις ιοππην ανδρας, 𝕍: ανδρας εις ιοππην. **v.5** 𝕋 𝕂: ος επικαλειται πετρος, 𝕄: τον επικαλουμενον πετρον, 𝕍: τινα ος επικαλειται πετρος. **v.6** 𝕋 𝕂: ουτος λαλησει σοι τι σε δει ποιειν, 𝕄 𝕍: ∅. **v.7** 𝕋*: τω κορνηλιω, 𝕍: αυτω. **v.7** 𝕋*: αυτου, 𝕍: ∅. **v.8** 𝕋*: αυτοις απαντα, 𝕍: απαντα αυτοις. **v.10** 𝕋*: εκεινων επεπεσεν, 𝕍: αυτων εγενετο. **v.11** 𝕋*: επ αυτον, 𝕍: ∅. **v.11** 𝕋*: δεδεμενον και, 𝕍: ∅. **v.12** 𝕋*: της γης και τα θηρια και τα ερπετα και τα πετεινα, 𝕍: και ερπετα της γης και πετεινα. **v.14** 𝕋*: η, 𝕍: και. **v.16** 𝕋*: παλιν ανεληφθη, 𝕍: ευθυς ανελημφθη. **v.17** 𝕋*: και, 𝕍: ∅.

οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ κορνηλίου διερωτήσαντες τὴν οἰκίαν
σίμωνος ἐπέστησαν ἐπὶ τὸν πυλῶνα ⸂ καὶ φωνήσαντες ἐπυνθά- 18
νοντο εἰ σίμων ὁ ἐπικαλούμενος πέτρος ἐνθάδε ξενίζεται ⸂ τοῦ δὲ 19
πέτρου ἐνθυμουμένου περὶ τοῦ ὁράματος εἶπεν αὐτῷ τὸ πνεῦμα
ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσίν σε ⸂ ἀλλὰ ἀναστὰς κατάβηθι καὶ πο- 20
ρεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος διότι ἐγὼ ἀπέσταλκα
αὐτούς ⸂ καταβὰς δὲ πέτρος πρὸς τοὺς ἄνδρας τοὺς ἀπεσταλ- 21
μένους ἀπὸ τοῦ κορνηλίου πρὸς αὐτὸν εἶπεν ἰδοὺ ἐγώ εἰμι ὃν
ζητεῖτε τίς ἡ αἰτία δι᾽ ἣν πάρεστε ⸂ οἱ δὲ εἶπὸν κορνήλιος ἑκατον- 22
τάρχης ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν θεὸν μαρτυρούμενός
τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν ἰουδαίων ἐχρηματίσθη ὑπὸ ἀγγέ-
λου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀκοῦσαι
ῥήματα παρὰ σοῦ ⸂ εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισεν τῇ δὲ ἐ- 23
παύριον ὁ᾽ πέτρος ἐξῆλθεν σὺν αὐτοῖς καί τινες τῶν ἀδελφῶν τῶν
ἀπὸ ἧς ἰόππης συνῆλθον αὐτῷ ⸂ καὶ᾽ τῇ ἐπαύριον εἰσῆλθὸν εἰς 24
τὴν καισάρειαν ὁ δὲ κορνήλιος ἦν προσδοκῶν αὐτοὺς συγκα-
λεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους ⸂
ὡς δὲ ἐγένετο ἐἰσελθεῖν τὸν πέτρον συναντήσας αὐτῷ ὁ κορνή- 25
λιος πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν ⸂ ὁ δὲ πέτρος αὐτὸν᾽ 26
ἤγειρεν λέγων ἀνάστηθι κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι ⸂ καὶ συ- 27
νομιλῶν αὐτῷ εἰσῆλθεν καὶ εὑρίσκει συνεληλυθότας πολλούς ⸂
ἔφη τε πρὸς αὐτοὺς ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ 28
ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ καὶ᾽ ἐμοὶ ὁ θεὸς
ἔδειξεν μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον ⸂ διὸ καὶ 29
ἀναντιρρήτως ἦλθον μεταπεμφθεὶς πυνθάνομαι οὖν τίνι λόγῳ
μετεπέμψασθέ με ⸂ καὶ ὁ κορνήλιος ἔφη ἀπὸ τετάρτης ἡμέρας 30
μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων᾽ καὶ τὴν ἐννάτην ὥραν
προσευχόμενος ἐν τῷ οἴκῳ μου καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου
ἐν ἐσθῆτι λαμπρᾷ ⸂ καί φησιν κορνήλιε εἰσηκούσθη σου ἡ προ- 31
σευχὴ καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ θεοῦ ⸂
πέμψον οὖν εἰς ἰόππην καὶ μετακάλεσαι σίμωνα ὃς ἐπικαλεῖ- 32
ται πέτρος οὗτος ξενίζεται ἐν οἰκίᾳ σίμωνος βυρσέως παρὰ θά-
λασσαν ὃς᾽ παραγενόμενος λαλήσει σοι ⸂ ἐξαυτῆς οὖν ἔπεμψα 33

---

v.17 𝕋*: απο, 𝕍: υπο. **v.17** 𝕋*: σιμωνος, 𝕍: του σιμωνος. **v.19** 𝕋 𝕂: ενθυμουμενου, 𝕄 𝕍: διενθυμουμενου. **v.19** 𝕋 𝕂: τρεις ζητουσιν, 𝕄: ζητουσιν, 𝕍: τρεις ζητουντες. **v.20** 𝕋*: διοτι, 𝕍: οτι. **v.21** 𝕋 𝕂: τους απεσταλμενους απο του κορνηλιου προς αυτον, 𝕄 𝕍: ∅. **v.22** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.23** 𝕋*: ο πετρος, 𝕍: αναστας. **v.23** 𝕋 𝕂: της, 𝕄 𝕍: ∅. **v.24** 𝕋*: και τη, 𝕍: τη δε. **v.24** 𝕋*: εισηλθον, 𝕍: εισηλθεν. **v.25** 𝕋 𝕂: εισελθειν, 𝕄 𝕍: του εισελθειν. **v.26** 𝕋 𝕂: αυτον ηγειρεν, 𝕄 𝕍: ηγειρεν αυτον. **v.26** 𝕋*: καγω, 𝕍: και εγω. **v.28** 𝕋*: και εμοι, 𝕍: καμοι. **v.30** 𝕋 𝕂: νηστευων και την εννατην ωραν, 𝕄: νηστευων και την ενατην ωραν, 𝕍: την ενατην. **v.32** 𝕋*: ος παραγενομενος λαλησει σοι, 𝕍: ∅.

πρός σε σύ τε καλῶς ἐποίησας παραγενόμενος νῦν οὖν πάντες
ἡμεῖς ἐνώπιον τοῦ θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστε-
34 ταγμένα σοι ὑπὸ τοῦ θεοῦ ◦ ἀνοίξας δὲ πέτρος τὸ στόμα εἶπεν
ἐπ᾽ ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστιν προσωπολήπτης ὁ
35 θεός ◦ ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος
36 δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν ◦ τὸν λόγον ὃν ἀπέστειλεν τοῖς
υἱοῖς ἰσραὴλ εὐαγγελιζόμενος εἰρήνην διὰ ἰησοῦ χριστοῦ οὗτός
37 ἐστιν πάντων κύριος ◦ ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ᾽ ὅλης
τῆς ἰουδαίας ἀρξάμενοὐ ἀπὸ τῆς γαλιλαίας μετὰ τὸ βάπτισμα
38 ὃ ἐκήρυξεν ἰωάννης ◦ ἰησοῦν τὸν ἀπὸ ναζαρὲτ ὡς ἔχρισεν αὐτὸν
ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει ὃς διῆλθεν εὐεργετῶν καὶ
ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου
39 ὅτι ὁ θεὸς ἦν μετ᾽ αὐτοῦ ◦ καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων
ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν ἰουδαίων καὶ ἐν ἱερουσαλὴμ ὃν
40 ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου ◦ τοῦτον ὁ θεὸς ἤγειρεν τῇ τρί-
41 τῃ ἡμέρᾳ καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι ◦ οὐ παντὶ τῷ λαῷ
ἀλλὰ μάρτυσιν τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ θεοῦ ἡμῖν
οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι
42 αὐτὸν ἐκ νεκρῶν ◦ καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ
διαμαρτύρασθαι ὅτι ἀὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ κρι-
43 τὴς ζώντων καὶ νεκρῶν ◦ τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν
ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πι-
44 στεύοντα εἰς αὐτόν ◦ ἔτι λαλοῦντος τοῦ πέτρου τὰ ῥήματα ταῦτα
ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν
45 λόγον ◦ καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθὸν τῷ
πέτρῳ ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυ-
46 ται ◦ ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων
47 τὸν θεὸν τότε ἀπεκρίθη ὁ᾽ πέτρος ◦ μήτι τὸ ὕδωρ κωλῦσαι᾽ δύνα-
ταί τις τοῦ μὴ βαπτισθῆναι τούτους οἵτινες τὸ πνεῦμα τὸ ἅγιον
48 ἔλαβον κἀθὼς καὶ ἡμεῖς ◦ προσέταξέν τε αὐτοὺς βαπτισθῆναι᾽ ἐν
τῷ ὀνόματι τοῦ κυρίου τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας
τινάς ◦

11 ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν

---

v.33 𝕋*: θεου, 𝕍: κυριου. **v.34** 𝕋*: προσωποληπτης, 𝕍: προσωπολημπτης. **v.37** 𝕋*: αρξαμενον, 𝕍: αρξαμενος. **v.38** 𝕋 𝕄: ναζαρετ, 𝕂 𝕍: ναζαρεθ. **v.39** 𝕋*: εσμεν, 𝕍: ∅. **v.39** 𝕋 𝕂: ανειλον, 𝕄: και ανειλον, 𝕍: και ανειλαν. **v.40** 𝕋*: τη, 𝕍: [εν] τη. **v.42** 𝕋*: αυτος, 𝕍: ουτος. **v.45** 𝕋*: συνηλθον, 𝕍: συνηλθαν. **v.46** 𝕋*: ο, 𝕍: ∅. **v.47** 𝕋*: κωλυσαι δυναται, 𝕍: δυναται κωλυσαι. **v.47** 𝕋*: καθως, 𝕍: ως. **v.48** 𝕋*: τε, 𝕍: δε. **v.48** 𝕋*: βαπτισθηναι εν τω ονοματι του κυριου, 𝕍: εν τω ονοματι ιησου χριστου βαπτισθηναι.

ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ ⸰ καὶ˚ 2
ὅτε ἀνέβη πέτρος εἰς ἱεροσόλυμα διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ
περιτομῆς ⸰ λέγοντες ὅτι πρὸς˚ ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰ- 3
σῆλθες καὶ συνέφαγες αὐτοῖς ⸰ ἀρξάμενος δὲ ὁ˚ πέτρος ἐξετίθετο 4
αὐτοῖς καθεξῆς λέγων ⸰ ἐγὼ ἤμην ἐν πόλει ἰόππῃ προσευχόμε- 5
νος καὶ εἶδον ἐν ἐκστάσει ὅραμα καταβαῖνον σκεῦός τι ὡς ὀ-
θόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ
καὶ ἦλθεν ἄχριϛ ἐμοῦ ⸰ εἰς ἣν ἀτενίσας κατενόουν καὶ εἶδον τὰ 6
τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ
τοῦ οὐρανοῦ ⸰ ἤκουσα δὲ˚ φωνῆς λεγούσης μοι ἀναστὰς πέτρε 7
θῦσον καὶ φάγε ⸰ εἶπον δὲ μηδαμῶς κύριε ὅτι ϖᾶν κοινὸν ἢ ἀκά- 8
θαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου ⸰ ἀπεκρίθη δέ μοι 9
φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ ἃ ὁ θεὸς ἐκαθάρισεν σὺ μὴ
κοίνου ⸰ τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς καὶ πάλιν˚ ἀνεσπάσθη ἅπαντα 10
εἰς τὸν οὐρανόν ⸰ καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ 11
τὴν οἰκίαν ἐν ᾗ ἤμην ἀπεσταλμένοι ἀπὸ καισαρείας πρός με ⸰
εἶπεν δέ μοι˚ τὸ πνεῦμα συνελθεῖν αὐτοῖς μηδὲν διακρινόμενον 12
ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι καὶ εἰσήλθομεν εἰς
τὸν οἶκον τοῦ ἀνδρός ⸰ ἀπήγγειλέν τε ἡμῖν πῶς εἶδεν τὸν ἄγγε- 13
λον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ ἀπόστειλον
εἰς ἰόππην ἄνδρας καὶ μετάπεμψαι σίμωνα τὸν ἐπικαλούμενον
πέτρον ⸰ ὃς λαλήσει ῥήματα πρός σε ἐν οἷς σωθήσῃ σὺ καὶ ϖᾶς ὁ 14
οἶκός σου ⸰ ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν ἐπέπεσεν τὸ πνεῦμα τὸ 15
ἅγιον ἐπ᾽ αὐτοὺς ὥσπερ καὶ ἐφ᾽ ἡμᾶς ἐν ἀρχῇ ⸰ ἐμνήσθην δὲ τοῦ 16
ῥήματος κυρίου ὡς ἔλεγεν ἰωάννης μὲν ἐβάπτισεν ὕδατι ὑμεῖς
δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ ⸰ εἰ οὖν τὴν ἴσην δωρεὰν 17
ἔδωκεν αὐτοῖς ὁ θεὸς ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν κύριον
ἰησοῦν χριστὸν ἐγὼ δὲ˚ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν θεόν ⸰
ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν καὶ ἐδόξαζον τὸν θεὸν λέγοντες 18
ἄραγε καὶ τοῖς ἔθνεσιν ὁ θεὸς τὴν μετάνοιαν ἔδωκεν˚ εἰς ζωήν ⸰

11.v.2 𝕋*: και οτε ανεβη πετρος εις ιεροσολυμα ... περιτομης, 𝕍: οτε δε ανεβη πετρος εις ιερουσαλημ ... περιτομης, D: ο μεν ου πετρος δια ικανου χρονου ηθελησαι πορευθηναι εις ιεροσολυμα και προσφωνησας τους αδελφους και επιστηριξας αυτους πολυν λογον ποιουμενος δια των χωρων διδασκων αυτους ος και κατηντησεν αυτοις και απηγγειλεν αυτοις την χαριν του θεου οι δε εκ περιτομης αδελφοι διεκρινοντο προς αυτον. **v.3** 𝕋*: προς ανδρας ακροβυστιαν εχοντας εισηλθες, 𝕍: εισηλθες προς ανδρας ακροβυστιαν εχοντας. **v.4** 𝕋*: ο, 𝕍: ∅. **v.5** 𝕋*: αχρις, 𝕍: αχρι. **v.7** 𝕋*: δε, 𝕍: δε και. **v.8** 𝕋*: παν, 𝕍: ∅. **v.9** 𝕋*: μοι, 𝕍: ∅. **v.10** 𝕋*: παλιν ανεσπασθη, 𝕍: ανεσπασθη παλιν. **v.11** 𝕋*: ημην, 𝕍: ημεν. **v.12** 𝕋*: μοι το πνευμα, 𝕍: το πνευμα μοι. **v.12** 𝕋*: διακρινομενον, 𝕍: διακρινανται. **v.13** 𝕋*: τε, 𝕍: δε. **v.13** 𝕋*: αυτω, 𝕍: ∅. **v.13** 𝕋*: ανδρας, 𝕍: ∅. **v.16** 𝕋*: κυριου, 𝕍: του κυριου. **v.17** 𝕋*: δε, 𝕍: ∅. **v.17** 𝔼: θεον, D: θεον του μη δουναι αυτοις πνευμα αγιον πιστευσασιν επ αυτω. **v.18** 𝕋*: εδοξαζον, 𝕍: εδοξασαν. **v.18** 𝕋*: αραγε, 𝕍: αρα. **v.18** 𝕋*: εδωκεν εις ζωην, 𝕍: εις ζωην εδωκεν.

19 οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ
στεφάνῳ διῆλθον ἕως φοινίκης καὶ κύπρου καὶ ἀντιοχείας μη-
20 δενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον ἰουδαίοις ◦ ἦσαν δέ τινες
ἐξ αὐτῶν ἄνδρες κύπριοι καὶ κυρηναῖοι οἵτινες εἰσελθόντες εἰς
ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς ἑλληνιστὰς εὐαγγελιζόμενοι τὸν
21 κύριον ἰησοῦν ◦ καὶ ἦν χεὶρ κυρίου μετ᾽ αὐτῶν πολύς τε ἀριθ-
22 μὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν κύριον ◦ ἠκούσθη δὲ ὁ λόγος
εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν˚ ἱεροσολύμοις περὶ αὐτῶν καὶ
23 ἐξαπέστειλαν βαρνάβαν διελθεῖν ἕως ἀντιοχείας ◦ ὃς παραγενό-
μενος καὶ ἰδὼν τὴν χάριν τοῦ θεοῦ ἐχάρη καὶ παρεκάλει πάντας
24 τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ κυρίῳ ◦ ὅτι ἦν ἀνὴρ ἀ-
γαθὸς καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως καὶ προσετέθη
25 ὄχλος ἱκανὸς τῷ κυρίῳ ◦ ἐξῆλθεν δὲ εἰς ταρσὸν ὁ˚ βαρνάβας ἀνα-
26 ζητῆσαι σαῦλον ◦ καὶ εὑρὼν αὐτὸν˚ ἤγαγεν αὐτὸν εἰς ἀντιόχειαν
ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν˙ τῇ ἐκκλησίᾳ
καὶ διδάξαι ὄχλον ἱκανὸν χρηματίσαι τε πρῶτον˙ ἐν ἀντιοχείᾳ
27 τοὺς μαθητὰς χριστιανούς ◦ ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλ-
28 θον ἀπὸ ἱεροσολύμων προφῆται εἰς ἀντιόχειαν ◦ ἀναστὰς δὲ εἷς
ἐξ αὐτῶν ὀνόματι ἄγαβος ἐσήμανεν διὰ τοῦ πνεύματος λιμὸν
μέγαν˙ μέλλειν ἔσεσθαι ἐφ᾽ ὅλην τὴν οἰκουμένην ὅστις˚ καὶ ἐγέ-
29 νετο ἐπὶ κλαυδίου καίσαρος ◦ τῶν δὲ μαθητῶν καθὼς ἠὐπορεῖτό
τις ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦ-
30 σιν ἐν τῇ ἰουδαίᾳ ἀδελφοῖς ◦ ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς
τοὺς πρεσβυτέρους διὰ χειρὸς βαρνάβα καὶ σαύλου ◦

12 κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν ἡρῴδης ὁ βασιλεὺς τὰς
2 χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας ◦ ἀνεῖλεν δὲ ἰά-
3 κωβον τὸν ἀδελφὸν ἰωάννου μαχαίρᾳ ◦ καὶ˚ ἰδὼν ὅτι ἀρεστόν
ἐστιν τοῖς ἰουδαίοις προσέθετο συλλαβεῖν καὶ πέτρον ἦσαν δὲ
4 ἡμέραι τῶν ἀζύμων ◦ ὃν καὶ πιάσας ἔθετο εἰς φυλακὴν παρα-
δοὺς τέσσαρσιν τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν βουλό-
5 μενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ ◦ ὁ μὲν οὖν πέτρος
ἐτηρεῖτο ἐν τῇ φυλακῇ προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ
6 τῆς ἐκκλησίας πρὸς τὸν θεὸν ὑπὲρ αὐτοῦ ◦ ὅτε δὲ ἔμελλεν˚ αὐ-

---

v.20 𝕋*: εισελθοντες, 𝕍: ελθοντες. **v.20** 𝕋*: προς, 𝕍: και προς. **v.21** 𝕋*: πιστευσας, 𝕍: ο πιστευσας. **v.22** 𝕋*: εν ιεροσολυμοις, 𝕍: ουσης εν ιερουσαλημ. **v.23** 𝕋*: του, 𝕍: [την] του. **v.25** 𝕋*: ο βαρναβας, 𝕍: ∅. **v.26** 𝕋 𝕂: αυτον ηγαγεν αυτον, 𝕄: ηγαγεν αυτον, 𝕍: ηγαγεν. **v.26** 𝕋*: αυτους, 𝕍: αυτοις και. **v.26** 𝕋 𝕂 𝕍: εν, 𝕄: ∅. **v.26** 𝕋*: πρωτον, 𝕍: πρωτως. **v.28** 𝕋*: μεγαν, 𝕍: μεγαλην. **v.28** 𝕋*: οστις και, 𝕍: ητις. **v.28** 𝕋*: καισαρος, 𝕍: ∅. **v.29** 𝕋 𝕂: ηυπορειτο, 𝕄 𝕍: ευπορειτο. **12.v.2** 𝕋*: μαχαιρα, 𝕍: μαχαιρη. **v.3** 𝕋*: και ιδων, 𝕍: ιδων δε. **v.3** 𝕋 𝕂: ημεραι, 𝕄: αι ημεραι, 𝕍: [αι] ημεραι. **v.5** 𝕋*: εκτενης, 𝕍: εκτενως. **v.5** 𝕋*: υπερ, 𝕍: περι. **v.6** 𝕋*: εμελλεν αυτον προαγειν, 𝕍: ημελλεν προαγαγειν αυτον.

τὸν προάγειν ὁ ἡρῴδης τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ πέτρος κοιμώμενος
μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσιν δυσὶν φύλακές τε
πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν· καὶ ἰδοὺ ἄγγελος κυ- 7
ρίου ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι πατάξας δὲ τὴν
πλευρὰν τοῦ πέτρου ἤγειρεν αὐτὸν λέγων ἀνάστα ἐν τάχει καὶ
ἐξέπεσὸν αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν· εἶπέν τε ὁ ἄγγελος 8
πρὸς αὐτὸν περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου ἐποίησεν
δὲ οὕτως καὶ λέγει αὐτῷ περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολού-
θει μοι· καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ καὶ οὐκ ᾔδει ὅτι ἀληθές 9
ἐστιν τὸ γινόμενον διὰ τοῦ ἀγγέλου ἐδόκει δὲ ὅραμα βλέπειν·
διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν ἦλθὸν ἐπὶ τὴν πύ- 10
λην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν ἥτις αὐτομάτη
ἠνοίχθη αὐτοῖς καὶ ἐξελθόντεᵹ προῆλθον ῥύμην μίαν καὶ εὐ-
θέως ἀπέστη ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ· καὶ ὁ πέτρος γενόμενος˚ ἐν 11
ἑαυτῷ εἶπεν νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλεν κύριος τὸν ἄγ-
γελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς ἡρῴδου καὶ πάσης τῆς
προσδοκίας τοῦ λαοῦ τῶν ἰουδαίων· συνιδών τε ἦλθεν ἐπὶ τὴν 12
οἰκίαν μαρίας τῆς μητρὸς ἰωάννου τοῦ ἐπικαλουμένου μάρκου
οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι· κρούσαν- 13
τος δὲ τοῦ˚ πέτρου τὴν θύραν τοῦ πυλῶνος προσῆλθεν παιδίσκη
ὑπακοῦσαι ὀνόματι ῥόδη· καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ πέτρου 14
ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξεν τὸν πυλῶνα εἰσδραμοῦσα δὲ ἀπήγ-
γειλεν ἑστάναι τὸν πέτρον πρὸ τοῦ πυλῶνος· οἱ δὲ πρὸς αὐτὴν 15
εἶπὸν μαίνῃ ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν οἱ δ᾽ ἔλεγον ὁ ἄγγε-
λος αὐτοῦ˚ ἐστιν· ὁ δὲ πέτρος ἐπέμενεν κρούων ἀνοίξαντες δὲ 16
εἶδὸν αὐτὸν καὶ ἐξέστησαν· κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾷν 17
διηγήσατο αὐτοῖς πῶς ὁ κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλα-
κῆς εἶπεν δὲ˚ ἀπαγγείλατε ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα καὶ
ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον· γενομένης δὲ ἡμέρας ἦν 18
τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις τί ἄρα ὁ πέτρος ἐγένετο·
ἡρῴδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν ἀνακρίνας τοὺς φύ- 19
λακας ἐκέλευσεν ἀπαχθῆναι καὶ κατελθὼν ἀπὸ τῆς ἰουδαίας εἰς
τὴν καισάρειαν διέτριβεν· ἦν δὲ ὁ˚ ἡρῴδης θυμομαχῶν τυρίοις 20
καὶ σιδωνίοις ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν καὶ πείσαν-

v.7 $\mathbb{T}^*$: εξεπεσον, $\mathbb{V}$: εξεπεσαν. **v.8** $\mathbb{T}^*$: τε, $\mathbb{V}$: δε. **v.8** $\mathbb{T}^*$: περιζωσαι, $\mathbb{V}$: ζωσαι. **v.9** $\mathbb{T}^*$: αυτω, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: ηλθον, $\mathbb{V}$: ηλθαν. **v.10** $\mathbb{T}^*$: ηνοιχθη, $\mathbb{V}$: ηνοιγη. **v.10** $\mathbb{E}$: εξελθοντες, D: εξελθοντες κατεβησαν ζ̄βαθμους και. **v.11** $\mathbb{T}^*$: γενομενος εν εαυτω, $\mathbb{V}$: εν εαυτω γενομενος. **v.11** $\mathbb{T}^*$: κυριος, $\mathbb{V}$: [ο] κυριος. **v.11** $\mathbb{T}^*$: εξειλετο, $\mathbb{V}$: εξειλατο. **v.12** $\mathbb{T}^*$: μαριας, $\mathbb{V}$: της μαριας. **v.13** $\mathbb{T}^*$: του πετρου, $\mathbb{V}$: αυτου. **v.15** $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: εἶπαν. **v.15** $\mathbb{T}\,\mathbb{K}$: δ, $\mathbb{M}\,\mathbb{V}$: δε. **v.15** $\mathbb{T}^*$: αυτου εστιν, $\mathbb{V}$: εστιν αυτου. **v.16** $\mathbb{T}^*$: ειδον, $\mathbb{V}$: ειδαν. **v.17** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: τε. **v.19** $\mathbb{T}^*$: την, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: ο ηρωδης, $\mathbb{V}$: ∅.

τες βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως ᾐτοῦντο εἰρήνην
21 διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς ⸰ τακτῇ δὲ
ἡμέρᾳ ὁ ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ καθίσας
22 ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς ⸰ ὁ δὲ δῆμος ἐπεφώ-
23 νει θεοῦ ˚ φωνὴ καὶ οὐκ ἀνθρώπου ⸰ παραχρῆμα δὲ ἐπάταξεν
αὐτὸν ἄγγελος κυρίου ἀνθ᾽ ὧν οὐκ ἔδωκεν τὴν δόξαν τῷ θεῷ
24 καὶ γενόμενος ˚ σκωληκόβρωτος ἐξέψυξεν ⸰ ὁ δὲ λόγος τοῦ θεοῦ
25 ηὔξανεν καὶ ἐπληθύνετο ⸰ βαρνάβας δὲ καὶ σαῦλος ὑπέστρεψαν
ἐξ ˚ ἰερουσαλὴμ πληρώσαντες τὴν διακονίαν συμπαραλαβόντες
κἀὶ ἰωάννην τὸν ἐπικληθέντα μάρκον ⸰

13 ἦσαν δέ τινες ἐν ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προ-
φῆται καὶ διδάσκαλοι ὅ τε βαρνάβας καὶ συμεὼν ὁ κἀλούμενος
νίγερ καὶ λούκιος ὁ κυρηναῖος μαναήν τε ἡρώδου τοῦ τετρἀρ-
2 χου σύντροφος καὶ σαῦλος ⸰ λειτουργούντων δὲ αὐτῶν τῷ κυρίῳ
καὶ νηστευόντων εἶπεν τὸ πνεῦμα τὸ ἅγιον ἀφορίσατε δή μοι
τόν τε ˚ βαρνάβαν καὶ τὸν σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλη-
3 μαι αὐτούς ⸰ τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέν-
4 τες τὰς χεῖρας αὐτοῖς ἀπέλυσαν ⸰ οὗτοι μὲν οὖν ἐκπεμφθέντες
ὑπὸ τοῦ ˚ πνεύματος τοῦ ἁγίου κατῆλθον εἰς τὴν σελεύκειαν
5 ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν κύπρον ⸰ καὶ γενόμενοι ἐν σαλα-
μῖνι κατήγγελλον τὸν λόγον τοῦ θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν
6 ἰουδαίων εἶχον δὲ καὶ ἰωάννην ὑπηρέτην ⸰ διελθόντες δὲ τὴν νῆ-
σον ἄχρι πάφου εὗρόν τινα μάγον ψευδοπροφήτην ἰουδαῖον
7 ᾧ ὄνομα βαρϊησοῦ ⸰ ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ σεργίῳ παύλῳ
ἀνδρὶ συνετῷ οὗτος προσκαλεσάμενος βαρνάβαν καὶ σαῦλον
8 ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ ⸰ ἀνθίστατο δὲ αὐτοῖς
ἐλύμας ὁ μάγος οὕτως γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ
9 ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως ⸰ σαῦλος δὲ
ὁ καὶ παῦλος πλησθεὶς πνεύματος ἁγίου κἀὶ ἀτενίσας εἰς αὐ-
10 τόν ⸰ εἶπεν ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας υἱὲ
διαβόλου ἐχθρὲ πάσης δικαιοσύνης οὐ παύσῃ διαστρέφων τὰς
11 ὁδοὺς κὑρίου τὰς εὐθείας ⸰ καὶ νῦν ἰδοὺ χεὶρ τοῦ κυρίου ἐπὶ σὲ
καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ παραχρῆμα

---

v.22 𝕋 𝕂 𝕍: θεου φωνη, 𝕄: φωνη θεου. **v.23** 𝕋 𝕂 𝕍: την, 𝕄: ∅. **v.23** 𝔼: γενομενος σκωληκοβρωτος, 𝔻: καταβας απο του βηματος γενομενος κωληκοβρωτος ετι ζων και ουτως. **v.25** 𝕋 𝕂: εξ, 𝕄 𝕍: εις. **v.25** 𝕋*: και, 𝕍: ∅. **13.v.1** 𝕋*: τινες, 𝕍: ∅. **v.1** 𝔼: καλουμενος, 𝔻: επικαλουμενος. **v.1** 𝕋*: τετραρχου, 𝕍: τετρααρχου. **v.2** 𝕋 𝕂: τε, 𝕄 𝕍: ∅. **v.2** 𝕋*: τον, 𝕍: ∅. **v.4** 𝕋*: ουτοι, 𝕍: αυτοι. **v.4** 𝕋*: του πνευματος του αγιου, 𝕍: του αγιου πνευματος. **v.4** 𝕋*: την, 𝕍: ∅. **v.4** 𝕋 𝕂 𝕍: τε, 𝕄: δε. **v.6** 𝕋*: την, 𝕍: ολην την. **v.6** 𝕋*: τινα, 𝕍: ανδρα τινα. **v.6** 𝕋 𝕂: βαριησους, 𝕄: βαριησουν, 𝕍: βαριησου. **v.9** 𝕋*: και, 𝕍: ∅. **v.10** 𝕋*: κυριου, 𝕍: [του] κυριου. **v.11** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅.

δὲ˚ ἐπέπεσεν ἐπ᾽ αὐτὸν ἀχλὺς καὶ σκότος καὶ περιάγων ἐζήτει
χειραγωγούς ⸰ τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν ἐκ- 12
πλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ κυρίου ⸰ ἀναχθέντες δὲ ἀπὸ τῆς 13
πάφου οἱ περὶ τὸν παῦλον ἦλθον εἰς πέργην τῆς παμφυλίας ἰ-
ωάννης δὲ ἀποχωρήσας ἀπ᾽ αὐτῶν ὑπέστρεψεν εἰς ἱεροσόλυμα ⸰
αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς πέργης παρεγένοντο εἰς ἀντιόχειαν 14
τῆς˚ πισιδίας καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν
σαββάτων ἐκάθισαν ⸰ μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν 15
προφητῶν ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες
ἄνδρες ἀδελφοὶ εἰ ἔστιν˚ λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν
λαὸν λέγετε ⸰ ἀναστὰς δὲ παῦλος καὶ κατασείσας τῇ χειρὶ εἶπεν 16
ἄνδρες ἰσραηλῖται καὶ οἱ φοβούμενοι τὸν θεὸν ἀκούσατε ⸰ ὁ θεὸς 17
τοῦ λαοῦ τούτου ἰσραὴλ ἐξελέξατο τοὺς πατέρας ἡμῶν καὶ τὸν
λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ αἰγύπτῳ καὶ μετὰ βραχίονος
ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς ⸰ καὶ ὡς τεσσαράκονταετῆ 18
χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ ⸰ καὶ καθελὼν ἔθνη 19
ἑπτὰ ἐν γῇ χαναάν κατεκληροδότησεν˚ αὐτοῖς τὴν γῆν αὐτῶν ⸰
καὶ˚ μετὰ ταῦτα ὡς ἔτεσιν τετρακοσίοις καὶ πεντήκοντα ἔδωκεν 20
κριτὰς ἕως σαμουὴλ τοῦ προφήτου ⸰ κἀκεῖθεν ᾐτήσαντο βασι- 21
λέα καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς τὸν σαοὺλ υἱὸν κὶς ἄνδρα ἐκ
φυλῆς βενιαμὶν ἔτη τεσσαράκοντα ⸰ καὶ μεταστήσας αὐτὸν ἤ- 22
γειρεν αὐτοῖς˚ τὸν δαβὶδ εἰς βασιλέα ᾧ καὶ εἶπεν μαρτυρήσας
εὗρον δαβὶδ τὸν τοῦ ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου ὃς ποι-
ήσει πάντα τὰ θελήματά μου ⸰ τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρματος 23
κατ᾽ ἐπαγγελίαν ἤγειρεν τῷ ἰσραὴλ σωτῆρα˚ ἰησοῦν ⸰ προκηρύ- 24
ξαντος ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα
μετανοίας παντὶ˚ τῷ λαῷ ἰσραήλ ⸰ ὡς δὲ ἐπλήρου ὁ˚ ἰωάννης τὸν 25
δρόμον ἔλεγεν τίνα˚ με ὑπονοεῖτε εἶναι οὐκ εἰμὶ ἐγὼ ἀλλ᾽ ἰδοὺ
ἔρχεται μετ᾽ ἐμὲ οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦ-
σαι ⸰ ἄνδρες ἀδελφοὶ υἱοὶ γένους ἀβραὰμ καὶ οἱ ἐν ὑμῖν φοβού- 26
μενοι τὸν θεὸν ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη ⸰ οἱ 27
γὰρ κατοικοῦντες ἐν˚ ἱερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον

v.11 𝕋*: δε επεπεσεν, 𝕍: τε επεσεν. **v.13** 𝕋*: τον, 𝕍: ∅. **v.14** 𝕋*: της πισιδιας, 𝕍: την πισιδιαν. **v.14** 𝕋*: εισελθοντες, 𝕍: [εισ]ελθοντες. **v.15** 𝕋*: εστιν λογος εν υμιν, 𝕍: τις εστιν εν υμιν λογος. **v.17** 𝕋 𝕂 𝕍: ισραηλ, 𝕄: ∅. **v.17** 𝕋*: αιγυπτω, 𝕍: αιγυπτου. **v.18** 𝕋*: τεσσαρακονταετη, 𝕍: τεσσερακονταετη. **v.19** 𝕋 𝕂: κατεκληροδοτησεν αυτοις, 𝕄: κατεκληρονομησεν αυτοις, 𝕍: κατεκληρονομησεν. **v.20** 𝕋*: και μετα ταυτα ως ετεσιν τετρακοσιοις και πεντηκοντα, 𝕍: ως ετεσιν τετρακοσιοις και πεντηκοντα και μετα ταυτα. **v.21** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.22** 𝕋*: αυτοις τον δαβιδ, 𝕍: τον δαυιδ αυτοις. **v.22** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.23** 𝕋 𝕂: ηγειρεν, 𝕄 𝕍: ηγαγεν. **v.23** 𝕋 𝕂 𝕍: σωτηρα ιησουν, 𝕄: σωτηριαν. **v.24** 𝕋 𝕂 𝕍: παντι τω λαω ισραηλ, 𝕄: τω ισραηλ. **v.25** 𝕋*: ο, 𝕍: ∅. **v.25** 𝕋*: τινα με, 𝕍: τι εμε. **v.26** 𝕋*: υμιν, 𝕍: ημιν. **v.26** 𝕋*: απεσταλη, 𝕍: εξαπεσταλη. **v.27** 𝕋 𝕂 𝕍: εν, 𝕄: ∅.

ἀγνοήσαντες καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάβ-
28 βατον ἀναγινωσκομένας κρίναντες ἐπλήρωσαν ⸰ καὶ μηδεμίαν
αἰτίαν θανάτου εὑρόντες ᾐτήσαντο πιλάτον ἀναιρεθῆναι αὐτόν ⸰
29 ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα καθελόντες
30 ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον ⸰ ὁ δὲ θεὸς ἤγειρεν αὐτὸν
31 ἐκ νεκρῶν ⸰ ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ
ἀπὸ τῆς γαλιλαίας εἰς ἰερουσαλὴμ οἵτινές εἰσιν μάρτυρες αὐτοῦ
32 πρὸς τὸν λαόν ⸰ καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς
33 πατέρας ἐπαγγελίαν γενομένην ⸰ ὅτι ταύτην ὁ θεὸς ἐκπεπλήρω-
κεν τοῖς τέκνοις αὐτῶν ἡμῖν ἀναστήσας ἰησοῦν ὡς καὶ ἐν τῷ˚
ψαλμῷ τῷ δευτέρῳ γέγραπται υἱός μου εἶ σὺ ἐγὼ σήμερον γε-
34 γέννηκά σε ⸰ ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα
ὑποστρέφειν εἰς διαφθορὰν οὕτως εἴρηκεν ὅτι δώσω ὑμῖν τὰ ὅ-
35 σια δαβὶδ τὰ πιστά ⸰ διὸ˚ καὶ ἐν ἑτέρῳ λέγει οὐ δώσεις τὸν ὅσιόν
36 σου ἰδεῖν διαφθοράν ⸰ δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ
τοῦ θεοῦ βουλῇ ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας
37 αὐτοῦ καὶ εἶδεν διαφθοράν ⸰ ὃν δὲ ὁ θεὸς ἤγειρεν οὐκ εἶδεν
38 διαφθοράν ⸰ γνωστὸν οὖν ἔστω ὑμῖν ἄνδρες ἀδελφοὶ ὅτι διὰ τού-
39 του ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται ⸰ καὶ ἀπὸ πάντων ὧν
οὐκ ἠδυνήθητε ἐν τῷ˚ νόμῳ μωσέως δικαιωθῆναι ἐν τούτῳ πᾶς ὁ
40 πιστεύων δικαιοῦται ⸰ βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ᾽˚ ὑμᾶς τὸ εἰρη-
41 μένον ἐν τοῖς προφήταις ⸰ ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε
καὶ ἀφανίσθητε ὅτι ἔργον ἐγὼ˚ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν
42 ἔργον˚ ᾧ οὐ μὴ πιστεύσητε ἐάν τις ἐκδιηγῆται ὑμῖν ⸰ ἐξιόντων
δὲ ἐκ˚ τῆς συναγωγῆς τῶν ἰουδαίων παρεκάλουν τὰ ἔθνη εἰς
43 τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα ⸰ λυθεί-
σης δὲ τῆς συναγωγῆς ἠκολούθησαν πολλοὶ τῶν ἰουδαίων καὶ
τῶν σεβομένων προσηλύτων τῷ παύλῳ καὶ τῷ βαρνάβᾳ οἵτινες
προσλαλοῦντες αὐτοῖς ἔπειθον αὐτοὺς ἐπιμένειν τῇ χάριτι τοῦ
44 θεοῦ ⸰ τῷ δὲ˚ ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη
45 ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ ⸰ ἰδόντες δὲ οἱ ἰουδαῖοι τοὺς ὄχλους
ἐπλήσθησαν ζήλου καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ παύλου λεγομέ-
46 νοις˚ ἀντιλέγοντες καὶ βλασφημοῦντες ⸰ παρρησιασάμενοι δὲ˚ ὁ

v.29 𝕋 𝕂: απαντα, 𝕄 𝕍: παντα. **v.31** 𝕋*: εισιν, 𝕍: [νυν] εισιν. **v.33** 𝕋*: τω ψαλμω τω δευτερω γεγραπται, 𝕍: τω ψαλμω γεγραπται τω δευτερω, 𝔻: τω πρωτω ψαλμω γεγραπται. **v.34** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.35** 𝕋*: διο, 𝕍: διοτι. **v.36** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.39** 𝕋 𝕂: τω νομω μωσεως, 𝕄: τω νομω μωυσεως, 𝕍: νομω μωυσεως. **v.40** 𝕋*: εφ υμας, 𝕍: ∅. **v.41** 𝕋*: εγω εργαζομαι, 𝕍: εργαζομαι εγω. **v.41** 𝕋 𝕂: εργον ω, 𝕄: ο, 𝕍: εργον ο. **v.42** 𝕋*: εκ της συναγωγης των ιουδαιων παρεκαλουν τα εθνη, 𝕍: αυτων παρεκαλουν. **v.43** 𝕋 𝕂 𝕍: αυτοις, 𝕄: ∅. **v.43** 𝕋*: επιμενειν, 𝕍: προσμενειν. **v.44** 𝕋 𝕂 𝕍: δε, 𝕄: τε. **v.44** 𝕋*: θεου, 𝕍: κυριου. **v.45** 𝕋*: του, 𝕍: ∅. **v.45** 𝕋*: λεγομενοις αντιλεγοντες και, 𝕍: λαλουμενοις. **v.46** 𝕋*: δε, 𝕍: τε.

παῦλος καὶ ὁ βαρνάβας εἶπόν ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη οὕτως γὰρ ἐντέταλται ἡμῖν ὁ κύριος τέθεικά σε εἰς φῶς 47
ἐθνῶν τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς ἀκούοντα 48
δὲ τὰ ἔθνη ἔχαιρόν καὶ ἐδόξαζον τὸν λόγον τοῦ κυρίου καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον διεφέρετο δὲ 49
ὁ λόγος τοῦ κυρίου δι' ὅλης τῆς χώρας οἱ δὲ ἰουδαῖοι παρώ- 50
τρυναν τὰς σεβομένας γυναῖκας κἀὶ τὰς εὐσχήμονας καὶ τοὺς πρώτους τῆς πόλεως καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν παῦλον καὶ τὸν βαρνάβαν καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν οἱ δὲ 51
ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπ' αὐτοὺς ἦλθον εἰς ἰκόνιον οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁ- 52
γίου

ἐγένετο δὲ ἐν ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν **14**
συναγωγὴν τῶν ἰουδαίων καὶ λαλῆσαι οὕτως ὥστε πιστεῦσαι ἰουδαίων τε καὶ ἑλλήνων πολὺ πλῆθος οἱ δὲ ἀπειθοῦντες ἰου- 2
δαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παρρησιαζόμενοι ἐπὶ 3
τῷ κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ κἀὶ διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν ἐσχίσθη δὲ τὸ 4
πλῆθος τῆς πόλεως καὶ οἱ μὲν ἦσαν σὺν τοῖς ἰουδαίοις οἱ δὲ σὺν τοῖς ἀποστόλοις ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ ἰουδαίων 5
σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς συ- 6
νιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς λυκαονίας λύστραν καὶ δέρβην καὶ τὴν περίχωρον κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι καί 7, 8
τις ἀνὴρ ἐν λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ὃς οὐδέποτε περιπεπατήκει οὗτος ἤκουεν τοῦ παύλου λαλοῦντος ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν 9
ὅτι πίστιν ἔχει τοῦ σωθῆναι εἶπεν μεγάλῃ τῇ φωνῇ ἀνάστηθι 10
ἐπὶ τοὺς πόδας σου ὀρθὸς καὶ ἥλλετο καὶ περιεπάτει οἱ δὲ 11
ὄχλοι ἰδόντες ὃ ἐποίησεν ὁ παῦλος ἐπῆραν τὴν φωνὴν αὐτῶν λυκαονιστὶ λέγοντες οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς ἐκάλουν τε τὸν μὲν βαρνάβαν δία τὸν δὲ παῦλον ἑρ- 12

---

v.46 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.46** 𝕋*: δε, 𝕍: ∅. **v.48** 𝕋 𝕂 𝕍: εχαιρον, 𝕄: εχαιρεν. **v.50** 𝕋*: και, 𝕍: ∅. **v.50** 𝕋*: τον, 𝕍: ∅. **v.51** 𝕋*: αυτων, 𝕍: ∅. **v.52** 𝕋*: δε, 𝕍: τε. **14.v.2** 𝕋*: απειθουντες, 𝕍: απειθησαντες. **v.3** 𝕋*: τω, 𝕍: [επι] τω. **v.3** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.7** 𝕋*: ησαν ευαγγελιζομενοι, 𝕍: ευαγγελιζομενοι ησαν. **v.8** 𝕋*: εν λυστροις αδυνατος, 𝕍: αδυνατος εν λυστροις. **v.8** 𝕋*: υπαρχων, 𝕍: ∅. **v.8** 𝕋 𝕄: περιπεπατηκει, 𝕂: περιεπεπατηκει, 𝕍: περιεπατησεν. **v.9** 𝕋 𝕂: ηκουεν, 𝕄 𝕍: ηκουσεν. **v.9** 𝕋*: πιστιν εχει, 𝕍: εχει πιστιν. **v.10** 𝕋*: τη, 𝕍: ∅. **v.10** 𝕋*: ηλλετο, 𝕍: ηλατο. **v.11** 𝕋*: δε, 𝕍: τε. **v.11** 𝕋*: ο, 𝕍: ∅. **v.12** 𝕋*: μεν, 𝕍: ∅.

13 μῆν ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου ◦ ὁ δὲ˚ ἱερεὺς τοῦ
διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν ταύρους καὶ στέμματα
14 ἐπὶ τοὺς πυλῶνας ἐνέγκας σὺν τοῖς ὄχλοις ἤθελεν θύειν ◦ ἀκού-
σαντες δὲ οἱ ἀπόστολοι βαρνάβας καὶ παῦλος διαρρήξαντες τὰ
15 ἱμάτια αὐτῶν εἰσεπήδησαν εἰς τὸν ὄχλον κράζοντες ◦ καὶ λέγον-
τες ἄνδρες τί ταῦτα ποιεῖτε καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν
ἄνθρωποι εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπι-
στρέφειν ἐπὶ ⸀τὸν θεὸν ⸀τὸν ζῶντα ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν
16 γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς ◦ ὃς ἐν ταῖς παρῳ-
χημέναις γενεαῖς εἴασεν πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς
17 αὐτῶν ◦ καί˚ τοι γε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν
οὐρανόθεν ἡμῖν ⸀ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους ἐμ-
18 πιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ⸀ἡμῶν ◦ καὶ ταῦτα
λέγοντες μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς ◦
19 ἐπῆλθὸν δὲ ἀπὸ ἀντιοχείας καὶ ἰκονίου ἰουδαῖοι καὶ πείσαντες
τοὺς ὄχλους καὶ λιθάσαντες τὸν παῦλον ἔσυρον ἔξω τῆς πόλεως
20 νομίσαντες˚ αὐτὸν τεθνάναι ◦ κυκλωσάντων δὲ αὐτὸν˚ τῶν μαθη-
τῶν ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν καὶ τῇ ἐπαύριον ἐξῆλθεν σὺν
21 τῷ βαρνάβᾳ εἰς δέρβην ◦ εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην
καὶ μαθητεύσαντες ἱκανοὺς ὑπέστρεψαν εἰς τὴν λύστραν κἀὶ
22 ἰκόνιον κἀὶ ἀντιόχειαν ◦ ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν
παρακαλοῦντες ἐμμένειν τῇ πίστει καὶ ὅτι διὰ πολλῶν θλίψεων
23 δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ ◦ χειροτονήσαντες
δὲ αὐτοῖς πρεσβυτέρους˚ κατ᾽ ἐκκλησίαν προσευξάμενοι μετὰ
νηστειῶν παρέθεντο αὐτοὺς τῷ κυρίῳ εἰς ὃν πεπιστεύκεισαν ◦
24, 25 καὶ διελθόντες τὴν πισιδίαν ἦλθον εἰς ⸀παμφυλίαν ◦ καὶ λαλή-
26 σαντες ἐν πέργῃ τὸν λόγον κατέβησαν εἰς ἀττάλειαν ◦ κἀκεῖθεν
ἀπέπλευσαν εἰς ἀντιόχειαν ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι
27 τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν ◦ παραγενόμενοι δὲ καὶ συ-
ναγαγόντες τὴν ἐκκλησίαν ἀνήγγειλἀν ὅσα ἐποίησεν ὁ θεὸς μετ᾽
28 αὐτῶν καὶ ὅτι ἤνοιξεν τοῖς ἔθνεσιν θύραν πίστεως ◦ διέτριβον δὲ
ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς ◦

15 καί τινες κατελθόντες ἀπὸ τῆς ἰουδαίας ἐδίδασκον τοὺς ἀ-

---

v.13 𝕋*: δε, 𝕍: τε. **v.13** 𝕋*: αυτων, 𝕍: ∅. **v.14** 𝕋*: εισεπηδησαν, 𝕍: εξεπηδησαν. **v.15** 𝕋*: τον, 𝕍: ∅. **v.17** 𝕋 𝕂: και τοι γε, 𝕄: καιτοιγε, 𝕍: καιτοι. **v.17** 𝕋*: εαυτον, 𝕍: αυτον. **v.17** 𝕋*: αγαθοποιων, 𝕍: αγαθουργων. **v.17** 𝕋 𝕂: ημιν, 𝕄 𝕍: υμιν. **v.17** 𝕋*: ημων, 𝕍: υμων. **v.19** 𝕋*: επηλθον, 𝕍: επηλθαν. **v.19** 𝕋*: νομισαντες αυτον τεθναναι, 𝕍: νομιζοντες αυτον τεθνηκεναι. **v.20** 𝕋*: αυτον των μαθητων, 𝕍: των μαθητων αυτον. **v.21** 𝕋*: και, 𝕍: και εις. **v.23** 𝕋*: πρεσβυτερους κατ εκκλησιαν, 𝕍: κατ εκκλησιαν πρεσβυτερους. **v.24** 𝕋*: παμφυλιαν, 𝕍: την παμφυλιαν. **v.27** 𝕋*: ανηγγειλαν, 𝕍: ανηγγελλον. **v.28** 𝕋*: εκει, 𝕍: ∅.

δελφοὺς ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει μωϋσέως οὐ δύνασθε
σωθῆναι ◦ γενομένης οὖν στάσεως καὶ ὀυζητήσεως οὐκ ὀλίγης 2
τῷ παύλῳ καὶ τῷ βαρνάβᾳ πρὸς αὐτοὺς ἔταξαν ἀναβαίνειν παῦ-
λον καὶ βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀπο-
στόλους καὶ πρεσβυτέρους εἰς ἱερουσαλὴμ περὶ τοῦ ζητήματος
τούτου ◦ οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας διήρ- 3
χοντο τὴν φοινίκην καὶ σαμάρειαν ἐκδιηγούμενοι τὴν ἐπιστρο-
φὴν τῶν ἐθνῶν καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσιν τοῖς ἀδελ-
φοῖς ◦ παραγενόμενοι δὲ εἰς ἱερουσαλὴμ ἀπεδέχθησαν˚ ὑπὸ τῆς 4
ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων ἀνήγγει-
λάν τε ὅσα ὁ θεὸς ἐποίησεν μετ᾽ αὐτῶν ◦ ἐξανέστησαν δέ τινες 5
τῶν ἀπὸ τῆς αἱρέσεως τῶν φαρισαίων πεπιστευκότες λέγοντες
ὅτι δεῖ περιτέμνειν αὐτοὺς παραγγέλλειν τε τηρεῖν τὸν νόμον
μωϋσέως ◦ συνήχθησαν δὲ˚ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰ- 6
δεῖν περὶ τοῦ λόγου τούτου ◦ πολλῆς δὲ ὀυζητήσεως γενομένης 7
ἀναστὰς πέτρος εἶπεν πρὸς αὐτοὺς ἄνδρες ἀδελφοὶ ὑμεῖς ἐπί-
στασθε ὅτι ἀφ᾽ ἡμερῶν ἀρχαίων ὁ˚ θεὸς ἐν ἡμῖν ἐξελέξατο διὰ
τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου
καὶ πιστεῦσαι ◦ καὶ ὁ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς 8
δοὺς αὐτ̣οῖς τὸ πνεῦμα τὸ ἅγιον καθὼς καὶ ἡμῖν ◦ καὶ οὐδὲν̣ 9
διέκρινεν μεταξὺ ἡμῶν τε καὶ αὐτῶν τῇ πίστει καθαρίσας τὰς
καρδίας αὐτῶν ◦ νῦν οὖν τί πειράζετε τὸν θεὸν ἐπιθεῖναι ζυγὸν 10
ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε
ἡμεῖς ἰσχύσαμεν βαστάσαι ◦ ἀλλὰ διὰ τῆς χάριτος κυρίου˚ ἰη- 11
σοῦ χριστοῦ πιστεύομεν σωθῆναι καθ᾽ ὃν τρόπον κἀκεῖνοι ◦ ἐ- 12
σίγησεν˚ δὲ πᾶν τὸ πλῆθος καὶ ἤκουον βαρνάβα καὶ παύλου
ἐξηγουμένων ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς
ἔθνεσιν δι᾽ αὐτῶν ◦ μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς ἀπεκρίθη ἰάκω- 13
βος λέγων ἄνδρες ἀδελφοὶ ἀκούσατέ μου ◦ συμεὼν ἐξηγήσατο 14
καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν ἐπ̣ὶ τῷ
ὀνόματι αὐτοῦ ◦ καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν 15
καθὼς γέγραπται ◦ μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω 16
τὴν σκηνὴν δαβ̣ὶδ τὴν πεπτωκυῖαν καὶ τὰ κατεσκαμμένα αὐ-
τῆς ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν ◦ ὅπως ἂν ἐκζητήσωσιν 17

15.v.1 $\mathbb{T}^*$: περιτεμνησθε, $\mathbb{V}$: περιτμηθητε. **v.1** $\mathbb{T}$ $\mathbb{K}$: μωυσεως, $\mathbb{M}$: μωσεως, $\mathbb{V}$: τω μωυσεως. **v.2** $\mathbb{T}^*$: ουν, $\mathbb{V}$: δε. **v.2** $\mathbb{T}$ $\mathbb{K}$: συζητησεως, $\mathbb{M}$ $\mathbb{V}$: ζητησεως. **v.3** $\mathbb{T}^*$: την, $\mathbb{V}$: την τε. **v.4** $\mathbb{T}^*$: απεδεχθησαν υπο, $\mathbb{V}$: παρεδεχθησαν απο. **v.6** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: τε. **v.7** $\mathbb{T}^*$: συζητησεως, $\mathbb{V}$: ζητησεως. **v.7** $\mathbb{T}^*$: ο θεος εν ημιν εξελεξατο, $\mathbb{V}$: εν υμιν εξελεξατο ο θεος. **v.8** $\mathbb{T}^*$: αυτοις, $\mathbb{V}$: ∅. **v.9** $\mathbb{T}^*$: ουδεν, $\mathbb{V}$: ουθεν. **v.11** $\mathbb{T}$ $\mathbb{K}$: κυριου ιησου χριστου, $\mathbb{M}$ $\mathbb{V}$: του κυριου ιησου. **v.12** $\mathbb{E}$: εσιγησεν δε, D: συγκατατιθεμενων δε των πρεσβυτερων τοις υπο του πετρου ειρημενοις εσιγησεν. **v.14** $\mathbb{T}^*$: επι, $\mathbb{V}$: ∅. **v.16** $\mathbb{T}^*$: δαβιδ, $\mathbb{V}$: δαυιδ.

οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον καὶ πάντα τὰ ἔθνη ἐφ᾽
οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτοὺς λέγει κύριος ὁ˚ ποιῶν
18 ταῦτα πάντα ◦ γνωστὰ ἀπ᾽ αἰῶνός ἐστιν˚ τῷ θεῷ πάντα τὰ ἔργα
19 αὐτοῦ ◦ διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπι-
20 στρέφουσιν ἐπὶ τὸν θεόν ◦ ἀλλὰ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι
ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ τῆς πορνείας καὶ τοῦ
21 πνικτοῦ καὶ τοῦ αἵματος ◦ μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ
πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ
22 πᾶν σάββατον ἀναγινωσκόμενος ◦ τότε ἔδοξεν τοῖς ἀποστόλοις
καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους ἄν-
δρας ἐξ αὐτῶν πέμψαι εἰς ἀντιόχειαν σὺν τῷ παύλῳ καὶ βαρνάβᾳ
ἰούδαν τὸν ἐπικαλούμενον˚ βαρσαβᾶν καὶ σίλαν ἄνδρας ἡγου-
23 μένους ἐν τοῖς ἀδελφοῖς ◦ γράψαντες διὰ χειρὸς αὐτῶν τάδε οἱ
ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ˚ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν
ἀντιόχειαν καὶ συρίαν καὶ κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαί-
24 ρειν ◦ ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν
ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν λέγοντες˚ περιτέ-
25 μνεσθαι καὶ τηρεῖν τὸν νόμον οἷς οὐ διεστειλάμεθα ◦ ἔδοξεν ἡμῖν
γενομένοις ὁμοθυμαδὸν ἐκλεξαμένοὺς ἄνδρας πέμψαι πρὸς ὑ-
26 μᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν βαρνάβᾳ καὶ παύλῳ ◦ ἀνθρώποις
παραδεδωκόσιν τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυ-
27 ρίου ἡμῶν ἰησοῦ χριστοῦ ◦ ἀπεστάλκαμεν οὖν ἰούδαν καὶ σίλαν
28 καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά ◦ ἔδοξεν γὰρ τῷ
ἁγίῳ˚ πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος
29 πλὴν τῶν˚ ἐπάναγκες τούτων ◦ ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵ-
ματος καὶ πνικτοῦ καὶ πορνείας˚ ἐξ ὧν διατηροῦντες ἑαυτοὺς
30 εὖ πράξετε˚ ἔρρωσθε ◦ οἱ μὲν οὖν ἀπολυθέντες ἦλθὸν εἰς ἀντιό-
χειαν καὶ συναγαγόντες τὸ πλῆθος ἐπέδωκαν τὴν ἐπιστολήν ◦
31, 32 ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει ◦ ἰούδας τε καὶ σί-
λας καὶ αὐτοὶ προφῆται ὄντες διὰ λόγου πολλοῦ παρεκάλεσαν
33 τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν ◦ ποιήσαντες δὲ χρόνον ἀπελύ-
θησαν μετ᾽ εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους ◦

---

v.17 𝕋*: ο ποιων ταυτα παντα, 𝕍: ποιων ταυτα. **v.18** 𝕋*: εστιν . . . αυτου, 𝕍: ∅. **v.20** 𝕋*: απο, 𝕍: ∅. **v.21** 𝕋*: μωσης, 𝕍: μωυσης. **v.22** 𝕋 𝕂 𝕍: τω, 𝕄: ∅. **v.22** 𝕋 𝕂: επικαλουμενον βαρσαβαν, 𝕄: επικαλουμενον βαρσαββαν, 𝕍: καλουμενον βαρσαββαν. **v.23** 𝕋*: ταδε, 𝕍: ∅. **v.23** 𝕋*: και οι, 𝕍: ∅. **v.24** 𝕋*: λεγοντες περιτεμνεσθαι και τηρειν τον νομον, 𝕍: ∅. **v.25** 𝕋*: εκλεξαμενους, 𝕍: εκλεξαμενοις. **v.28** 𝕋*: αγιω πνευματι, 𝕍: πνευματι τω αγιω. **v.28** 𝕋*: των επαναγκες τουτων, 𝕍: τουτων των επαναγκες. **v.29** 𝕋*: πνικτου, 𝕍: πνικτων. **v.29** 𝔼: πορνειας, 𝔻: πορνειας και οσα μη θελετε εαυτοις γινεσθαι ετερω μη ποιειν. **v.29** 𝔼: πραξετε, 𝔻: πραξετε φερομενοι εν τω αγιω πνευματι. **v.30** 𝕋*: ηλθον, 𝕍: κατηλθον. **v.32** 𝕋 𝕄 𝕍: τε, 𝕂: δε. **v.33** 𝕋*: αποστολους, 𝕍: αποστειλαντας αυτους.

ἔδοξεν˚ δὲ τῷ σίλᾳ ἐπιμεῖναι αὐτοῦ ⸰ παῦλος δὲ καὶ βαρνάβας 34, 35
διέτριβον ἐν ἀντιοχείᾳ διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ
καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ κυρίου ⸰ μετὰ δέ τινας ἡμέρας 36
εἶπεν παῦλος˚ πρὸς βαρνάβαν ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα
τοὺς ἀδελφοὺς ἡμῶν˚ κατὰ πᾶσαν πόλιν ἐν αἷς κατηγγείλαμεν
τὸν λόγον τοῦ κυρίου πῶς ἔχουσιν ⸰ βαρνάβας δὲ ἐβουλεύσατο˚ 37
συμπαραλαβεῖν τὸν ἰωάννην τὸν καλούμενον μάρκον ⸰ παῦλος 38
δὲ ἠξίου τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ παμφυλίας καὶ μὴ συ-
νελθόντα αὐτοῖς εἰς τὸ ἔργον μὴ συμπαραλάβειν τοῦτον ⸰ ἐγέ- 39
νετο οὖν παροξυσμὸς ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων
τόν τε βαρνάβαν παραλαβόντα τὸν μάρκον ἐκπλεῦσαι εἰς κύ-
προν ⸰ παῦλος δὲ ἐπιλεξάμενος σίλαν ἐξῆλθεν παραδοθεὶς τῇ 40
χάριτι τοῦ θεοῦ ὑπὸ τῶν ἀδελφῶν ⸰ διήρχετο δὲ τὴν συρίαν καὶ 41
κιλικίαν ἐπιστηρίζων τὰς ἐκκλησίας ⸰

κατήντησεν δὲ εἰς˚ δέρβην καὶ λύστραν καὶ ἰδοὺ μαθητής τις **16**
ἦν ἐκεῖ ὀνόματι τιμόθεος υἱὸς γυναικός τινος ἰουδαίας πιστῆς
πατρὸς δὲ ἕλληνος ⸰ ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν λύστροις καὶ ἰ- 2
κονίῳ ἀδελφῶν ⸰ τοῦτον ἠθέλησεν ὁ παῦλος σὺν αὐτῷ ἐξελθεῖν 3
καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς ἰουδαίους τοὺς ὄντας ἐν
τοῖς τόποις ἐκείνοις ᾔδεισαν γὰρ ἅπαντες τὸν˚ πατέρα αὐτοῦ
ὅτι ἕλλην ὑπῆρχεν ⸰ ὡς δὲ διεπορεύοντο τὰς πόλεις παρεδίδουν 4
αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστό-
λων καὶ τῶν˚ πρεσβυτέρων τῶν ἐν ἱερουσαλήμ ⸰ αἱ μὲν οὖν ἐκ- 5
κλησίαι ἐστερεοῦντο τῇ πίστει καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ᾽
ἡμέραν ⸰ διελθόντες δὲ τὴν φρυγίαν καὶ τὴν γαλατικὴν χώραν 6
κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ
ἀσίᾳ ⸰ ἐλθόντες κατὰ τὴν μυσίαν ἐπείραζον κατὰ τὴν βιθυνίαν 7
πορεύεσθαι καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα ⸰ παρελθόντες 8
δὲ τὴν μυσίαν κατέβησαν εἰς τρωάδα ⸰ καὶ ὅραμα διὰ τῆς νυ- 9
κτὸς ὤφθη˚ τῷ παύλῳ ἀνήρ τις˚ ἦν μακεδὼν ἑστὼς παρακαλῶν
αὐτὸν καὶ λέγων διαβὰς εἰς μακεδονίαν βοήθησον ἡμῖν ⸰ ὡς δὲ 10

---

v.34 𝕋 𝕂: εδοξεν . . . αυτου, 𝕄 𝕍: ∅. **v.36** 𝕋*: παυλος προς βαρναβαν, 𝕍: προς βαρναβαν παυλος. **v.36** 𝕋*: ημων κατα πασαν πολιν, 𝕍: κατα πολιν πασαν. **v.37** 𝕋*: εβουλευσατο, 𝕍: εβουλετο. **v.37** 𝕋*: τον, 𝕍: και τον. **v.38** 𝕋*: συμπαραλαβειν, 𝕍: συμπαραλαμβανειν. **v.39** 𝕋*: ουν, 𝕍: δε. **v.40** 𝕋*: θεου, 𝕍: κυριου. **v.41** 𝕋*: κιλικιαν, 𝕍: [την] κιλικιαν. **v.41** 𝔼: εκκλησιας, 𝔻: εκκλησιας παραδιδους τας εντολας των πρεσβυτερων. **16.v.1** 𝕋*: εις δερβην και λυστραν, 𝕍: [και] εις δερβην και εις λυστραν. **v.1** 𝕋*: τινος, 𝕍: ∅. **v.3** 𝕋*: τον πατερα αυτου οτι ελλην, 𝕍: οτι ελλην ο πατηρ αυτου. **v.4** 𝕋*: παρεδιδουν, 𝕍: παρεδιδοσαν. **v.4** 𝕋*: των πρεσβυτερων των εν ιερουσαλημ, 𝕍: πρεσβυτερων των εν ιεροσολυμοις. **v.6** 𝕋*: διελθοντες, 𝕍: διηλθον. **v.6** 𝕋*: την, 𝕍: ∅. **v.7** 𝕋*: ελθοντες, 𝕍: ελθοντες δε. **v.7** 𝕋*: κατα, 𝕍: εις. **v.7** 𝕋*: πορευεσθαι, 𝕍: πορευθηναι. **v.7** 𝕋*: πνευμα, 𝕍: πνευμα ιησου. **v.9** 𝕋*: ωφθη τω παυλω, 𝕍: τω παυλω ωφθη. **v.9** 𝕋*: τις ην μακεδων εστως, 𝕍: μακεδων τις ην εστως και.

τὸ ὅραμα εἶδεν εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν μακεδονίαν
συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ κύριος εὐαγγελίσασθαι
11 αὐτούς ⋄ ἀναχθέντες˚ οὖν ἀπὸ τῆς τρωάδος εὐθυδρομήσαμεν εἰς
12 σαμοθρᾴκην τῇ τε ἐπιούσῃ εἰς νεάπολιν ⋄ ἐκεῖθέν˚ τε εἰς φι-
λίππους ἥτις ἐστὶν πρώτη˚ τῆς μερίδος τῆς μακεδονίας πόλις
κολωνία ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς ⋄
13 τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ πο-
ταμὸν οὗ ἐνομίζετο˚ προσευχὴ εἶναι καὶ καθίσαντες ἐλαλοῦμεν
14 ταῖς συνελθούσαις γυναιξίν ⋄ καί τις γυνὴ ὀνόματι λυδία πορ-
φυρόπωλις πόλεως θυατείρων σεβομένη τὸν θεὸν ἤκουεν ἧς ὁ
κύριος διήνοιξεν τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ
15 τοῦ παύλου ⋄ ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς παρεκάλε-
σεν λέγουσα εἰ κεκρίκατέ με πιστὴν τῷ κυρίῳ εἶναι εἰσελθόν-
16 τες εἰς τὸν οἶκόν μου μείνατε καὶ παρεβιάσατο ἡμᾶς ⋄ ἐγένετο
δὲ πορευομένων ἡμῶν εἰς προσευχὴν παιδίσκην τινὰ ἔχουσαν
πνεῦμα πύθωνος˚ ἀπαντῆσαι ἡμῖν ἥτις ἐργασίαν πολλὴν παρεῖ-
17 χεν τοῖς κυρίοις αὐτῆς μαντευομένη ⋄ αὕτη κατακολουθήσαὁα
τῷ παύλῳ καὶ ἡμῖν ἔκραζεν λέγουσα οὗτοι οἱ ἄνθρωποι δοῦλοι
τοῦ θεοῦ τοῦ ὑψίστου εἰσὶν οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν
18 σωτηρίας ⋄ τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας διαπονηθεὶς δὲ ὁ˚
παῦλος καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπεν παραγγέλλω σοι ἐν
τῷ ὀνόματι ἰησοῦ χριστοῦ ἐξελθεῖν ἀπ᾽ αὐτῆς καὶ ἐξῆλθεν αὐτῇ
19 τῇ ὥρᾳ ⋄ ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐρ-
γασίας αὐτῶν ἐπιλαβόμενοι τὸν παῦλον καὶ τὸν σίλαν εἵλκυσαν
20 εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας ⋄ καὶ προσαγαγόντες αὐτοὺς
τοῖς στρατηγοῖς εἶπόν οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν
21 τὴν πόλιν ἰουδαῖοι ὑπάρχοντες ⋄ καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ
22 ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν ῥωμαίοις οὖσιν ⋄ καὶ συ-
νεπέστη ὁ ὄχλος κατ᾽ αὐτῶν καὶ οἱ στρατηγοὶ περιρρήξαντες αὐ-
23 τῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν ⋄ πολλάς τε ἐπιθέντες αὐτοῖς
πληγὰς ἔβαλον εἰς φυλακὴν παραγγείλαντες τῷ δεσμοφύλακι
24 ἀσφαλῶς τηρεῖν αὐτούς ⋄ ὃς παραγγελίαν τοιαύτην εἰληφὼς ἔ-

---

v.10 𝕋*: την, 𝕍: ∅. **v.10** 𝕋*: κυριος, 𝕍: θεος. **v.11** 𝕋*: αναχθεντες ουν, 𝕍: αναχθεντες δε, D: τη δε επαυριον αναχθεντες. **v.11** 𝕋*: της, 𝕍: ∅. **v.11** 𝕋*: τε, 𝕍: δε. **v.11** 𝕋*: νεαπολιν, 𝕍: νεαν πολιν. **v.12** 𝕋*: εκειθεν τε, 𝕍: κακειθεν. **v.12** 𝕋*: πρωτη της, 𝕍: πρωτη[ς]. **v.12** 𝕋 𝕂 𝕍: κολωνια, 𝕄: κολωνεια. **v.12** 𝕋 𝕂 𝕍: ταυτη, 𝕄: αυτη. **v.13** 𝕋*: πολεως, 𝕍: πυλης. **v.13** 𝕋*: ενομιζετο προσευχη, 𝕍: ενομιζομεν προσευχην. **v.15** 𝕋*: μεινατε, 𝕍: μενετε. **v.16** 𝕋*: προσευχην, 𝕍: την προσευχην. **v.16** 𝕋*: πυθωνος απαντησαι, 𝕍: πυθωνα υπαντησαι. **v.17** 𝕋*: κατακολουθησασα, 𝕍: κατακολουθουσα. **v.17** 𝕋*: ημιν, 𝕍: υμιν. **v.18** 𝕋*: ο, 𝕍: ∅. **v.18** 𝕋*: τω, 𝕍: ∅. **v.20** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.22** 𝕋*: περιρρηξαντες, 𝕍: περιρηξαντες. **v.24** 𝕋*: ειληφως, 𝕍: λαβων.

βαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν καὶ τοὺς πόδας αὐτῶν˚
ἠσφαλίσατο εἰς τὸ ξύλον ⸰ κατὰ δὲ τὸ μεσονύκτιον παῦλος καὶ 25
σίλας προσευχόμενοι ὕμνουν τὸν θεὸν ἐπηκροῶντο δὲ αὐτῶν οἱ
δέσμιοι ⸰ ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας ὥστε σαλευθῆναι τὰ 26
θεμέλια τοῦ δεσμωτηρίου ἀνεῴχθησάν˚ τε παραχρῆμα αἱ θύραι
πᾶσαι καὶ πάντων τὰ δεσμὰ ἀνέθη ⸰ ἔξυπνος δὲ γενόμενος ὁ δε- 27
σμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς σπασά-
μενος μάχαιραν˚ ἔμελλεν ἑαυτὸν ἀναιρεῖν νομίζων ἐκπεφευγέ-
ναι τοὺς δεσμίους ⸰ ἐφώνησεν δὲ φωνῇ˚ μεγάλῃ ὁ παῦλος λέγων 28
μηδὲν πράξῃς σεαυτῷ κακὸν ἅπαντες γάρ ἐσμεν ἐνθάδε ⸰ αἰτή- 29
σας δὲ φῶτα εἰσεπήδησεν καὶ ἔντρομος γενόμενος προσέπεσεν
τῷ παύλῳ καὶ τῷ σίλᾳ ⸰ καὶ προαγαγὼν αὐτοὺς ἔξω ἔφη κύριοι 30
τί με δεῖ ποιεῖν ἵνα σωθῶ ⸰ οἱ δὲ εἶπόν πίστευσον ἐπὶ τὸν κύριον 31
ἰησοῦν χριὸτὸν καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου ⸰ καὶ ἐλάλησαν 32
αὐτῷ τὸν λόγον τοῦ κυρίου κἀὶ πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ ⸰
καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν 33
ἀπὸ τῶν πληγῶν καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες πα-
ραχρῆμα ⸰ ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐὶτοῦ παρέθηκεν 34
τράπεζαν καὶ ἠγαλλιάσατο˚ πανοικὶ πεπιστευκὼς τῷ θεῷ ⸰ ἡμέ- 35
ρας δὲ γενομένης ἀπέστειλαν˚ οἱ στρατηγοὶ τοὺς ῥαβδούχους
λέγοντες ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνουὲ ⸰ ἀπήγγειλεν δὲ 36
ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν παῦλον ὅτι ἀ-
πεστάλκαὸιν οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε νῦν οὖν ἐξελθόντες
πορεύεσθε ἐν εἰρήνῃ ⸰ ὁ δὲ παῦλος ἔφη πρὸς αὐτοὺς δείραντες 37
ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους ῥωμαίους ὑπάρχον-
τας ἔβαλὸν εἰς φυλακὴν καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν οὐ
γὰρ ἀλλὰ ἐλθόντες αὐτοὶ ἡὶμᾶς ἐξαγαγέτωσαν ⸰ ἀὴήγγειλαν δὲ 38
τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα καὶ˚ ἐφοβήθη-
σαν ἀκούσαντες ὅτι ῥωμαῖοί εἰσιν ⸰ καὶ ἐλθόντες παρεκάλεσαν 39
αὐτοὺς καὶ ἐξαγαγόντες ἠρώτων ἐξἐλθεῖν τῆς πόλεως ⸰ ἐξελθόν- 40
τες δὲ ἐκ̀ τῆς φυλακῆς εἰσῆλθον ἐἰς τὴν λυδίαν καὶ ἰδόντες τοὺς˚

---

v.24 𝕋*: αυτων ησφαλισατο, 𝕍: ησφαλισατο αυτων. **v.26** 𝕋*: ανεωχθησαν τε, 𝕍: ηνεω-
χθησαν δε. **v.27** 𝕋*: μαχαιραν εμελλεν, 𝕍: [την] μαχαιραν ημελλεν. **v.28** 𝕋*: φωνη
μεγαλη, 𝕍: μεγαλη φωνη. **v.31** 𝕋*: εἶπον, 𝕍: εἶπιαν. **v.31** 𝕋*: χριστον, 𝕍: ∅. **v.32** 𝕋*:
και, 𝕍: συν. **v.34** 𝕋*: αυτου, 𝕍: ∅. **v.34** 𝕋 𝕂: ηγαλλιασατο πανοικι, 𝕄: ηγαλλιατο
πανοικι, 𝕍: ηγαλλιασατο πανοικει. **v.35** 𝔼: απεστειλαν οι στρατηγοι, D: συνηλθον οι στρα-
τηγοι επι το αυτο εις την αγοραν και αναμνησθεντες τον σεισμον τον γεγονοτα εφοβηθησαν και
απεστειλαν. **v.35** 𝔼: εκεινους, D: εκεινους ους εχθες παρελαβες. **v.36** 𝕋*: απεσταλκασιν,
𝕍: απεσταλκαν. **v.37** 𝕋*: εβαλον, 𝕍: εβαλαν. **v.37** 𝕋 𝕂 𝕍: ημας, 𝕄: ∅. **v.38** 𝕋*: ανηγγει-
λαν, 𝕍: απηγγειλαν. **v.38** 𝕋*: και εφοβηθησαν, 𝕍: εφοβηθησαν δε. **v.39** 𝕋*: εξελθειν, 𝕍:
απελθειν απο. **v.40** 𝕋*: εκ, 𝕍: απο. **v.40** 𝕋 𝕂: εις, 𝕄 𝕍: προς. **v.40** 𝕋*: τους αδελφους
παρεκαλεσαν αυτους και εξηλθον, 𝕍: παρεκαλεσαν τους αδελφους και εξηλθαν.

ἀδελφοὺς παρεκάλεσαν αὐτοὺς καὶ ἐξῆλθον ⋄

17 διοδεύσαντες δὲ τὴν ἀμφίπολιν καὶ ἀπολλωνίαν ἦλθον εἰς
2 θεσσαλονίκην ὅπου ἦν ἡ˚ συναγωγὴ τῶν ἰουδαίων ⋄ κατὰ δὲ τὸ
εἰωθὸς τῷ παύλῳ εἰσῆλθεν πρὸς αὐτοὺς καὶ ἐπὶ σάββατα τρία
3 διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν ⋄ διανοίγων καὶ παρατιθέμε-
νος ὅτι τὸν χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν καὶ
4 ὅτι οὗτός ἐστιν ὁ χριστὸς ἰ҃ησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν ⋄ καί
τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ παύλῳ καὶ
τῷ σίλᾳ τῶν τε σεβομένων ἑλλήνων πολὺ˚ πλῆθος γυναικῶν τε
5 τῶν πρώτων οὐκ ὀλίγαι ⋄ ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες˚ ἰουδαῖοι
καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς˚ ἄνδρας πονηροὺς καὶ
ὀχλοποιήσαντες ἐθορύβουν τὴν πόλιν ἐπιστάντες˚ τε τῇ οἰκίᾳ ἰ-
6 άσονος ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον ⋄ μὴ εὑρόντες δὲ
αὐτοὺς ἔσυρον τὸν ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολι-
τάρχας βοῶντες ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες οὗτοι
7 καὶ ἐνθάδε πάρεισιν ⋄ οὓς ὑποδέδεκται ἰάσων καὶ οὗτοι πάντες
ἀπέναντι τῶν δογμάτων καίσαρος πράττουσιν βασιλέα λέγοντες˚
8 ἕτερον εἶναι ἰ҃ησοῦν ⋄ ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας
9 ἀκούοντας ταῦτα ⋄ καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ ἰάσονος καὶ
10 τῶν λοιπῶν ἀπέλυσαν αὐτούς ⋄ οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυ-
κτὸς ἐξέπεμψαν τόν τε παῦλον καὶ τὸν σίλαν εἰς βέροιαν οἵτινες
11 παραγενόμενοι εἰς τὴν συναγωγὴν τῶν˚ ἰουδαίων ἀπῄεσαν ⋄ οὗ-
τοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν θεσσαλονίκῃ οἵτινες ἐδέξαντο
τὸν λόγον μετὰ πάσης προθυμίας τὸ καθ᾽ ἡμέραν ἀνακρίνον-
12 τες τὰς γραφὰς εἰ ἔχοι ταῦτα οὕτως ⋄ πολλοὶ μὲν οὖν ἐξ αὐτῶν
ἐπίστευσαν καὶ τῶν ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων καὶ
13 ἀνδρῶν οὐκ ὀλίγοι ⋄ ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς θεσσαλονίκης
ἰουδαῖοι ὅτι καὶ ἐν τῇ βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ παύλου ὁ
14 λόγος τοῦ θεοῦ ἦλθον κἀκεῖ σαλεύοντεȩ τοὺς ὄχλους ⋄ εὐθέως
δὲ τότε τὸν παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡȩ ἐπὶ
15 τὴν θάλασσαν ὑπέμενον˚ δὲ ὅ τε σίλας καὶ ὁ τιμόθεος ἐκεῖ ⋄ οἱ δὲ
καθιστῶντες τὸν παῦλον ἤγαγον αὐτὸν ἕως ἀθηνῶν καὶ λαβόν-

17.v.1 𝕋*: απολλωνιαν, 𝕍: την απολλωνιαν. **v.1** 𝕋*: η, 𝕍: ∅. **v.2** 𝕋 𝕂: διελεγετο, 𝕄 𝕍: διελεξατο. **v.3** 𝕋*: ιησους, 𝕍: [ο] ιησους. **v.4** 𝕋*: πολυ πληθος, 𝕍: πληθος πολυ. **v.5** 𝕋 𝕂 𝕍: ζηλωσαντες, 𝕄: προσλαβομενοι. **v.5** 𝕋 𝕂: απειθουντες ιουδαιοι και προσλαβομενοι, 𝕄: ιουδαιοι οι απειθουντες, 𝕍: ιουδαιοι και προσλαβομενοι. **v.5** 𝕋*: τινας ανδρας, 𝕍: ανδρας τινας. **v.5** 𝕋*: επισταντες τε, 𝕍: και επισταντες. **v.5** 𝕋*: αγαγειν, 𝕍: προαγαγειν. **v.6** 𝕋*: τον, 𝕍: ∅. **v.7** 𝕋 𝕂: πραττουσιν, 𝕄 𝕍: πρασσουσιν. **v.7** 𝕋*: λεγοντες ετερον, 𝕍: ετερον λεγοντες. **v.10** 𝕋*: της, 𝕍: ∅. **v.10** 𝕋 𝕂 𝕍: των ιουδαιων απηεσαν, 𝕄: απηεσαν των ιουδαιων. **v.11** 𝕋*: το, 𝕍: ∅. **v.13** 𝕋*: σαλευοντες, 𝕍: σαλευοντες και ταρασσοντες. **v.14** 𝕋*: ως, 𝕍: εως. **v.14** 𝕋*: υπεμενον δε, 𝕍: υπεμειναν τε. **v.15** 𝕋*: καθιστωντες, 𝕍: καθιστανοντες. **v.15** 𝕋*: αυτον, 𝕍: ∅.

τες ἐντολὴν πρὸς τὸν σίλαν καὶ τιμόθεον ἵνα ὡς τάχιστα ἔλθωσιν
πρὸς αὐτὸν ἐξῆεσαν ◦ ἐν δὲ ταῖς ἀθήναις ἐκδεχομένου αὐτοὺς 16
τοῦ παύλου παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι
κατείδωλον οὖσαν τὴν πόλιν ◦ διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ 17
τοῖς ἰουδαίοις καὶ τοῖς σεβομένοις καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν
ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας ◦ τινὲς δὲ τῶν˚ ἐπικουρείων 18
καὶ τῶν στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ καί τινες ἔλεγον τί
ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν οἱ δὲ ξένων δαιμονίων δο-
κεῖ καταγγελεὺς εἶναι ὅτι τὸν ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς
εὐηγγελίζετο ◦ ἐπιλαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν ἄρειον πάγον ἤ- 19
γαγον λέγοντες δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ
λαλουμένη διδαχή ◦ ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς 20
ἡμῶν βουλόμεθα οὖν γνῶναι τί˚ ἂν θέλοι ταῦτα εἶναι ◦ ἀθηναῖοι 21
δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν
ἢ λέγειν τι καὶ˚ ἀκούειν καινότερον ◦ σταθεὶς δὲ ὁ παῦλος ἐν 22
μέσῳ τοῦ ἀρείου πάγου ἔφη ἄνδρες ἀθηναῖοι κατὰ πάντα ὡς
δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ ◦ διερχόμενος γὰρ καὶ ἀναθε- 23
ωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο
ἀγνώστῳ θεῷ ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε τοῦτον ἐγὼ καταγ-
γέλλω ὑμῖν ◦ ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ 24
οὗτος οὐρανοῦ καὶ γῆς κύριος˚ ὑπάρχων οὐκ ἐν χειροποιήτοις
ναοῖς κατοικεῖ ◦ οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσ- 25
δεόμενός τινος αὐτὸς διδοὺς πᾶσιν ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα ◦
ἐποίησέν τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ 26
πᾶν˚ τὸ πρόσωπον τῆς γῆς ὁρίσας προτεταγμένους καιροὺς καὶ
τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν ◦ ζητεῖν τὸν κύριον εἰ ἄρα γε 27
ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς
ἑκάστου ἡμῶν ὑπάρχοντα ◦ ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα 28
καί ἐσμεν ὡς καί τινες τῶν καθ᾽ ὑμᾶς ποιητῶν εἰρήκασιν τοῦ
γὰρ καὶ γένος ἐσμέν ◦ γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ οὐκ ὀ- 29
φείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ χαράγματι τέχνης
καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον ◦ τοὺς μὲν οὖν 30
χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεὸς τὰ νῦν παραγγέλλει τοῖς

v.15 𝕋*: τιμοθεον, 𝕍: τον τιμοθεον. **v.16** 𝕋*: θεωρουντι, 𝕍: θεωρουντος. **v.18** 𝕋 𝕂: των επικουρειων και των στωικων, 𝕄: και των επικουρειων και των στοικων, 𝕍: και των επικουρειων και στοικων. **v.18** 𝕋 𝕂: αυτοις, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: τι αν θελοι, 𝕍: τινα θελει. **v.21** 𝕋*: ευκαιρουν, 𝕍: ηυκαιρουν. **v.21** 𝕋*: και ακουειν, 𝕍: η ακουειν τι. **v.23** 𝕋*: ον, 𝕍: ο. **v.23** 𝕋*: τουτον, 𝕍: τουτο. **v.24** 𝕋*: κυριος υπαρχων, 𝕍: υπαρχων κυριος. **v.25** 𝕋*: ανθρωπων, 𝕍: ανθρωπινων. **v.25** 𝕋 𝕄: κατα, 𝕂 𝕍: και τα. **v.26** 𝕋*: αιματος, 𝕍: ∅, **XXX**: στοματος. **v.26** 𝕋*: παν το προσωπον, 𝕍: παντος προσωπου. **v.26** 𝕋 𝕂: προτεταγμενους, 𝕄 𝕍: προστεταγμενους. **v.27** 𝕋*: κυριον, 𝕍: θεον. **v.27** 𝕋 𝕂: καιτοιγε, 𝕄: καιγε, 𝕍: και γε.

31 ἀνθρώποις πᾶσιν πανταχοῦ μετανοεῖν ⸰ διότι ἔστησεν ἡμέραν ἐν
ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν᾽ ἀνδρὶ ᾧ ὥρι-
32 σεν πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν ⸰ ἀκού-
σαντες δὲ ἀνάστασιν νεκρῶν οἱ μὲν ἐχλεύαζον οἱ δὲ εἶπόν ἀκου-
33 σόμεθά σου πάλιν᾽ περὶ τούτου ⸰ καὶ οὕτως ὁ παῦλος ἐξῆλθεν
34 ἐκ μέσου αὐτῶν ⸰ τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν
ἐν οἷς καὶ διονύσιος ὁ ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι δάμαρις
καὶ ἕτεροι σὺν αὐτοῖς ⸰

18 μετὰ δὲ᾽ ταῦτα χωρισθεὶς ὁ᾽ παῦλος ἐκ τῶν ἀθηνῶν ἦλθεν εἰς
2 κόρινθον ⸰ καὶ εὑρών τινα ἰουδαῖον ὀνόματι ἀκύλαν ποντικὸν
τῷ γένει προσφάτως ἐληλυθότα ἀπὸ τῆς ἰταλίας καὶ πρίσκιλ-
λαν γυναῖκα αὐτοῦ διὰ τὸ διατεταχέναι κλαύδιον χωρίζεσθαι
3 πάντας τοὺς ἰουδαίους ἐκ τῆς ῥώμης προσῆλθεν αὐτοῖς ⸰ καὶ
διὰ τὸ ὁμότεχνον εἶναι ἔμενεν παρ᾽ αὐτοῖς καὶ εἰργάζετο ἦσαν
4 γὰρ σκηνοποιοὶ τὴν᾽ τέχνην ⸰ διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ
5 πᾶν σάββατον ἔπειθέν τε ἰουδαίους καὶ ἕλληνας ⸰ ὡς δὲ κατῆλ-
θον ἀπὸ τῆς μακεδονίας ὅ τε σίλας καὶ ὁ τιμόθεος συνείχετο
τῷ πνεύματι ὁ παῦλος διαμαρτυρόμενος τοῖς ἰουδαίοις τὸν χρι-
6 στὸν ἰησοῦν ⸰ ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων ἐ-
κτιναξάμενος τὰ ἱμάτια εἶπεν πρὸς αὐτοὺς τὸ αἷμα ὑμῶν ἐπὶ
τὴν κεφαλὴν ὑμῶν καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πο-
7 ρεύσομαι ⸰ καὶ μεταβὰς ἐκεῖθεν ἦλθὲν εἰς οἰκίαν τινὸς ὀνόματι
ἰούστου σεβομένου τὸν θεὸν οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ
8 συναγωγῇ ⸰ κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσεν τῷ κυρίῳ
σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ καὶ πολλοὶ τῶν κορινθίων ἀκούοντες
9 ἐπίστευον καὶ ἐβαπτίζοντο ⸰ εἶπεν δὲ ὁ κύριος δι᾽ ὁράματος ἐν
10 νυκτὶ τῷ παύλῳ μὴ φοβοῦ ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς ⸰ διότι
ἐγώ εἰμι μετὰ σοῦ καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε
11 διότι λαός ἐστίν μοι πολὺς ἐν τῇ πόλει ταύτῃ ⸰ ἐκάθισέν τε ἐ-
νιαυτὸν καὶ μῆνας ἓξ διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ θεοῦ ⸰
12 γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς ἀχαΐας κατεπέστησαν ὁμο-
θυμαδὸν οἱ ἰουδαῖοι τῷ παύλῳ καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα ⸰
13 λέγοντες ὅτι παρὰ τὸν νόμον οὗτος᾽ ἀναπείθει τοὺς ἀνθρώπους
14 σέβεσθαι τὸν θεόν ⸰ μέλλοντος δὲ τοῦ παύλου ἀνοίγειν τὸ στόμα

---

v.30 𝕋*: πασιν, 𝕍: παντας. **v.31** 𝕋*: διοτι, 𝕍: καθοτι. **v.31** 𝔼: εν ανδρι, D: ανδρι ιησου. **v.32** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.32** 𝕋*: παλιν περι τουτου, 𝕍: περι τουτου και παλιν. **v.33** 𝕋*: και, 𝕍: ∅. **18.v.1** 𝕋*: δε, 𝕍: ∅. **v.1** 𝕋*: ο παυλος, 𝕍: ∅. **v.2** 𝕋 𝕂 𝕍: διατεταχεναι, 𝕄: τεταχεναι. **v.2** 𝕋*: εκ, 𝕍: απο. **v.3** 𝕋*: ειργαζετο, 𝕍: ηργαζετο. **v.3** 𝕋*: την τεχνην, 𝕍: τη τεχνη. **v.5** 𝕋*: πνευματι, 𝕍: λογω. **v.5** 𝕋*: τον, 𝕍: ειναι τον. **v.7** 𝕋*: ηλθεν, 𝕍: εισηλθεν. **v.7** 𝕋*: ιουστου, 𝕍: τιτιου ιουστου. **v.9** 𝕋*: δι οραματος εν νυκτι, 𝕍: εν νυκτι δι οραματος. **v.11** 𝕋*: τε, 𝕍: δε. **v.12** 𝕋*: ανθυπατευοντος, 𝕍: ανθυπατου οντος. **v.13** 𝕋*: ουτος αναπειθει, 𝕍: αναπειθει ουτος.

εἶπεν ὁ γαλλίων πρὸς τοὺς ἰουδαίους εἰ μὲν ὄὖν ἦν ἀδίκημά τι
ἢ ῥᾳδιούργημα πονηρὸν ὦ ἰουδαῖοι κατὰ λόγον ἂν ἠ᾽νεσχόμην
ὑμῶν ⸰ εἰ δὲ ζήτημά ἐστιν περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου 15
τοῦ καθ᾽ ὑμᾶς ὄψεσθε αὐτοὶ κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι
εἶναι ⸰ καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος ⸰ ἐπιλαβόμενοι δὲ 16, 17
πάντες οἱ᾽ ἕλληνες σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμ-
προσθεν τοῦ βήματος καὶ οὐδὲν τούτων τῷ γαλλίωνι ἔμελε᾽ν ⸰
ὁ δὲ παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς τοῖς ἀδελφοῖς ἀ- 18
ποταξάμενος ἐξέπλει εἰς τὴν συρίαν καὶ σὺν αὐτῷ πρίσκιλλα
καὶ ἀκύλας κειράμενος τὴν᾽ κεφαλὴν ἐν κεγχρεαῖς εἶ᾽χεν γὰρ
εὐχήν ⸰ κατήντησε᾽ν δὲ εἰς ἔφεσον κἀ᾽κείνους κατέλιπεν αὐτοῦ 19
αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέ᾽χθη τοῖς ἰουδαίοις ⸰
ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ᾽᾽ αὐτοῖς οὐκ 20
ἐπένευσεν ⸰ ἀλλ᾽᾽ ἀπετάξατο αὐτοῖς εἰπὼν δεῖ με πάντως τὴν ἑορ- 21
τὴν τὴν ἐρχομένην ποιῆσαι εἰς ἱεροσόλυμα πάλιν δὲ ἀνακάμψω
πρὸς ὑμᾶς τοῦ θεοῦ θέλοντος κἀ᾽ι ἀνήχθη ἀπὸ τῆς ἐφέσου ⸰ καὶ 22
κατελθὼν εἰς καισάρειαν ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλη-
σίαν κατέβη εἰς ἀντιόχειαν ⸰ καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθεν 23
διερχόμενος καθεξῆς τὴν γαλατικὴν χώραν καὶ φρυγίαν ἐπι-
στηρίζων πάντας τοὺς μαθητάς ⸰ ἰουδαῖος δέ τις ἀπολλὼς ὀνό- 24
ματι ἀλεξανδρεὺς τῷ γένει ἀνὴρ λόγιος κατήντησεν εἰς ἔφεσον
δυνατὸς ὢν ἐν ταῖς γραφαῖς ⸰ οὗτος ἦν κατηχημένος τὴν ὁδὸν 25
τοῦ κυρίου καὶ ζέων τῷ πνεύματι ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς
τὰ περὶ τοῦ κυρίου ἐπιστάμενος μόνον τὸ βάπτισμα ἰωάννου ⸰
οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ ἀκούσαντες 26
δὲ αὐτοῦ ἀκύλας᾽ καὶ πρίσκιλλα προσελάβοντο αὐτὸν καὶ ἀ-
κριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ᾽ θεοῦ ὁδόν ⸰ βουλομένου δὲ 27
αὐτοῦ διελθεῖν εἰς τὴν ἀχαΐαν προτρεψάμενοι οἱ ἀδελφοὶ ἔ-
γραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτὸν ὃς παραγενόμενος
συνεβάλετο πολὺ τοῖς πεπιστευκόσιν διὰ τῆς χάριτος ⸰ εὐτόνως 28
γὰρ τοῖς ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ ἐπιδεικνὺς διὰ τῶν
γραφῶν εἶναι τὸν χριστὸν ἰησοῦν ⸰

ἐγένετο δὲ ἐν τῷ τὸν ἀπολλὼ εἶναι ἐν κορίνθῳ παῦλον διελ- **19**

---

v.14 𝕋*: ουν, 𝕍: ∅. **v.14** 𝕋*: ηνεσχομην, 𝕍: ανεσχομην. **v.15** 𝕋*: ζητημα, 𝕍: ζητηματα. **v.15** 𝕋*: γαρ, 𝕍: ∅. **v.17** 𝕋*: οι ελληνες, 𝕍: ∅. **v.17** 𝕋 𝕂 𝕍: εμελεν, 𝕄: εμελλεν. **v.18** 𝕋*: την κεφαλην εν κεγχρεαις, 𝕍: εν κεγχρεαις την κεφαλην. **v.19** 𝕋*: κατηντησεν, 𝕍: κατηντησαν. **v.19** 𝕋 𝕂 𝕍: κακεινους, 𝕄: και εκεινους. **v.19** 𝕋*: διελεχθη, 𝕍: διελεξατο. **v.20** 𝕋*: παρ αυτοις, 𝕍: ∅. **v.21** 𝕋*: αλλ απεταξατο αυτοις ειπων δει με παντως την εορτην την ερχομενην ποιησαι εις ιεροσολυμα παλιν δε, 𝕍: αλλα αποταξαμενος και ειπων παλιν. **v.21** 𝕋*: και, 𝕍: ∅. **v.25** 𝕋*: κυριου, 𝕍: ιησου. **v.26** 𝕋*: ακυλας και πρισκιλλα, 𝕍: πρισκιλλα και ακυλας. **v.26** 𝕋*: του θεου οδον, 𝕍: οδον [του θεου].

θόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς ἔφεσον καὶ εὑρών τινας
2 μαθητάς ◦ εἶπεν πρὸς αὐτοὺς εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύ-
σαντες οἱ δὲ εἶπον πρὸς αὐτὸν ἀλλ᾽ οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν
3 ἠκούσαμεν ◦ εἶπέν τε πρὸς˚ αὐτοὺς εἰς τί οὖν ἐβαπτίσθητε οἱ δὲ
4 εἶπόν εἰς τὸ ἰωάννου βάπτισμα ◦ εἶπεν δὲ παῦλος ἰωάννης μὲν
ἐβάπτισεν βάπτισμα μετανοίας τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον
μετ᾽ αὐτὸν ἵνα πιστεύσωσιν τουτέστιν εἰς τὸν χριστὸν ἰησοῦν ◦
5 ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου ἰησοῦ ◦
6 καὶ ἐπιθέντος αὐτοῖς τοῦ παύλου τὰς χεῖρας ἦλθεν τὸ πνεῦμα
7 τὸ ἅγιον ἐπ᾽ αὐτοὺς ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον ◦ ἦ-
8 σαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκἁδύο ◦ εἰσελθὼν δὲ εἰς τὴν
συναγωγὴν ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ
9 πείθων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ ◦ ὡς δέ τινες ἐσκληρύ-
νοντο καὶ ἠπείθουν κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλή-
θους ἀποστὰς ἀπ᾽ αὐτῶν ἀφώρισεν τοὺς μαθητὰς καθ᾽ ἡμέραν
10 διαλεγόμενος ἐν τῇ σχολῇ τυράννου τινός ◦ τοῦτο δὲ ἐγένετο ἐ-
πὶ ἔτη δύο ὥστε πάντας τοὺς κατοικοῦντας τὴν ἀσίαν ἀκοῦσαι
11 τὸν λόγον τοῦ κυρίου ἰησοῦ ἰουδαίους τε καὶ ἕλληνας ◦ δυνά-
μεις τε οὐ τὰς τυχούσας ἐποίει˚ ὁ θεὸς διὰ τῶν χειρῶν παύλου ◦
12 ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς
αὐτοῦ σουδάρια ἢ σιμικίνθια καὶ ἀπαλλάσσεσθαι ἀπ᾽ αὐτῶν
τὰς νόσους τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι˚ ἀπ᾽ αὐτῶν ◦
13 ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων ἰουδαίων ἐξορ-
κιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ
ὄνομα τοῦ κυρίου ἰησοῦ λέγοντες ὁρκίζομεν ὑμᾶς τὸν ἰησοῦν
14 ὃν ὁ˚ παῦλος κηρύσσει ◦ ἦσαν δέ τινες˚ υἱοὶ σκευᾶ ἰουδαίου ἀρ-
15 χιερέως ἑπτὰ οἳ τοῦτο ποιοῦντες ◦ ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ
πονηρὸν εἶπεν τὸν˚ ἰησοῦν γινώσκω καὶ τὸν παῦλον ἐπίσταμαι
16 ὑμεῖς δὲ τίνες ἐστέ ◦ καὶ ἐφαλλόμενος˚ ἐπ᾽ αὐτοὺς ὁ ἄνθρωπος ἐν
ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν καὶ˚ κατακυριεύσας αὐτῶν ἴσχυσεν
κατ᾽ αὐτῶν ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ
17 τοῦ οἴκου ἐκείνου ◦ τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν ἰουδαίοις

19.v.1 𝕋*: ελθειν, 𝕍: [κατ]ελθειν. **v.1** 𝕋*: ευρων, 𝕍: ευρειν. **v.2** 𝕋*: ειπεν, 𝕍: ειπεν τε. **v.2** 𝕋*: εἶπον, 𝕍: ∅. **v.2** 𝕋*: ουδε, 𝕍: ουδ. **v.3** 𝕋*: πρὸς αὐτοὺς, 𝕍: ∅. **v.3** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.4** 𝕋*: μεν, 𝕍: ∅. **v.4** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.4** 𝕋*: χριστον, 𝕍: ∅. **v.6** 𝕋*: προεφητευον, 𝕍: επροφητευον. **v.7** 𝕋*: δεκαδυο, 𝕍: δωδεκα. **v.9** 𝕋*: τινος, 𝕍: ∅. **v.10** 𝕋*: ιησου, 𝕍: ∅. **v.11** 𝕋*: εποιει ο θεος, 𝕍: ο θεος εποιει. **v.12** 𝕋*: επιφερεσθαι, 𝕍: αποφερεσθαι. **v.12** 𝕋*: εξερχεσθαι απ αυτων, 𝕍: εκπορευεσθαι. **v.13** 𝕋*: απο, 𝕍: και. **v.13** 𝕋*: ορκιζομεν, 𝕍: ορκιζω. **v.13** 𝕋*: ο, 𝕍: ∅. **v.14** 𝕋*: τινες υιοι, 𝕍: τινος. **v.14** 𝕋*: οι, 𝕍: υιοι. **v.15** 𝕋*: τον ιησουν, 𝕍: αυτοις τον [μεν] ιησουν. **v.16** 𝕋*: εφαλλομενος επ αυτους ο ανθρωπος, 𝕍: εφαλομενος ο ανθρωπος επ αυτους. **v.16** 𝕋 𝕂: και κατακυριευσας αυτων, 𝕄: και κατακυριευσαν αυτων, 𝕍: κατακυριευσας αμφοτερων.

τε καὶ ἔλλησιν τοῖς κατοικοῦσιν τὴν ἔφεσον καὶ ἐπέπεσεν φό-
βος ἐπὶ πάντας αὐτοὺς καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ κυρίου
ἰησοῦ ⸰ πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι 18
καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν ⸰ ἱκανοὶ δὲ τῶν τὰ περί- 19
εργα πραξάντων συνενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον
πάντων καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν καὶ εὗρον ἀργυρίου
μυριάδας πέντε ⸰ οὕτως κατὰ κράτος ὁ˚ λόγος τοῦ κυρίου ηὔ- 20
ξανεν καὶ ἴσχυεν ⸰ ὡς δὲ ἐπληρώθη ταῦτα ἔθετο ὁ παῦλος ἐν 21
τῷ πνεύματι διελθὼν τὴν μακεδονίαν καὶ ἀχαΐαν πορεύεσθαι
εἰς ἱερουσάλὴμ εἰπὼν ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ
ῥώμην ἰδεῖν ⸰ ἀποστείλας δὲ εἰς τὴν μακεδονίαν δύο τῶν διακο- 22
νούντων αὐτῷ τιμόθεον καὶ ἔραστον αὐτὸς ἐπέσχεν χρόνον εἰς
τὴν ἀσίαν ⸰ ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀ- 23
λίγος περὶ τῆς ὁδοῦ ⸰ δημήτριος γάρ τις ὀνόματι ἀργυροκόπος 24
ποιῶν ναοὺς ἀργυροῦς ἀρτέμιδος παρείχετο τοῖς τεχνίταις ἐρ-
γασίαν˚ οὐκ ὀλίγην ⸰ οὓς συναθροίσας καὶ τοὺς περὶ τὰ τοιαῦτα 25
ἐργάτας εἶπεν ἄνδρες ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ
εὐπορία ἡμῶν ἐστιν ⸰ καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον ἐ- 26
φέσου ἀλλὰ σχεδὸν πάσης τῆς ἀσίας ὁ παῦλος οὗτος πείσας
μετέστησεν ἱκανὸν ὄχλον λέγων ὅτι οὐκ εἰσὶν θεοὶ οἱ διὰ χει-
ρῶν γινόμενοι ⸰ οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς 27
ἀπελεγμὸν ἐλθεῖν ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς ἀρτέμιδος˚ ἱ-
ερὸν εἰς οὐδὲν λογισθῆναι μέλλειν δὲ˚ καὶ καθαιρεῖσθαι τὴν˚
μεγαλειότητα αὐτῆς ἣν ὅλη ἡ ἀσία καὶ ἡ οἰκουμένη σέβεται ⸰
ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον λέγοντες 28
μεγάλη ἡ ἄρτεμις ἐφεσίων ⸰ καὶ ἐπλήσθη ἡ πόλις ὅλὴ συγχύ- 29
σεως ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον συναρπάσαντες
γάϊον καὶ ἀρίσταρχον μακεδόνας συνεκδήμους τοῦ παύλου ⸰
τοῦ˚ δὲ παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον οὐκ εἴων 30
αὐτὸν οἱ μαθηταί ⸰ τινὲς δὲ καὶ τῶν ἀσιαρχῶν ὄντες αὐτῷ φί- 31
λοι πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς
τὸ θέατρον ⸰ ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον ἦν γὰρ ἡ ἐκκλησία 32
συγκεχυμένη καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνε-
ληλύθεισαν ⸰ ἐκ δὲ τοῦ ὄχλου ἠροεβίβασαν ἀλέξανδρον προβα- 33

---

v.20 𝕋*: ο λογος του κυριου, 𝕍: του κυριου ο λογος. **v.21** 𝕋*: ιερουσαλημ, 𝕍: ιεροσολυμα. **v.24** 𝕋*: εργασιαν ουκ ολιγην, 𝕍: ουκ ολιγην εργασιαν. **v.25** 𝕋*: ημων, 𝕍: ημιν. **v.27** 𝕋 𝕂 𝕍: αρτεμιδος ιερον, 𝕄: ιερον αρτεμιδος. **v.27** 𝕋 𝕂: ουδεν, 𝕄 𝕍: ουθεν. **v.27** 𝕋 𝕄: δε, 𝕂 𝕍: τε. **v.27** 𝕋*: την μεγαλειοτητα, 𝕍: της μεγαλειοτητος. **v.29** 𝕋 𝕂: ολη, 𝕄: ολη της, 𝕍: της. **v.29** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.30** 𝕋*: του δε παυλου, 𝕍: παυλου δε. **v.32** 𝕋*: ενεκεν, 𝕍: ενεκα. **v.33** 𝕋*: προεβιβασαν, 𝕍: συνεβιβασαν.

λόντων αὐτὸν τῶν ἰουδαίων ὁ δὲ ἀλέξανδρος κατασείσας τὴν
34 χεῖρα ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ ⋄ ἐπιγνόντων δὲ ὅτι ἰουδαῖ-
ός ἐστιν φωνὴ ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων
35 μεγάλη ἡ ἄρτεμις ἐφεσίων ⋄ καταστείλας δὲ ὁ γραμματεὺς τὸν
ὄχλον φησὶν ἄνδρες ἐφέσιοι τίς γάρ ἐστιν ἄνθρωπος ὃς οὐ γι-
νώσκει τὴν ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς
36 ἀρτέμιδος καὶ τοῦ διοπετοῦς ⋄ ἀναντιρρήτων οὖν ὄντων τούτων
δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ μηδὲν προπετὲς
37 πρᾶττειν ⋄ ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους οὔτε ἱεροσύλους
38 οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν ⋄ εἰ μὲν οὖν δημήτριος καὶ
οἱ σὺν αὐτῷ τεχνῖται πρός τινα λόγον ἔχουσιν ἀγοραῖοι ἄγονται
39 καὶ ἀνθύπατοί εἰσιν ἐγκαλείτωσαν ἀλλήλοις ⋄ εἰ δέ τι περὶ ἑτέ-
40 ρων ἐπιζητεῖτε ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται ⋄ καὶ γὰρ
κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον μηδενὸς
αἰτίου ὑπάρχοντος περὶ οὗ δυνησόμεθα ἀποδοῦναι λόγον τῆς
41 συστροφῆς ταύτης ⋄ καὶ ταῦτα εἰπὼν ἀπέλυσεν τὴν ἐκκλησίαν ⋄

20 μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσκαλεσάμενος ὁ παῦ-
λος τοὺς μαθητὰς καὶ ἀσπασάμενος ἐξῆλθεν πορευθῆναι εἰς
2 τὴν μακεδονίαν ⋄ διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ παρακαλέσας
3 αὐτοὺς λόγῳ πολλῷ ἦλθεν εἰς τὴν ἑλλάδα ⋄ ποιήσας τε μῆνας
τρεῖς γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν ἰουδαίων μέλλοντι
ἀνάγεσθαι εἰς τὴν συρίαν ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ
4 μακεδονίας ⋄ συνείπετο δὲ αὐτῷ ἄχρι τῆς ἀσίας σώπατρος βε-
ροιαῖος θεσσαλονικέων δὲ ἀρίσταρχος καὶ σεκοῦνδος καὶ γάϊος
5 δερβαῖος καὶ τιμόθεος ἀσιανοὶ δέ τυχικὸς καὶ τρόφιμος ⋄ οὗ-
6 τοι προελθόντες ἔμενον ἡμᾶς ἐν τρωάδι ⋄ ἡμεῖς δὲ ἐξεπλεύσα-
μεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ φιλίππων καὶ ἤλθομεν
πρὸς αὐτοὺς εἰς τὴν τρωάδα ἄχρις ἡμερῶν πέντε οὗ διετρίψα-
7 μεν ἡμέρας ἑπτά ⋄ ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων τῶν
μαθητῶν τοῦ κλάσαι ἄρτον ὁ παῦλος διελέγετο αὐτοῖς μέλλων ἐ-
ξιέναι τῇ ἐπαύριον παρέτεινέν τε τὸν λόγον μέχρι μεσονυκτίου ⋄

---

v.33 𝕋 𝕄 𝕍: προβαλοντων, 𝕂: προβαλλοντων. **v.34** 𝕋 𝕂: επιγνοντων, 𝕄 𝕍: επιγνοντες. **v.35** 𝕋*: ανθρωπος, 𝕍: ανθρωπων. **v.35** 𝕋*: θεας, 𝕍: ∅. **v.36** 𝕋 𝕂: πραττειν, 𝕄 𝕍: πρασσειν. **v.37** 𝕋 𝕂: θεαν υμων, 𝕄: θεον υμων, 𝕍: θεον ημων. **v.38** 𝕋 𝕂: προς τινα λογον εχουσιν, 𝕄 𝕍: εχουσι προς τινα λογον. **v.39** 𝕋*: περι ετερων, 𝕍: περαιτερω. **v.40** 𝕋 𝕂: ου, 𝕄: ου ου, 𝕍: ου [ου]. **v.40** 𝕋 𝕂: αποδουναι λογον, 𝕄: δουναι λογον, 𝕍: αποδουναι λογον περι. **20.v.1** 𝕋*: προσκαλεσαμενος, 𝕍: μεταπεμψαμενος. **v.1** 𝕋*: ασπασαμενος, 𝕍: παρακαλεσας ασπασαμενος. **v.1** 𝕋*: πορευθηναι, 𝕍: πορευεσθαι. **v.1** 𝕋*: την, 𝕍: ∅. **v.3** 𝕋*: αυτω επιβουλης, 𝕍: επιβουλης αυτω. **v.3** 𝕋*: γνωμη, 𝕍: γνωμης. **v.4** 𝕋*: αχρι της ασιας σωπατρος, 𝕍: σωπατρος πυρρου. **v.5** 𝕋 𝕂: προελθοντες, 𝕄: προσελθοντες, 𝕍: δε προελθοντες. **v.6** 𝕋 𝕂: αχρις, 𝕄 𝕍: αχρι. **v.6** 𝕋*: ου, 𝕍: οπου. **v.7** 𝕋 𝕂: των μαθητων του, 𝕄: των μαθητων, 𝕍: ημων.

ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦσαν συνηγμένοι ⋄ 8
καθήμενος δέ τις νεανίας ὀνόματι εὔτυχος ἐπὶ τῆς θυρίδος κα- 9
ταφερόμενος ὕπνῳ βαθεῖ διαλεγομένου τοῦ παύλου ἐπὶ πλεῖον
κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω καὶ
ἤρθη νεκρός ⋄ καταβὰς δὲ ὁ παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμ- 10
περιλαβὼν εἶπεν μὴ θορυβεῖσθε ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ
ἐστιν ⋄ ἀναβὰς δὲ καὶ κλάσας ἄρτον καὶ γευσάμενος ἐφ᾽ ἱκανόν 11
τε ὁμιλήσας ἄχριȣ αὐγῆς οὕτως ἐξῆλθεν ⋄ ἤγαγον δὲ τὸν παῖδα 12
ζῶντα καὶ παρεκλήθησαν οὐ μετρίως ⋄ ἡμεῖς δὲ προελθόντες ἐ- 13
πὶ τὸ πλοῖον ἀνήχθημεν ἐἰς τὴν ἄσσον ἐκεῖθεν μέλλοντες ἀ-
ναλαμβάνειν τὸν παῦλον οὕτως γὰρ ἦν˚ διατεταγμένος μέλλων
αὐτὸς πεζεύειν ⋄ ὡς δὲ συνέβαλὲν ἡμῖν εἰς τὴν ἄσσον ἀναλα- 14
βόντες αὐτὸν ἤλθομεν εἰς μιτυλήνην ⋄ κἀκεῖθεν ἀποπλεύσαντες 15
τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ χίου τῇ δὲ ἑτέρᾳ παρεβάλο-
μεν εἰς σάμον καὶ˚ μείναντες ἐν τρωγυλλίῳ τῇ ἐχομένῃ ἤλθομεν
εἰς μίλητον ⋄ ἔκρινεν γὰρ ὁ παῦλος παραπλεῦσαι τὴν ἔφεσον ὅ- 16
πως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ ἀσίᾳ ἔσπευδεν γὰρ
εἰ δυνατὸν ἦν αὐτῷ τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς
ἱεροσόλυμα ⋄ ἀπὸ δὲ τῆς μιλήτου πέμψας εἰς ἔφεσον μετεκα- 17
λέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας ⋄ ὡς δὲ παρεγένοντο 18
πρὸς αὐτὸν εἶπεν αὐτοῖς ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας
ἀφ᾽ ἧς ἐπέβην εἰς τὴν ἀσίαν πῶς μεθ᾽ ὑμῶν τὸν πάντα χρόνον
ἐγενόμην ⋄ δουλεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης 19
καὶ ῥολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς
ἐπιβουλαῖς τῶν ἰουδαίων ⋄ ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφε- 20
ρόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ
κατ᾽ οἴκους ⋄ διαμαρτυρόμενος ἰουδαίοις τε καὶ ἕλλησιν τὴν εἰς 21
τὸν θεὸν μετάνοιαν καὶ πίστιν τὴν εἰς τὸν κύριον ἡμῶν ἰησοῦν
χριστόν ⋄ καὶ νῦν ἰδοὺ ἐγὼ˚ δεδεμένος τῷ πνεύματι πορεύομαι 22
εἰς ἱερουσαλὴμ τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς ⋄ πλὴν ὅτι 23
τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί λέγον ὅτι δεσμά
με˚ καὶ θλίψεις μένουσιν ⋄ ἀλλ᾽ οὐδενὸς λόγου ποιοῦμαι οὐδὲ˚ 24
ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ ὡς τελειῶσαι τὸν δρόμον μου

v.8 𝕋 𝕂: ησαν, 𝕄 𝕍: ημεν. **v.9** 𝕋*: καθημενος, 𝕍: καθεζομενος. **v.11** 𝕋*: αρτον, 𝕍: τον αρτον. **v.11** 𝕋*: αχρις, 𝕍: αχρι. **v.13** 𝕋 𝕂 𝕍: προελθοντες, 𝕄: προσελθοντες. **v.13** 𝕋*: εις, 𝕍: επι. **v.13** 𝕋*: ην διατεταγμενος, 𝕍: διατεταγμενος ην. **v.14** 𝕋*: συνεβαλεν, 𝕍: συνεβαλλεν. **v.15** 𝕋*: αντικρυ, 𝕍: αντικρυς. **v.15** 𝕋*: και μειναντες εν τρωγυλλιω τη, 𝕍: τη δε. **v.16** 𝕋*: εκρινεν, 𝕍: κεκρικει. **v.16** 𝕋*: ην, 𝕍: ειη. **v.19** 𝕋*: πολλων, 𝕍: ∅. **v.21** 𝕋*: τον, 𝕍: ∅. **v.21** 𝕋*: την, 𝕍: ∅. **v.21** 𝕋 𝕂: χριστον, 𝕄 𝕍: ∅. **v.22** 𝕋*: εγω δεδεμενος, 𝕍: δεδεμενος εγω. **v.23** 𝕋*: διαμαρτυρεται, 𝕍: διαμαρτυρεται μοι. **v.23** 𝕋*: με και θλιψεις, 𝕍: και θλιψεις με. **v.24** 𝕋*: λογον, 𝕍: λογου. **v.24** 𝕋*: ουδε εχω την ψυχην μου, 𝕍: την ψυχην.

μετὰ˚ χαρᾶς καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ κυρίου ἰη-
25 σοῦ διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ ◦ καὶ
νῦν ἰδοὺ ἐγὼ οἶδα ὅτι οὐκ˚ ἔτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς
26 πάντες ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν τοῦ˚ θεοῦ ◦ διὸ˚
μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ
27 αἵματος πάντων ◦ οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν˚
28 πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ ◦ προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ
τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους
ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ˚ θεοῦ ἣν περιεποιήσατο διὰ τοῦ˚
29 ἰδίου αἵματος ◦ ἐγὼ γὰρ˚ οἶδα τοῦτο ὅτι εἰσελεύσονται μετὰ τὴν
ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς μὴ φειδόμενοι τοῦ ποιμνίου ◦
30 καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμ-
31 μένα τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν ◦ διὸ γρηγορεῖτε
μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην
32 μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ◦ καὶ ταὐτῦν παρατίθεμαι
ὑμᾶς ἀδελφοὶ τῷ θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ τῷ δυ-
ναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς
33 ἡγιασμένοις πᾶσιν ◦ ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς
34 ἐπεθύμησα ◦ αὐτοὶ δὲ˚ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς
35 οὖσιν μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται ◦ πάντα ὑπέδειξα
ὑμῖν ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούν-
των μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου ἰησοῦ ὅτι αὐτὸς εἶπεν
36 μακάριόν ἐστιν διδόναι˚ μᾶλλον ἢ λαμβάνειν ◦ καὶ ταῦτα εἰπὼν
37 θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς προσηύξατο ◦ ἱκανὸς δὲ
ἐγένετο˚ κλαυθμὸς πάντων καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον
38 τοῦ παύλου κατεφίλουν αὐτόν ◦ ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λό-
γῳ ᾧ εἰρήκει ὅτι οὐκέτι μέλλουσιν τὸ πρόσωπον αὐτοῦ θεωρεῖν
προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον ◦

21 ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ᾽ αὐτῶν εὐ-
θυδρομήσαντες ἤλθομεν εἰς τὴν κῶ˚ τῇ δὲ ἑξῆς εἰς τὴν ῥόδον
2 κἀκεῖθεν εἰς πάταρα ◦ καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς φοι-
3 νίκην ἐπιβάντες ἀνήχθημεν ◦ ἀναφάναντες δὲ τὴν κύπρον καὶ
καταλιπόντες αὐτὴν εὐώνυμον ἐπλέομεν εἰς συρίαν καὶ κα-

---

v.24 𝕋*: μετα χαρας, 𝕍: ∅. **v.25** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.25** 𝕋*: του θεου, 𝕍: ∅. **v.26** 𝕋*: διο, 𝕍: διοτι. **v.26** 𝕋*: εγω, 𝕍: ειμι. **v.27** 𝕋*: υμιν πασαν την βουλην του θεου, 𝕍: πασαν την βουλην του θεου υμιν. **v.28** 𝕋*: ουν, 𝕍: ∅. **v.28** 𝕋 𝕂 𝕍: του θεου, 𝕄: του κυριου και θεου. **v.28** 𝕋*: του ιδιου αιματος, 𝕍: του αιματος του ιδιου. **v.29** 𝕋*: γαρ οιδα τουτο, 𝕍: οιδα. **v.32** 𝕋: τανυν, 𝕂 𝕄 𝕍: τα νυν. **v.32** 𝕋*: αδελφοι, 𝕍: ∅. **v.32** 𝕋*: εποικοδομησαι, 𝕍: οικοδομησαι. **v.32** 𝕋*: υμιν, 𝕍: την. **v.34** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.35** 𝕋 𝕂: διδοναι μαλλον, 𝕄 𝕍: μαλλον διδοναι. **v.37** 𝕋*: εγενετο κλαυθμος, 𝕍: κλαυθμος εγενετο. **21.v.1** 𝕋*: κων, 𝕍: κω. **v.3** 𝕋 𝕂 𝕍: αναφαναντες, 𝕄: αναφανεντες.

τήχθημεν εἰς τύρον ἐκεῖσε γὰρ ἦν˚ τὸ πλοῖον ἀποφορτιζόμενον
τὸν γόμον ◦ καὶ˚ ἀνευρόντες τοὺς μαθητὰς ἐπεμείναμεν αὐτοῦ 4
ἡμέρας ἑπτὰ οἵτινες τῷ παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος μὴ
ἀναβαίνειν˚ εἰς ἱερουσαλήμ ◦ ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς 5
ἡμέρας ἐξελθόντες ἐπορευόμεθα προπεμπόντων ἡμᾶς πάντων
σὺν γυναιξὶν καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως καὶ θέντες τὰ γό-
νατα ἐπὶ τὸν αἰγιαλὸν προσηυξάμεθα ◦ καὶ˚ ἀσπασάμενοι ἀλ- 6
λήλους ἐπέβημεν εἰς τὸ πλοῖον ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ
ἴδια ◦ ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ τύρου κατηντήσαμεν 7
εἰς πτολεμαΐδα καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡ-
μέραν μίαν παρ᾽ αὐτοῖς ◦ τῇ δὲ ἐπαύριον ἐξελθόντες οἱ˚ περὶ τὸν 8
παῦλον ἦλθον εἰς καισάρειαν καὶ εἰσελθόντες εἰς τὸν οἶκον φι-
λίππου τοῦ εὐαγγελιστοῦ τόῦ ὄντος ἐκ τῶν ἑπτὰ ἐμείναμεν παρ᾽
αὐτῷ ◦ τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι˚ τέσσαρες προφητεύ- 9
ουσαι ◦ ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους κατῆλθέν τις ἀπὸ 10
τῆς ἰουδαίας προφήτης ὀνόματι ἄγαβος ◦ καὶ ἐλθὼν πρὸς ἡμᾶς 11
καὶ ἄρας τὴν ζώνην τοῦ παύλου δήσας τε˚ αὐτοῦ τὰς˚ χεῖρας καὶ
τοὺς πόδας εἶπεν τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον τὸν ἄνδρα οὗ
ἐστιν ἡ ζώνη αὕτη οὕτως δήσουσιν ἐν ἱερουσαλὴμ οἱ ἰουδαῖοι
καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν ◦ ὡς δὲ ἠκούσαμεν ταῦτα 12
παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν αὐ-
τὸν εἰς ἱερουσαλήμ ◦ ἀπεκρίθη˚ δὲ ὁ παῦλος τί ποιεῖτε κλαίοντες 13
καὶ συνθρύπτοντές μου τὴν καρδίαν ἐγὼ γὰρ οὐ μόνον δεθῆναι
ἀλλὰ καὶ ἀποθανεῖν εἰς ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνό-
ματος τοῦ κυρίου ἰησοῦ ◦ μὴ πειθομένου δὲ αὐτοῦ ἡσυχάσαμεν 14
εἰπόντες τὸ˚ θέλημα τοῦ κυρίου γενέσθω ◦ μετὰ δὲ τὰς ἡμέρας 15
ταύτας ἀποσκευασάμενοι ἀνεβαίνομεν εἰς ἱερουσάλήμ ◦ συνῆλ- 16
θον δὲ καὶ τῶν μαθητῶν ἀπὸ καισαρείας σὺν ἡμῖν ἄγοντες παρ᾽
ᾧ ξενισθῶμεν μνάσωνί τινι κυπρίῳ ἀρχαίῳ μαθητῇ ◦ γενομένων 17
δὲ ἡμῶν εἰς ἱεροσόλυμα ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί ◦
τῇ δὲ ἐπιούσῃ εἰσήει ὁ παῦλος σὺν ἡμῖν πρὸς ἰάκωβον πάντες 18
τε παρεγένοντο οἱ πρεσβύτεροι ◦ καὶ ἀσπασάμενος αὐτοὺς ἐξη- 19

---

v.3 𝕋*: κατηχθημεν, 𝕍: κατηλθομεν. **v.3** 𝕋*: ην το πλοιον, 𝕍: το πλοιον ην. **v.4** 𝕋: και ανευροντες τους, 𝕄 𝕂: και ανευροντες, 𝕍: ανευροντες δε τους. **v.4** 𝕋*: αναβαινειν εις ιερουσαλημ, 𝕍: επιβαινειν εις ιεροσολυμα. **v.5** 𝕋*: προσηυξαμεθα, 𝕍: προσευξαμενοι. **v.6** 𝕋*: και ασπασαμενοι αλληλους επεβημεν, 𝕍: απησπασαμεθα αλληλους και ανεβημεν. **v.8** 𝕋 𝕄: οι περι τον παυλον ηλθον, 𝕂: οι περι τον παυλον ηλθομεν, 𝕍: ηλθομεν. **v.8** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.9** 𝕋*: παρθενοι τεσσαρες, 𝕍: τεσσαρες παρθενοι. **v.10** 𝕋*: ημων, 𝕍: ∅. **v.11** 𝕋*: τε αυτου, 𝕍: εαυτου. **v.11** 𝕋 𝕂: τας χειρας και τους ποδας, 𝕄 𝕍: τους ποδας και τας χειρας. **v.13** 𝕋 𝕂: απεκριθη δε, 𝕄: απεκριθη τε, 𝕍: τοτε απεκριθη. **v.14** 𝕋*: το θελημα του κυριου γενεσθω, 𝕍: του κυριου το θελημα γινεσθω. **v.15** 𝕋 𝕂: αποσκευασαμενοι, 𝕄 𝕍: επισκευασαμενοι. **v.15** 𝕋*: ιερουσαλημ, 𝕍: ιεροσολυμα. **v.17** 𝕋*: εδεξαντο, 𝕍: απεδεξαντο.

γεῖτο καθ᾽ ἓν ἕκαστον ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνεσιν διὰ
20 τῆς διακονίας αὐτοῦ. οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν κύριον˙
εἶπόν τε αὐτῷ· θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες εἰσὶν ἰουδαίων
τῶν πεπιστευκότων καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχου-
21 σιν. κατηχήθησαν δὲ περὶ σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ
μωσέως τοὺς κατὰ τὰ ἔθνη πάντας ἰουδαίους λέγων μὴ περιτέ-
22 μνειν αὐτοὺς τὰ τέκνα μηδὲ τοῖς ἔθεσιν περιπατεῖν. τί οὖν ἐστιν
πάντως δεῖ˙ πλῆθος συνελθεῖν ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.
23 τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες
24 εὐχὴν ἔχοντες ἐφ᾽ ἑαυτῶν. τούτους παραλαβὼν ἁγνίσθητι σὺν
αὐτοῖς καὶ δαπάνησον ἐπ᾽ αὐτοῖς ἵνα ξυρήσωνται τὴν κεφαλὴν
καὶ γνῶσιν πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν ἀλλὰ
25 στοιχεῖς καὶ αὐτὸς τὸν˙ νόμον φυλάσσων. περὶ δὲ τῶν πεπιστευ-
κότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν κρίναντες μηδὲν˙ τοιοῦτον τη-
ρεῖν αὐτοὺς εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό τε εἰδωλόθυτον καὶ
26 τὸ αἷμα καὶ πνικτὸν καὶ πορνείαν. τότε ὁ παῦλος παραλαβὼν
τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς
τὸ ἱερὸν διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ
27 ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. ὡς
δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι οἱ ἀπὸ τῆς ἀσίας ἰου-
δαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ συνέχεον πάντα τὸν ὄχλον
28 καὶ ἐπέβαλον τὰς˙ χεῖρας ἐπ᾽ αὐτόν. κράζοντες ἄνδρες ἰσραηλῖ-
ται βοηθεῖτε οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ
νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων ἔτι τε
καὶ ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ κεκοίνωκεν τὸν ἅγιον
29 τόπον τοῦτον. ἦσαν γὰρ ἠροεωρακότες τρόφιμον τὸν ἐφέσιον ἐν
τῇ πόλει σὺν αὐτῷ ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ παῦ-
30 λος. ἐκινήθη τε ἡ πόλις ὅλη καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ
καὶ ἐπιλαβόμενοι τοῦ παύλου εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ καὶ
31 εὐθέως ἐκλείσθησαν αἱ θύραι. ζητούντων δὲ˙ αὐτὸν ἀποκτεῖναι
ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης ὅτι ὅλη συγκέχυται ἱερου-
32 σαλήμ. ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους
κατέδραμεν ἐπ᾽ αὐτοὺς οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς

---

v.20 𝕋 𝕂: κύριον εἶπον τε, 𝕄: κύριον ειποντες, 𝕍: θεὸν εἶπον τε. **v.20** 𝕋*: ιουδαιων, 𝕍: εν τοις ιουδαιοις. **v.21** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.22** 𝕋*: δει πληθος συνελθειν ακουσονται γαρ, 𝕍: ακουσονται. **v.24** 𝕋*: ξυρησωνται, 𝕍: ξυρησονται. **v.24** 𝕋*: γνωσιν, 𝕍: γνωσονται. **v.24** 𝕋*: τον νομον φυλασσων, 𝕍: φυλασσων τον νομον. **v.25** 𝕋 𝕂: μηδεν τοιουτον τηρειν αυτους ει μη, 𝕄: μηδεν τοιουτο τηρειν αυτους ει μη, 𝕍: ∅. **v.25** 𝕋*: το, 𝕍: ∅. **v.27** 𝕋*: τας χειρας επ αυτον, 𝕍: επ αυτον τας χειρας. **v.28** 𝕋*: πανταχου, 𝕍: πανταχη. **v.29** 𝕋 𝕂 𝕍: προεωρακοτες, 𝕄: εωρακοτες. **v.31** 𝕋*: δε, 𝕍: τε. **v.31** 𝕋*: συγκεχυται, 𝕍: συγχυννεται. **v.32** 𝕋*: εκατονταρχους, 𝕍: εκατονταρχας.

στρατιώτας ἐπαύσαντο τύπτοντες τὸν παῦλον ◦ τότε ◦ ἐγγίσας ὁ 33
χιλίαρχος ἐπελάβετο αὐτοῦ καὶ ἐκέλευσεν δεθῆναι ἁλύσεσιν δυ-
σὶν καὶ ἐπυνθάνετο τίς ἂν εἴη καὶ τί ἐστιν πεποιηκώς ◦ ἄλλοι δὲ 34
ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ μὴ δυνάμενος ◦ δὲ γνῶναι τὸ ἀσφαλὲς
διὰ τὸν θόρυβον ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν ◦
ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμοὺς συνέβη βαστάζεσθαι αὐτὸν 35
ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου ◦ ἠκολούθει γὰρ τὸ 36
πλῆθος τοῦ λαοῦ κρᾶζον αἶρε αὐτόν ◦ μέλλων τε εἰσάγεσθαι εἰς 37
τὴν παρεμβολὴν ὁ παῦλος λέγει τῷ χιλιάρχῳ εἰ ἔξεστίν μοι εἰ-
πεῖν τι πρός σε ὁ δὲ ἔφη ἑλληνιστὶ γινώσκεις ◦ οὐκ ἄρα σὺ εἶ ὁ 38
αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν
εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων ◦ εἶ- 39
πεν δὲ ὁ παῦλος ἐγὼ ἄνθρωπος μέν εἰμι ἰουδαῖος ταρσεὺς τῆς
κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης δέομαι δέ σου ἐπίτρεψόν
μοι λαλῆσαι πρὸς τὸν λαόν ◦ ἐπιτρέψαντος δὲ αὐτοῦ ὁ παῦλος 40
ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισεν τῇ χειρὶ τῷ λαῷ πολλῆς δὲ
σιγῆς γενομένης προσεφώνησεν τῇ ἑβραΐδι διαλέκτῳ λέγων ◦

ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς **22**
νῦν ἀπολογίας ◦ ἀκούσαντες δὲ ὅτι τῇ ἑβραΐδι διαλέκτῳ προ- 2
σεφώνει αὐτοῖς μᾶλλον παρέσχον ἡσυχίαν καί φησιν ◦ ἐγὼ μέν 3
εἰμι ἀνὴρ ἰουδαῖος γεγεννημένος ἐν ταρσῷ τῆς κιλικίας ἀνα-
τεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας γαμαλιὴλ
πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου ζηλωτὴς ὑ-
πάρχων τοῦ θεοῦ καθὼς πάντες ὑμεῖς ἐστε σήμερον ◦ ὃς ταύτην 4
τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου δεσμεύων καὶ παραδιδοὺς εἰς
φυλακὰς ἄνδρας τε καὶ γυναῖκας ◦ ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ 5
μοι καὶ πᾶν τὸ πρεσβυτέριον παρ᾽ ὧν καὶ ἐπιστολὰς δεξάμενος
πρὸς τοὺς ἀδελφοὺς εἰς δαμασκὸν ἐπορευόμην ἄξων καὶ τοὺς
ἐκεῖσε ὄντας δεδεμένους εἰς ἱερουσαλὴμ ἵνα τιμωρηθῶσιν ◦ ἐγέ- 6
νετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ δαμασκῷ περὶ μεσημ-
βρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ
ἐμέ ◦ ἔπεσόν τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνῆς λεγούσης μοι 7
σαοὺλ σαοὺλ τί με διώκεις ◦ ἐγὼ δὲ ἀπεκρίθην τίς εἶ κύριε εἶπέν 8
τε πρός με ἐγώ εἰμι ἰησοῦς ὁ ναζωραῖος ὃν σὺ διώκεις ◦ οἱ δὲ σὺν 9
ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο καὶ ◦ ἔμφοβοι ἐγένοντο τὴν δὲ
φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι ◦ εἶπον δὲ τί ποιήσω κύ- 10

---

v.33 𝕋 𝕂 𝕍: τοτε εγγισας, 𝕄: εγγισας δε. **v.33** 𝕋*: αν, 𝕍: ∅. **v.34** 𝕋*: εβοων, 𝕍: επεφωνουν. **v.34** 𝕋*: δυναμενος δε, 𝕍: δυναμενου δε αυτου. **v.36** 𝕋*: κραζον, 𝕍: κραζοντες. **v.37** 𝕋 𝕂 𝕍: τι, 𝕄: ∅. **22.v.1** 𝕋 𝕂: νυν, 𝕄 𝕍: νυνι. **v.3** 𝕋*: μεν, 𝕍: ∅. **v.7** 𝕋 𝕂: επεσον, 𝕄 𝕍: επεσα. **v.9** 𝕋*: και εμφοβοι εγενοντο, 𝕍: ∅.

ριε ὁ δὲ κύριος εἶπεν πρός με ἀναστὰς πορεύου εἰς δαμασκὸν
κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι ⋄
11 ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου χειραγω-
12 γούμενος ὑπὸ τῶν συνόντων μοι ἦλθον εἰς δαμασκόν ⋄ ἀνανίας
δέ τις ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον μαρτυρούμενος ὑπὸ πάν-
13 των τῶν κατοικούντωѵ ἰουδαίων ⋄ ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶ-
πέν μοι σαοὺλ ἀδελφὲ ἀνάβλεψον κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα
14 εἰς αὐτόν ⋄ ὁ δὲ εἶπεν ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό
σε γνῶναι τὸ θέλημα αὐτοῦ καὶ ἰδεῖν τὸν δίκαιον καὶ ἀκοῦσαι
15 φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ ⋄ ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάν-
16 τας ἀνθρώπους ὧν ἑώρακας καὶ ἤκουσας ⋄ καὶ νῦν τί μέλλεις
ἀναστὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπικαλεσά-
17 μενος τὸ ὄνομα τοῦ˚ κυρίου ⋄ ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς
ἱερουσαλὴμ καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ γενέσθαι με ἐν
18 ἐκστάσει ⋄ καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι σπεῦσον καὶ ἔξελθε ἐν
τάχει ἐξ ἱερουσαλὴμ διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν
19 περὶ ἐμοῦ ⋄ κἀγὼ εἶπον κύριε αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυ-
λακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ
20 σέ ⋄ καὶ ὅτε ἐξεχέῖτο τὸ αἷμα στεφάνου τοῦ μάρτυρός σου καὶ
αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ˚ ἀναιρέσει αὐτοῦ κἀι
21 φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν ⋄ καὶ εἶπεν πρός με
22 πορεύου ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε ⋄ ἤκουον δὲ
αὐτοῦ ἄχρι τούτου τοῦ λόγου καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέ-
γοντες αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον οὐ γὰρ καθῆκόν αὐτὸν
23 ζῆν ⋄ κραυγαζόντων˚ δὲ αὐτῶν καὶ ῥιπτούντων τὰ ἱμάτια καὶ κο-
24 νιορτὸν βαλλόντων εἰς τὸν ἀέρα ⋄ ἐκέλευσεν αὐτὸν˚ ὁ χιλίαρχος
ἄγεσθαι εἰς τὴν παρεμβολὴν εἰπὼѵ μάστιξιν ἀνετάζεσθαι αὐτὸν
25 ἵνα ἐπιγνῷ δι᾽ ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ ⋄ ὡς δὲ προέ-
τεινѐν αὐτὸν τοῖς ἱμᾶσιν εἶπεν πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον
ὁ παῦλος εἰ ἄνθρωπον ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν
26 μαστίζειν ⋄ ἀκούσας δὲ ὁ ἑκατόνταρχὸς προσελθὼν ἀπήγγειλεν˚
τῷ χιλιάρχῳ λέγων ὅρα τί μέλλεις ποιεῖν ὁ γὰρ ἄνθρωπος οὗ-
27 τος ῥωμαῖός ἐστιν ⋄ προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ λέγε

---

v.12 𝕋 𝕂: ευσεβης, 𝕄 𝕍: ευλαβης. **v.12** 𝕋 𝕂 𝕍: κατοικουντων, 𝕄: κατοικουντων εν δαμασκω. **v.16** 𝕋*: του κυριου, 𝕍: αυτου. **v.18** 𝕋*: την, 𝕍: ∅. **v.20** 𝕋*: εξεχειτο, 𝕍: εξεχυννετο. **v.20** 𝕋*: τη αναιρεσει αυτου, 𝕍: ∅. **v.20** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.22** 𝕋 𝕂: καθηκον, 𝕄 𝕍: καθηκεν. **v.23** 𝕋 𝕂: κραυγαζοντων δε, 𝕄: κραζοντων δε, 𝕍: κραυγαζοντων τε. **v.24** 𝕋*: αυτον ο χιλιαρχος αγεσθαι, 𝕍: ο χιλιαρχος εισαγεσθαι αυτον. **v.24** 𝕋*: ειπων, 𝕍: ειπας. **v.25** 𝕋 𝕄: προετεινεν, 𝕂 𝕍: προετειναν. **v.26** 𝕋*: εκατονταρχος, 𝕍: εκατονταρχης. **v.26** 𝕋*: απηγγειλεν τω χιλιαρχω, 𝕍: τω χιλιαρχω απηγγειλεν. **v.26** 𝕋*: ορα, 𝕍: ∅.

μοι ἐἰ σὺ ῥωμαῖος εἶ ὁ δὲ ἔφη ναί ◦ ἀπεκρίθη τε ὁ χιλίαρχος 28
ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην ὁ δὲ
παῦλος ἔφη ἐγὼ δὲ καὶ γεγέννημαι ◦ εὐθέως οὖν ἀπέστησαν ἀπ᾽ 29
αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν καὶ ὁ χιλίαρχος δὲ ἐφο-
βήθη ἐπιγνοὺς ὅτι ῥωμαῖός ἐστιν καὶ ὅτι ἦν˚ αὐτὸν δεδεκώς ◦
τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς τὸ τί κατηγο- 30
ρεῖται παρὰ τῶν ἰουδαίων ἔλυσεν αὐτὸν ἀπὸ˚ τῶν δεσμῶν καὶ
ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον˚ τὸ συνέδριον αὐτῶν
καὶ καταγαγὼν τὸν παῦλον ἔστησεν εἰς αὐτούς ◦

ἀτενίσας δὲ ὁ παῦλος τῷ συνεδρίῳ εἶπεν ἄνδρες ἀδελφοὶ ἐ- **23**
γὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ θεῷ ἄχρι ταύτης
τῆς ἡμέρας ◦ ὁ δὲ ἀρχιερεὺς ἀνανίας ἐπέταξεν τοῖς παρεστῶσιν 2
αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα ◦ τότε ὁ παῦλος πρὸς αὐτὸν εἶπεν 3
τύπτειν σε μέλλει ὁ θεὸς τοῖχε κεκονιαμένε καὶ σὺ κάθῃ κρί-
νων με κατὰ τὸν νόμον καὶ παρανομῶν κελεύεις με τύπτεσθαι ◦
οἱ δὲ παρεστῶτες εἶπόν τὸν ἀρχιερέα τοῦ θεοῦ λοιδορεῖς ◦ ἔφη 4, 5
τε ὁ παῦλος οὐκ ᾔδειν ἀδελφοὶ ὅτι ἐστὶν ἀρχιερεὺς γέγραπται
γὰρ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς ◦ γνοὺς δὲ ὁ παῦ- 6
λος ὅτι τὸ ἓν μέρος ἐστὶν σαδδουκαίων τὸ δὲ ἕτερον φαρισαίων
ἔκραξεν ἐν τῷ συνεδρίῳ ἄνδρες ἀδελφοὶ ἐγὼ φαρισαῖός εἰμι υἱὸς
φαρισαίου περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι ◦
τοῦτο δὲ αὐτοῦ λαλήσαντος ἐγένετο στάσις τῶν φαρισαίων καὶ 7
τῶν σαδδουκαίων καὶ ἐσχίσθη τὸ πλῆθος ◦ σαδδουκαῖοι μὲν γὰρ 8
λέγουσιν μὴ εἶναι ἀνάστασιν μηδὲ ἄγγελον μήτε πνεῦμα φα-
ρισαῖοι δὲ ὁμολογοῦσιν τὰ ἀμφότερα ◦ ἐγένετο δὲ κραυγὴ με- 9
γάλη καὶ ἀναστάντες οἱ˚ γραμματεῖς τοῦ μέρους τῶν φαρισαίων
διεμάχοντο λέγοντες οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ
τούτῳ εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος μὴ˚ θεομαχῶμεν ◦
πολλῆς δὲ γενομένης˚ στάσεως εὐλαβηθεὶς ὁ χιλίαρχος μὴ δια- 10
σπασθῇ ὁ παῦλος ὑπ᾽ αὐτῶν ἐκέλευσεν τὸ στράτευμα καταβὰν
ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν ἄγειν τε εἰς τὴν παρεμβολήν ◦ τῇ 11
δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ κύριος εἶπεν θάρσει πᾶῦλε ὡς
γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς ἱερουσαλὴμ οὕτως σε δεῖ καὶ

---

v.27 𝕋*: ει, 𝕍: ∅. **v.28** 𝕋*: τε, 𝕍: δε. **v.29** 𝕋*: ην αυτον, 𝕍: αυτον ην. **v.30** 𝕋*: παρα, 𝕍: υπο. **v.30** 𝕋*: απο των δεσμων, 𝕍: ∅. **v.30** 𝕋*: ελθειν, 𝕍: συνελθειν. **v.30** 𝕋*: ολον το συνεδριον αυτων, 𝕍: παν το συνεδριον. **23.v.4** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.5** 𝕋*: γαρ, 𝕍: γαρ οτι. **v.6** 𝕋*: εκραξεν, 𝕍: εκραζεν. **v.6** 𝕋*: φαρισαιου, 𝕍: φαρισαιων. **v.7** 𝕋*: λαλησαντος, 𝕍: εἰπόντος. **v.7** 𝕋*: των, 𝕍: ∅. **v.8** 𝕋*: μηδε, 𝕍: μητε. **v.9** 𝕋*: οι γραμματεις, 𝕍: τινες των γραμματεων. **v.9** 𝕋*: μη θεομαχωμεν, 𝕍: ∅. **v.10** 𝕋*: γενομενης στασεως ευλαβηθεις, 𝕍: γινομενης στασεως φοβηθεις. **v.10** 𝕋 𝕂 𝕍: καταβαν, 𝕄: καταβηναι και. **v.11** 𝕋*: παυλε, 𝕍: ∅.

12 εἰς ῥώμην μαρτυρῆσαι ⸎ γενομένης δὲ ἡμέρας ποιήσαντές τινες˚
τῶν ἰουδαίων συστροφὴν ἀνεθεμάτισαν ἑαυτοὺς λέγοντες μήτε
13 φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀποκτείνωσιν τὸν παῦλον ⸎ ἦσαν δὲ
πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες ⸎
14 οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσιν καὶ τοῖς πρεσβυτέροις
εἶπόν ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι
15 ἕως οὗ ἀποκτείνωμεν τὸν παῦλον ⸎ νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ
χιλιάρχῳ σὺν τῷ συνεδρίῳ ὅπως αὔριον˚ αὐτὸν καταγάγῃ πρὸς
ὑμᾶς ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ
ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐ-
16 τόν ⸎ ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς παύλου τὸ˚ ἔνεδρον πα-
ραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν ἀπήγγειλεν τῷ
17 παύλῳ ⸎ προσκαλεσάμενος δὲ ὁ παῦλος ἕνα τῶν ἑκατοντάρχων
ἔφη τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον ἔχει γάρ τι˚
18 ἀπαγγεῖλαι αὐτῷ ⸎ ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγεν πρὸς τὸν
χιλίαρχον καί φησιν ὁ δέσμιος παῦλος προσκαλεσάμενός με ἠ-
ρώτησεν τοῦτον τὸν νεανίᾶν ἀγαγεῖν πρός σε ἔχοντά τι λαλῆσαί
19 σοι ⸎ ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχω-
ρήσας κατ᾽ ἰδίαν ἐπυνθάνετο τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι ⸎
20 εἶπεν δὲ ὅτι οἱ ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον
εἰς˚ τὸ συνέδριον καταγάγῃς τὸν παῦλον ὡς μέλλοντές τι ἀκρι-
21 βέστερον πυνθάνεσθαι περὶ αὐτοῦ ⸎ σὺ οὖν μὴ πεισθῇς αὐτοῖς ἐ-
νεδρεύουσιν γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα
οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ
ἀνέλωσιν αὐτὸν καὶ νῦν ἕτοιμοί˚ εἰσιν προσδεχόμενοι τὴν ἀπὸ
22 σοῦ ἐπαγγελίαν ⸎ ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσεν τὸν νεανίᾶν πα-
23 ραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα ἐνεφάνισας πρός με ⸎ καὶ
προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων εἶπεν ἑτοιμά-
σατε στρατιώτας διακοσίους ὅπως πορευθῶσιν ἕως καισαρείας
καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους διακοσίους ἀπὸ τρίτης
24 ὥρας τῆς νυκτός ⸎ κτήνη τε παραστῆσαι ἵνα ἐπιβιβάσαντες τὸν
25 παῦλον διασώσωσιν πρὸς φήλικα τὸν ἡγεμόνα ⸎ γράψας ἐπιστο-
26 λὴν περιέχουσαν τὸν τύπον τοῦτον ⸎ κλαύδιος λυσίας τῷ κρα-

---

v.12 𝕋*: τινες των ιουδαιων συστροφην, 𝕍: συστροφην οι ιουδαιοι. **v.13** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.13** 𝕋*: πεποιηκοτες, 𝕍: ποιησαμενοι. **v.14** 𝕋*: εἶπον, 𝕍: εἶπαν. **v.15** 𝕋*: αυριον αυτον καταγαγη προς, 𝕍: καταγαγη αυτον εις. **v.16** 𝕋 𝕄: το ενεδρον, 𝕂 𝕍: την ενεδραν. **v.17** 𝕋*: τι απαγγειλαι, 𝕍: απαγγειλαι τι. **v.18** 𝕋*: νεανιαν, 𝕍: νεανισκον. **v.20** 𝕋*: εις το συνεδριον καταγαγης τον παυλον, 𝕍: τον παυλον καταγαγης εις το συνεδριον. **v.20** 𝕋 𝕂: μελλοντες, 𝕄: μελλοντα, 𝕍: μελλον. **v.21** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.21** 𝕋*: ετοιμοι εισιν, 𝕍: εισιν ετοιμοι. **v.22** 𝕋*: νεανιαν, 𝕍: νεανισκον. **v.25** 𝕋*: περιεχουσαν, 𝕍: εχουσαν.

τίστῳ ἡγεμόνι φήλικι χαίρειν ⸰ τὸν ἄνδρα τοῦτον συλληφθέντα 27
ὑπὸ τῶν ἰουδαίων καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν ἐπιστὰς
σὺν τῷ στρατεύματι ἐξειλόμην˚ αὐτὸν μαθὼν ὅτι ῥωμαῖός ἐστιν ⸰
βουλόμενος δὲ˚ γνῶναι τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν αὐτῷ κατή- 28
γαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν ⸰ ὃν εὗρον ἐγκαλούμενον 29
περὶ ζητημάτων τοῦ νόμου αὐτῶν μηδὲν δὲ˚ ἄξιον θανάτου ἢ
δεσμῶν ἔγκλημα˚ ἔχοντα ⸰ μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν 30
ἄνδρα μέλλειν˚ ἔσεσθαι ὑπὸ τῶν ἰουδαίων ἐξαυτῆς ἔπεμψα πρός
σε παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ
σοῦ ἔρρωσο ⸰ οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐ- 31
τοῖς ἀναλαβόντες τὸν παῦλον ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν
ἀντιπατρίδα ⸰ τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι 32
σὺν αὐτῷ ὑπέστρεψαν εἰς τὴν παρεμβολήν ⸰ οἵτινες εἰσελθόν- 33
τες εἰς τὴν καισάρειαν καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι
παρέστησαν καὶ τὸν παῦλον αὐτῷ ⸰ ἀναγνοὺς δὲ ὁ˚ ἡγεμὼν καὶ 34
ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστὶν καὶ πυθόμενος ὅτι ἀπὸ
κιλικίας ⸰ διακούσομαί σου ἔφη ὅταν καὶ οἱ κατήγοροί σου πα- 35
ραγένωνται ἐκέλευσέν˚ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ ἡρώδου
φυλάσσεσθαι ⸰

μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς ἀνανίας μετὰ τῶν˚ **24**
πρεσβυτέρων καὶ ῥήτορος τερτύλλου τινὸς οἵτινες ἐνεφάνισαν
τῷ ἡγεμόνι κατὰ τοῦ παύλου ⸰ κληθέντος δὲ αὐτοῦ ἤρξατο κα- 2
τηγορεῖν ὁ τέρτυλλος λέγων πολλῆς εἰρήνης τυγχάνοντες διὰ
σοῦ καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς
προνοίας ⸰ πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα κράτιστε φῆλιξ 3
μετὰ πάσης εὐχαριστίας ⸰ ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω πα- 4
ρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ ⸰ εὑρόντες 5
γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσιν πᾶσιν τοῖς
ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην πρωτοστάτην τε τῆς τῶν να-
ζωραίων αἱρέσεως ⸰ ὃς καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶσαι ὃν καὶ 6
ἐκρατήσαμεν καὶ˚ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρί-
νειν ⸰ παρελθὼν˚ δὲ λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ 7

---

v.27 𝕋*: συλληφθεντα, 𝕍: συλλημφθεντα. **v.27** 𝕋*: εξειλομην αυτον, 𝕍: εξειλαμην. **v.28** 𝕋*: δε γνωναι, 𝕍: τε επιγνωναι. **v.28** 𝕋*: αυτον, 𝕍: ∅. **v.29** 𝕋 𝕂 𝕍: δε, 𝕄: ∅. **v.29** 𝕋*: εγκλημα εχοντα, 𝕍: εχοντα εγκλημα. **v.30** 𝕋*: μελλειν εσεσθαι υπο των ιουδαιων, 𝕍: εσεσθαι. **v.30** 𝕋*: ερρωσο, 𝕍: ∅. **v.31** 𝕋*: της, 𝕍: ∅. **v.32** 𝕋*: πορευεσθαι, 𝕍: απερχεσθαι. **v.34** 𝕋*: ο ηγεμων, 𝕍: ∅. **v.34** 𝕋*: επαρχιας, 𝕍: επαρχειας. **v.35** 𝕋 𝕂: εκελευσεν τε αυτον εν τω πραιτωριω του ηρωδου φυλασσεσθαι, 𝕄: εκελευσεν τε αυτον εν τω πραιτωριω ηρωδου φυλασσεσθαι, 𝕍: κελευσας εν τω πραιτωριω του ηρωδου φυλασσεσθαι αυτον. **24.v.1** 𝕋*: των πρεσβυτερων, 𝕍: πρεσβυτερων τινων. **v.2** 𝕋*: κατορθωματων, 𝕍: διορθωματων. **v.5** 𝕋*: στασιν, 𝕍: στασεις. **v.6** 𝕋 𝕂: και . . . κρινειν, 𝕄 𝕍: ∅. **v.7** 𝕋 𝕂: παρελθων . . . απηγαγεν, 𝕄 𝕍: ∅.

8 τῶν χειρῶν ἡμῶν ἀπήγαγεν ⸰ κελεύσας˚ τοὺς κατηγόρους αὐτοῦ
ἔρχεσθαι ἐπὶ σὲ παρ᾽ οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων
9 τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ ⸰ συνέθεντο δὲ
10 καὶ οἱ ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν ⸰ ἀπεκρίθη δὲ˚ ὁ
παῦλος νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν ἐκ πολλῶν ἐτῶν
ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος εὐθυμότερον τὰ περὶ
11 ἐμαυτοῦ ἀπολογοῦμαι ⸰ δυναμένου σου γνῶναι ὅτι οὐ πλείους
εἰσίν μοι ἡμέραι ἢ˚ δεκαδύο ἀφ᾽ ἧς ἀνέβην προσκυνήσων ἐν
12 ἰερουσαλήμ ⸰ καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγό-
μενον ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου οὔτε ἐν ταῖς συναγωγαῖς
13 οὔτε κατὰ τὴν πόλιν ⸰ οὐδὲ παραστῆσαί μὲ δύνανται περὶ˚ ὧν νῦν
14 κατηγοροῦσίν μου ⸰ ὁμολογῶ δὲ τοῦτό σοι ὅτι κατὰ τὴν ὁδὸν ἣν
λέγουσιν αἵρεσιν οὕτως λατρεύω τῷ πατρῴῳ θεῷ πιστεύων πᾶσιν
15 τοῖς κατὰ τὸν νόμον καὶ τοῖς προφήταις γεγραμμένοις ⸰ ἐλπίδα
ἔχων εἰς τὸν θεὸν ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται ἀνάστασιν
16 μέλλειν ἔσεσθαι νεκρῶν δικαίων τε καὶ ἀδίκων ⸰ ἐν τούτῳ δὲ˚ αὐ-
τὸς ἀσκῶ ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς
17 ἀνθρώπους διαπαντός ⸰ δι᾽ ἐτῶν δὲ πλειόνων παρεγενόμην˚ ἐ-
18 λεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς ⸰ ἐν οἷς
εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ οὐ μετὰ ὄχλου οὐδὲ μετὰ θορύ-
19 βου τινὲς δὲ˚ ἀπὸ τῆς ἀσίας ἰουδαῖοι ⸰ οὓς δεῖ˚ ἐπὶ σοῦ παρεῖναι
20 καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρός μὲ ⸰ ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν
εἴ˚ τι εὗρον ἐν ἐμοὶ ἀδίκημα στάντος μου ἐπὶ τοῦ συνεδρίου ⸰
21 ἢ περὶ μιᾶς ταύτης φωνῆς ἧς ἔκραξα˚ ἑστὼς ἐν αὐτοῖς ὅτι περὶ
22 ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ᾽ ὑμῶν ⸰ ἀκούσας˚
δὲ ταῦτα ὁ φῆλιξ ἀνεβάλετο αὐτοὺς ἀκριβέστερον εἰδὼς τὰ περὶ
τῆς ὁδοῦ εἰπὼν ὅταν λυσίας ὁ χιλίαρχος καταβῇ διαγνώσομαι
23 τὰ καθ᾽ ὑμᾶς ⸰ διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν˚
παῦλον ἔχειν τε ἄνεσιν καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ
24 ὑπηρετεῖν ἢ˚ προσέρχεσθαι αὐτῷ ⸰ μετὰ δὲ ἡμέρας τινὰς πα-

---

v.8 𝕋 𝕂: κελευσας . . . επι σε, 𝕄 𝕍: ∅. **v.9** 𝕋 𝕂: συνεθεντο, 𝕄 𝕍: συνεπεθεντο. **v.10** 𝕋*: δε, 𝕍: τε. **v.10** 𝕋*: ευθυμοτερον, 𝕍: ευθυμως. **v.11** 𝕋*: γνωναι, 𝕍: επιγνωναι. **v.11** 𝕋 𝕂: η, 𝕄 𝕍: ∅. **v.11** 𝕋*: δεκαδυο, 𝕍: δωδεκα. **v.11** 𝕋*: εν, 𝕍: εις. **v.12** 𝕋*: επισυστασιν, 𝕍: επιστασιν. **v.13** 𝕋*: ουτε, 𝕍: ουδε. **v.13** 𝕋 𝕄: με, 𝕂 𝕍: ∅. **v.13** 𝕋*: περι ων νυν, 𝕍: σοι περι ων νυνι. **v.14** 𝕋*: τοις, 𝕍: τοις εν τοις. **v.15** 𝕋*: νεκρων, 𝕍: ∅. **v.16** 𝕋*: δε, 𝕍: και. **v.16** 𝕋 𝕂 𝕍: εχειν, 𝕄: εχων. **v.16** 𝕋: διαπαντος, 𝕂 𝕄 𝕍: δια παντος. **v.17** 𝕋*: παρεγενομην ελεημοσυνας ποιησων εις το εθνος μου, 𝕍: ελεημοσυνας ποιησων εις το εθνος μου παρεγενομην. **v.18** 𝕋*: οις, 𝕍: αις. **v.18** 𝕋 𝕍: δε, 𝕂 𝕄: ∅. **v.19** 𝕋 𝕄: δει, 𝕂 𝕍: εδει. **v.19** 𝕋*: με, 𝕍: εμε. **v.20** 𝕋 𝕂: ει τι ευρον εν εμοι, 𝕄: τι ευρον εν εμοι, 𝕍: τι ευρον. **v.21** 𝕋*: εκραξα εστως εν αυτοις, 𝕍: εκεκραξα εν αυτοις εστως. **v.21** 𝕋*: υφ, 𝕍: εφ. **v.22** 𝕋*: ακουσας δε ταυτα ο φηλιξ ανεβαλετο αυτους, 𝕍: ανεβαλετο δε αυτους ο φηλιξ. **v.22** 𝕋*: ειπων, 𝕍: ειπας. **v.23** 𝕋*: τε, 𝕍: ∅. **v.23** 𝕋*: τον παυλον, 𝕍: αυτον. **v.23** 𝕋*: η προσερχεσθαι, 𝕍: ∅.

ραγενόμενος ὁ φῆλιξ σὺν δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ οὔσῃ
ἰουδαίᾳ μετεπέμψατο τὸν παῦλον καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς
εἰς χριστὸν πίστεως διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης 25
καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι ἔμφο-
βος γενόμενος ὁ φῆλιξ ἀπεκρίθη τὸ νῦν ἔχον πορεύου καιρὸν
δὲ μεταλαβὼν μετακαλέσομαί σε ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρή- 26
ματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ παύλου ὅπως λύσῃ αὐτὸν διὸ
καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ διετίας 27
δὲ πληρωθείσης ἔλαβεν διάδοχον ὁ φῆλιξ πόρκιον φῆστον θέ-
λων τε χάριταν καταθέσθαι τοῖς ἰουδαίοις ὁ φῆλιξ κατέλιπεν τὸν
παῦλον δεδεμένον

φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς **25**
ἱεροσόλυμα ἀπὸ καισαρείας ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς 2
καὶ οἱ πρῶτοι τῶν ἰουδαίων κατὰ τοῦ παύλου καὶ παρεκάλουν
αὐτόν αἰτούμενοι χάριν κατ᾽ αὐτοῦ ὅπως μεταπέμψηται αὐ- 3
τὸν εἰς ἱερουσαλὴμ ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν
ὁδόν ὁ μὲν οὖν φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν παῦλον ἐν καισα- 4
ρείᾳ ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι οἱ οὖν δυνα- 5
τοὶ ἐν ὑμῖν φησὶν συγκαταβάντες εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ
κατηγορείτωσαν αὐτοῦ διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλεί- 6
ους ἢ δέκα καταβὰς εἰς καισάρειαν τῇ ἐπαύριον καθίσας ἐπὶ
τοῦ βήματος ἐκέλευσεν τὸν παῦλον ἀχθῆναι παραγενομένου 7
δὲ αὐτοῦ περιέστησαν οἱ ἀπὸ ἱεροσολύμων καταβεβηκότες ἰου-
δαῖοι πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ παύλου
ἃ οὐκ ἴσχυον ἀποδεῖξαι ἀπολογουμένου αὐτοῦ ὅτι οὔτε εἰς 8
τὸν νόμον τῶν ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε εἰς καίσαρά τι
ἥμαρτον ὁ φῆστος δὲ τοῖς ἰουδαίοις θέλων χάριν καταθέσθαι 9
ἀποκριθεὶς τῷ παύλῳ εἶπεν θέλεις εἰς ἱεροσόλυμα ἀναβὰς ἐκεῖ
περὶ τούτων κρίνεσθαι ἐπ᾽ ἐμοῦ εἶπεν δὲ ὁ παῦλος ἐπὶ τοῦ βή- 10
ματος καίσαρος ἑστώς εἰμι οὗ με δεῖ κρίνεσθαι ἰουδαίους οὐδὲν
ἠδίκησα ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις εἰ μὲν γὰρ ἀδικῶ καὶ 11
ἄξιον θανάτου πέπραχά τι οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν εἰ δὲ

---

v.24 𝕋 𝕂: γυναικι αυτου, 𝕄: γυναικι, 𝕍: ιδια γυναικι. **v.24** 𝕋*: χριστον, 𝕍: χριστον ιησουν. **v.25** 𝕋*: εσεσθαι, 𝕍: ∅. **v.26** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.26** 𝕋*: οπως λυση αυτον, 𝕍: ∅. **v.27** 𝕋*: χαριτας, 𝕍: χαριτα. **25.v.1** 𝕋*: επαρχια, 𝕍: επαρχεια. **v.2** 𝕋*: δε, 𝕍: τε. **v.2** 𝕋*: ο αρχιερευς, 𝕍: οι αρχιερεις. **v.4** 𝕋*: εν καισαρεια, 𝕍: εις καισαρειαν. **v.5** 𝕋*: δυνατοι εν υμιν φησιν, 𝕍: εν υμιν φησιν δυνατοι. **v.5** 𝕋 𝕄: εν τω ανδρι τουτω, 𝕂: ατοπον εν τω ανδρι τουτω, 𝕍: εν τω ανδρι ατοπον. **v.6** 𝕋*: πλειους η δεκα, 𝕍: ου πλειους οκτω η δεκα. **v.7** 𝕋*: περιεστησαν, 𝕍: περιεστησαν αυτον. **v.7** 𝕋 𝕂: αιτιαματα, 𝕄 𝕍: αιτιωματα. **v.7** 𝕋*: φεροντες κατα του παυλου, 𝕍: καταφεροντες. **v.8** 𝕋*: απολογουμενου αυτου, 𝕍: του παυλου απολογουμενου. **v.9** 𝕋*: τοις ιουδαιοις θελων, 𝕍: θελων τοις ιουδαιοις. **v.9** 𝕋*: κρινεσθαι, 𝕍: κριθηναι. **v.11** 𝕋*: γαρ, 𝕍: ουν.

οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσίν μου οὐδείς με δύναται αὐ-
12 τοῖς χαρίσασθαι καίσαρα ἐπικαλοῦμαι ⋄ τότε ὁ φῆστος συλλαλή-
σας μετὰ τοῦ συμβουλίου ἀπεκρίθη καίσαρα ἐπικέκλησαι ἐπὶ
13 καίσαρα πορεύσῃ ⋄ ἡμερῶν δὲ διαγενομένων τινῶν ἀγρίππας ὁ
βασιλεὺς καὶ βερνίκη κατήντησαν εἰς καισάρειαν ἀσπαζόμενοι
14 τὸν φῆστον ⋄ ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ ὁ φῆστος τῷ
βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν παῦλον λέγων ἀνήρ τις ἐστὶν κατα-
15 λελειμμένος ὑπὸ φήλικος δέσμιος ⋄ περὶ οὗ γενομένου μου εἰς
ἱεροσόλυμα ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν ἰ-
16 ουδαίων αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην ⋄ πρὸς οὓς ἀπεκρίθην ὅτι
οὐκ ἔστιν ἔθος ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς˚ ἀπώ-
λειαν πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κα-
17 τηγόρους τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος ⋄ συ-
νελθόντων οὖν αὐτῶν ἐνθάδε ἀναβολὴν μηδεμίαν ποιησάμενος
τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα ⋄
18 περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν ἐπέφερον˚ ὧν
19 ὑπενόουν ἐγώ ⋄ ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας
εἶχον πρὸς αὐτὸν καὶ περί τινος ἰησοῦ τεθνηκότος ὃν ἔφασκεν
20 ὁ παῦλος ζῆν ⋄ ἀπορούμενος δὲ ἐγὼ ἐἰς τὴν περὶ τούτου ζήτησιν
ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς ἱερουσαλὴμ κἀκεῖ κρίνεσθαι
21 περὶ τούτων ⋄ τοῦ δὲ παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν
εἰς τὴν τοῦ σεβαστοῦ διάγνωσιν ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως
22 οὗ ἡέμψω αὐτὸν πρὸς καίσαρα ⋄ ἀγρίππας δὲ πρὸς τὸν φῆστον
ἔφη ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι ὁ˚ δὲ αὔριον
23 φησὶν ἀκούσῃ αὐτοῦ ⋄ τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ ἀγρίππα
καὶ τῆς βερνίκης μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς
τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσιν τοῖς κατ᾽
ἐξοχὴν οὖσιν τῆς πόλεως καὶ κελεύσαντος τοῦ φήστου ἤχθη ὁ
24 παῦλος ⋄ καί φησιν ὁ φῆστος ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ
συμπαρόντες ἡμῖν ἄνδρες θεωρεῖτε τοῦτον περὶ οὗ ἅπᾶν τὸ πλῆ-
θος τῶν ἰουδαίων ἐνέτυχόν μοι ἔν τε ἱεροσολύμοις καὶ ἐνθάδε
25 ἐἰβοῶντες μὴ δεῖν ζῆν˚ αὐτὸν μηκέτι ⋄ ἐγὼ δὲ κατἀλαβόμενος
μηδὲν ἄξιον θανάτου˚ αὐτὸν πεπραχέναι καὶ αὐτοῦ δὲ τούτου

---

v.13 𝕋 𝕂: ασπασομενοι, 𝕄 𝕍: ασπασαμενοι. **v.14** 𝕋 𝕂 𝕍: διετριβον, 𝕄: διετριβεν. **v.15** 𝕋*: δικην, 𝕍: καταδικην. **v.16** 𝕋*: εις απωλειαν, 𝕍: ∅. **v.18** 𝕋*: επεφερον ων υπενοουν εγω, 𝕍: εφερον ων εγω υπενοουν πονηρων. **v.20** 𝕋 𝕂: εις, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: τουτου, 𝕍: τουτων. **v.20** 𝕋*: ιερουσαλημ, 𝕍: ιεροσολυμα. **v.21** 𝕋*: πεμψω, 𝕍: αναπεμψω. **v.22** 𝕋*: εφη, 𝕍: ∅. **v.22** 𝕋*: ο δε, 𝕍: ∅. **v.23** 𝕋*: τοις, 𝕍: ∅. **v.23** 𝕋*: ουσιν, 𝕍: ∅. **v.24** 𝕋*: παν, 𝕍: απαν. **v.24** 𝕋*: επιβοωντες, 𝕍: βοωντες. **v.24** 𝕋*: ζην αυτον, 𝕍: αυτον ζην. **v.25** 𝕋*: καταλαβομενος, 𝕍: κατελαβομην. **v.25** 𝕋*: θανατου αυτον πεπραχεναι και, 𝕍: αυτον θανατου πεπραχεναι.

ἐπικαλεσαμένου τὸν σεβαστὸν ἔκρινα πέμπειν αὐτόν ⸂ περὶ οὗ 26
ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω διὸ προήγαγον αὐτὸν ἐφ᾽
ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ βασιλεῦ ἀγρίππα ὅπως τῆς ἀνακρί-
σεως γενομένης σχῶ τι γράψαι ⸂ ἄλογον γάρ μοι δοκεῖ πέμποντα 27
δέσμιον μὴ καὶ τὰς κατ᾽ αὐτοῦ αἰτίας σημᾶναι ⸂

ἀγρίππας δὲ πρὸς τὸν παῦλον ἔφη ἐπιτρέπεταί σοι ὑπὲρ σε- **26**
αυτοῦ λέγειν τότε ὁ παῦλος ἀπελογεῖτο˚ ἐκτείνας τὴν χεῖρα ⸂ πε- 2
ρὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ ἰουδαίων βασιλεῦ ἀγρίππα ἥγη-
μαι ἐμαυτὸν μακάριον μέλλων˚ ἀπολογεῖσθαι ἐπὶ σοῦ σήμερον ⸂
μάλιστα γνώστην ὄντα σὲ πάντων τῶν κατὰ ἰουδαίους ἐθῶν τε 3
καὶ ζητημάτων διὸ δέομαί σου μακροθύμως ἀκοῦσαί μου ⸂ τὴν 4
μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν
τῷ ἔθνει μου ἐν ἱεροσολύμοις ἴσασιν πάντες οἱ ἰουδαῖοι ⸂ προγι- 5
νώσκοντές με ἄνωθεν ἐὰν θέλωσιν μαρτυρεῖν ὅτι κατὰ τὴν ἀκρι-
βεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα φαρισαῖος ⸂ καὶ 6
νῦν ἐπ᾽ ἐλπίδι τῆς πρὸς˚ τοὺς πατέρας ἐπαγγελίας γενομένης
ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος ⸂ εἰς ἣν τὸ δωδεκάφυλον ἡ- 7
μῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι
περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι βασιλεῦ˚ ἀγρίππα ὑπὸ τῶν ἰου-
δαίων ⸂ τί ἄπιστον κρίνεται παρ᾽ ὑμῖν εἰ ὁ θεὸς νεκροὺς ἐγείρει ⸂ 8
ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα ἰησοῦ τοῦ ναζωραίου 9
δεῖν πολλὰ ἐναντία πρᾶξαι ⸂ ὃ καὶ ἐποίησα ἐν ἱεροσολύμοις καὶ 10
πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα τὴν παρὰ τῶν
ἀρχιερέων ἐξουσίαν λαβὼν ἀναιρουμένων τε αὐτῶν κατήνεγκα
ψῆφον ⸂ καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐ- 11
τοὺς ἠνάγκαζον βλασφημεῖν περισσῶς τε ἐμμαινόμενος αὐτοῖς
ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις ⸂ ἐν οἷς κἀι πορευόμενος 12
εἰς τὴν δαμασκὸν μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς πάρὰ τῶν
ἀρχιερέων ⸂ ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον βασιλεῦ οὐρα- 13
νόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ
τοὺς σὺν ἐμοὶ πορευομένους ⸂ πάντων δὲ˚ καταπεσόντων ἡμῶν 14
εἰς τὴν γῆν ἤκουσα φωνὴν λαλοῦσαν˚ πρός με καὶ λέγουσαν τῇ
ἑβραΐδι διαλέκτῳ σαοὺλ σαοὺλ τί με διώκεις σκληρόν σοι πρὸς

v.25 𝕋*: αυτον, 𝕍: ∅. **v.26** 𝕋*: γραψαι, 𝕍: γραψω. **26.v.1** 𝕋*: υπερ, 𝕍: περι. **v.1** 𝕋*: απελογειτο εκτεινας την χειρα, 𝕍: εκτεινας την χειρα απελογειτο. **v.2** 𝕋 𝕂: μελλων απολογεισθαι επι σου σημερον, 𝕄: επι σου μελλων απολογεισθαι σημερον, 𝕍: επι σου μελλων σημερον απολογεισθαι. **v.3** 𝕋 𝕄 𝕍: σε, 𝕂: σε ειδως. **v.3** 𝕋 𝕂 𝕍: εθων, 𝕄: ηθων. **v.3** 𝕋*: σου, 𝕍: ∅. **v.4** 𝕋*: εν, 𝕍: εν τε. **v.6** 𝕋*: προς τους πατερας, 𝕍: εις τους πατερας ημων. **v.7** 𝕋 𝕂: βασιλευ αγριππα υπο των ιουδαιων, 𝕄: βασιλευ αγριππα υπο ιουδαιων, 𝕍: υπο ιουδαιων βασιλευ. **v.10** 𝕋*: των, 𝕍: τε των. **v.10** 𝕋*: φυλακαις, 𝕍: εν φυλακαις. **v.12** 𝕋*: και, 𝕍: ∅. **v.12** 𝕋*: παρα, 𝕍: ∅. **v.14** 𝕋*: δε, 𝕍: τε. **v.14** 𝕋*: λαλουσαν προς με και λεγουσαν, 𝕍: λεγουσαν προς με.

15 κέντρα λακτίζειν ⸓ ἐγὼ δὲ εἶπόν τίς εἶ κύριε ὁ δὲ εἶπεν ἐγώ εἰμι
16 ἰησοῦς ὃν σὺ διώκεις ⸓ ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας
σου εἰς τοῦτο γὰρ ὤφθην σοι προχειρίσασθαί σε ὑπηρέτην καὶ
17 μάρτυρα ὧν τε εἶδές ὧν τε ὀφθήσομαί σοι ⸓ ἐξαιρούμενός σε ἐκ
18 τοῦ λαοῦ καὶ τῶν ἐθνῶν εἰς οὓς νῦν˙ σε ἀποστέλλω ⸓ ἀνοῖξαι ὀ-
φθαλμοὺς αὐτῶν τοῦ˙ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς
ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν θεὸν τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁ-
19 μαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ ⸓ ὅθεν
βασιλεῦ ἀγρίππα οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ ⸓
20 ἀλλὰ τοῖς ἐν δαμασκῷ πρῶτον ⸀καὶ ἱεροσολύμοις ⸂εἰς πᾶσάν τε
τὴν χώραν τῆς ἰουδαίας⸃ καὶ τοῖς ἔθνεσιν ἀπᾰγγέλλων μετανοεῖν
καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεὸν ἄξια τῆς μετανοίας ἔργα πράσ-
21 σοντας ⸓ ἕνεκα τούτων με οἱ ἰουδαῖοι συλλαβόμενοι ἐν˙ τῷ ἱερῷ
22 ἐπειρῶντο διαχειρίσασθαι ⸓ ἐπικουρίας οὖν τυχὼν τῆς πᾰρὰ τοῦ
θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ
τε καὶ μεγάλῳ οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν
23 μελλόντων γίνεσθαι καὶ μωσῆς ⸓ εἰ παθητὸς ὁ χριστὸς εἰ πρῶ-
τος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν ⸀τῷ λαῷ καὶ
24 τοῖς ἔθνεσιν ⸓ ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου ὁ φῆστος μεγάλῃ
τῇ φωνῇ ἔφη μαίνῃ παῦλε τὰ πολλά σε γράμματα εἰς μανίαν
25 περιτρέπει ⸓ ὁ δὲ˙ οὐ μαίνομαι φησὶν κράτιστε φῆστε ἀλλ᾽ ἀλη-
26 θείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι ⸓ ἐπίσταται γὰρ
περὶ τούτων ὁ βασιλεὺς πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ
λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδὲν˙ οὐ γάρ ἐστιν
27 ἐν γωνίᾳ πεπραγμένον τοῦτο ⸓ πιστεύεις βασιλεῦ ἀγρίππα τοῖς
28 προφήταις οἶδα ὅτι πιστεύεις ⸓ ὁ δὲ ἀγρίππας πρὸς τὸν παῦ-
29 λον ἔφη ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι ⸓ ὁ δὲ παῦλος
εἶπεν εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν ⸀πολλῷ οὐ μόνον σε
ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιού-
30 τους ὁποῖος κἀγώ εἰμι παρεκτὸς τῶν δεσμῶν τούτων ⸓ καὶ˙ ταῦτα
εἰπόντος αὐτοῦ ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν ἥ τε βερνίκη
31 καὶ οἱ συγκαθήμενοι αὐτοῖς ⸓ καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς

---

v.15 $\mathbb{T}^*$: εἶπον, $\mathbb{V}$: ειπα. **v.15** $\mathbb{T}^*$: ειπεν, $\mathbb{V}$: κυριος ειπεν. **v.16** $\mathbb{T}^*$: ειδες, $\mathbb{V}$: ειδες [με]. **v.17** $\mathbb{T}^*$: των, $\mathbb{V}$: εκ των. **v.17** $\mathbb{T}$ $\mathbb{K}$: νυν σε αποστελλω, $\mathbb{M}$: εγω σε αποστελλω, $\mathbb{V}$: εγω αποστελλω σε. **v.18** $\mathbb{T}$ $\mathbb{V}$: του επιστρεψαι, $\mathbb{K}$: και επιστρεψαι, $\mathbb{M}$: του υποστρεψαι. **v.20** $\mathbb{T}^*$: και, $\mathbb{V}$: τε και. **v.20** $\mathbb{T}^*$: εις, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}$ $\mathbb{M}$: απαγγελλων, $\mathbb{K}$ $\mathbb{V}$: απηγγελλον. **v.21** $\mathbb{T}^*$: οι, $\mathbb{V}$: ∅. **v.21** $\mathbb{T}^*$: εν, $\mathbb{V}$: [οντα] εν. **v.22** $\mathbb{T}^*$: παρα, $\mathbb{V}$: απο. **v.22** $\mathbb{T}$ $\mathbb{K}$: μαρτυρουμενος, $\mathbb{M}$ $\mathbb{V}$: μαρτυρομενος. **v.22** $\mathbb{T}^*$: μωσης, $\mathbb{V}$: μωυσης. **v.23** $\mathbb{T}^*$: τω, $\mathbb{V}$: τω τε. **v.24** $\mathbb{T}^*$: εφη, $\mathbb{V}$: φησιν. **v.25** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: δε παυλος. **v.25** $\mathbb{T}$ $\mathbb{K}$: αλλ, $\mathbb{M}$ $\mathbb{V}$: αλλα. **v.26** $\mathbb{T}^*$: ουδεν, $\mathbb{V}$: ουθεν. **v.26** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: εστιν, $\mathbb{M}$: ∅. **v.28** $\mathbb{T}^*$: εφη, $\mathbb{V}$: ∅. **v.28** $\mathbb{T}^*$: γενεσθαι, $\mathbb{V}$: ποιησαι. **v.29** $\mathbb{T}^*$: ειπεν, $\mathbb{V}$: ∅. **v.29** $\mathbb{T}^*$: πολλω, $\mathbb{V}$: μεγαλω. **v.29** $\mathbb{T}^*$: καγω, $\mathbb{V}$: και εγω. **v.30** $\mathbb{T}^*$: και ταυτα ειπόντος αυτου ανεστη, $\mathbb{V}$: ανεστη τε.

ἀλλήλους λέγοντες ὅτι οὐδὲν θανάτου ἄξιον˙ ἢ δεσμῶν πράσσει
ὁ ἄνθρωπος οὗτος· ἀγρίππας δὲ τῷ φήστῳ ἔφη ἀπολελύσθαι 32
ἐδύνατο ὁ ἄνθρωπος οὗτος εἰ μὴ ἐπεκέκλητο καίσαρα·

ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν ἰταλίαν παρεδί- **27**
δουν τόν τε παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ
ὀνόματι ἰουλίῳ σπείρης σεβαστῆς· ἐπιβάντες δὲ πλοίῳ ἀδρα- 2
μυττηνῷ μέλλοντές πλεῖν τοὺς κατὰ τὴν ἀσίαν τόπους ἀνήχθη-
μεν ὄντος σὺν ἡμῖν ἀριστάρχου μακεδόνος θεσσαλονικέως· τῇ 3
τε ἑτέρᾳ κατήχθημεν εἰς σιδῶνα φιλανθρώπως τε ὁ ἰούλιος τῷ
παύλῳ χρησάμενος ἐπέτρεψεν πρὸς φίλους πορευθέντἀ ἐπιμε-
λείας τυχεῖν· κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν κύπρον 4
διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους· τό τε πέλαγος τὸ κατὰ τὴν 5
κιλικίαν καὶ παμφυλίαν διαπλεύσαντες κατήλθομεν εἰς μύρα
τῆς λυκίας· κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχὸς πλοῖον ἀλεξανδρῖνον 6
πλέον εἰς τὴν ἰταλίαν ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό· ἐν ἱκαναῖς δὲ 7
ἡμέραις βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν κνίδον
μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου ὑπεπλεύσαμεν τὴν κρήτην κα-
τὰ σαλμώνην· μόλις τε παραλεγόμενοι αὐτὴν ἤλθομεν εἰς τόπον 8
τινὰ καλούμενον καλοὺς λιμένας ᾧ ἐγγὺς ἦν˙ πόλις λασαία· ἱ- 9
κανοῦ δὲ χρόνου διαγενομένου καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ
πλοὸς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι παρῄνει ὁ
παῦλος· λέγων αὐτοῖς ἄνδρες θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολ- 10
λῆς ζημίας οὐ μόνον τοῦ φόρτου καὶ τοῦ πλοίου ἀλλὰ καὶ τῶν
ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν· ὁ δὲ ἑκατόνταρχὸς 11
τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο˙ μᾶλλον ἢ τοῖς ὑπὸ
τοῦ παύλου λεγομένοις· ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχον- 12
τος πρὸς παραχειμασίαν οἱ πλείοὺς ἔθεντο βουλὴν ἀναχθῆναι
κἀκεῖθεν˙ εἴπως δύναιντο καταντήσαντες εἰς φοίνικα παραχει-
μάσαι λιμένα τῆς κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον·
ὑποπνεύσαντος δὲ νότου δόξαντες τῆς προθέσεως κεκρατηκέναι 13
ἄραντες ἆσσον παρελέγοντο τὴν κρήτην· μετ᾽ οὐ πολὺ δὲ ἔβα- 14
λεν κατ᾽ αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλούμενος εὐρόκλύδων·
συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ δυναμένου ἀντοφθαλ- 15
μεῖν τῷ ἀνέμῳ ἐπιδόντες ἐφερόμεθα· νησίον δέ τι ὑποδραμόντες 16

---

v.31 𝕋*: αξιον η δεσμων, 𝕍: η δεσμων αξιον [τι]. **27.v.2** 𝕋*: μελλοντες, 𝕍: μελλοντι. **v.2** 𝕋*: τους, 𝕍: εις τους. **v.3** 𝕋: φιλους, 𝕂 𝕄 𝕍: τους φιλους. **v.3** 𝕋*: πορευθεντα, 𝕍: πορευθεντι. **v.6** 𝕋*: εκατονταρχος, 𝕍: εκατονταρχης. **v.8** 𝕋*: ην πολις, 𝕍: πολις ην. **v.10** 𝕋 𝕂: φορτου, 𝕄 𝕍: φορτιου. **v.11** 𝕋 𝕂: εκατονταρχος, 𝕄 𝕍: εκατονταρχης. **v.11** 𝕋*: επειθετο μαλλον η τοις υπο του παυλου, 𝕍: μαλλον επειθετο η τοις υπο παυλου. **v.12** 𝕋*: πλειους, 𝕍: πλειονες. **v.12** 𝕋 𝕂: κακειθεν ειπως, 𝕄 𝕍: εκειθεν ει πως. **v.14** 𝕋*: ευροκλυδων, 𝕍: ευρακυλων.

καλούμενον κλαύδην˚ μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι
17 τῆς σκάφης· ἣν ἄραντες βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ
πλοῖον φοβούμενοί τε μὴ εἰς τὴν σύρτιν ἐκπέσωσιν χαλάσαντες
18 τὸ σκεῦος οὕτως ἐφέροντο· σφοδρῶς δὲ χειμαζομένων ἡμῶν τῇ
19 ἐξῆς ἐκβολὴν ἐποιοῦντο· καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν
20 τοῦ πλοίου ἐρρίψαμεν· μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινόν-
των ἐπὶ πλείονας ἡμέρας χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου
21 λοιπὸν περιῃρεῖτο πᾶσα˚ ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς· πολλῆς δὲ˚
ἀσιτίας ὑπαρχούσης τότε σταθεὶς ὁ παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν
ἔδει μὲν ὦ ἄνδρες πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς
22 κρήτης κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν· καὶ ταν῀ῦν
παραινῶ ὑμᾶς εὐθυμεῖν ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ
23 ὑμῶν πλὴν τοῦ πλοίου· παρέστη γάρ μοι τῇ˚ νυκτὶ ταύτῃ ἄγ-
24 γελος τοῦ θεοῦ οὗ εἰμι ᾧ καὶ λατρεύω· λέγων μὴ φοβοῦ παῦλε
καίσαρί σε δεῖ παραστῆναι καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάν-
25 τας τοὺς πλέοντας μετὰ σοῦ· διὸ εὐθυμεῖτε ἄνδρες πιστεύω γὰρ
26 τῷ θεῷ ὅτι οὕτως ἔσται καθ᾽ ὃν τρόπον λελάληταί μοι· εἰς νῆσον
27 δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν· ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγέ-
νετο διαφερομένων ἡμῶν ἐν τῷ ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς
28 ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν· καὶ βολί-
σαντες εὗρον ὀργυιὰς εἴκοσι βραχὺ δὲ διαστήσαντες καὶ πάλιν
29 βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε· φοβούμενοί τε μήπως˚
εἰς τραχεῖς τόπους ἐκπέσωσιν ἐκ πρύμνης ῥίψαντες ἀγκύρας
30 τέσσαρας ηὔχοντο ἡμέραν γενέσθαι· τῶν δὲ ναυτῶν ζητούντων
φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θά-
λασσαν προφάσει ὡς ἐκ πρώρας˚ μελλόντων ἀγκύρας ἐκτείνειν·
31 εἶπεν ὁ παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις ἐὰν μὴ οὗ-
32 τοι μείνωσιν ἐν τῷ πλοίῳ ὑμεῖς σωθῆναι οὐ δύνασθε· τότε οἱ˚
στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης καὶ εἴασαν αὐ-
33 τὴν ἐκπεσεῖν· ἄχρι δὲ οὗ ἔμελλεν˚ ἡμέρα γίνεσθαι παρεκάλει ὁ
παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς λέγων τεσσαρεσκαιδεκάτην
σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε μηδὲν προ-
34 σλαβόμενοι· διὸ παρακαλῶ ὑμᾶς πρ῀ὸσλαβεῖν τροφῆς τοῦτο γὰρ

---

v.16 𝕋*: κλαυδην μολις ισχυσαμεν, 𝕍: καυδα ισχυσαμεν μολις. **v.17** 𝕋 𝕂 𝕍: συρτιν, 𝕄: συρτην. **v.19** 𝕋*: ερριψαμεν, 𝕍: ερριψαν. **v.20** 𝕋*: πασα ελπις, 𝕍: ελπις πασα. **v.21** 𝕋*: δε, 𝕍: τε. **v.22** 𝕋: τανυν, 𝕂 𝕄 𝕍: τα νυν. **v.23** 𝕋 𝕂: τη νυκτι ταυτη αγγελος του θεου ου ειμι ω και λατρευω, 𝕄: ταυτη τη νυκτι αγγελος του θεου ου ειμι ω και λατρευω, 𝕍: ταυτη τη νυκτι του θεου ου ειμι [εγω] ω και λατρευω αγγελος. **v.29** 𝕋*: μηπως εις, 𝕍: μη που κατα. **v.29** 𝕋: εκπεσωσιν, 𝕂 𝕄 𝕍: εκπεσωμεν. **v.30** 𝕋*: πρωρας μελλοντων αγκυρας, 𝕍: πρωρης αγκυρας μελλοντων. **v.32** 𝕋*: οι στρατιωται απεκοψαν, 𝕍: απεκοψαν οι στρατιωται. **v.33** 𝕋 𝕂: εμελλεν ημερα, 𝕄: ημελλεν ημερα, 𝕍: ημερα ημελλεν. **v.33** 𝕋*: μηδεν, 𝕍: μηθεν. **v.34** 𝕋*: προσλαβειν, 𝕍: μεταλαβειν.

πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει οὐδενὸς γὰρ ὑμῶν θριξ
ἐκ˚ τῆς κεφαλῆς πεσεῖται ◦ εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον εὐ- 35
χαρίστησεν τῷ θεῷ ἐνώπιον πάντων καὶ κλάσας ἤρξατο ἐσθίειν ◦
εὔθυμοι δὲ γενόμενοι πάντες καὶ αὐτοὶ προσελάβοντο τροφῆς ◦ 36
ἦμεν˚ δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομηκοντἁέξ ◦ 37
κορεσθέντες δὲ τροφῆς ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν 38
σῖτον εἰς τὴν θάλασσαν ◦ ὅτε δὲ ἡμέρα ἐγένετο τὴν γῆν οὐκ ἐ- 39
πεγίνωσκον κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλὸν εἰς ὃν
ἐβουλεύσαντο εἰ δύναιντο ἐξῶσαι τὸ πλοῖον ◦ καὶ τὰς ἀγκύρας 40
περιελόντες εἴων εἰς τὴν θάλασσαν ἅμα ἀνέντες τὰς ζευκτηρίας
τῶν πηδαλίων καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ κατεῖ-
χον εἰς τὸν αἰγιαλόν ◦ περιπεσόντες δὲ εἰς τόπον διθάλασσον 41
ἐπώκειλαν τὴν ναῦν καὶ ἡ μὲν πρώρα ἐρείσασα ἔμεινεν ἀσά-
λευτος ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων ◦ τῶν δὲ 42
στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν μή-
τις˚ ἐκκολυμβήσας διαφύγοι ◦ ὁ δὲ ἑκατόνταρχος βουλόμενος 43
διασῶσαι τὸν παῦλον ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος ἐκέ-
λευσέν τε τοὺς δυναμένους κολυμβᾶν ἀπορρίψαντας πρώτους
ἐπὶ τὴν γῆν ἐξιέναι ◦ καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν οὓς 44
δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου καὶ οὕτως ἐγένετο πάντας δια-
σωθῆναι ἐπὶ τὴν γῆν ◦

καὶ διασωθέντες τότε ἐπέγνωσαν ὅτι μελίτη ἡ νῆσος καλεῖται ◦ **28**
οἱ δὲ˚ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν 2
ἀνάψαντες γὰρ πυρὰν προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν ὑετὸν
τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος ◦ συστρέψαντος δὲ τοῦ παύλου 3
φρυγάνων πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν ἔχιδνα ἐκ˙ τῆς
θέρμης ἐξελθοῦσα καθῆψεν τῆς χειρὸς αὐτοῦ ◦ ὡς δὲ εἶδον οἱ 4
βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ ἔλεγον˚
πρὸς ἀλλήλους πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος ὃν δια-
σωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν ◦ ὁ μὲν οὖν 5
ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν ◦ οἱ δὲ 6
προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω

---

v.34 𝕋*: εκ της κεφαλης πεσειται, 𝕍: απο της κεφαλης απολειται. **v.35** 𝕋*: ειπων, 𝕍: ειπας. **v.37** 𝕋*: ημεν δε εν τω πλοιω αι πασαι ψυχαι, 𝕍: ημεθα δε αι πασαι ψυχαι εν τω πλοιω. **v.37** 𝕋 𝕂: εβδομηκονταεξ, 𝕄 𝕍: εβδομηκοντα εξ. **v.38** 𝕋 𝕂 𝕍: τροφης, 𝕄: της τροφης. **v.39** 𝕋*: εβουλευσαντο, 𝕍: εβουλευοντο. **v.39** 𝕋 𝕂 𝕍: δυναιντο, 𝕄: δυνατον. **v.40** 𝕋*: αρτεμονα, 𝕍: αρτεμωνα. **v.41** 𝕋*: επωκειλαν, 𝕍: επεκειλαν. **v.42** 𝕋 𝕂: μητις εκκολυμβησας διαφυγοι, 𝕄 𝕍: μη τις εκκολυμβησας διαφυγη. **v.43** 𝕋*: εκατονταρχος, 𝕍: εκατονταρχης. **v.43** 𝕋*: απορριψαντας, 𝕍: απορψαντας. **28.v.1** 𝕋*: επεγνωσαν, 𝕍: επεγνωμεν. **v.2** 𝕋*: δε, 𝕍: τε. **v.2** 𝕋*: αναψαντες, 𝕍: αψαντες. **v.3** 𝕋*: πληθος, 𝕍: τι πληθος. **v.3** 𝕋*: εκ, 𝕍: απο. **v.3** 𝕋 𝕂 𝕍: εξελθουσα, 𝕄: διεξελθουσα. **v.4** 𝕋*: ελεγον προς αλληλους, 𝕍: προς αλληλους ελεγον.

νεκρὸν ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον μεταβαλλόμενοι ἔλεγον θεὸν˚
7 αὐτὸν εἶναι ◦ ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χω-
ρία τῷ πρώτῳ τῆς νήσου ὀνόματι ποπλίῳ ὃς ἀναδεξάμενος ἡ-
8 μᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν ◦ ἐγένετο δὲ τὸν πατέρα
τοῦ ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι
πρὸς ὃν ὁ παῦλος εἰσελθὼν καὶ προσευξάμενος ἐπιθεὶς τὰς χεῖ-
9 ρας αὐτῷ ἰάσατο αὐτόν ◦ τούτου οὖν γενομένου καὶ οἱ λοιποὶ
οἱ ἔχοντες˚ ἀσθενείας ἐν τῇ νήσῳ προσήρχοντο καὶ ἐθεραπεύ-
10 οντο ◦ οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς καὶ ἀναγομένοις
11 ἐπέθεντο τὰ πρὸς τὴν˚ χρείαν ◦ μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν
ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ ἀλεξανδρίνῳ παρασήμῳ
12 διοσκούροις ◦ καὶ καταχθέντες εἰς συρακούσας ἐπεμείναμεν ἡ-
13 μέρας τρεῖς ◦ ὅθεν περιελθόντες κατηντήσαμεν εἰς ῥήγιον καὶ
μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου δευτεραῖοι ἤλθομεν εἰς
14 ποτιόλους ◦ οὗ εὑρόντες ἀδελφοὺς παρεκλήθημεν ἐπ᾽ αὐτοῖς ἐ-
15 πιμεῖναι ἡμέρας ἑπτὰ καὶ οὕτως εἰς τὴν ῥώμην ἤλθομεν ◦ κἀκεῖ-
θεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν ἐξῆλθὸν εἰς ἀπάντησιν
ἡμῖν ἄχριȣ ἀππίου φόρου καὶ τριῶν ταβερνῶν οὓς ἰδὼν ὁ παῦλος
16 εὐχαριστήσας τῷ θεῷ ἔλαβεν θάρσος ◦ ὅτε δὲ ἤλθομεν εἰς ῥώμην
ὁ˚ ἑκατόνταρχος παρέδωκεν τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ
τῷ˚ δὲ παύλῳ ἐπετράπη μένειν καθ᾽ ἑαυτὸν σὺν τῷ φυλάσσοντι
17 αὐτὸν στρατιώτῃ ◦ ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι
τὸν˚ παῦλον τοὺς ὄντας τῶν ἰουδαίων πρώτους συνελθόντων δὲ
αὐτῶν ἔλεγεν πρὸς αὐτοὺς ἄνδρες˚ ἀδελφοὶ ἐγὼ οὐδὲν ἐναν-
τίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσιν τοῖς πατρῴοις δέσμιος ἐξ
18 ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν ῥωμαίων ◦ οἵτινες
ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν
19 θανάτου ὑπάρχειν ἐν ἐμοί ◦ ἀντιλεγόντων δὲ τῶν ἰουδαίων ἠναγ-
κάσθην ἐπικαλέσασθαι καίσαρα οὐχ ὡς τοῦ ἔθνους μου ἔχων
20 τι κατηγορῆσαι ◦ διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς
ἰδεῖν καὶ προσλαλῆσαι ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ ἰσραὴλ τὴν
21 ἅλυσιν ταύτην περίκειμαι ◦ οἱ δὲ πρὸς αὐτὸν εἶπόν ἡμεῖς οὔτε

v.6 𝕋*: μεταβαλλομενοι, 𝕍: μεταβαλομενοι. **v.6** 𝕋*: θεον αυτον ειναι, 𝕍: αυτον ειναι θεον. **v.8** 𝕋*: δυσεντεριᾳ, 𝕍: δυσεντεριω. **v.9** 𝕋*: ουν, 𝕍: δε. **v.9** 𝕋*: εχοντες ασθενειας εν τη νησω, 𝕍: εν τη νησω εχοντες ασθενειας. **v.10** 𝕋*: την χρειαν, 𝕍: τας χρειας. **v.13** 𝕋*: περιελθοντες, 𝕍: περιελοντες. **v.14** 𝕋*: επ, 𝕍: παρ. **v.14** 𝕋*: ηλθομεν, 𝕍: ηλθαμεν. **v.15** 𝕋*: εξηλθον, 𝕍: ηλθαν. **v.15** 𝕋*: αχρις, 𝕍: αχρι. **v.16** 𝕋*: ηλθομεν, 𝕍: εισηλθομεν. **v.16** 𝕋*: ο εκατονταρχος παρεδωκεν τους δεσμιους τω, 𝕍: ∅. **v.16** 𝕋 𝕂: στρατοπεδαρχη, 𝕄: στρατοπεδαρχω, 𝕍: ∅. **v.16** 𝕋*: τω δε παυλω επετραπη, 𝕍: επετραπη τω παυλω. **v.17** 𝕋*: τον παυλον, 𝕍: αυτον. **v.17** 𝕋*: ανδρες αδελφοι εγω, 𝕍: εγω ανδρες αδελφοι. **v.19** 𝕋*: κατηγορησαι, 𝕍: κατηγορειν. **v.21** 𝕋*: εἶπον, 𝕍: εἶπαν.

γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς ἰουδαίας οὔτε παραγε-
νόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέν τι περὶ σοῦ
πονηρόν ⸰ ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς περὶ μὲν 22
γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν˚ ἡμῖν ὅτι πανταχοῦ ἀν-
τιλέγεται ⸰ ταξάμενοι δὲ αὐτῷ ἡμέραν ἦκον πρὸς αὐτὸν εἰς τὴν 23
ξενίαν πλείονες οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν
τοῦ θεοῦ πείθων τε αὐτοὺς τὰ περὶ τοῦ ἰησοῦ ἀπό τε τοῦ νό-
μου μωϋσέως καὶ τῶν προφητῶν ἀπὸ πρωῒ ἕως ἑσπέρας ⸰ καὶ οἱ 24
μὲν ἐπείθοντο τοῖς λεγομένοις οἱ δὲ ἠπίστουν ⸰ ἀσύμφωνοι δὲ 25
ὄντες πρὸς ἀλλήλους ἀπελύοντο εἰπόντος τοῦ παύλου ῥῆμα ἓν
ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησεν διὰ ἡϊσαΐου τοῦ προ-
φήτου πρὸς τοὺς πατέρας ἡμῶν ⸰ λέγων πορεύθητι πρὸς τὸν 26
λαὸν τοῦτον καὶ εἰπὲ ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε καὶ βλέ-
ποντες βλέψετε καὶ οὐ μὴ ἴδητε ⸰ ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ 27
λαοῦ τούτου καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλ-
μοὺς αὐτῶν ἐκάμμυσαν μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς
ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν καὶ
ἰάσωμαι αὐτούς ⸰ γνωστὸν οὖν ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν ἀπε- 28
στάλη τὸ σωτήριον τοῦ θεοῦ αὐτοὶ καὶ ἀκούσονται ⸰ καὶ˚ ταῦτα 29
αὐτοῦ εἰπόντος ἀπῆλθον οἱ ἰουδαῖοι πολλὴν ἔχοντες ἐν ἑαυτοῖς
συζήτησιν ⸰ ἔμεινεν˚ δὲ ὁ παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώ- 30
ματι καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν ⸰
κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ 31
κυρίου ἰησοῦ χριστοῦ μετὰ πάσης παρρησίας ἀκωλύτως ⸰

---

v.22 𝕋*: εστιν ημιν, 𝕍: ημιν εστιν. **v.23** 𝕋*: ηκον, 𝕍: ηλθον. **v.23** 𝕋*: τα, 𝕍: ∅. **v.23** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.25** 𝕋: ἡσαΐου, 𝕂 𝕄 𝕍: ἡσαΐου, ℕ: ἡσαίου. **v.25** 𝕋*: ημων, 𝕍: υμων. **v.26** 𝕋*: λεγον, 𝕍: λεγων. **v.26** 𝕋 𝕂: εἰπὲ, 𝕄 𝕍: εἶπον. **v.27** 𝕋 𝕂: ιασωμαι, 𝕄 𝕍: ιασομαι. **v.28** 𝕋*: το, 𝕍: τουτο το. **v.29** 𝕋*: και . . . συζητησιν, 𝕍: ∅. **v.30** 𝕋*: εμεινεν δε ο παυλος, 𝕍: ενεμεινεν δε.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ˚

1 παῦλος δοῦλος ἰησοῦ˚ χριστοῦ κλητὸς ἀπόστολος ἀφωρισμέ-
2 νος εἰς εὐαγγέλιον θεοῦ ◦ ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν
3 αὐτοῦ ἐν γραφαῖς ἁγίαις ◦ περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου
4 ἐκ σπέρματος δαβὶδ κατὰ σάρκα ◦ τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν
δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν ἰησοῦ
5 χριστοῦ τοῦ κυρίου ἡμῶν ◦ δι᾽ οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν
εἰς ὑπακοὴν πίστεως ἐν πᾶσιν τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος
6, 7 αὐτοῦ ◦ ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ ἰησοῦ χριστοῦ ◦ πᾶσιν τοῖς
οὖσιν ἐν ῥώμῃ ἀγαπητοῖς θεοῦ κλητοῖς ἁγίοις χάρις ὑμῖν καὶ
8 εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ◦ πρῶ-
τον μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ ἰησοῦ χριστοῦ ὑ῾πὲρ πάντων
9 ὑμῶν ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ ◦ μάρ-
τυς γάρ μού ἐστιν ὁ θεὸς ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ
εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦ-
10 μαι ◦ πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος εἴ῾πως ἤδη ποτὲ
11 εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς ◦ ἐπι-
ποθῶ γὰρ ἰδεῖν ὑμᾶς ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν
12 εἰς τὸ στηριχθῆναι ὑμᾶς ◦ τοῦτο δέ ἐστιν συμπαρακληθῆναι ἐν
13 ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ ◦ οὐ θέλω
δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς
ὑμᾶς καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο ἵνα καρπόν˚ τινα σχῶ καὶ
14 ἐν ὑμῖν καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν ◦ ἕλλησίν τε καὶ βαρ-
15 βάροις σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί ◦ οὕτως τὸ κατ᾽
16 ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν ῥώμῃ εὐαγγελίσασθαι ◦ οὐ γὰρ
ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ˚ χριστοῦ δύναμις γὰρ θεοῦ ἐ-
στιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι ἰουδαίῳ τε πρῶτον καὶ
17 ἕλληνι ◦ δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πί-
στεως εἰς πίστιν καθὼς γέγραπται ὁ δὲ δίκαιος ἐκ πίστεως ζή-
18 σεται ◦ ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ᾽ οὐρανοῦ ἐπὶ πᾶσαν
ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κα-
19 τεχόντων ◦ διότι τὸ γνωστὸν τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς ὁ
20 γὰρ˚ θεὸς αὐτοῖς ἐφανέρωσεν ◦ τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτί-
σεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται ἥ τε ἀΐδιος

𝕋 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ. **1.v.1** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.3** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.8** 𝕋*: υπερ, 𝕍: περι. **v.10** 𝕋*: ειπως, 𝕍: ει πως. **v.13** 𝕋 𝕂: καρπον τινα, 𝕄 𝕍: τινα καρπον. **v.16** 𝕋*: του χριστου, 𝕍: ∅. **v.19** 𝕋*: γαρ θεος, 𝕍: θεος γαρ.

αὐτοῦ δύναμις καὶ θειότης εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους ◦
διότι γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν 21
ἀλλ᾽ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη
ἡ ἀσύνετος αὐτῶν καρδία ◦ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθη- 22
σαν ◦ καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι 23
εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ
ἑρπετῶν ◦ διὸ κἀι παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις 24
τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα
αὐτῶν ἐν ἑαὐτοῖς ◦ οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν 25
τῷ ψεύδει καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν
κτίσαντα ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν ◦ διὰ τοῦτο 26
παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας αἵ τε γὰρ θήλειαι
αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν ◦
ὁμοίως τε καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θη- 27
λείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους ἄρσενες ἐν
ἄρσεσιν τὴν ἀσχημοσύνην κατεργαζόμενοι καὶ τὴν ἀντιμισθίαν
ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες ◦ καὶ κα- 28
θὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει παρέδωκεν
αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα ◦ πε- 29
πληρωμένους πάσῃ ἀδικίᾳ πορνείᾳ πονηρίᾳ πλεονεξίᾳ κακίᾳ
μεστοὺς φθόνου φόνου ἔριδος δόλου κακοηθείας ψιθυριστάς ◦
καταλάλους θεοστυγεῖς ὑβριστὰς ὑπερηφάνους ἀλαζόνας ἐφευ- 30
ρετὰς κακῶν γονεῦσιν ἀπειθεῖς ◦ ἀσυνέτους ἀσυνθέτους ἀστόρ- 31
γους ἀσπόνδους ἀνελεήμονας ◦ οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ 32
ἐπιγνόντες ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν οὐ
μόνον αὐτὰ ποιοῦσιν ἀλλὰ καὶ συνευδοκοῦσιν τοῖς πράσσου-
σιν ◦

διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων ἐν ᾧ γὰρ κρί- **2**
νεις τὸν ἕτερον σεαυτὸν κατακρίνεις τὰ γὰρ αὐτὰ πράσσεις ὁ
κρίνων ◦ οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστιν κατὰ ἀλήθειαν 2
ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας ◦ λογίζῃ δὲ τοῦτο ὦ ἄνθρωπε ὁ 3
κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτὰ ὅτι σὺ ἐκ-
φεύξῃ τὸ κρίμα τοῦ θεοῦ ◦ ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ 4
καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς ἀγνοῶν ὅτι
τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει ◦ κατὰ δὲ τὴν σκληρό- 5
τητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν
ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ θεοῦ ◦ ὃς 6

v.21 𝕋*: ευχαριστησαν, 𝕍: ηυχαριστησαν. **v.24** 𝕋*: και, 𝕍: ∅. **v.24** 𝕋*: εαυτοις, 𝕍: αυτοις. **v.27** 𝕋 𝕄: αρρενες, 𝕂 𝕍: αρσενες. **v.29** 𝕋*: πορνεια, 𝕍: ∅. **v.31** 𝕋*: ασπονδους, 𝕍: ∅. **2.v.5** 𝕋 𝕂 𝕍: δικαιοκρισιας, 𝕄: και δικαιοκρισιας.

7 ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ⸰ τοῖς μὲν καθ᾽ ὑπομονὴν
ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσιν ζωὴν
8 αἰώνιον ⸰ τοῖς δὲ ἐξ ἐριθείας καὶ ἀπειθοῦσιν μὲν τῇ ἀληθείᾳ πει-
9 θομένοις δὲ τῇ ἀδικίᾳ θυμὸς καὶ ὀργή ⸰ θλῖψις καὶ στενοχωρία
ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν ἰ-
10 ουδαίου τε πρῶτον καὶ ἕλληνος ⸰ δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη
παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν ἰουδαίῳ τε πρῶτον καὶ ἕλληνι ⸰
11, 12 οὐ γάρ ἐστιν προσωποληψία παρὰ τῷ θεῷ ⸰ ὅσοι γὰρ ἀνόμως
ἥμαρτον ἀνόμως καὶ ἀπολοῦνται καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον διὰ
13 νόμου κριθήσονται ⸰ οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι πα-
14 ρὰ τῷ θεῷ ἀλλ᾽ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται ⸰ ὅταν γὰρ
ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ οὗτοι νόμον
15 μὴ ἔχοντες ἑαυτοῖς εἰσιν νόμος ⸰ οἵτινες ἐνδείκνυνται τὸ ἔργον
τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν συμμαρτυρούσης
αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κα-
16 τηγορούντων ἢ καὶ ἀπολογουμένων ⸰ ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς
τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ ἰησοῦ
17 χριστοῦ ⸰ ἴδε σὺ ἰουδαῖος ἐπονομάζῃ καὶ ἐπαναπαύῃ τῷ νόμῳ
18 καὶ καυχᾶσαι ἐν θεῷ ⸰ καὶ γινώσκεις τὸ θέλημα καὶ δοκιμάζεις
19 τὰ διαφέροντα κατηχούμενος ἐκ τοῦ νόμου ⸰ πέποιθάς τε σεαυ-
20 τὸν ὁδηγὸν εἶναι τυφλῶν φῶς τῶν ἐν σκότει ⸰ παιδευτὴν ἀφρόνων
διδάσκαλον νηπίων ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς
21 ἀληθείας ἐν τῷ νόμῳ ⸰ ὁ οὖν διδάσκων ἕτερον σεαυτὸν οὐ διδά-
22 σκεις ὁ κηρύσσων μὴ κλέπτειν κλέπτεις ⸰ ὁ λέγων μὴ μοιχεύειν
23 μοιχεύεις ὁ βδελυσσόμενος τὰ εἴδωλα ἱεροσυλεῖς ⸰ ὃς ἐν νόμῳ
καυχᾶσαι διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις ⸰
24 τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι᾽ ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν
25 καθὼς γέγραπται ⸰ περιτομὴ μὲν γὰρ ὠφελεῖ ἐὰν νόμον πράσ-
σῃς ἐὰν δὲ παραβάτης νόμου ᾖς ἡ περιτομή σου ἀκροβυστία
26 γέγονεν ⸰ ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυ-
λάσσῃ οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται ⸰
27 καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα σὲ τὸν
28 διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου ⸰ οὐ γὰρ ὁ ἐν
τῷ φανερῷ ἰουδαῖός ἐστιν οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περι-
29 τομή ⸰ ἀλλ᾽ ὁ ἐν τῷ κρυπτῷ ἰουδαῖος καὶ περιτομὴ καρδίας ἐν
πνεύματι οὐ γράμματι οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων ἀλλ᾽ ἐκ

---

v.8 $\mathbb{T}^*$: απειθουσιν μεν, $\mathbb{V}$: απειθουσι. **v.8** $\mathbb{T}^*$: θυμος και οργη, $\mathbb{V}$: οργη και θυμος. **v.11** $\mathbb{T}^*$: προσωποληψια, $\mathbb{V}$: προσωπολημψια. **v.13** $\mathbb{T}^*$: του, $\mathbb{V}$: ∅. **v.14** $\mathbb{T}^*$: ποιη, $\mathbb{V}$: ποιωσιν. **v.16** $\mathbb{T}^*$: ιησου χριστου, $\mathbb{V}$: χριστου ιησου. **v.17** $\mathbb{T}^*$: ιδε, $\mathbb{V}$: ει δε. **v.17** $\mathbb{T}^*$: τω, $\mathbb{V}$: ∅. **v.26** $\mathbb{T}^*$: ουχι, $\mathbb{V}$: ουχ.

τοῦ θεοῦ ⸰

τί οὖν τὸ περισσὸν τοῦ ἰουδαίου ἢ τίς ἡ ὠφέλεια τῆς περιτο- **3**
μῆς ⸰ πολὺ κατὰ πάντα τρόπον πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθη- 2
σαν τὰ λόγια τοῦ θεοῦ ⸰ τί γὰρ εἰ ἠπίστησάν τινες μὴ ἡ ἀπιστία 3
αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει ⸰ μὴ γένοιτο γινέσθω δὲ ὁ 4
θεὸς ἀληθὴς πᾶς δὲ ἄνθρωπος ψεύστης καθὼς γέγραπται ὅπως
ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε ⸰
εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν τί ἐροῦμεν 5
μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργὴν κατὰ ἄνθρωπον λέγω ⸰
μὴ γένοιτο ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον ⸰ εἰ γὰρ ἡ ἀλήθεια 6, 7
τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ
τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι ⸰ καὶ μὴ καθὼς βλασφημού- 8
μεθα καὶ καθώς φασίν τινες ἡμᾶς λέγειν ὅτι ποιήσωμεν τὰ κακὰ
ἵνα ἔλθῃ τὰ ἀγαθά ὧν τὸ κρίμα ἔνδικόν ἐστιν ⸰ τί οὖν προεχό- 9
μεθα οὐ πάντως προῃτιασάμεθα γὰρ ἰουδαίους τε καὶ ἕλληνας
πάντας ὑφ᾽ ἁμαρτίαν εἶναι ⸰ καθὼς γέγραπται ὅτι οὐκ ἔστιν δί- 10
καιος οὐδὲ εἷς ⸰ οὐκ ἔστιν ὁ συνιῶν οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν 11
θεόν ⸰ πάντες ἐξέκλιναν ἅμα ἠχρεώθησαν οὐκ ἔστιν ποιῶν χρη- 12
στότητα οὐκ ἔστιν ἕως ἑνός ⸰ τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν 13
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐ-
τῶν ⸰ ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει ⸰ ὀξεῖς οἱ πόδες αὐτῶν 14, 15
ἐκχέαι αἷμα ⸰ σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν ⸰ 16
καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν ⸰ οὐκ ἔστιν φόβος θεοῦ ἀπέναντι 17, 18
τῶν ὀφθαλμῶν αὐτῶν ⸰ οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν 19
τῷ νόμῳ λαλεῖ ἵνα πᾶν στόμα φραγῇ καὶ ὑπόδικος γένηται πᾶς
ὁ κόσμος τῷ θεῷ ⸰ διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα 20
σὰρξ ἐνώπιον αὐτοῦ διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας ⸰ νυνὶ δὲ 21
χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ
τοῦ νόμου καὶ τῶν προφητῶν ⸰ δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως 22
ἰησοῦ χριστοῦ εἰς πάντας καὶ˚ ἐπὶ πάντας τοὺς πιστεύοντας οὐ
γάρ ἐστιν διαστολή ⸰ πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς 23
δόξης τοῦ θεοῦ ⸰ δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς 24
ἀπολυτρώσεως τῆς ἐν χριστῷ ἰησοῦ ⸰ ὃν προέθετο ὁ θεὸς ἱλαστή- 25
ριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι εἰς ἔνδειξιν τῆς δικαιο-
σύνης αὐτοῦ διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων ⸰
ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν 26
τῷ νῦν καιρῷ εἰς τὸ εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ

3.v.4 $\mathbb{T}^*$: νικησης, $\mathbb{V}$: νικησεις. **v.7** $\mathbb{T}^*$: γαρ, $\mathbb{V}$: δε. **v.12** $\mathbb{T}^*$: ηχρειωθησαν, $\mathbb{V}$: ηχρεωθησαν. **v.12** $\mathbb{T}^*$: ποιων, $\mathbb{V}$: ο ποιων. **v.22** $\mathbb{T}^*$: και επι παντας, $\mathbb{V}$: ∅. **v.26** $\mathbb{T}^*$: ενδειξιν, $\mathbb{V}$: την ενδειξιν.

27 πίστεως ἰησοῦ ⸰ ποῦ οὖν ἡ καύχησις ἐξεκλείσθη διὰ ποίου νό-
28 μου τῶν ἔργων οὐχὶ ἀλλὰ διὰ νόμου πίστεως ⸰ λογιζόμεθα οὖν˚
29 πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου ⸰ ἢ ἰουδαίων ὁ
30 θεὸς μόνον οὐχὶ δὲ˚ καὶ ἐθνῶν ναὶ καὶ ἐθνῶν ⸰ ἐπείπερ εἷς ὁ θε-
ὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς
31 πίστεως ⸰ νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως μὴ γένοιτο
ἀλλὰ νόμον ἱστῶμεν ⸰

4 τί οὖν ἐροῦμεν ἀβραὰμ˚ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ
2 σάρκα ⸰ εἰ γὰρ ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη ἔχει καύχημα ἀλλ᾽
3 οὐ πρὸς ϑεόν ⸰ τί γὰρ ἡ γραφὴ λέγει ἐπίστευσεν δὲ ἀβραὰμ
4 τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην ⸰ τῷ δὲ ἐργαζομένῳ ὁ
5 μισθὸς οὐ λογίζεται κατὰ χάριν ἀλλὰ κατὰ τὸ ὀφείλημα ⸰ τῷ δὲ
μὴ ἐργαζομένῳ πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ λογί-
6 ζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην ⸰ καθάπερ καὶ δαβὶδ λέγει
τὸν μακαρισμὸν τοῦ ἀνθρώπου ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην
7 χωρὶς ἔργων ⸰ μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπε-
8 καλύφθησαν αἱ ἁμαρτίαι ⸰ μακάριος ἀνὴρ ᾧ˚ οὐ μὴ λογίσηται
9 κύριος ἁμαρτίαν ⸰ ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν ἢ
καὶ ἐπὶ τὴν ἀκροβυστίαν λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ ἀβραὰμ
10 ἡ πίστις εἰς δικαιοσύνην ⸰ πῶς οὖν ἐλογίσθη ἐν περιτομῇ ὄντι
11 ἢ ἐν ἀκροβυστίᾳ οὐκ ἐν περιτομῇ ἀλλ᾽ ἐν ἀκροβυστίᾳ ⸰ καὶ ση-
μεῖον ἔλαβεν περιτομῆς σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως
τῆς ἐν τῇ ἀκροβυστίᾳ εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν
πιστευόντων δι᾽ ἀκροβυστίας εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν
12 δικαιοσύνην ⸰ καὶ πατέρα περιτομῆς τοῖς οὐκ ἐκ περιτομῆς μό-
νον ἀλλὰ καὶ τοῖς στοιχοῦσιν τοῖς ἴχνεσιν τῆς ἐν˚ τῇ ἀκροβυστίᾳ
13 πίστεως τοῦ πατρὸς ἡμῶν ἀβραάμ ⸰ οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγε-
λία τῷ ἀβραὰμ ἢ τῷ σπέρματι αὐτοῦ τὸ κληρονόμον αὐτὸν εἶναι
14 τοῦ κόσμου ἀλλὰ διὰ δικαιοσύνης πίστεως ⸰ εἰ γὰρ οἱ ἐκ νόμου
κληρονόμοι κεκένωται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία ⸰
15 ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται οὗ γὰρ οὐκ ἔστιν νόμος οὐδὲ
16 παράβασις ⸰ διὰ τοῦτο ἐκ πίστεως ἵνα κατὰ χάριν εἰς τὸ εἶναι
βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι οὐ τῷ ἐκ τοῦ νόμου
μόνον ἀλλὰ καὶ τῷ ἐκ πίστεως ἀβραὰμ ὅς ἐστιν πατὴρ πάντων
17 ἡμῶν ⸰ καθὼς γέγραπται ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε

v.28 𝕋*: ουν πιστει δικαιουσθαι, 𝕍: γαρ δικαιουσθαι πιστει. **v.29** 𝕋*: δε, 𝕍: ∅. **v.30** 𝕋*: επειτπερ, 𝕍: ειπερ. **v.31** 𝕋*: ιστωμεν, 𝕍: ιστανομεν. **4.v.1** 𝕋*: αβρααμ τον πατερα ημων ευρηκεναι, 𝕍: ευρηκεναι αβρααμ τον προπατορα ημων. **v.2** 𝕋*: τον, 𝕍: ∅. **v.4** 𝕋 𝕂: το, 𝕄 𝕍: ∅. **v.6** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.8** 𝕋*: ω, 𝕍: ου. **v.9** 𝕋*: οτι, 𝕍: ∅. **v.12** 𝕋 𝕂: εν τη ακροβυστια πιστεως, 𝕄: πιστεως της εν τη ακροβυστια, 𝕍: εν ακροβυστια πιστεως. **v.13** 𝕋*: του, 𝕍: ∅. **v.15** 𝕋*: γαρ, 𝕍: δε.

κατέναντι οὗ ἐπίστευσεν θεοῦ τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς
καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα· 18 ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι
ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ
τὸ εἰρημένον οὕτως ἔσται τὸ σπέρμα σου· 19 καὶ μὴ ἀσθενήσας τῇ
πίστει οὐ κατενόησεν τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον ἑκα-
τονταέτης που ὑπάρχων καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας·
εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ ἀλλ᾽ ἐνε- 20
δυναμώθη τῇ πίστει δοὺς δόξαν τῷ θεῷ· 21 καὶ πληροφορηθεὶς ὅτι
ὃ ἐπήγγελται δυνατός ἐστιν καὶ ποιῆσαι· 22 διὸ καὶ ἐλογίσθη αὐτῷ
εἰς δικαιοσύνην· 23 οὐκ ἐγράφη δὲ δι᾽ αὐτὸν μόνον ὅτι ἐλογίσθη
αὐτῷ· 24 ἀλλὰ καὶ δι᾽ ἡμᾶς οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν
ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν· 25 ὃς παρε-
δόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν
ἡμῶν·

δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν **5**
διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ· 2 δι᾽ οὗ καὶ τὴν προσαγωγὴν
ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν καὶ
καυχώμεθα ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ θεοῦ· 3 οὐ μόνον δὲ ἀλλὰ
καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν εἰδότες ὅτι ἡ θλῖψις ὑπομο-
νὴν κατεργάζεται· 4 ἡ δὲ ὑπομονὴ δοκιμήν ἡ δὲ δοκιμὴ ἐλπίδα·
ἡ δὲ ἐλπὶς οὐ καταισχύνει ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν 5
ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν·
ἔτι γὰρ χριστὸς ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν 6
ἀπέθανεν· μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται ὑπὲρ γὰρ 7
τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν· συνίστησιν δὲ τὴν 8
ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν
χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν· πολλῷ οὖν μᾶλλον δικαιωθέντες 9
νῦν ἐν τῷ αἵματι αὐτοῦ σωθησόμεθα δι᾽ αὐτοῦ ἀπὸ τῆς ὀργῆς·
εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ 10
υἱοῦ αὐτοῦ πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ
ζωῇ αὐτοῦ· οὐ μόνον δὲ ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ 11
τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ δι᾽ οὗ νῦν τὴν καταλλαγὴν ἐ-
λάβομεν· διὰ τοῦτο ὥσπερ δι᾽ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν 12
κόσμον εἰσῆλθεν καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος καὶ οὕτως εἰς
πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν ἐφ᾽ ᾧ πάντες ἥμαρτον·
ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ ἁμαρτία δὲ οὐκ ἐλλο- 13
γεῖται μὴ ὄντος νόμου· 14 ἀλλ᾽ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ

---

v.19 𝕋*: ου, 𝕍: ∅. **5.v.1** 𝔼: εχομεν, ℵ A: εχωμεν. **v.6** 𝕋*: κατα, 𝕍: ετι κατα. **v.14** 𝕋*: αλλ, 𝕍: αλλα.

μέχρι μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι
15 τῆς παραβάσεως ἀδὰμ ὅς ἐστιν τύπος τοῦ μέλλοντος ⸰ ἀλλ᾽ οὐχ
ὡς τὸ παράπτωμα οὕτως καὶ τὸ χάρισμα εἰ γὰρ τῷ τοῦ ἑνὸς πα-
ραπτώματι οἱ πολλοὶ ἀπέθανον πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ
καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου ἰησοῦ χριστοῦ εἰς
16 τοὺς πολλοὺς ἐπερίσσευσεν ⸰ καὶ οὐχ ὡς δι᾽ ἑνὸς ἁμαρτήσαντος
τὸ δώρημα τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα τὸ δὲ χά-
17 ρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα ⸰ εἰ γὰρ τῷ τοῦ
ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσεν διὰ τοῦ ἑνὸς πολ-
λῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς
δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσιν διὰ τοῦ ἑνὸς
18 ἰησοῦ χριστοῦ ⸰ ἄρα οὖν ὡς δι᾽ ἑνὸς παραπτώματος εἰς πάντας
ἀνθρώπους εἰς κατάκριμα οὕτως καὶ δι᾽ ἑνὸς δικαιώματος εἰς
19 πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς ⸰ ὥσπερ γὰρ διὰ τῆς πα-
ρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ
οὕτως καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται
20 οἱ πολλοί ⸰ νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα
21 οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις ⸰ ἵνα ὥ-
σπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ οὕτως καὶ ἡ χάρις
βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ ἰησοῦ χριστοῦ
τοῦ κυρίου ἡμῶν ⸰

6 τί οὖν ἐροῦμεν ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις πλεονά-
2 σῃ ⸰ μὴ γένοιτο οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ πῶς ἔτι ζήσομεν
3 ἐν αὐτῇ ⸰ ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς χριστὸν ἰησοῦν
4 εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν ⸰ συνετάφημεν οὖν αὐτῷ
διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον ἵνα ὥσπερ ἠγέρθη χρι-
στὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς οὕτως καὶ ἡμεῖς ἐν
5 καινότητι ζωῆς περιπατήσωμεν ⸰ εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ
ὁμοιώματι τοῦ θανάτου αὐτοῦ ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσό-
6 μεθα ⸰ τοῦτο γινώσκοντες ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνε-
σταυρώθη ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας τοῦ μηκέτι
7 δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ ⸰ ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ
8 τῆς ἁμαρτίας ⸰ εἰ δὲ ἀπεθάνομεν σὺν χριστῷ πιστεύομεν ὅτι καὶ
9 συζήσομεν αὐτῷ ⸰ εἰδότες ὅτι χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκ˚
10 ἔτι ἀποθνήσκει θάνατος αὐτοῦ οὐκ˚ ἔτι κυριεύει ⸰ ὃ γὰρ ἀπέθα-
11 νεν τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ ὃ δὲ ζῇ ζῇ τῷ θεῷ ⸰ οὕτως καὶ
ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς˚ μὲν εἶναι τῇ ἁμαρτίᾳ ζῶντας

v.14 𝕋 𝕂: μωσεως, 𝕄 𝕍: μωυσεως. **6.v.1** 𝕋*: επιμενουμεν, 𝕍: επιμενωμεν. **v.9** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.11** 𝕋*: νεκρους μεν ειναι, 𝕍: [ειναι] νεκρους μεν.

δὲ τῷ θεῷ ἐν χριστῷ ἰησοῦ τῷ˚ κυρίῳ ἡμῶν ◦ μὴ οὖν βασιλευέτω 12
ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ ὑπακούειν αὐτῇ˚ ἐν
ταῖς ἐπιθυμίαις αὐτοῦ ◦ μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα 13
ἀδικίας τῇ ἁμαρτίᾳ ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ ὡϛ ἐκ
νεκρῶν ζῶντας καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ ◦
ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει οὐ γάρ ἐστε ὑπὸ νόμον ἀλλ᾽ 14
ὑπὸ χάριν ◦ τί οὖν ἁμαρτήσομεν ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον ἀλλ᾽ 15
ὑπὸ χάριν μὴ γένοιτο ◦ οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς 16
δούλους εἰς ὑπακοὴν δοῦλοί ἐστε ᾧ ὑπακούετε ἤτοι ἁμαρτίας
εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην ◦ χάρις δὲ τῷ θεῷ ὅτι 17
ἦτε δοῦλοι τῆς ἁμαρτίας ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν πα-
ρεδόθητε τύπον διδαχῆς ◦ ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας 18
ἐδουλώθητε τῇ δικαιοσύνῃ ◦ ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν 19
τῆς σαρκὸς ὑμῶν ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα
τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν οὕτως νῦν πα-
ραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν ◦
ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ ◦ 20
τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε τὸ γὰρ τέ- 21
λος ἐκείνων θάνατος ◦ νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας 22
δουλωθέντες δὲ τῷ θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμὸν τὸ
δὲ τέλος ζωὴν αἰώνιον ◦ τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος 23
τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ αἰώνιος ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ
ἡμῶν ◦

ἢ ἀγνοεῖτε ἀδελφοὶ γινώσκουσιν γὰρ νόμον λαλῶ ὅτι ὁ νό- **7**
μος κυριεύει τοῦ ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ ◦ ἡ γὰρ ὕπαν- 2
δρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ
κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός ◦ ἄρα οὖν ζῶντος τοῦ ἀν- 3
δρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ ἐὰν δὲ ἀπο-
θάνῃ ὁ ἀνὴρ ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου τοῦ μὴ εἶναι αὐτὴν
μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ ◦ ὥστε ἀδελφοί μου καὶ ὑμεῖς 4
ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ χριστοῦ εἰς τὸ γενέ-
σθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι ἵνα καρποφορήσωμεν
τῷ θεῷ ◦ ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ τὰ παθήματα τῶν ἁμαρτιῶν 5
τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρ-
ποφορῆσαι τῷ θανάτῳ ◦ νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου 6
ἀποθανόντες ἐν ᾧ κατειχόμεθα ὥστε δουλεύειν ἡμᾶς ἐν καινό-
τητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος ◦ τί οὖν ἐροῦμεν ὁ 7

v.11 𝕋*: τω κυριω ημων, 𝕍: ∅. **v.12** 𝕋*: αυτη εν, 𝕍: ∅. **v.13** 𝕋*: ως, 𝕍: ωσει. **v.14** 𝕋*: αλλ, 𝕍: αλλα. **v.15** 𝕋*: αμαρτησομεν, 𝕍: αμαρτησωμεν. **v.15** 𝕋*: αλλ, 𝕍: αλλα. **7.v.6** 𝕋 𝕄 𝕍: αποθανοντες, 𝕂: αποθανοντος.

νόμος ἁμαρτία μὴ γένοιτο ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ
διὰ νόμοῦ τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν εἰ μὴ ὁ νόμος ἔλεγεν
8 οὐκ ἐπιθυμήσεις ⸰ ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐν-
τολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν χωρὶς γὰρ νόμου
9 ἁμαρτία νεκρά ⸰ ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτὲ ἐλθούσης δὲ τῆς
10 ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν ἐγὼ δὲ ἀπέθανον ⸰ καὶ εὑρέθη μοι
11 ἡ ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς θάνατον ⸰ ἡ γὰρ ἁμαρτία ἀφορμὴν
λαβοῦσα διὰ τῆς ἐντολῆς ἐξηπάτησέν με καὶ δι᾽ αὐτῆς ἀπέκτει-
12 νεν ⸰ ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ
13 ἀγαθή ⸰ τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονεν θάνατος μὴ γένοιτο ἀλλὰ ἡ
ἁμαρτία ἵνα φανῇ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη
θάνατον ἵνα γένηται καθ᾽ ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ
14 τῆς ἐντολῆς ⸰ οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν ἐγὼ
15 δὲ σαρκικός εἰμι πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν ⸰ ὃ γὰρ κατερ-
γάζομαι οὐ γινώσκω οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω ἀλλ᾽ ὃ μισῶ
16 τοῦτο ποιῶ ⸰ εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ σύμφημι τῷ νόμῳ ὅτι
17 καλός ⸰ νυνὶ δὲ οὐκ᾽ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ ἀλλ᾽ ἡ οἰκοῦσα
18 ἐν ἐμοὶ ἁμαρτία ⸰ οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ τουτέστιν ἐν τῇ
σαρκί μου ἀγαθὸν τὸ γὰρ θέλειν παράκειταί μοι τὸ δὲ κατερ-
19 γάζεσθαι τὸ καλὸν οὐχ᾽ εὑρίσκω ⸰ οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθὸν
20 ἀλλ᾽ ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω ⸰ εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο
ποιῶ οὐκ᾽ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ
21 ἁμαρτία ⸰ εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ κα-
22 λὸν ὅτι ἐμοὶ τὸ κακὸν παράκειται ⸰ συνήδομαι γὰρ τῷ νόμῳ τοῦ
23 θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον ⸰ βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς
μέλεσίν μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχ-
μαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσίν
24 μου ⸰ ταλαίπωρος ἐγὼ ἄνθρωπος τίς με ῥύσεται ἐκ τοῦ σώματος
25 τοῦ θανάτου τούτου ⸰ εὐχαριστῶ τῷ θεῷ διὰ ἰησοῦ χριστοῦ τοῦ
κυρίου ἡμῶν ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ θεοῦ
τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας ⸰

8 οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν χριστῷ ἰησοῦ μὴ᾽ κατὰ
2 σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα ⸰ ὁ γὰρ νόμος τοῦ πνεύ-
ματος τῆς ζωῆς ἐν χριστῷ ἰησοῦ ἠλευθέρωσέν μὲ ἀπὸ τοῦ νόμου
3 τῆς ἁμαρτίας καὶ τοῦ θανάτου ⸰ τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν

---

v.7 𝕋 𝕂 𝕍: νομου, 𝕄: νομον. **v.13** 𝕋*: γεγονεν, 𝕍: εγενετο. **v.14** 𝕋*: σαρκικος, 𝕍: σαρκινος. **v.16** 𝔼: συμφημι, 𝔎: συνφημι. **v.17** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.17** 𝕋*: αλλ, 𝕍: αλλα. **v.18** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.18** 𝕋*: ουχ ευρισκω, 𝕍: ου, **XXX**: ου γινωσκω. **v.19** 𝕋*: αλλ, 𝕍: αλλα. **v.20** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.20** 𝕋*: αλλ, 𝕍: αλλα. **v.23** 𝕋 𝕂: τω, 𝕄 𝕍: εν τω. **v.25** 𝕋*: ευχαριστω, 𝕍: χαρις δε. **8.v.1** 𝕋*: μη . . . πνευμα, 𝕍: ∅. **v.2** 𝕋*: με, 𝕍: σε.

ᾧ ἠσθένει διὰ τῆς σαρκὸς ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν
ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινεν τὴν
ἁμαρτίαν ἐν τῇ σαρκί· ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ 4
ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα·
οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν οἱ δὲ κατὰ 5
πνεῦμα τὰ τοῦ πνεύματος· τὸ γὰρ φρόνημα τῆς σαρκὸς θά- 6
νατος τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη· διότι τὸ 7
φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεὸν τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ
ὑποτάσσεται οὐδὲ γὰρ δύναται· οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέ- 8
σαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ᾽ ἐν πνεύματι 9
εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν εἰ δέ τις πνεῦμα χριστοῦ οὐκ
ἔχει οὗτος οὐκ ἔστιν αὐτοῦ· εἰ δὲ χριστὸς ἐν ὑμῖν τὸ μὲν σῶμα 10
νεκρὸν δι᾽ ἁμαρτίαν τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην· εἰ δὲ 11
τὸ πνεῦμα τοῦ ἐγείραντος ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν ὁ ἐ-
γείρας τὸν χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα
ὑμῶν διὰ τοῦ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν· ἄρα οὖν ἀδελ- 12
φοὶ ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ 13
κατὰ σάρκα ζῆτε μέλλετε ἀποθνήσκειν εἰ δὲ πνεύματι τὰς πρά-
ξεις τοῦ σώματος θανατοῦτε ζήσεσθε· ὅσοι γὰρ πνεύματι θεοῦ 14
ἄγονται οὗτοί εἰσιν υἱοὶ θεοῦ· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας 15
πάλιν εἰς φόβον ἀλλ᾽ ἐλάβετε πνεῦμα υἱοθεσίας ἐν ᾧ κράζομεν
ἀββᾶ ὁ πατήρ· αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν 16
ὅτι ἐσμὲν τέκνα θεοῦ· εἰ δὲ τέκνα καὶ κληρονόμοι κληρονόμοι 17
μὲν θεοῦ συγκληρονόμοι δὲ χριστοῦ εἴπερ συμπάσχομεν ἵνα
καὶ συνδοξασθῶμεν· λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα 18
τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς
ἡμᾶς· ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν 19
υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη 20
οὐχ ἑκοῦσα ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ᾽ ἐλπίδι· ὅτι καὶ αὐτὴ 21
ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν
ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ· οἴδαμεν γὰρ ὅτι 22
πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν· οὐ μόνον 23
δὲ ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες καὶ ἡ-
μεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν
ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν· τῇ γὰρ ἐλπίδι ἐσώθημεν ἐλπὶς 24

---

v.9 𝕋*: αλλ, 𝕍: αλλα. **v.10** 𝕋 𝕂: δι, 𝕄 𝕍: δια. **v.11** 𝕋*: ιησουν, 𝕍: τον ιησουν. **v.11** 𝕋*: τον, 𝕍: ∅. **v.11** 𝕋 𝕄: το ενοικουν αυτου πνευμα, 𝕂 𝕍: του ενοικουντος αυτου πνευματος. **v.14** 𝕋*: εισιν υιοι θεου, 𝕍: υιοι θεου εισιν. **v.15** 𝕋*: αλλ, 𝕍: αλλα. **v.16** 𝔼: συμμαρτυρει, ℵ: συνμαρτυρει. **v.17** 𝔼: συγκληρονομοι, ℵ: συνκληρονομοι. **v.17** 𝔼: συμπασχομεν, ℵ: συνπασχομεν. **v.20** 𝕋*: επ, 𝕍: εφ. **v.23** 𝕋*: και ημεις, 𝕍: ημεις και.

δὲ βλεπομένη οὐκ ἔστιν ἐλπὶς ὃ γὰρ βλέπει τις τί˚ καὶ ἐλπίζει ⋄
25 εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα ⋄
26 ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς˚ ἀσθενείαις
ἡμῶν τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ οὐκ οἴδαμεν ἀλλ᾽ αὐτὸ
τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ˚ ἡμῶν στεναγμοῖς ἀλαλήτοις ⋄
27 ὁ δὲ ἐρεῦνῶν τὰς καρδίας οἶδεν τί τὸ φρόνημα τοῦ πνεύματος ὅτι
28 κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων ⋄ οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσιν
τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν τοῖς κατὰ πρόθεσιν κλητοῖς
29 οὖσιν ⋄ ὅτι οὓς προέγνω καὶ προώρισεν συμμόρφους τῆς εἰκό-
νος τοῦ υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς
30 ἀδελφοῖς ⋄ οὓς δὲ προώρισεν τούτους καὶ ἐκάλεσεν καὶ οὓς ἐ-
κάλεσεν τούτους καὶ ἐδικαίωσεν οὓς δὲ ἐδικαίωσεν τούτους καὶ
31 ἐδόξασεν ⋄ τί οὖν ἐροῦμεν πρὸς ταῦτα εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν τίς
32 καθ᾽ ἡμῶν ⋄ ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο ἀλλ᾽ ὑπὲρ ἡμῶν
πάντων παρέδωκεν αὐτὸν πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν
33 χαρίσεται ⋄ τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ θεὸς ὁ δικαιῶν ⋄
34 τίς ὁ κατακρίνων χριστὸς˙ ὁ ἀποθανὼν μᾶλλον δὲ καὶ ἐγερθεὶς
ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ θεοῦ ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν ⋄
35 τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ χριστοῦ θλῖψις ἢ στενο-
χωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα ⋄
36 καθὼς γέγραπται ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν
37 ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς ⋄ ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερ-
38 νικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς ⋄ πέπεισμαι γὰρ ὅτι οὔτε
θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις˚ οὔτε
39 ἐνεστῶτα οὔτε μέλλοντα ⋄ οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις
ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν
χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν ⋄

9 ἀλήθειαν λέγω ἐν χριστῷ οὐ ψεύδομαι συμμαρτυρούσης μοι
2 τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ ⋄ ὅτι λύπη μοί ἐστιν με-
3 γάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου ⋄ ηὐχόμην˚ γὰρ αὐ-
τὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου
4 τῶν συγγενῶν μου κατὰ σάρκα ⋄ οἵτινές εἰσιν ἰσραηλῖται ὧν ἡ
υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ
5 λατρεία καὶ αἱ ἐπαγγελίαι ⋄ ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ χριστὸς

v.24 𝕋*: τι και, 𝕍: ∅. **v.26** 𝕋*: ταις ασθενειαις, 𝕍: τη ασθενεια. **v.26** 𝕋 𝕂 𝕍: προσευξω-
μεθα, 𝕄: προσευξομεθα. **v.26** 𝕋*: αλλ, 𝕍: αλλα. **v.26** 𝕋*: υπερ ημων, 𝕍: ∅. **v.27** 𝕋*:
ερευνων, 𝕍: εραυνων. **v.32** 𝕋*: αλλ, 𝕍: αλλα. **v.34** 𝕋*: χριστος, 𝕍: χριστος [ιησους].
v.34 𝕋*: και, 𝕍: ∅. **v.36** 𝕋 𝕂: ενεκα, 𝕄 𝕍: ενεκεν. **v.38** 𝕋*: δυναμεις ουτε ενεστωτα
ουτε μελλοντα, 𝕍: ενεστωτα ουτε μελλοντα ουτε δυναμεις. **9.v.3** 𝕋 𝕂: ηυχομην γαρ αυτος
εγω αναθεμα ειναι, 𝕄: ευχομην γαρ αυτος εγω αναθεμα ειναι, 𝕍: ηυχομην γαρ αναθεμα ειναι
αυτος εγω.

τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰ-
ῶνας ἀμήν ◦ οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ οὐ 6
γὰρ πάντες οἱ ἐξ ἰσραὴλ οὗτοι ἰσραήλ ◦ οὐδ᾽ ὅτι εἰσὶν σπέρμα 7
ἀβραὰμ πάντες τέκνα ἀλλ᾽ ἐν ἰσαὰκ κληθήσεταί σοι σπέρμα ◦
τουτέστιν οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ θεοῦ ἀλλὰ 8
τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα ◦ ἐπαγγελίας γὰρ 9
ὁ λόγος οὗτος κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ
σάρρᾳ υἱός ◦ οὐ μόνον δὲ ἀλλὰ καὶ ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔ- 10
χουσα ἰσαὰκ τοῦ πατρὸς ἡμῶν ◦ μήπω γὰρ γεννηθέντων μηδὲ 11
πραξάντων τι ἀγαθὸν ἢ κακὸν ἵνα ἡ κατ᾽ ἐκλογὴν τοῦ˚ θεοῦ
πρόθεσις μένῃ οὐκ ἐξ ἔργων ἀλλ᾽ ἐκ τοῦ καλοῦντος ◦ ἐρρήθη 12
αὐτῇ ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι ◦ καθὼς γέγραπται τὸν 13
ἰακὼβ ἠγάπησα τὸν δὲ ἠσαῦ ἐμίσησα ◦ τί οὖν ἐροῦμεν μὴ ἀδικία 14
παρὰ τῷ θεῷ μὴ γένοιτο ◦ τῷ γὰρ˚ μωσῇ λέγει ἐλεήσω ὃν ἂν ἐλεῶ 15
καὶ οἰκτειρήσω˚ ὃν ἂν οἰκτείρω ◦ ἄρα οὖν οὐ τοῦ θέλοντος οὐδὲ 16
τοῦ τρέχοντος ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ ◦ λέγει γὰρ ἡ γραφὴ τῷ 17
φαραὼ ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε ὅπως ἐνδείξωμαι ἐν σοὶ
τὴν δύναμίν μου καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ
γῇ ◦ ἄρα οὖν ὃν θέλει ἐλεεῖ ὃν δὲ θέλει σκληρύνει ◦ ἐρεῖς οὖν˚ 18, 19
μοι τί ἔτι μέμφεται τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν ◦
μενοῦνγε˚ ὦ ἄνθρωπε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ μὴ 20
ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι τί με ἐποίησας οὕτως ◦ ἢ οὐκ ἔ- 21
χει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος
ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος ὃ δὲ εἰς ἀτιμίαν ◦ εἰ δὲ θέλων 22
ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ
ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς
ἀπώλειαν ◦ καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ 23
σκεύη ἐλέους ἃ προητοίμασεν εἰς δόξαν ◦ οὓς καὶ ἐκάλεσεν ἡ- 24
μᾶς οὐ μόνον ἐξ ἰουδαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν ◦ ὡς καὶ ἐν τῷ ὡσηὲ 25
λέγει καλέσω τὸν οὐ λαόν μου λαόν μου καὶ τὴν οὐκ ἠγαπη-
μένην ἠγαπημένην ◦ καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρήθη αὐτοῖς οὐ 26
λαός μου ὑμεῖς ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος ◦ ἡσαΐας δὲ 27
κράζει ὑπὲρ τοῦ ἰσραὴλ ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν ἰσραὴλ ὡς
ἡ ἄμμος τῆς θαλάσσης τὸ κατάλειμμα σωθήσεται ◦ λόγον γὰρ 28

---

v.8 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.11** 𝕋*: κακον, 𝕍: φαυλον. **v.11** 𝕋 𝕂: του θεου προθεσις, 𝕄 𝕍: προθεσις του θεου. **v.12** 𝕋*: ερρηθη, 𝕍: ερρεθη. **v.15** 𝕋 𝕂: γαρ μωση, 𝕄: γαρ μωυση, 𝕍: μωυσει γαρ. **v.15** 𝕋*: οικτειρησω ον αν οικτειρω, 𝕍: οικτιρησω ον αν οικτιρω. **v.16** 𝕋*: ελεουντος, 𝕍: ελεωντος. **v.19** 𝕋*: ουν μοι τι, 𝕍: μοι ουν τι [ουν]. **v.20** 𝕋*: μενουνγε ω ανθρωπε, 𝕍: ω ανθρωπε μενουνγε. **v.26** 𝕋*: ερρηθη, 𝕍: ερρεθη. **v.27** 𝕋: ησαΐας, 𝕂 𝕄 𝕍: ησαΐας, 𝕅: ησαίας. **v.27** 𝕋*: καταλειμμα, 𝕍: υπολειμμα.

συντελῶν καὶ συντέμνων ἐν˚ δικαιοσύνῃ ὅτι λόγον συντετμημέ-
29 νον ποιήσει κύριος ἐπὶ τῆς γῆς ⸰ καὶ καθὼς προείρηκεν ἡσαΐας
εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα ὡς σόδομα ἂν
30 ἐγενήθημεν καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν ⸰ τί οὖν ἐροῦμεν
ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην κατέλαβεν δικαιοσύνην
31 δικαιοσύνην δὲ τὴν ἐκ πίστεως ⸰ ἰσραὴλ δὲ διώκων νόμον δι-
32 καιοσύνης εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν ⸰ διατὶ ὅτι οὐκ
ἐκ πίστεως ἀλλ᾽ ὡς ἐξ ἔργων νόμου˚ προσέκοψαν γὰρ τῷ λίθῳ
33 τοῦ προσκόμματος ⸰ καθὼς γέγραπται ἰδοὺ τίθημι ἐν σιὼν λίθον
προσκόμματος καὶ πέτραν σκανδάλου καὶ πᾶς ὁ πιστεύων ἐπ᾽
αὐτῷ οὐ καταισχυνθήσεται ⸰

10 ἀδελφοὶ ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις ἡ˚
2 πρὸς τὸν θεὸν ὑπὲρ τοῦ˚ ἰσραὴλ ἐστιν εἰς σωτηρίαν ⸰ μαρτυρῶ
3 γὰρ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν ⸰ ἀγνο-
οῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην καὶ τὴν ἰδίαν δικαιοσύνην
4 ζητοῦντες στῆσαι τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν ⸰ τέ-
λος γὰρ νόμου χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι ⸰
5 μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου ὅτι ὁ
6 ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς ⸰ ἡ δὲ ἐκ πίστεως δι-
καιοσύνη οὕτως λέγει μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου τίς ἀναβήσεται
7 εἰς τὸν οὐρανὸν τοῦτ᾽ ἔστιν χριστὸν καταγαγεῖν ⸰ ἢ τίς καταβή-
σεται εἰς τὴν ἄβυσσον τοῦτ᾽ ἔστιν χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν ⸰
8 ἀλλὰ τί λέγει ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ
ἐν τῇ καρδίᾳ σου τοῦτ᾽ ἔστιν τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσ-
9 σομεν ⸰ ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον ἰησοῦν
καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ
10 νεκρῶν σωθήσῃ ⸰ καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην στό-
11 ματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν ⸰ λέγει γὰρ ἡ γραφὴ πᾶς ὁ
12 πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυνθήσεται ⸰ οὐ γάρ ἐστιν διαστολὴ
ἰουδαίου τε καὶ ἕλληνος ὁ γὰρ αὐτὸς κύριος πάντων πλουτῶν
13 εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν ⸰ πᾶς γὰρ ὃς ἂν ἐπικα-
14 λέσηται τὸ ὄνομα κυρίου σωθήσεται ⸰ πῶς οὖν ἐπικαλέσὀνται
εἰς ὃν οὐκ ἐπίστευσαν πῶς δὲ πιστεύσὀυσιν οὗ οὐκ ἤκουσαν
15 πῶς δὲ ἀκούσὀυσιν χωρὶς κηρύσσοντος ⸰ πῶς δὲ κηρύξὀυσιν ἐ-
ὰν μὴ ἀποσταλῶσιν καθὼς γέγραπται ὡς ὡραῖοι οἱ πόδες τῶν

v.28 𝕋*: εν δικαιοσυνη οτι λογον συντετμημενον, 𝕍: ∅. **v.29** 𝕋: ήσαΐας, 𝕂 𝕄 𝕍: ήσαΐας, ℕ: ήσαίας. **v.31** 𝕋*: δικαιοσυνης, 𝕍: ∅. **v.32** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.32** 𝕋*: νομου προσεκοψαν γαρ, 𝕍: προσεκοψαν. **v.33** 𝕋*: πας, 𝕍: ∅. **10.v.1** 𝕋*: η, 𝕍: ∅. **v.1** 𝕋*: του ισραηλ εστιν, 𝕍: αυτων. **v.5** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.14** 𝕋*: επικαλεσονται, 𝕍: επικαλεσωνται. **v.14** 𝕋*: πιστευσουσιν, 𝕍: πιστευσωσιν. **v.14** 𝕋*: ακουσουσιν, 𝕍: ακουσωσιν. **v.15** 𝕋*: κηρυξουσιν, 𝕍: κηρυξωσιν.

εὐαγγελιζομένων εἰρήνην˚ τῶν εὐαγγελιζομένων τὰ ἀγαθά˙ ἀλλ᾽ 16
οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ ἡσαΐας γὰρ λέγει κύριε τίς
ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν˙ ἄρα ἡ πίστις ἐξ ἀκοῆς ἡ δὲ ἀκοὴ 17
διὰ ῥήματος θεοῦ˙ ἀλλὰ λέγω μὴ οὐκ ἤκουσαν μενοῦνγε εἰς 18
πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς
οἰκουμένης τὰ ῥήματα αὐτῶν˙ ἀλλὰ λέγω μὴ οὐκ˚ ἔγνω ἰσραὴλ 19
πρῶτος μωσῆς λέγει ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει ἐπὶ
ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς˙ ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει 20
εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ
ἐπερωτῶσιν˙ πρὸς δὲ τὸν ἰσραὴλ λέγει ὅλην τὴν ἡμέραν ἐξεπέ- 21
τασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα˙

λέγω οὖν μὴ ἀπώσατο ὁ θεὸς τὸν˚ λαὸν αὐτοῦ μὴ γένοιτο καὶ **11**
γὰρ ἐγὼ ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος ἀβραὰμ φυλῆς βενϊαμίν˙
οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω ἢ οὐκ οἴδατε 2
ἐν ἡλίᾳ τί λέγει ἡ γραφὴ ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ ἰσραὴλ
λέγων˙ κύριε τοὺς προφήτας σου ἀπέκτειναν κἀι τὰ θυσιαστή- 3
ριά σου κατέσκαψαν κἀγὼ ὑπελείφθην μόνος καὶ ζητοῦσιν τὴν
ψυχήν μου˙ ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμὸς κατέλιπον ἐμαυ- 4
τῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ βάαλ˙
οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ᾽ ἐκλογὴν χάριτος γέ- 5
γονεν˙ εἰ δὲ χάριτι οὐκ˚ ἔτι ἐξ ἔργων ἐπεὶ ἡ χάρις οὐκ˚ ἔτι γίνεται 6
χάρις εἰ˚ δὲ ἐξ ἔργων οὐκ˚ ἔτι ἐστὶν χάρις ἐπεὶ τὸ ἔργον οὐκ˚ ἔτι
ἐστὶν ἔργον˙ τί οὖν ὃ ἐπιζητεῖ ἰσραὴλ τούτοῦ οὐκ ἐπέτυχεν ἡ 7
δὲ ἐκλογὴ ἐπέτυχεν οἱ δὲ λοιποὶ ἐπωρώθησαν˙ καθὼς γέγρα- 8
πται ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως ὀφθαλμοὺς τοῦ
μὴ βλέπειν καὶ ὦτα τοῦ μὴ ἀκούειν ἕως τῆς σήμερον ἡμέρας˙
καὶ δαβὶδ λέγει γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς 9
θήραν καὶ εἰς σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐτοῖς˙ σκοτισθή- 10
τωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν καὶ τὸν νῶτον αὐτῶν
διαπαντὸς σύγκαμψον˙ λέγω οὖν μὴ ἔπταισαν ἵνα πέσωσιν μὴ 11
γένοιτο ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν εἰς
τὸ παραζηλῶσαι αὐτούς˙ εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος 12
κόσμου καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν πόσῳ μᾶλλον τὸ
πλήρωμα αὐτῶν˙ ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν ἐφ᾽ ὅσον μέν εἰμι 13

---

v.15 𝕋*: ειρηνην των ευαγγελιζομενων τα, 𝕍: [τα]. **v.16** 𝕋: ησαΐας, 𝕂 𝕄 𝕍: ησαΐας, ℕ: ησαίας. **v.17** 𝕋*: θεου, 𝕍: χριστου. **v.19** 𝕋*: ουκ εγνω ισραηλ, 𝕍: ισραηλ ουκ εγνω. **v.19** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.19** 𝕋*: επι, 𝕍: επ. **v.20** 𝕋: ησαΐας, 𝕂 𝕄 𝕍: ησαΐας, ℕ: ησαίας. **v.20** 𝕋*: τοις, 𝕍: [εν] τοις. **11.v.1** 𝔼: τον λαον, **XXX**: την κληρονομιαν. **v.2** 𝕋*: λεγων, 𝕍: ∅. **v.3** 𝕋*: και, 𝕍: ∅. **v.6** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.6** 𝕋*: εἰ . . . ˙, 𝕍 ℕ: ∅. **v.6** 𝕋: οὐκ ἔτι, 𝕂 𝕄: οὐκέτι, 𝕍 ℕ: ∅. **v.7** 𝕋 𝕂: τουτου, 𝕄 𝕍: τουτο. **v.9** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.10** 𝕋: διαπαντος, 𝕂 𝕄 𝕍: δια παντος. **v.13** 𝕋*: γαρ, 𝕍: δε. **v.13** 𝕋*: μεν, 𝕍: μεν ουν.

14 ἐγὼ ἐθνῶν ἀπόστολος τὴν διακονίαν μου δοξάζω ⸰ εἴ πως πα-
15 ραζηλώσω μου τὴν σάρκα καὶ σώσω τινὰς ἐξ αὐτῶν ⸰ εἰ γὰρ ἡ
ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου τίς ἡ πρόσληψις εἰ μὴ ζωὴ
16 ἐκ νεκρῶν ⸰ εἰ δὲ ἡ ἀπαρχὴ ἁγία καὶ τὸ φύραμα καὶ εἰ ἡ ῥίζα
17 ἁγία καὶ οἱ κλάδοι ⸰ εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν σὺ
δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς καὶ συγκοινωνὸς τῆς
18 ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου ⸰ μὴ κατακαυχῶ τῶν
κλάδων εἰ δὲ κατακαυχᾶσαι οὐ σὺ τὴν ῥίζαν βαστάζεις ἀλλ᾽ ἡ
19 ῥίζα σέ ⸰ ἐρεῖς οὖν ἐξεκλάσθησαν ὁἱ κλάδοι ἵνα ἐγὼ ἐγκεντρι-
20 σθῶ ⸰ καλῶς τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν σὺ δὲ τῇ πίστει ἕστηκας
21 μὴ ὑψηλὸφρόνει ἀλλὰ φοβοῦ ⸰ εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν
22 κλάδων οὐκ ἐφείσατο μήπως οὐδέ σου φείσηται ⸰ ἴδε οὖν χρη-
στότητα καὶ ἀποτομίαν θεοῦ ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν˚
ἐπὶ δέ σε χρηστότητα ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι ἐπεὶ καὶ σὺ
23 ἐκκοπήσῃ ⸰ καὶ˚ ἐκεῖνοι δὲ ἐὰν μὴ ἐπιμείνωσιν τῇ ἀπιστίᾳ ἐγ-
κεντρισθήσονται δυνατὸς γάρ ἐστιν ὁ θεὸς πάλιν ἐγκεντρίσαι
24 αὐτούς ⸰ εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ
παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον πόσῳ μᾶλλον οὗτοι
25 οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ ⸰ οὐ γὰρ θέλω
ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ τὸ μυστήριον τοῦτο ἵνα μὴ ἦτε παρ᾽ ἑαυ-
τοῖς φρόνιμοι ὅτι πώρωσις ἀπὸ μέρους τῷ ἰσραὴλ γέγονεν ἄχριȣ
26 οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ ⸰ καὶ οὕτως πᾶς ἰσραὴλ σωθή-
σεται καθὼς γέγραπται ἥξει ἐκ σιὼν ὁ ῥυόμενος καὶ ἀποστρέψει
27 ἀσεβείας ἀπὸ ἰακώβ ⸰ καὶ αὕτη αὐτοῖς ἡ παρ᾽ ἐμοῦ διαθήκη ὅταν
28 ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν ⸰ κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ
29 δι᾽ ὑμᾶς κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας ⸰ ἀ-
30 μεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ θεοῦ ⸰ ὥσπερ
γὰρ καὶ ὑμεῖς ποτε ἠπειθήσατε τῷ θεῷ νῦν δὲ ἠλεήθητε τῇ τού-
31 των ἀπειθείᾳ ⸰ οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει
32 ἵνα καὶ αὐτοὶ ἐλεηθῶσιν ⸰ συνέκλεισεν γὰρ ὁ θεὸς τοὺς πάντας
33 εἰς ἀπείθειαν ἵνα τοὺς πάντας ἐλεήσῃ ⸰ ὦ βάθος πλούτου καὶ
σοφίας καὶ γνώσεως θεοῦ ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ
34 καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ ⸰ τίς γὰρ ἔγνω νοῦν κυρίου ἢ
35 τίς σύμβουλος αὐτοῦ ἐγένετο ⸰ ἢ τίς προέδωκεν αὐτῷ καὶ ἀντα-

---

v.15 𝕋*: προσληψις, 𝕍: προσλημψις. **v.17** 𝕋*: και, 𝕍: ∅. **v.18** 𝕋*: αλλ, 𝕍: αλλα. **v.19** 𝕋 𝕂: οι, 𝕄 𝕍: ∅. **v.20** 𝕋*: υψηλοφρονει, 𝕍: υψηλα φρονει. **v.21** 𝕋 𝕂: μηπως, 𝕄: μη πως, 𝕍: [μη πως]. **v.21** 𝕋 𝕂: φεισηται, 𝕄 𝕍: φεισεται. **v.22** 𝕋*: αποτομιαν επι δε σε χρηστοτητα εαν επιμεινης, 𝕍: αποτομια επι δε σε χρηστοτης θεου εαν επιμενης. **v.23** 𝕋*: και εκεινοι, 𝕍: κακεινοι. **v.23** 𝕋*: επιμεινωσιν, 𝕍: επιμενωσιν. **v.25** 𝕋*: αχρις, 𝕍: αχρι. **v.26** 𝕋*: και, 𝕍: ∅. **v.30** 𝕋*: και, 𝕍: ∅. **v.31** 𝕋*: ελεηθωσιν, 𝕍: [νυν] ελεηθωσιν. **v.33** 𝕋*: ανεξερευνητα, 𝕍: ανεξεραυνητα.

ποδοθήσεται αὐτῷ ⸰ ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν τὰ 36
πάντα αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν ⸰

παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ **12**
παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον τῷ
θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν ⸰ καὶ μὴ συσχηματίζεσθε τῷ αἰ- 2
ῶνι τούτῳ ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν
εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ
εὐάρεστον καὶ τέλειον ⸰ λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης 3
μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν μὴ ὑπερφρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν
ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισεν μέ-
τρον πίστεως ⸰ καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη˚ πολλὰ ἔχομεν 4
τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν ⸰ οὕτως οἱ πολλοὶ 5
ἓν σῶμά ἐσμεν ἐν χριστῷ ὁ˚ δὲ καθ᾽εῖς ἀλλήλων μέλη ⸰ ἔχοντες 6
δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα εἴτε
προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως ⸰ εἴτε διακονίαν ἐν 7
τῇ διακονίᾳ εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ ⸰ εἴτε ὁ παρα- 8
καλῶν ἐν τῇ παρακλήσει ὁ μεταδιδοὺς ἐν ἁπλότητι ὁ προϊστά-
μενος ἐν σπουδῇ ὁ ἐλεῶν ἐν ἱλαρότητι ⸰ ἡ ἀγάπη ἀνυπόκριτος 9
ἀποστυγοῦντες τὸ πονηρὸν κολλώμενοι τῷ ἀγαθῷ ⸰ τῇ φιλαδελ- 10
φίᾳ εἰς ἀλλήλους φιλόστοργοι τῇ τιμῇ ἀλλήλους προηγούμε-
νοι ⸰ τῇ σπουδῇ μὴ ὀκνηροὶ τῷ πνεύματι ζέοντες τῷ κἀιρῷ δου- 11
λεύοντες ⸰ τῇ ἐλπίδι χαίροντες τῇ θλίψει ὑπομένοντες τῇ προ- 12
σευχῇ προσκαρτεροῦντες ⸰ ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες 13
τὴν φιλοξενίαν διώκοντες ⸰ εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς εὐ- 14
λογεῖτε καὶ μὴ καταρᾶσθε ⸰ χαίρειν μετὰ χαιρόντων κἀι κλαίειν 15
μετὰ κλαιόντων ⸰ τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες μὴ τὰ ὑψη- 16
λὰ φρονοῦντες ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι μὴ γίνεσθε
φρόνιμοι παρ᾽ ἑαυτοῖς ⸰ μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες 17
προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων ⸰ εἰ δυνατὸν τὸ 18
ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες ⸰ μὴ ἑαυτοὺς ἐκ- 19
δικοῦντες ἀγαπητοὶ ἀλλὰ δότε τόπον τῇ ὀργῇ γέγραπται γὰρ
ἐμοὶ ἐκδίκησις ἐγὼ ἀνταποδώσω λέγει κύριος ⸰ ἐὰν˚ οὖν πεινᾷ 20
ὁ ἐχθρός σου ψώμιζε αὐτὸν ἐὰν διψᾷ πότιζε αὐτὸν τοῦτο γὰρ
ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ⸰ μὴ 21
νικῶ ὑπὸ τοῦ κακοῦ ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν ⸰

πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω οὐ γάρ **13**
ἐστιν ἐξουσία εἰ μὴ ἀπὸ θεοῦ αἱ δὲ οὖσαι ἐξουσίαι˚ ὑπὸ τοῦ θε-

12.v.2 𝕋*: υμων, 𝕍: ∅. **v.4** 𝕋*: μελη πολλα, 𝕍: πολλα μελη. **v.5** 𝕋*: ο, 𝕍: το. **v.5** 𝕋: καθεις, 𝕂 𝕄 𝕍: καθ εις. **v.11** 𝕋: καιρω, 𝕂 𝕄 𝕍: κυριω. **v.15** 𝕋*: και, 𝕍: ∅. **v.20** 𝕋*: εαν ουν, 𝕍: αλλα εαν. **13.v.1** 𝕋 𝕂: απο, 𝕄 𝕍: υπο. **v.1** 𝕋*: εξουσιαι υπο του, 𝕍: υπο.

2 οῦ τεταγμέναι εἰσίν ◦ ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ
θεοῦ διαταγῇ ἀνθέστηκεν οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα
3 λήψονται ◦ οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶν φόβος τῶν˚ ἀγαθῶν ἔργων
ἀλλὰ τῶν κακῶν θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν τὸ ἀγα-
4 θὸν ποίει καὶ ἔξεις ἔπαινον ἐξ αὐτῆς ◦ θεοῦ γὰρ διάκονός ἐστιν
σοὶ εἰς τὸ ἀγαθὸν ἐὰν δὲ τὸ κακὸν ποιῇς φοβοῦ οὐ γὰρ εἰκῇ
τὴν μάχαιραν φορεῖ θεοῦ γὰρ διάκονός ἐστιν ἔκδικος εἰς ὀργὴν
5 τῷ τὸ κακὸν πράσσοντι ◦ διὸ ἀνάγκη˚ ὑποτάσσεσθαι οὐ μόνον
6 διὰ τὴν ὀργὴν ἀλλὰ καὶ διὰ τὴν συνείδησιν ◦ διὰ τοῦτο γὰρ καὶ
φόρους τελεῖτε λειτουργοὶ γὰρ θεοῦ εἰσιν εἰς αὐτὸ τοῦτο προ-
7 σκαρτεροῦντες ◦ ἀπόδοτε οὖν πᾶσιν τὰς ὀφειλάς τῷ τὸν φόρον
τὸν φόρον τῷ τὸ τέλος τὸ τέλος τῷ τὸν φόβον τὸν φόβον τῷ τὴν
8 τιμὴν τὴν τιμήν ◦ μηδενὶ μηδὲν ὀφείλετε εἰ μὴ τὸ ἀγαπᾶν˚ ἀλ-
9 λήλους ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρωκεν ◦ τὸ γὰρ
οὐ μοιχεύσεις οὐ φονεύσεις οὐ κλέψεις οὐ˚ ψευδομαρτυρήσεις
οὐκ ἐπιθυμήσεις καὶ εἴ τις ἑτέρα ἐντολὴ ἐν τούτῳ˚ τῷ λόγῳ ἀ-
νακεφαλαιοῦται ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν ◦
10 ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται πλήρωμα οὖν νόμου
11 ἡ ἀγάπη ◦ καὶ τοῦτο εἰδότες τὸν καιρὸν ὅτι ὥρα ἡμᾶς˚ ἤδη ἐξ
ὕπνου ἐγερθῆναι νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπι-
12 στεύσαμεν ◦ ἡ νὺξ προέκοψεν ἡ δὲ ἡμέρα ἤγγικεν ἀπόθώμεθα
οὖν τὰ ἔργα τοῦ σκότους καὶ˚ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φω-
13 τός ◦ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν μὴ κώμοις καὶ
14 μέθαις μὴ κοίταις καὶ ἀσελγείαις μὴ ἔριδι καὶ ζήλῳ ◦ ἀλλ᾽ ἐνδύ-
σασθε τὸν κύριον ἰησοῦν χριστὸν καὶ τῆς σαρκὸς πρόνοιαν μὴ
ποιεῖσθε εἰς ἐπιθυμίας ◦

14 τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε μὴ εἰς διακρί-
2 σεις διαλογισμῶν ◦ ὃς μὲν πιστεύει φαγεῖν πάντα ὁ δὲ ἀσθενῶν
3 λάχανα ἐσθίει ◦ ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω καὶ˚ ὁ
μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω ὁ θεὸς γὰρ αὐτὸν προσελά-
4 βετο ◦ σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην τῷ ἰδίῳ κυρίῳ στήκει
ἢ πίπτει σταθήσεται δὲ δυνατὸς˚ γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν ◦
5 ὃς μὲν κρίνει ἡμέραν παρ᾽ ἡμέραν ὃς δὲ κρίνει πᾶσαν ἡμέραν
6 ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω ◦ ὁ φρονῶν τὴν ἡμέραν

---

v.2 𝕋*: ληψονται, 𝕍: λημψονται. **v.3** 𝕋*: των αγαθων εργων αλλα των κακων, 𝕍: τω αγαθω εργω αλλα τω κακω. **v.5** 𝔼: αναγκη υποτασσεσθαι, **XXX**: και υποτασσεσθε. **v.7** 𝕋*: ουν, 𝕍: ∅. **v.8** 𝕋*: αγαπαν αλληλους, 𝕍: αλληλους αγαπαν. **v.9** 𝕋 𝕂: ου ψευδομαρτυρησεις, 𝕄 𝕍: ∅. **v.9** 𝕋*: τουτω τω λογω, 𝕍: τω λογω τουτω. **v.9** 𝕋 𝕂: εαυτον, 𝕄 𝕍: σεαυτον. **v.11** 𝕋*: ημας ηδη, 𝕍: ηδη υμας. **v.12** 𝔼: αποθωμεθα, **XXX**: αποβαλωμεθα. **v.12** 𝕋*: και ενδυσωμεθα, 𝕍: ενδυσωμεθα [δε]. **v.14** 𝕋*: αλλ, 𝕍: αλλα. **14.v.3** 𝕋*: και ο, 𝕍: ο δε. **v.4** 𝕋*: δυνατος γαρ εστιν ο θεος, 𝕍: δυνατει γαρ ο κυριος. **v.5** 𝕋*: μεν, 𝕍: μεν [γαρ].

κυρίῳ φρονεῖ καὶ ὁ˚ μὴ φρονῶν τὴν ἡμέραν κυρίῳ οὐ φρονεῖ
ὁ ἐσθίων κυρίῳ ἐσθίει εὐχαριστεῖ γὰρ τῷ θεῷ καὶ ὁ μὴ ἐσθίων
κυρίῳ οὐκ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ ◦ οὐδεὶς γὰρ ἡμῶν ἑαυ- 7
τῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει ◦ ἐάν τε γὰρ ζῶμεν τῷ κυρίῳ 8
ζῶμεν ἐάν τε ἀποθνήσκωμεν τῷ κυρίῳ ἀποθνήσκομεν ἐάν τε οὖν
ζῶμεν ἐάν τε ἀποθνήσκωμεν τοῦ κυρίου ἐσμέν ◦ εἰς τοῦτο γὰρ 9
χριστὸς καὶ˚ ἀπέθανεν καὶ ἀνέστη καὶ ἀνέζησεν ἵνα καὶ νεκρῶν
καὶ ζώντων κυριεύσῃ ◦ σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου ἢ καὶ 10
σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου πάντες γὰρ παραστησόμεθα
τῷ βήματι τοῦ χριστοῦ ◦ γέγραπται γὰρ ζῶ ἐγὼ λέγει κύριος ὅτι 11
ἐμοὶ κάμψει πᾶν γόνυ καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ
θεῷ ◦ ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ ◦ 12
μηκέτι οὖν ἀλλήλους κρίνωμεν ἀλλὰ τοῦτο κρίνατε μᾶλλον τὸ 13
μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον ◦ οἶδα καὶ πέ- 14
πεισμαι ἐν κυρίῳ ἰησοῦ ὅτι οὐδὲν κοινὸν δι᾽ ἑαυτοῦ εἰ μὴ τῷ
λογιζομένῳ τι κοινὸν εἶναι ἐκείνῳ κοινόν ◦ εἰ δὲ˚ διὰ βρῶμα ὁ 15
ἀδελφός σου λυπεῖται οὐκ˚ ἔτι κατὰ ἀγάπην περιπατεῖς μὴ τῷ
βρώματί σου ἐκεῖνον ἀπόλλυε ὑπὲρ οὗ χριστὸς ἀπέθανεν ◦ μὴ 16
βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν ◦ οὐ γάρ ἐστιν ἡ βασιλεία 17
τοῦ θεοῦ βρῶσις καὶ πόσις ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ
χαρὰ ἐν πνεύματι ἁγίῳ ◦ ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ χριστῷ 18
εὐάρεστος τῷ θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις ◦ ἄρα οὖν τὰ τῆς 19
εἰρήνης διώκωμεν καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους ◦ μὴ 20
ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ πάντα μὲν καθαρὰ
ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι ◦ καλὸν 21
τὸ μὴ φαγεῖν κρέα μηδὲ πιεῖν οἶνον μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου
προσκόπτει ἢ˚ σκανδαλίζεται ἢ ἀσθενεῖ ◦ σὺ πίστιν ἔχεις˚ κατὰ 22
σαυτὸν ἔχε ἐνώπιον τοῦ θεοῦ μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ
δοκιμάζει ◦ ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ κατακέκριται ὅτι οὐκ 23
ἐκ πίστεως πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν ◦

ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων **15**
βαστάζειν καὶ μὴ ἑαυτοῖς ἀρέσκειν ◦ ἕκαστος γὰρ ἡμῶν τῷ πλη- 2

v.6 𝕋 𝕂: ο μη φρονων την ημεραν κυριω ου φρονει, 𝕄: ο μη φρονων την ημεραν κυριω ου φρονει και, 𝕍: ∅. **v.9** 𝕋 𝕂: και απεθανεν και ανεστη και ανεζησεν, 𝕄: και απεθανεν και ανεστη και εζησεν, 𝕍: απεθανεν και εζησεν. **v.10** 𝕋*: χριστου, 𝕍: θεου. **v.14** 𝕋 𝕂 𝕍: εαυτου, 𝕄: αυτου. **v.15** 𝕋*: δε, 𝕍: γαρ. **v.15** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.18** 𝕋*: τουτοις, 𝕍: τουτω. **v.21** 𝕋*: η σκανδαλιζεται η ασθενει, 𝕍: ∅. **v.22** 𝕋 𝕂: εχεις κατα σαυτον, 𝕄: εχεις κατα σεαυτον, 𝕍: [ην] εχεις κατα σεαυτον. **v.23** 𝕋 𝕂 𝕍: εστιν, 𝕄: εστιν + v.24 τω δε δυναμενω υμας στηριξαι κατα το ευαγγελιον μου και το κηρυγμα ιησου χριστου κατα αποκαλυψιν μυστηριου χρονοις αιωνιοις σεσιγημενου + v.25 φανερωθεντος δε νυν δια τε γραφων προφητικων κατ επιταγην του αιωνιου θεου εις υπακοην πιστεως εις παντα τα εθνη γνωρισθεντος + v.26 μονω σοφω θεω δια ιησου χριστου ω η δοξα εις τους αιωνας αμην. **15.v.2** 𝕋 𝕂: γαρ, 𝕄 𝕍: ∅.

3 σίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν ⸰ καὶ γὰρ ὁ χριστὸς
οὐχ ἑαυτῷ ἤρεσεν ἀλλὰ καθὼς γέγραπται οἱ ὀνειδισμοὶ τῶν ὀ-
4 νειδιζόντων σε ἐπέπεσόν ἐπ᾽ ἐμέ ⸰ ὅσα γὰρ προεγράφη εἰς τὴν ἡ-
μετέραν διδασκαλίαν προεγράφη ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς
5 παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν ⸰ ὁ δὲ θεὸς τῆς
ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν
6 ἀλλήλοις κατὰ χριστὸν ἰησοῦν ⸰ ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι
δοξάζητε τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⸰
7 διὸ προσλαμβάνεσθε ἀλλήλους καθὼς καὶ ὁ χριστὸς προσελά-
8 βετο ἡμᾶς εἰς δόξαν θεοῦ ⸰ λέγω δὲ˙ ἰησοῦν χριστὸν διάκονον
γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ εἰς τὸ βεβαιῶσαι τὰς
9 ἐπαγγελίας τῶν πατέρων ⸰ τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν
θεὸν καθὼς γέγραπται διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνε-
10 σιν καὶ τῷ ὀνοματί σου ψαλῶ ⸰ καὶ πάλιν λέγει εὐφράνθητε ἔθνη
11 μετὰ τοῦ λαοῦ αὐτοῦ ⸰ καὶ πάλιν αἰνεῖτε τὸν˙ κύριον πάντα τὰ
12 ἔθνη καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί ⸰ καὶ πάλιν ἡσαΐας
λέγει ἔσται ἡ ῥίζα τοῦ ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν
13 ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν ⸰ ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς
πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν
14 ὑμᾶς ἐν τῇ ἐλπίδι ἐν δυνάμει πνεύματος ἁγίου ⸰ πέπεισμαι δὲ
ἀδελφοί μου καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν ὅτι καὶ αὐτοὶ μεστοί ἐστε
ἀγαθωσύνης πεπληρωμένοι πάσης γνώσεως δυνάμενοι καὶ ἀλ-
15 λήλους νουθετεῖν ⸰ τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀδελφοὶ ἀπὸ
μέρους ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν
16 μοι ὑπὸ τοῦ θεοῦ ⸰ εἰς τὸ εἶναί με λειτουργὸν ἰησοῦ˙ χριστοῦ
εἰς τὰ ἔθνη ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ ἵνα γένηται
ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος ἡγιασμένη ἐν πνεύματι
17, 18 ἁγίῳ ⸰ ἔχω οὖν καύχησιν ἐν χριστῷ ἰησοῦ τὰ πρὸς θεόν ⸰ οὐ γὰρ
τολμήσω λαλεῖν˙ τι ὧν οὐ κατειργάσατο χριστὸς δι᾽ ἐμοῦ εἰς ὑ-
19 πακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ ⸰ ἐν δυνάμει σημείων καὶ τεράτων
ἐν δυνάμει πνεύματος θεοῦ ὥστε με ἀπὸ ἱερουσαλὴμ καὶ κύκλῳ
μέχρι τοῦ ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ χριστοῦ ⸰
20 οὕτως δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι οὐχ ὅπου ὠνομάσθη
21 χριστὸς ἵνα μὴ ἐπ᾽ ἀλλότριον θεμέλιον οἰκοδομῶ ⸰ ἀλλὰ καθὼς

v.3 𝕋*: επεπεσον, 𝕍: επεπεσαν. **v.4** 𝕋*: προεγραφη, 𝕍: εγραφη. **v.4** 𝕋 𝕂: της, 𝕄 𝕍: δια της. **v.7** 𝕋 𝕂: ημας, 𝕄 𝕍: υμας. **v.7** 𝕋*: θεου, 𝕍: του θεου. **v.8** 𝕋 𝕂: δε ιησουν χριστον, 𝕄: δε χριστον ιησουν, 𝕍: γαρ χριστον. **v.11** 𝕋*: τον κυριον παντα τα εθνη και επαινεσατε, 𝕍: παντα τα εθνη τον κυριον και επαινεσατωσαν. **v.12** 𝕋: ησαΐας, 𝕂 𝕄 𝕍: ησαΐας, ℕ: ησαίας. **v.14** 𝕋*: γνωσεως, 𝕍: [της] γνωσεως. **v.14** 𝕋 𝕂 𝕍: αλληλους, 𝕄: αλλους. **v.15** 𝕋*: αδελφοι, 𝕍: ∅. **v.16** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.17** 𝕋*: καυχησιν, 𝕍: [την] καυχησιν. **v.17** 𝕋 𝕂: θεον, 𝕄 𝕍: τον θεον. **v.18** 𝕋*: λαλειν τι, 𝕍: τι λαλειν.

γέγραπται οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται καὶ οἳ οὐκ
ἀκηκόασιν συνήσουσιν ◦ διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλ- 22
θεῖν πρὸς ὑμᾶς ◦ νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασιν 23
τούτοις ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν
ἐτῶν ◦ ὡς ἐὰν̓ πορεύωμαι εἰς τὴν σπανίαν ἐλεύσομαι˚ πρὸς ὑ- 24
μᾶς ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς καὶ ὑφ᾽ ὑμῶν
προπεμφθῆναι ἐκεῖ ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ ◦
νυνὶ δὲ πορεύομαι εἰς ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις ◦ εὐδό- 25, 26
κησαν γὰρ μακεδονία καὶ ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς
τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν ἱερουσαλήμ ◦ εὐδόκησαν γὰρ 27
καὶ ὀφειλέται αὐτῶν˚ εἰσιν εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐ-
κοινώνησαν τὰ ἔθνη ὀφείλουσιν καὶ ἐν τοῖς σαρκικοῖς λειτουρ-
γῆσαι αὐτοῖς ◦ τοῦτο οὖν ἐπιτελέσας καὶ σφραγισάμενος αὐτοῖς 28
τὸν καρπὸν τοῦτον ἀπελεύσομαι δι᾽ ὑμῶν εἰς ῾τὴν σπανίαν ◦ οἶδα 29
δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς ἐν πληρώματι εὐλογίας τοῦ˚ εὐαγ-
γελίου τοῦ χριστοῦ ἐλεύσομαι ◦ παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ διὰ 30
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύ-
ματος συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς
τὸν θεόν ◦ ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ ἰουδαίᾳ καὶ 31
ἵνα ἡ διακονία μου ἡ εἰς ἱερουσαλὴμ εὐπρόσδεκτος γένηται˚
τοῖς ἁγίοις ◦ ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος θεοῦ 32
καὶ συναναπαύσωμαι ὑμῖν ◦ ὁ δὲ θεὸς τῆς εἰρήνης μετὰ πάντων 33
ὑμῶν ἀμήν ◦

συνίστημι δὲ ὑμῖν φοίβην τὴν ἀδελφὴν ἡμῶν οὖσαν διάκο- **16**
νον τῆς ἐκκλησίας τῆς ἐν κεγχρεαῖς ◦ ἵνα αὐτὴν προσδέξησθε ἐν 2
κυρίῳ ἀξίως τῶν ἁγίων καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ
πράγματι καὶ γὰρ αὕτη προστάτις πολλῶν ἐγενήθη καὶ αὐτοῦ˚
ἐμοῦ ◦ ἀσπάσασθε πρίσκιλλαν καὶ ἀκύλαν τοὺς συνεργούς μου 3
ἐν χριστῷ ἰησοῦ ◦ οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τρά- 4
χηλον ὑπέθηκαν οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ ἀλλὰ καὶ πᾶσαι
αἱ ἐκκλησίαι τῶν ἐθνῶν ◦ καὶ τὴν κατ᾽ οἶκον αὐτῶν ἐκκλησίαν 5
ἀσπάσασθε ἐπαίνετον τὸν ἀγαπητόν μου ὅς ἐστιν ἀπαρχὴ τῆς
ἀχαΐας εἰς χριστόν ◦ ἀσπάσασθε μαριὰμ ἥτις πολλὰ ἐκοπίασεν 6
εἰς ἡμᾶς ◦ ἀσπάσασθε ἀνδρόνικον καὶ ἰουνίαν τοὺς συγγενεῖς 7

---

v.24 $\mathbb{T}^*$: εαν, $\mathbb{V}$: αν. **v.24** $\mathbb{T}^*$: ελευσομαι προς υμας, $\mathbb{V}$: ∅. **v.27** $\mathbb{T}^*$: αυτων εισιν, $\mathbb{V}$: εισιν αυτων. **v.28** $\mathbb{T}^*$: την, $\mathbb{V}$: ∅. **v.29** $\mathbb{T}^*$: του ευαγγελιου του, $\mathbb{V}$: ∅. **v.31** $\mathbb{T}^*$: ινα, $\mathbb{V}$: ∅. **v.31** $\mathbb{E}$: διακονια, **XXX**: δωροφορια. **v.31** $\mathbb{T}^*$: γενηται τοις αγιοις, $\mathbb{V}$: τοις αγιοις γενηται. **v.32** $\mathbb{T}^*$: ελθω, $\mathbb{V}$: ελθων. **v.32** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **16.v.1** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: υμιν, $\mathbb{M}$: ∅. **v.1** $\mathbb{T}^*$: διακονον, $\mathbb{V}$: [και] διακονον. **v.2** $\mathbb{T}^*$: αυτου εμου, $\mathbb{V}$: εμου αυτου. **v.3** $\mathbb{T}$ $\mathbb{K}$: πρισκιλλαν, $\mathbb{M}$ $\mathbb{V}$: πρισκαν. **v.5** $\mathbb{T}^*$: αχαιας, $\mathbb{V}$: ασιας. **v.6** $\mathbb{T}^*$: μαριαμ, $\mathbb{V}$: μαριαν. **v.6** $\mathbb{T}^*$: ημας, $\mathbb{V}$: υμας.

μου καὶ συναιχμαλώτους μου οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀ-
8 ποστόλοις οἳ καὶ πρὸ ἐμοῦ γεγόναῶιν ἐν χριστῷ ⸰ ἀσπάσασθε
9 ἀμπλίαν̊ τὸν ἀγαπητόν μου ἐν κυρίῳ ⸰ ἀσπάσασθε οὐρβανὸν τὸν
10 συνεργὸν ἡμῶν ἐν χριστῷ καὶ στάχυν τὸν ἀγαπητόν μου ⸰ ἀσπά-
σασθε ἀπελλῆν τὸν δόκιμον ἐν χριστῷ ἀσπάσασθε τοὺς ἐκ τῶν
11 ἀριστοβούλου ⸰ ἀσπάσασθε ἡρῴδίωνα τὸν συγγενῆ μου ἀσπά-
12 σασθε τοὺς ἐκ τῶν ναρκίσσου τοὺς ὄντας ἐν κυρίῳ ⸰ ἀσπάσασθε
τρύφαιναν καὶ τρυφῶσαν τὰς κοπιώσας ἐν κυρίῳ ἀσπάσασθε
13 περσίδα τὴν ἀγαπητὴν ἥτις πολλὰ ἐκοπίασεν ἐν κυρίῳ ⸰ ἀσπά-
σασθε ῥοῦφον τὸν ἐκλεκτὸν ἐν κυρίῳ καὶ τὴν μητέρα αὐτοῦ καὶ
14 ἐμοῦ ⸰ ἀσπάσασθε ἀσύγκριτον φλέγοντα ἑρμᾶν πατρόβαν ἑρμῆν
15 καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς ⸰ ἀσπάσασθε φιλόλογον καὶ ἰου-
λίαν νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ καὶ ὀλυμπᾶν καὶ τοὺς σὺν
16 αὐτοῖς πάντας ἁγίους ⸰ ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ
17 ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίάι τοῦ χριστοῦ ⸰ παρακαλῶ δὲ ὑ-
μᾶς ἀδελφοὶ σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα
παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε ποιοῦντας καὶ ἐκκλίνάτε
18 ἀπ̓ αὐτῶν ⸰ οἱ γὰρ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν ἰησοῦ χριστῷ οὐ
δουλεύουσιν ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ καὶ διὰ τῆς χρηστολογίας
19 καὶ εὐλογίας ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων ⸰ ἡ γὰρ ὑμῶν
ὑπακοὴ εἰς πάντας ἀφίκετο χαίρω˚ οὖν τὸ ἐφ̓ ὑμῖν θέλω δὲ ὑμᾶς
20 σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν ἀκεραίους δὲ εἰς τὸ κακόν ⸰ ὁ δὲ
θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν
21 ἐν τάχει ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μεθ̓ ὑμῶν̊ ⸰ ἀ-
σπάζὀνται ὑμᾶς τιμόθεος ὁ συνεργός μου καὶ λούκιος καὶ ἰάσων
22 καὶ σωσίπατρος οἱ συγγενεῖς μου ⸰ ἀσπάζομαι ὑμᾶς ἐγὼ τέρτιος
23 ὁ γράψας τὴν ἐπιστολὴν ἐν κυρίῳ ⸰ ἀσπάζεται ὑμᾶς γάϊος ὁ ξέ-
νος μου καὶ τῆς˚ ἐκκλησίας ὅλης ἀσπάζεται ὑμᾶς ἔραστος ὁ
24 οἰκονόμος τῆς πόλεως καὶ κούαρτος ὁ ἀδελφός ⸰ ἡ˚ χάρις τοῦ
25 κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν ἀμήν ⸰ τῷ˚ δὲ δυ-
ναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα
ἰησοῦ χριστοῦ κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις
26 σεσιγημένου ⸰ φανερωθέντος˚ δὲ νῦν διά τε γραφῶν προφητικῶν
κατ̓ ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς πάντα

---

v.7 $\mathbb{T}^*$: γεγονασιν, $\mathbb{V}$: γεγοναν. **v.8** $\mathbb{T}^*$: αμπλιαν, $\mathbb{V}$: αμπλιατον. **v.11** $\mathbb{T}$ $\mathbb{K}$: ηροδιωνα, $\mathbb{M}$ $\mathbb{V}$: ηρωδιωνα. **v.14** $\mathbb{T}^*$: ερμαν, $\mathbb{V}$: ερμην. **v.14** $\mathbb{T}^*$: ερμην, $\mathbb{V}$: ερμαν. **v.16** $\mathbb{T}^*$: εκκλησιαι, $\mathbb{V}$: εκκλησιαι πασαι. **v.17** $\mathbb{T}^*$: εκκλινατε, $\mathbb{V}$: εκκλινετε. **v.18** $\mathbb{T}^*$: ιησου, $\mathbb{V}$: ∅. **v.19** $\mathbb{T}^*$: χαιρω ουν το εφ υμιν, $\mathbb{V}$: εφ υμιν ουν χαιρω. **v.19** $\mathbb{T}^*$: μεν, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}^*$: χριστου, $\mathbb{V}$: ∅. **v.20** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$: υμων, $\mathbb{K}$: υμων αμην. **v.21** $\mathbb{T}^*$: ασπαζονται, $\mathbb{V}$: ασπαζεται. **v.23** $\mathbb{T}^*$: της εκκλησιας ολης, $\mathbb{V}$: ολης της εκκλησιας. **v.24** $\mathbb{T}^*$: η χαρις . . . υμων αμην, $\mathbb{V}$: ∅. **v.25** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: τω . . . σεσιγημενου, $\mathbb{M}$: ∅. **v.26** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: φανερωθεντος . . . γνωρισθεντος, $\mathbb{M}$: ∅.

τὰ ἔθνη γνωρισθέντος ⸰ μόνῳ˚ σοφῷ θεῷ διὰ ἰησοῦ χριστοῦ ᾧ ἡ 27
δόξα εἰς τοὺς αἰῶνας ἀμήν ⸰ Πρὸς˚ ῥωμαίους ἐγράφη ἀπὸ κο-
ρίνθου διὰ φοίβης τῆς διακόνου τῆς ἐν κεγχρεαῖς ἐκκλησίας ⸰

v.27 𝕋 𝕂 𝕍: μονω . . . αμην, 𝕄: ∅. **v.27** 𝕋: Προς . . . εκκλησιας, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ˚

1 παῦλος κλητὸς ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θε-
2 οῦ καὶ σωσθένης ὁ ἀδελφός ⋄ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν
κορίνθῳ ἡγιασμένοις ἐν χριστῷ ἰησοῦ κλητοῖς ἁγίοις σὺν πᾶσιν
τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
3 ἐν παντὶ τόπῳ αὐτῶν τἐ καὶ ἡμῶν ⋄ χάρις ὑμῖν καὶ εἰρήνη ἀ-
4 πὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ⋄ εὐχαριστῶ τῷ
θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ θεοῦ τῇ δοθεί-
5 σῃ ὑμῖν ἐν χριστῷ ἰησοῦ ⋄ ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ
6 ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει ⋄ καθὼς τὸ μαρτύριον τοῦ χρι-
7 στοῦ ἐβεβαιώθη ἐν ὑμῖν ⋄ ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ
χαρίσματι ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κυρίου ἡμῶν
8 ἰησοῦ χριστοῦ ⋄ ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους
9 ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⋄ πιστὸς ὁ θεὸς δι᾽
οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χριστοῦ τοῦ
10 κυρίου ἡμῶν ⋄ παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ διὰ τοῦ ὀνόματος
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ
μὴ ᾖ ἐν ὑμῖν σχίσματα ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ
11 ἐν τῇ αὐτῇ γνώμῃ ⋄ ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ἀδελφοί μου ὑ-
12 πὸ τῶν χλόης ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν ⋄ λέγω δὲ τοῦτο ὅτι ἕκαστος
ὑμῶν λέγει ἐγὼ μέν εἰμι παύλου ἐγὼ δὲ ἀπολλὼ ἐγὼ δὲ κηφᾶ
13 ἐγὼ δὲ χριστοῦ ⋄ μ̔εμέρισται ὁ χριστὸς μὴ παῦλος ἐσταυρώθη
14 ὑπὲρ ὑμῶν ἢ εἰς τὸ ὄνομα παύλου ἐβαπτίσθητε ⋄ εὐχαριστῶ τῷ
15 θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα εἰ μὴ κρίσπον καὶ γάϊον ⋄ ἵνα
16 μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισά ⋄ ἐβάπτισα δὲ καὶ
17 τὸν στεφανᾶ οἶκον λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα ⋄ οὐ
γὰρ ἀπέστειλέν με χριστὸς βαπτίζειν ἀλλ᾽ εὐαγγελίζεσθαι οὐκ
18 ἐν σοφίᾳ λόγου ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ χριστοῦ ⋄ ὁ λό-
γος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶν τοῖς
19 δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστιν ⋄ γέγραπται γὰρ ἀπολῶ
τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω ⋄
20 ποῦ σοφὸς ποῦ γραμματεὺς ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου
21 οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου ⋄ ἐπειδὴ

𝕋: Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, 𝕄 𝕍: ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α. **1.v.1** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.2** 𝕋*: τε, 𝕍: ∅. **v.4** 𝔼: μου, **XXX**: ∅. **v.13** 𝔼: μεμερισται, **XXX**: μη μεμερισται. **v.15** 𝕋*: εβαπτισα, 𝕍: εβαπτισθητε. **v.17** 𝕋*: αλλ, 𝕍: αλλα. **v.20** 𝕋*: τουτου, 𝕍: ∅.

γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας
τὸν θεὸν εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶ-
σαι τοὺς πιστεύοντας ⸰ ἐπειδὴ καὶ ἰουδαῖοι σημεῖὸν αἰτοῦσιν καὶ 22
ἕλληνες σοφίαν ζητοῦσιν ⸰ ἡμεῖς δὲ κηρύσσομεν χριστὸν ἐσταυ- 23
ρωμένον ἰουδαίοις μὲν σκάνδαλον ἔλλῆσιν δὲ μωρίαν ⸰ αὐτοῖς 24
δὲ τοῖς κλητοῖς ἰουδαίοις τε καὶ ἕλλησιν χριστὸν θεοῦ δύναμιν
καὶ θεοῦ σοφίαν ⸰ ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώ- 25
πων ἐστὶν καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων
ἐστίν ⸰ βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν ἀδελφοὶ ὅτι οὐ πολλοὶ σο- 26
φοὶ κατὰ σάρκα οὐ πολλοὶ δυνατοὶ οὐ πολλοὶ εὐγενεῖς ⸰ ἀλλὰ τὰ 27
μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς ἵνα τοὺς˚ σοφοὺς καταισχύ-
νῃ καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς ἵνα καταισχύνῃ
τὰ ἰσχυρά ⸰ καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐ- 28
ξελέξατο ὁ θεὸς κἀὶ τὰ μὴ ὄντα ἵνα τὰ ὄντα καταργήσῃ ⸰ ὅπως 29
μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ ⸰ ἐξ αὐτοῦ δὲ ὑμεῖς 30
ἐστε ἐν χριστῷ ἰησοῦ ὃς ἐγενήθη ἡμῖν˚ σοφία ἀπὸ θεοῦ δικαιο-
σύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις ⸰ ἵνα καθὼς γέγραπται 31
ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω ⸰

κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς ἀδελφοὶ ἦλθον οὐ καθ᾽ ὑπεροχὴν **2**
λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μἀρτύριον τοῦ θεοῦ ⸰ οὐ 2
γὰρ ἔκρινα τοῦ˚ εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ ἰησοῦν χριστὸν καὶ
τοῦτον ἐσταυρωμένον ⸰ καὶ˚ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ 3
ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς ⸰ καὶ ὁ λόγος μου καὶ τὸ 4
κήρυγμά μου οὐκ ἐν πειθοῖς˚ ἀνθρωπίνης σοφίας λόγοις ἀλλ᾽
ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως ⸰ ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ 5
ἐν σοφίᾳ ἀνθρώπων ἀλλ᾽ ἐν δυνάμει θεοῦ ⸰ σοφίαν δὲ λαλοῦμεν 6
ἐν τοῖς τελείοις σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρ-
χόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων ⸰ ἀλλὰ λαλοῦμεν 7
σοφίαν˚ θεοῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην ἣν προώρισεν
ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν ⸰ ἣν οὐδεὶς τῶν ἀρχόντων 8
τοῦ αἰῶνος τούτου ἔγνωκεν εἰ γὰρ ἔγνωσαν οὐκ ἂν τὸν κύριον
τῆς δόξης ἐσταύρωσαν ⸰ ἀλλὰ καθὼς γέγραπται ἃ ὀφθαλμὸς οὐκ 9
εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀ-
νέβη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν ⸰ ἡμῖν δὲ ὁ˚ θεὸς 10

---

v.22 𝕋*: σημειον, 𝕍: σημεια. **v.23** 𝕋*: ελλησιν, 𝕍: εθνεσιν. **v.25** 𝕋*: εστιν, 𝕍: ∅. **v.27** 𝕋*: τους σοφους καταισχυνη, 𝕍: καταισχυνη τους σοφους. **v.28** 𝕋*: και, 𝕍: ∅. **v.29** 𝕋 𝕂: αυτου, 𝕄 𝕍: του θεου. **v.30** 𝕋*: ημιν σοφια, 𝕍: σοφια ημιν. **2.v.1** 𝕋*: μαρτυριον, 𝕍: μυστηριον, **XXX**: σωτηριον. **v.2** 𝕋*: του ειδεναι τι, 𝕍: τι ειδεναι. **v.3** 𝕋*: και εγω, 𝕍: καγω. **v.4** 𝕋*: πειθοις ανθρωπινης σοφιας λογοις, 𝕍: πειθοι[ς] σοφιας [λογοις]. **v.7** 𝕋*: σοφιαν θεου, 𝕍: θεου σοφιαν. **v.10** 𝕋*: ο θεος απεκαλυψεν, 𝕍: απεκαλυψεν ο θεος.

ἀπεκάλυψεν διὰ τοῦ πνεύματος αὐτοῦ τὸ γὰρ πνεῦμα πάντα
11 ἐρᾳ̂υνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ ◦ τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ
ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ οὕτως
12 καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ὁῖδεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ ◦ ἡμεῖς
δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ
13 τοῦ θεοῦ ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν ◦ ἃ καὶ
λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις ἀλλ᾽ ἐν
διδακτοῖς πνεύματος ἁᾤου πνευματικοῖς πνευματικὰ συγκρί-
14 νοντες ◦ ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ
θεοῦ μωρία γὰρ αὐτῷ ἐστιν καὶ οὐ δύναται γνῶναι ὅτι πνευ-
15 ματικῶς ἀνακρίνεται ◦ ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα
16 αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται ◦ τίς γὰρ ἔγνω νοῦν κυρίου ὃς
συμβιβάσει αὐτὸν ἡμεῖς δὲ νοῦν χριστοῦ ἔχομεν ◦

3 καὐ ἐγὼ ἀδελφοὶ οὐκ ἠδυνήθην λαλῆσαι᾽ ὑμῖν ὡς πνευμα-
2 τικοῖς ἀλλ᾽ ὡς σαρκικ̔οῖς ὡς νηπίοις ἐν χριστῷ ◦ γάλα ὑμᾶς ἐ-
πότισα κ̔ὰι οὐ βρῶμα οὔπω γὰρ ἠδύ̔νασθε ἀλλ᾽ οὐ᾽τε ἔτι νῦν
3 δύνασθε ◦ ἔτι γὰρ σαρκικοί ἐστε ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ
ἔρις καὐ᾽ διχοστασίαι οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον
4 περιπατεῖτε ◦ ὅταν γὰρ λέγῃ τις ἐγὼ μέν εἰμι παύλου ἕτερος δὲ
5 ἐγὼ ἀπολλὼ οὐχὶ᾽ σαρκικοί ἐστε ◦ τίς᾽ οὖν ἐστιν παῦλος τίς δὲ
ἀπολλὼς ἀλλ᾽ ἢ διάκονοι δι᾽ ὧν ἐπιστεύσατε καὶ ἑκάστῳ ὡς ὁ
6 κύριος ἔδωκεν ◦ ἐγὼ ἐφύτευσα ἀπολλὼς ἐπότισεν ἀλλ᾽ ὁ θεὸς
7 ηὔξανεν ◦ ὥστε οὔτε ὁ φυτεύων ἐστίν τι οὔτε ὁ ποτίζων ἀλλ᾽ ὁ αὐ-
8 ξάνων θεός ◦ ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν ἕκαστος δὲ τὸν
9 ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον ◦ θεοῦ γάρ ἐσμεν συ-
10 νεργοὶ θεοῦ γεώργιον θεοῦ οἰκοδομή ἐστε ◦ κατὰ τὴν χάριν τοῦ
θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τ̔έθεικα
ἄλλος δὲ ἐποικοδομεῖ ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ ◦
11 θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον ὅς
12 ἐστιν ἰησοῦς ὁ᾽ χριστός ◦ εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον
τ̔οῦτον χρυσὸν ἄργυρον λίθους τιμίους ξύλα χόρτον καλάμην ◦
13 ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται ἡ γὰρ ἡμέρα δηλώσει ὅτι
ἐν πυρὶ ἀποκαλύπτεται καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστιν τὸ

---

v.10 𝕋*: αυτου, 𝕍: ∅. **v.10** 𝕋*: ερευνα, 𝕍: εραυνα. **v.11** 𝕋*: οιδεν, 𝕍: εγνωκεν. **v.13** 𝕋*: αγιου, 𝕍: ∅. **v.15** 𝕋*: μεν, 𝕍: [τα]. **3.v.1** 𝕋*: και εγω, 𝕍: καγω. **v.1** 𝕋 𝕂 𝕍: λαλησαι υμιν, 𝕄: υμιν λαλησαι. **v.1** 𝕋*: σαρκικοις, 𝕍: σαρκινοις. **v.2** 𝕋*: και, 𝕍: ∅. **v.2** 𝕋 𝕂: ηδυνασθε, 𝕄 𝕍: εδυνασθε. **v.2** 𝕋*: ουτε, 𝕍: ουδε. **v.3** 𝕋*: και διχοστασιαι, 𝕍: ∅. **v.4** 𝕋*: ουχι σαρκικοι, 𝕍: ουκ ανθρωποι. **v.5** 𝕋*: τις ουν εστιν παυλος τις δε απολλως αλλ η, 𝕍: τι ουν εστιν απολλως τι δε εστιν παυλος. **v.6** 𝕋*: αλλ, 𝕍: αλλα. **v.8** 𝕋*: ληψεται, 𝕍: λημψεται. **v.10** 𝕋*: τεθεικα, 𝕍: εθηκα. **v.11** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.12** 𝕋*: τουτον, 𝕍: ∅.

πῦρ̣ δοκιμάσει ⸰ εἴ τινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησεν˙ μισθὸν 14
λήψεται ⸰ εἴ τινος τὸ ἔργον κατακαήσεται ζημιωθήσεται αὐτὸς δὲ 15
σωθήσεται οὕτως δὲ ὡς διὰ πυρός ⸰ οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐ- 16
στε καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν ⸰ εἴ τις τὸν ναὸν τοῦ 17
θεοῦ φθείρει φθερεῖ τοῦτον ὁ θεὸς ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός
ἐστιν οἵτινές ἐστε ὑμεῖς ⸰ μηδεὶς ἑαυτὸν ἐξαπατάτω εἴ τις δοκεῖ 18
σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω ἵνα γένη-
ται σοφός ⸰ ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ θεῷ 19
ἐστιν γέγραπται γὰρ ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουρ-
γίᾳ αὐτῶν ⸰ καὶ πάλιν κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν 20
σοφῶν ὅτι εἰσὶν μάταιοι ⸰ ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις 21
πάντα γὰρ ὑμῶν ἐστιν ⸰ εἴτε παῦλος εἴτε ἀπολλὼς εἴτε κηφᾶς 22
εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος εἴτε ἐνεστῶτα εἴτε μέλλοντα
πάντα ὑμῶν ἐστιν ⸰ ὑμεῖς δὲ χριστοῦ χριστὸς δὲ θεοῦ ⸰ 23

οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας χριστοῦ καὶ **4**
οἰκονόμους μυστηρίων θεοῦ ⸰ ὃ˚ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰ- 2
κονόμοις ἵνα πιστός τις εὑρεθῇ ⸰ ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα 3
ὑφ᾽ ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας ἀλλ᾽ οὐδὲ ἐμαυ-
τὸν ἀνακρίνω ⸰ οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα ἀλλ᾽ οὐκ ἐν τούτῳ 4
δεδικαίωμαι ὁ δὲ ἀνακρίνων με κύριός ἐστιν ⸰ ὥστε μὴ πρὸ και- 5
ροῦ τι κρίνετε ἕως ἂν ἔλθῃ ὁ κύριος ὃς καὶ φωτίσει τὰ κρυπτὰ
τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν καὶ τότε
ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ ⸰ ταῦτα δὲ ἀδελφοὶ 6
μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ ἀπολλὼ δι᾽ ὑμᾶς ἵνα ἐν ἡμῖν
μάθητε τὸ μὴ ὑπὲρ ὃ˚ γέγραπται φρονεῖν ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑ-
νὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου ⸰ τίς γάρ σε διακρίνει τί δὲ ἔχεις 7
ὃ οὐκ ἔλαβες εἰ δὲ καὶ ἔλαβες τί καυχᾶσαι ὡς μὴ λαβών ⸰ ἤδη 8
κεκορεσμένοι ἐστὲ ἤδη ἐπλουτήσατε χωρὶς ἡμῶν ἐβασιλεύσατε
καὶ ὄφελόν γε ἐβασιλεύσατε ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύ-
σωμεν ⸰ δοκῶ γὰρ ὅτι ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους 9
ἀπέδειξεν ὡς ἐπιθανατίους ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ
καὶ ἀγγέλοις καὶ ἀνθρώποις ⸰ ἡμεῖς μωροὶ διὰ χριστὸν ὑμεῖς δὲ 10
φρόνιμοι ἐν χριστῷ ἡμεῖς ἀσθενεῖς ὑμεῖς δὲ ἰσχυροὶ ὑμεῖς ἔνδο-
ξοι ἡμεῖς δὲ ἄτιμοι ⸰ ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶ- 11
μεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν ⸰ καὶ 12
κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσὶν λοιδορούμενοι εὐλο-

v.13 𝕋*: πυρ, 𝕍: πυρ [αυτο]. **v.14** 𝕋*: μένει, 𝕍: μενεῖ. **v.14** 𝕋 𝕂: επωκοδομησεν μισθον ληψεται, 𝕄: εποικοδομησεν μισθον ληψεται, 𝕍: εποικοδομησεν μισθον λημψεται. **v.22** 𝕋*: εστιν, 𝕍: ∅. **4.v.2** 𝕋*: ο δε, 𝕍: ωδε. **v.6** 𝕋*: απολλω, 𝕍: απολλων. **v.6** 𝕋*: ο γεγραπται φρονειν, 𝕍: α γεγραπται. **v.6** 𝕋 𝕂 𝕍: φυσιουσθε, 𝕄: μη φυσιουσθε. **v.9** 𝕋*: οτι, 𝕍: ∅. **v.11** 𝕋*: γυμνητευομεν, 𝕍: γυμνιτευομεν.

13 γοῦμεν διωκόμενοι ἀνεχόμεθα ⸰ βλασφημούμενοι παρακαλοῦ-
μεν ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν πάντων περί-
14 ψημα ἕως ἄρτι ⸰ οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα ἀλλ᾽ ὡς τέκνα
15 μου ἀγαπητὰ νουθετῶ ⸰ ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε
ἐν χριστῷ ἀλλ᾽ οὐ πολλοὺς πατέρας ἐν γὰρ χριστῷ ἰησοῦ διὰ
16 τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα ⸰ παρακαλῶ οὖν ὑμᾶς μι-
17 μηταί μου γίνεσθε ⸰ διὰ τοῦτο ἔπεμψα ὑμῖν τιμόθεον ὅς ἐστιν
τέκνον˚ μου ἀγαπητὸν καὶ πιστὸν ἐν κυρίῳ ὃς ὑμᾶς ἀναμνήσει
τὰς ὁδούς μου τὰς ἐν χριστῷ καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλη-
18 σίᾳ διδάσκω ⸰ ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν
19 τινες ⸰ ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς ἐὰν ὁ κύριος θελήσῃ καὶ
γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων ἀλλὰ τὴν δύναμιν ⸰
20, 21 οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ ἀλλ᾽ ἐν δυνάμει ⸰ τί θέλετε
ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς ἢ ἐν ἀγάπῃ πνεύματί τε πρᾳότητος ⸰

5 ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία καὶ τοιαύτη πορνεία ἥτις οὐ-
δὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται ὥστε γυναῖκά τινα τοῦ πατρὸς
2 ἔχειν ⸰ καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ καὶ οὐχὶ μᾶλλον ἐπενθή-
3 σατε ἵνα ἐξᾶρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο πὁιήσας ⸰ ἐγὼ
μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι παρὼν δὲ τῷ πνεύματι ἤδη κέκρικα
4 ὡς παρὼν τὸν οὕτως τοῦτο κατεργασάμενον ⸰ ἐν τῷ ὀνόματι τοῦ
κυρίου ἡμῶν˚ ἰησοῦ χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ
πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν ἰησοῦ χριὀτοῦ ⸰
5 παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς ἵνα
6 τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἰηὁοῦ ⸰ οὐ καλὸν τὸ
καύχημα ὑμῶν οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυ-
7 μοῖ ⸰ ἐκκαθάρατε ὀῦν τὴν παλαιὰν ζύμην ἵνα ἦτε νέον φύραμα
καθώς ἐστε ἄζυμοι καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ˚ ἡμῶν ἐτύθη
8 χριστός ⸰ ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ μηδὲ ἐν ζύμῃ κα-
κίας καὶ πονηρίας ἀλλ᾽ ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας ⸰
9, 10 ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις ⸰ κἀὶ
οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ τοῖς πλεονέκταις
ἢ˚ ἅρπαξιν ἢ εἰδωλολάτραις ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου
11 ἐξελθεῖν ⸰ νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι ἐάν τις ἀ-
δελφὸς ὀνομαζόμενος ἢ˚ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης

---

v.13 $\mathbb{T}^*$: βλασφημουμενοι, $\mathbb{V}$: δυσφημουμενοι. **v.14** $\mathbb{T}^*$: νουθετω, $\mathbb{V}$: νουθετω[ν]. **v.17** $\mathbb{T}^*$: τεκνον μου, $\mathbb{V}$: μου τεκνον. **v.17** $\mathbb{T}^*$: χριστω, $\mathbb{V}$: χριστω [ιησου]. **v.21** $\mathbb{T}^*$: πραοτητος, $\mathbb{V}$: πραυτητος. **5.v.1** $\mathbb{T}^*$: ονομαζεται, $\mathbb{V}$: ∅. **v.2** $\mathbb{T}^*$: εξαρθη, $\mathbb{V}$: αρθη. **v.2** $\mathbb{T}^*$: ποιησας, $\mathbb{V}$: πραξας. **v.3** $\mathbb{T}^*$: ως, $\mathbb{V}$: ∅. **v.4** $\mathbb{T}^*$: ημων ιησου χριστου, $\mathbb{V}$: [ημων] ιησου. **v.4** $\mathbb{T}^*$: χριστου, $\mathbb{V}$: ∅. **v.5** $\mathbb{T}^*$: ιησου, $\mathbb{V}$: ∅. **v.7** $\mathbb{T}$ $\mathbb{K}$: ουν, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.7** $\mathbb{T}$ $\mathbb{M}$: υπερ ημων ετυθη, $\mathbb{K}$: υπερ ημων εθυθη, $\mathbb{V}$: ετυθη. **v.10** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: η, $\mathbb{V}$: και. **v.10** $\mathbb{T}^*$: οφειλετε, $\mathbb{V}$: ωφειλετε. **v.11** $\mathbb{T}^*$: νυνι, $\mathbb{V}$: νυν. **v.11** $\mathbb{T}$: ἢ, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ᾗ.

ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ τῷ τοιούτῳ μηδὲ συνεσθίειν· τί 12
γάρ μοι καὶ τοὺς ἔξω κρίνειν οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε· τοὺς 13
δὲ ἔξω ὁ θεὸς κρίνει καί· ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν·

τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον κρίνεσθαι ἐπὶ **6**
τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων· οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν 2
κόσμον κρινοῦσιν καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος ἀνάξιοί ἐστε
κριτηρίων ἐλαχίστων· οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν μήτι 3
γε βιωτικά· βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε τοὺς ἐξουθενη- 4
μένους ἐν τῇ ἐκκλησίᾳ τούτους καθίζετε· πρὸς ἐντροπὴν ὑμῖν 5
λέγω οὕτως οὐκ ἔστιν· ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς ὃς δυνήσεται δια-
κρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ· ἀλλὰ ἀδελφὸς μετὰ ἀδελ- 6
φοῦ κρίνεται καὶ τοῦτο ἐπὶ ἀπίστων· ἤδη μὲν οὖν ὅλως ἥττημα 7
ἐν ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ᾽ ἑαυτῶν διατί οὐχὶ μᾶλλον
ἀδικεῖσθε διατὶ οὐχὶ μᾶλλον ἀποστερεῖσθε· ἀλλὰ ὑμεῖς ἀδικεῖτε 8
καὶ ἀποστερεῖτε καὶ τοῦτα ἀδελφούς· ἢ οὐκ οἴδατε ὅτι ἄδικοι 9
βασιλείαν· θεοῦ οὐ κληρονομήσουσιν μὴ πλανᾶσθε οὔτε πόρνοι
οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖ-
ται· οὔτε κλέπται· οὔτε πλεονέκται οὔτε μέθυσοι οὐ λοίδοροι 10
οὐχ ἅρπαγες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν· καὶ ταῦτά 11
τινες ἦτε ἀλλὰ ἀπελούσασθε ἀλλὰ ἡγιάσθητε ἀλλ᾽ ἐδικαιώθητε
ἐν τῷ ὀνόματι τοῦ κυρίου ἰησοῦ καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ
ἡμῶν· πάντα μοι ἔξεστιν ἀλλ᾽ οὐ πάντα συμφέρει πάντα μοι ἔ- 12
ξεστιν ἀλλ᾽ οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος· τὰ βρώματα τῇ 13
κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν ὁ δὲ θεὸς καὶ ταύτην καὶ
ταῦτα καταργήσει τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ κυρίῳ καὶ
ὁ κύριος τῷ σώματι· ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρεν καὶ ἡμᾶς 14
ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ· οὐκ οἴδατε ὅτι τὰ σώματα ὑ- 15
μῶν μέλη χριστοῦ ἐστιν ἆρας οὖν τὰ μέλη τοῦ χριστοῦ ποιήσω
πόρνης μέλη μὴ γένοιτο· ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ 16
πόρνῃ ἓν σῶμά ἐστιν ἔσονται γάρ φησιν οἱ δύο εἰς σάρκα μίαν·
ὁ δὲ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν· φεύγετε τὴν πορ- 17, 18
νείαν πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός
ἐστιν ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει· ἢ οὐκ οἴδατε 19
ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν οὗ

---

v.12 𝕋*: και, 𝕍: ∅. **v.13** 𝕋 𝕂: κρίνει, 𝕄 𝕍: κρινεῖ. **v.13** 𝕋*: και εξαρειτε, 𝕍: εξαρατε. **6.v.2** 𝕋*: ουκ, 𝕍: η ουκ. **v.5** 𝕋 𝕂: εστιν εν υμιν σοφος ουδε εις, 𝕄: ενι εν υμιν σοφος ουδε εις, 𝕍: ενι εν υμιν ουδεις σοφος. **v.7** 𝕋 𝕂: εν, 𝕄 𝕍: ∅. **v.7** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.8** 𝕋*: ταυτα, 𝕍: τουτο. **v.9** 𝕋*: βασιλειαν θεου, 𝕍: θεου βασιλειαν. **v.10** 𝕋 𝕂: κλεπται ουτε πλεονεκται ουτε, 𝕄: πλεονεκται ουτε κλεπται ουτε, 𝕍: κλεπται ουτε πλεονεκται ου. **v.10** 𝕋*: ου, 𝕍: ∅. **v.11** 𝕋*: αλλ, 𝕍: αλλα. **v.11** 𝕋*: ιησου, 𝕍: ιησου χριστου. **v.16** 𝕋 𝕂: η, 𝕄: ∅, 𝕍: [η].

ἔχετε ἀπὸ θεοῦ καὶ οὐκ ἐστὲ ἑαυτῶν ⸰ ἠγοράσθητε γὰρ τιμῆς
δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι
ὑμῶν ἅτινά ἐστιν τοῦ θεοῦ ⸰

7 περὶ δὲ ὧν ἐγράψατέ μοι καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτε-
σθαι ⸰ διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω
καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω ⸰ τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφει-
λομένην εὔνοιαν ἀποδιδότω ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί ⸰
ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει ἀλλ᾽ ὁ ἀνὴρ ὁμοίως
δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει ἀλλ᾽ ἡ γυνή ⸰
μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς και-
ρὸν ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ καὶ πάλιν ἐπὶ
τὸ αὐτὸ συνέρχησθε ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν
ἀκρασίαν ὑμῶν ⸰ τοῦτο δὲ λέγω κατὰ συγγνώμην οὐ κατ᾽ ἐπι-
ταγήν ⸰ θέλω γὰρ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἀλλ᾽
ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ θεοῦ ὃς μὲν οὕτως ὃς δὲ οὕ-
τως ⸰ λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις καλὸν αὐτοῖς ἐστιν
ἐὰν μείνωσιν ὡς κἀγώ ⸰ εἰ δὲ οὐκ ἐγκρατεύονται γαμησάτωσαν
κρεῖσσον γάρ ἐστιν γαμῆσαι ἢ πυροῦσθαι ⸰ τοῖς δὲ γεγαμηκό-
σιν παραγγέλλω οὐκ ἐγὼ ἀλλ᾽ ὁ κύριος γυναῖκα ἀπὸ ἀνδρὸς
μὴ χωρισθῆναι ⸰ ἐὰν δὲ καὶ χωρισθῇ μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ
καταλλαγήτω καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι ⸰ τοῖς δὲ λοιποῖς
ἐγὼ λέγω οὐχ ὁ κύριος εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον
καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτοῦ μὴ ἀφιέτω αὐτήν ⸰ καὶ
γυνὴ ἥτις ἔχει ἄνδρα ἄπιστον καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ᾽
αὐτῆς μὴ ἀφιέτω αὐτόν ⸰ ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ
γυναικὶ καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρὶ ἐπεὶ ἄρα τὰ
τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν νῦν δὲ ἅγιά ἐστιν ⸰ εἰ δὲ ὁ ἄπιστος
χωρίζεται χωριζέσθω οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν
τοῖς τοιούτοις ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός ⸰ τί γὰρ οἶ-
δας γύναι εἰ τὸν ἄνδρα σώσεις ἢ τί οἶδας ἄνερ εἰ τὴν γυναῖκα
σώσεις ⸰ εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεὸς ἕκαστον ὡς κέκληκεν
ὁ κύριος οὕτως περιπατείτω καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πά-
σαις διατάσσομαι ⸰ περιτετμημένος τις ἐκλήθη μὴ ἐπισπάσθω

---

v.20 $\mathbb{T}^*$: και εν τω πνευματι υμων ατινα εστιν του θεου, $\mathbb{V}$: ∅. **7.v.1** $\mathbb{T}^*$: μοι, $\mathbb{V}$: ∅. **v.3** $\mathbb{T}^*$: οφειλομενην ευνοιαν, $\mathbb{V}$: οφειλην. **v.4** $\mathbb{T}^*$: αλλ, $\mathbb{V}$: αλλα. **v.5** $\mathbb{T}^*$: μη τι, $\mathbb{V}$: μητι. **v.5** $\mathbb{T}^*$: σχολαζητε τη νηστεια και, $\mathbb{V}$: σχολασητε. **v.5** $\mathbb{T}^*$: συνερχησθε, $\mathbb{V}$: ητε. **v.7** $\mathbb{T}^*$: γαρ, $\mathbb{V}$: δε. **v.7** $\mathbb{T}^*$: αλλ, $\mathbb{V}$: αλλα. **v.7** $\mathbb{T}^*$: χαρισμα εχει, $\mathbb{V}$: εχει χαρισμα. **v.7** $\mathbb{T}^*$: ος, $\mathbb{V}$: ο. **v.8** $\mathbb{T}^*$: εστιν, $\mathbb{V}$: ∅. **v.9** $\mathbb{T}^*$: κρεισσον, $\mathbb{V}$: κρειττον. **v.10** $\mathbb{T}^*$: αλλ, $\mathbb{V}$: αλλα. **v.12** $\mathbb{T}^*$: εγω λεγω, $\mathbb{V}$: λεγω εγω. **v.12** $\mathbb{T}^*$: αὐτὴ, $\mathbb{V}$: αὕτη. **v.13** $\mathbb{T}^*$: ητις, $\mathbb{V}$: ει τις. **v.13** $\mathbb{T}^*$: αυτος, $\mathbb{V}$: ουτος. **v.13** $\mathbb{T}^*$: αυτον, $\mathbb{V}$: τον ανδρα. **v.14** $\mathbb{T}^*$: ανδρι, $\mathbb{V}$: αδελφω, **XXX**: ανδρι τω πιστω. **v.15** $\mathbb{T}^*$: ημας, $\mathbb{V}$: υμας. **v.17** $\mathbb{T}^*$: θεος, $\mathbb{V}$: κυριος. **v.17** $\mathbb{T}^*$: κυριος, $\mathbb{V}$: θεος.

ἐν ἀκροβυστίᾳ τις˚ ἐκλήθη μὴ περιτεμνέσθω ⸰ ἡ περιτομὴ οὐ- 19
δέν ἐστιν καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν ἀλλὰ τήρησις ἐντολῶν
θεοῦ ⸰ ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη ἐν ταύτῃ μενέτω ⸰ δοῦλος 20, 21
ἐκλήθης μή σοι μελέτω ἀλλ᾽ εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι
μᾶλλον χρῆσαι ⸰ ὁ γὰρ ἐν κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος 22
κυρίου ἐστὶν ὁμοίως κἀὶ ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστιν χρι-
στοῦ ⸰ τιμῆς ἠγοράσθητε μὴ γίνεσθε δοῦλοι ἀνθρώπων ⸰ ἕκαστος 23, 24
ἐν ᾧ ἐκλήθη ἀδελφοὶ ἐν τούτῳ μενέτω παρὰ ᾧ θεῷ ⸰ περὶ δὲ τῶν 25
παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω γνώμην δὲ δίδωμι ὡς ἠλεη-
μένος ὑπὸ κυρίου πιστὸς εἶναι ⸰ νομίζω οὖν τοῦτο καλὸν ὑπάρ- 26
χειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως
εἶναι ⸰ δέδεσαι γυναικὶ μὴ ζήτει λύσιν λέλυσαι ἀπὸ γυναικὸς μὴ 27
ζήτει γυναῖκα ⸰ ἐὰν δὲ καὶ γήμῃς οὐχ ἥμαρτες καὶ ἐὰν γήμῃ ἡ 28
παρθένος οὐχ ἥμαρτεν θλίψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι
ἐγὼ δὲ ὑμῶν φείδομαι ⸰ τοῦτο δέ φημι ἀδελφοὶ ὁ˚ καιρὸς συ- 29
νεσταλμένος τὸ˚ λοιπόν ἐστιν ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς
μὴ ἔχοντες ὦσιν ⸰ καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες καὶ οἱ χαί- 30
ροντες ὡς μὴ χαίροντες καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες ⸰
καὶ οἱ χρώμενοι τῷ˚ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι παράγει 31
γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου ⸰ θέλω δὲ ὑμᾶς ἀμερίμνους 32
εἶναι ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου πῶς ἀρέσει τῷ κυρίῳ ⸰
ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσει τῇ γυναικί ⸰ 33
μεμέρισται˚ ἡ γυνὴ καὶ ἡ παρθένος ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ 34
κυρίου ἵνα ᾖ ἁγία καὶ σώματι˚ καὶ πνεύματι ἡ δὲ γαμήσασα
μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσει τῷ ἀνδρί ⸰ τοῦτο δὲ πρὸς 35
τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω
ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ κυρίῳ ἀπερισπά-
στως ⸰ εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει ἐὰν 36
ᾖ ὑπέρακμος καὶ οὕτως ὀφείλει γίνεσθαι ὃ θέλει ποιείτω οὐχ
ἁμαρτάνει γαμείτωσαν ⸰ ὃς δὲ ἕστηκεν ἑδραῖος˚ ἐν τῇ καρδίᾳ μὴ 37
ἔχων ἀνάγκην ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος καὶ
τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ˚ αὐτοῦ τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρ-

---

v.18 𝕋*: τις εκληθη, 𝕍: κεκληται τις. **v.22** 𝕋*: και, 𝕍: ∅. **v.24** 𝕋 𝕂: τω, 𝕄 𝕍: ∅. **v.28** 𝕋*: γημης, 𝕍: γαμησης. **v.29** 𝕋 𝕄 𝕍: ο, 𝕂: οτι ο. **v.29** 𝕋*: το λοιπον εστιν, 𝕍: εστιν το λοιπον. **v.31** 𝕋*: τω κοσμω τουτω, 𝕍: τον κοσμον. **v.32** 𝕋*: αρεσει, 𝕍: αρεση. **v.33** 𝕋*: αρεσει, 𝕍: αρεση. **v.34** 𝕋 𝕂: μεμεριστα η γυνη και η παρθενος η αγαμος, 𝕄: μεμεριστα και η γυνη και η παρθενος η αγαμος, 𝕍: και μεμεριστα και η γυνη η αγαμος και η παρθενος. **v.34** 𝕋*: σωματι και πνευματι, 𝕍: τω σωματι και τω πνευματι. **v.34** 𝕋*: αρεσει, 𝕍: αρεση. **v.35** 𝕋*: συμφερον, 𝕍: συμφορον. **v.35** 𝕋*: ευπροσεδρον, 𝕍: ευπαρεδρον. **v.37** 𝕋*: εδραιος εν τη καρδια, 𝕍: εν τη καρδια αυτου εδραιος. **v.37** 𝕋*: καρδια αυτου του, 𝕍: ιδια καρδια.

38 θένον καλῶς ποιεῖ ⸰ ὥστε καὶ ὁ ἐκγαμίζων˚ καλῶς ποιεῖ ὁ˚ δὲ μὴ
39 ἐκγαμίζων κρεῖσσον ποιεῖ ⸰ γυνὴ δέδεται νόμῳ ἐφ᾽ ὅσον χρόνον
ζῇ ὁ ἀνὴρ αὐτῆς ἐὰν δὲ˚ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς ἐλευθέρα ἐστὶν
40 ᾧ θέλει γαμηθῆναι μόνον ἐν κυρίῳ ⸰ μακαριωτέρα δέ ἐστιν ἐὰν
οὕτως μείνῃ κατὰ τὴν ἐμὴν γνώμην δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ
ἔχειν ⸰

8 περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν
2 ἡ γνῶσις φυσιοῖ ἡ δὲ ἀγάπη οἰκοδομεῖ ⸰ εἴ δέ˚ τις δοκεῖ εἰδέναι
3 τι οὐδέπω οὐδὲν ἔγνωκεν καθὼς δεῖ γνῶναι ⸰ εἰ δέ τις ἀγαπᾷ
4 τὸν θεὸν οὗτος ἔγνωσται ὑπ᾽ αὐτοῦ ⸰ περὶ τῆς βρώσεως οὖν τῶν
εἰδωλοθύτων οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ καὶ ὅτι οὐ-
5 δεὶς θεὸς εἰ μὴ εἷς ⸰ καὶ γὰρ εἴπερ εἰσὶν λεγόμενοι θεοὶ
εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς γῆς ὥσπερ εἰσὶν θεοὶ πολλοὶ καὶ
6 κύριοι πολλοί ⸰ ἀλλ᾽ ἡμῖν εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα καὶ
ἡμεῖς εἰς αὐτὸν καὶ εἷς κύριος ἰησοῦς χριστὸς δι᾽ οὗ τὰ πάντα
7 καὶ ἡμεῖς δι᾽ αὐτοῦ ⸰ ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις τινὲς δὲ τῇ συ-
νειδήσει˚ τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσιν καὶ
8 ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται ⸰ βρῶμα δὲ ἡμᾶς
οὐ παρίστησιν˚ τῷ θεῷ οὔτε γὰρ ἐὰν φάγωμεν περισσεύομεν
9 οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα ⸰ βλέπετε δὲ μήπως ἡ ἐξου-
10 σία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν ⸰ ἐὰν γάρ
τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον οὐχὶ ἡ
συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰ-
11 δωλόθυτα ἐσθίειν ⸰ καὶ˚ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ
12 γνώσει δι᾽ ὃν χριστὸς ἀπέθανεν ⸰ οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς
ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν εἰς
13 χριστὸν ἁμαρτάνετε ⸰ διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν
μου οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα ἵνα μὴ τὸν ἀδελφόν μου
σκανδαλίσω ⸰

9 οὐκ εἰμὶ ἀπόστολος οὐκ εἰμὶ ἐλεύθερος οὐχὶ ἰησοῦν χριστὸν
τὸν κύριον ἡμῶν ἑώρακα οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν κυρίῳ ⸰

---

v.37 𝕋*: ποιει, 𝕍: ποιησει. **v.38** 𝕋*: εκγαμιζων, 𝕍: γαμιζων την εαυτου παρθενον. **v.38** 𝕋*: ο δε μη εκγαμιζων κρεισσον ποιει, 𝕍: και ο μη γαμιζων κρεισσον ποιησει. **v.39** 𝕋*: νομω, 𝕍: ∅. **v.39** 𝕋 𝕂 𝕍: δε, 𝕄: δε και. **v.39** 𝕋 𝕂: αυτης, 𝕄 𝕍: ∅. **8.v.2** 𝕋*: δε τις δοκει ειδεναι τι ουδεπω ουδεν εγνωκεν, 𝕍: τις δοκει εγνωκεναι τι ουπω εγνω. **v.4** 𝕋*: ετερος, 𝕍: ∅. **v.5** 𝕋 𝕂: της, 𝕄 𝕍: ∅. **v.7** 𝕋*: συνειδησει του ειδωλου εως αρτι, 𝕍: συνηθεια εως αρτι του ειδωλου. **v.8** 𝕋*: παριστησιν τω θεω ουτε γαρ εαν φαγωμεν περισσευομεν ουτε εαν μη φαγωμεν υστερουμεθα, 𝕍: παραστησει τω θεω ουτε εαν μη φαγωμεν υστερουμεθα ουτε εαν φαγωμεν περισσευομεν. **v.9** 𝕋 𝕂: μηπως, 𝕄 𝕍: μη πως. **v.9** 𝕋*: ασθενουσιν, 𝕍: ασθενεσιν. **v.11** 𝕋*: και απολειται ο ασθενων αδελφος επι τη ση γνωσει, 𝕍: απολλυται γαρ ο ασθενων εν τη ση γνωσει ο αδελφος. **9.v.1** 𝕋*: αποστολος, 𝕍: ελευθερος. **v.1** 𝕋*: ελευθερος, 𝕍: αποστολος. **v.1** 𝕋*: χριστον, 𝕍: ∅. **v.1** 𝕋*: εωρακα, 𝕍: εορακα.

εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος ἀλλά γε ὑμῖν εἰμι ἡ γὰρ σφραγὶς 2
τῆς˚ ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν κυρίῳ ⸰ ἡ ἐμὴ ἀπολογία τοῖς 3
ἐμὲ ἀνακρίνουσιν αὕτη˚ ἐστίν ⸰ μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν 4
καὶ πιεῖν ⸰ μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιά- 5
γειν ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου καὶ
κηφᾶς ⸰ ἢ μόνος ἐγὼ καὶ βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ 6
μὴ ἐργάζεσθαι ⸰ τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτὲ τίς φυτεύει 7
ἀμπελῶνα καὶ ἐκ˚ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει ἢ τίς ποιμαί-
νει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει ⸰ μὴ 8
κατὰ ἄνθρωπον ταῦτα λαλῶ ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει ⸰
ἐν γὰρ τῷ μωϋσέως νόμῳ γέγραπται οὐ φιμώσεις βοῦν ἀλοῶντα 9
μὴ τῶν βοῶν μέλει τῷ θεῷ ⸰ ἢ δι˚ ἡμᾶς πάντως λέγει δι˚ ἡμᾶς 10
γὰρ ἐγράφη ὅτι ἐπ˚ ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾷν καὶ ὁ
ἀλοῶν τῆς˚ ἐλπίδος αὐτοῦ μετέχειν ἐπ˚ ἐλπίδι ⸰ εἰ ἡμεῖς ὑμῖν τὰ 11
πνευματικὰ ἐσπείραμεν μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσο-
μεν ⸰ εἰ ἄλλοι τῆς ἐξουσίας˚ ὑμῶν μετέχουσιν οὐ μᾶλλον ἡμεῖς 12
ἀλλ˚ οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ ἀλλὰ πάντα στέγομεν
ἵνα μὴ ἐγκοπήν˚ τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ ⸰ οὐκ οἴ- 13
δατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ˚ τοῦ ἱεροῦ ἐσθίουσιν οἱ τῷ
θυσιαστηρίῳ πρόσεδρεύοντες τῷ θυσιαστηρίῳ συμμερίζονται ⸰
οὕτως καὶ ὁ κύριος διέταξεν τοῖς τὸ εὐαγγέλιον καταγγέλλου- 14
σιν ἐκ τοῦ εὐαγγελίου ζῆν ⸰ ἐγὼ δὲ οὐδενὶ˚ ἐχρησάμην τούτων 15
οὐκ ἔγραψα δὲ ταῦτα ἵνα οὕτως γένηται ἐν ἐμοί καλὸν γάρ μοι
μᾶλλον ἀποθανεῖν ἢ τὸ καύχημά μου ἵνα˚ τις κενώσῃ ⸰ ἐὰν γὰρ 16
εὐαγγελίζωμαι οὐκ ἔστιν μοι καύχημα ἀνάγκη γάρ μοι ἐπί-
κειται οὐαὶ δέ˚ μοί ἐστιν ἐὰν μὴ εὐαγγελίζῶμαι ⸰ εἰ γὰρ ἑκὼν 17
τοῦτο πράσσω μισθὸν ἔχω εἰ δὲ ἄκων οἰκονομίαν πεπίστευμαι ⸰
τίς οὖν μόί ἐστιν ὁ μισθὸς ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω 18
τὸ εὐαγγέλιον τοῦ˚ χριστοῦ εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξου-
σίᾳ μου ἐν τῷ εὐαγγελίῳ ⸰ ἐλεύθερος γὰρ ὢν ἐκ πάντων πᾶσιν 19
ἐμαυτὸν ἐδούλωσα ἵνα τοὺς πλείονας κερδήσω ⸰ καὶ ἐγενόμην 20
τοῖς ἰουδαίοις ὡς ἰουδαῖος ἵνα ἰουδαίους κερδήσω τοῖς ὑπὸ νό-

---

v.2 𝕋*: της εμης, 𝕍: μου της. **v.3** 𝕋*: αυτη εστιν, 𝕍: εστιν αυτη. **v.4** 𝕋*: πιειν, 𝕍: πειν. **v.6** 𝕋*: του, 𝕍: ∅. **v.7** 𝕋*: εκ του καρπου, 𝕍: τον καρπον. **v.8** 𝕋*: ουχι, 𝕍: ∅. **v.8** 𝕋*: λεγει, 𝕍: ου λεγει. **v.9** 𝕋 𝕂: μωσεως, 𝕄 𝕍: μωυσεως. **v.9** 𝕋*: φιμωσεις, 𝕍: κημωσεις. **v.10** 𝕋*: επ ελπιδι οφειλει, 𝕍: οφειλει επ ελπιδι. **v.10** 𝕋*: της ελπιδος αυτου μετεχειν επ ελπιδι, 𝕍: επ ελπιδι του μετεχειν. **v.12** 𝕋*: εξουσιας υμων, 𝕍: υμων εξουσιας. **v.12** 𝕋*: εγκοπην τινα, 𝕍: τινα εγκοπην. **v.13** 𝕋*: εκ, 𝕍: [τα] εκ. **v.13** 𝕋*: προσεδρευοντες, 𝕍: παρεδρευοντες. **v.15** 𝕋*: ουδενι εχρησαμην, 𝕍: ου κεχρημαι ουδενι. **v.15** 𝕋*: ινα τις κενωση, 𝕍: ουδεις κενωσει. **v.16** 𝕋*: δε, 𝕍: γαρ. **v.16** 𝕋*: ευαγγελιζωμαι, 𝕍: ευαγγελισωμαι. **v.18** 𝕋*: μοι, 𝕍: μου. **v.18** 𝕋*: του χριστου, 𝕍: ∅.

21 μον ὡς ὑπὸ νόμον ἵνα τοὺς ὑπὸ νόμον κερδήσω ⸰ τοῖς ἀνόμοις
ὡς ἄνομος μὴ ὢν ἄνομος θεῷ˚ ἀλλ᾽ ἔννομος χριστῷ ἵνα κερ-
22 δήσω ἀνόμους ⸰ ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενὴς ἵνα τοὺς
ἀσθενεῖς κερδήσω τοῖς πᾶσιν γέγονα τὰ πάντα ἵνα πάντως τινὰς
23 σώσω ⸰ τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον ἵνα συγκοινωνὸς αὐ-
24 τοῦ γένωμαι ⸰ οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν
τρέχουσιν εἷς δὲ λαμβάνει τὸ βραβεῖον οὕτως τρέχετε ἵνα κατα-
25 λάβητε ⸰ πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται ἐκεῖνοι μὲν
26 οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν ἡμεῖς δὲ ἄφθαρτον ⸰ ἐγὼ τοί-
νυν οὕτως τρέχω ὡς οὐκ ἀδήλως οὕτως πυκτεύω ὡς οὐκ ἀέρα
27 δέρων ⸰ ἀλλ᾽ ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ μήπως ἄλ-
λοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι ⸰

10 οὐ θέλω δὲ˚ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ ὅτι οἱ πατέρες ἡμῶν πάν-
τες ὑπὸ τὴν νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλ-
2 θον ⸰ καὶ πάντες εἰς τὸν μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν
3 τῇ θαλάσσῃ ⸰ καὶ πάντες τὸ αὐτὸ βρῶμα˚ πνευματικὸν ἔφαγον ⸰
4 καὶ πάντες τὸ αὐτὸ πόμα˚ πνευματικὸν ἔπιον ἔπινον γὰρ ἐκ
πνευματικῆς ἀκολουθούσης πέτρας ἡ δὲ˚ πέτρα ἦν ὁ χριστός ⸰
5 ἀλλ᾽ οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεὸς κατεστρώθη-
6 σαν γὰρ ἐν τῇ ἐρήμῳ ⸰ ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν εἰς τὸ
μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν καθὼς κἀκεῖνοι ἐπεθύμησαν ⸰
7 μηδὲ εἰδωλολάτραι γίνεσθε καθώς τινες αὐτῶν ὡς γέγραπται ἐ-
8 κάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν ⸰ μηδὲ
πορνεύωμεν καθώς τινες αὐτῶν ἐπόρνευσαν καὶ ἔπεσον˚ ἐν μιᾷ
9 ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες ⸰ μηδὲ ἐκπειράζωμεν τὸν χριστὸν κα-
θὼς καί τινες αὐτῶν ἐπείρασαν καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο ⸰
10 μηδὲ γογγύζετε καθὼς˚ καί τινες αὐτῶν ἐγόγγυσαν καὶ ἀπώ-
11 λοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ ⸰ ταῦτα δὲ πάντα˚ τύποι συνέβαινον
ἐκείνοις ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν εἰς οὓς τὰ τέλη τῶν
12 αἰώνων κατήντηδεν ⸰ ὥστε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ ⸰
13 πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος πιστὸς δὲ ὁ θεὸς
ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε ἀλλὰ ποιήσει

---

v.20 𝕋*: νομον, 𝕍: νομον μη ων αυτος υπο νομον. **v.21** 𝕋*: θεω αλλ εννομος χριστω ινα κερδησω, 𝕍: θεου αλλ εννομος χριστου ινα κερδανω τους. **v.22** 𝕋*: ως, 𝕍: ∅. **v.22** 𝕋*: τα, 𝕍: ∅. **v.23** 𝕋*: τουτο, 𝕍: παντα. **v.27** 𝕋*: αλλ, 𝕍: αλλα. **v.27** 𝕋 𝕂: μηπως, 𝕄 𝕍: μη πως. **10.v.1** 𝕋*: δε, 𝕍: γαρ. **v.2** 𝕋 𝕂: μωσην, 𝕄 𝕍: μωυσην. **v.2** 𝕋*: εβαπτισαντο, 𝕍: εβαπτισθησαν. **v.3** 𝕋*: βρωμα πνευματικον, 𝕍: πνευματικον βρωμα. **v.4** 𝕋*: πομα πνευματικον επιον, 𝕍: πνευματικον επιον πομα. **v.4** 𝕋*: δε πετρα, 𝕍: πετρα δε. **v.7** 𝕋 𝕂: ως, 𝕄 𝕍: ωσπερ. **v.7** 𝕋*: πιειν, 𝕍: πειν. **v.8** 𝕋*: επεσον εν, 𝕍: επεσαν. **v.8** 𝕋 𝕂: εικοσιτρεις, 𝕄 𝕍: εικοσι τρεις. **v.9** 𝕋*: και, 𝕍: ∅. **v.9** 𝕋*: απωλοντο, 𝕍: απωλλυντο. **v.10** 𝕋*: καθως και, 𝕍: καθαπερ. **v.11** 𝕋*: παντα τυποι συνεβαινον, 𝕍: τυπικως συνεβαινεν. **v.11** 𝕋*: κατηντησεν, 𝕍: κατηντηκεν.

σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγ-
κεῖν ⸰ διόπερ ἀγαπητοί μου φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας ⸰ 14
ὡς φρονίμοις λέγω κρίνατε ὑμεῖς ὃ φημι ⸰ τὸ ποτήριον τῆς εὐ- 15, 16
λογίας ὃ εὐλογοῦμεν οὐχὶ κοινωνία τοῦ˚ αἵματος τοῦ χριστοῦ
ἐστιν τὸν ἄρτον ὃν κλῶμεν οὐχὶ κοινωνία τοῦ σώματος τοῦ χρι-
στοῦ ἐστιν ⸰ ὅτι εἷς ἄρτος ἓν σῶμα οἱ πολλοί ἐσμεν οἱ γὰρ πάντες 17
ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν ⸰ βλέπετε τὸν ἰσραὴλ κατὰ σάρκα 18
οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν ⸰
τί οὖν φημι ὅτι εἰδωλόν τί ἐστιν ἢ ὅτι εἰδωλόθυτόν τί ἐστιν ⸰ ἀλλ᾽ 19, 20
ὅτι ἃ θύει˚ τὰ ἔθνη δαιμονίοις θύει καὶ οὐ θεῷ οὐ θέλω δὲ ὑ-
μᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι ⸰ οὐ δύνασθε ποτήριον 21
κυρίου πίνειν καὶ ποτήριον δαιμονίων οὐ δύνασθε τραπέζης
κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων ⸰ ἢ παραζηλοῦμεν τὸν 22
κύριον μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν ⸰ πάντα μοὶ ἔξεστιν ἀλλ᾽ οὐ 23
πάντα συμφέρει πάντα μοὶ ἔξεστιν ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ ⸰
μηδεὶς τὸ ἑαυτοῦ ζητείτω ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος ⸰ πᾶν τὸ 24, 25
ἐν μακέλλῳ πωλούμενον ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν
συνείδησιν ⸰ τοῦ γὰρ˚ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς ⸰ εἰ 26, 27
δέ˚ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ θέλετε πορεύεσθαι πᾶν τὸ
παρατιθέμενον ὑμῖν ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν συνεί-
δησιν ⸰ ἐὰν δέ τις ὑμῖν εἴπῃ τοῦτο εἰδωλόθυτόν ἐστιν μὴ ἐσθίετε 28
δι᾽ ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν τοῦ˚ γὰρ κυρίου ἡ
γῆ καὶ τὸ πλήρωμα αὐτῆς ⸰ συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ 29
ἀλλὰ τὴν τοῦ ἑτέρου ἱναῖ γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ
ἄλλης συνειδήσεως ⸰ εἰ δὲ˚ ἐγὼ χάριτι μετέχω τί βλασφημοῦ- 30
μαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ ⸰ εἴτε οὖν ἐσθίετε εἴτε πίνετε εἴτε τι 31
ποιεῖτε πάντα εἰς δόξαν θεοῦ ποιεῖτε ⸰ ἀπρόσκοποι γίνεσθε˚ καὶ 32
ἰουδαίοις καὶ ἕλλησιν καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ ⸰ καθὼς κἀγὼ 33
πάντα πᾶσιν ἀρέσκω μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον ἀλλὰ τὸ
τῶν πολλῶν ἵνα σωθῶσιν ⸰

μιμηταί μου γίνεσθε καθὼς κἀγὼ χριστοῦ ⸰ ἐπαινῶ δὲ ὑμᾶς **11**, 2
ἀδελφοὶ ὅτι πάντα μου μέμνησθε καὶ καθὼς παρέδωκα ὑμῖν τὰς
παραδόσεις κατέχετε ⸰ θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς 3

v.13 𝕋*: υμας, 𝕍: ∅. **v.14** 𝕋*: ειδωλολατρειας, 𝕍: ειδωλολατριας. **v.16** 𝕋*: του αιματος του χριστου εστιν, 𝕍: εστιν του αιματος του χριστου. **v.18** 𝕋*: ουχι, 𝕍: ουχ. **v.19** 𝕋*: ειδωλον, 𝕍: ειδωλοθυτον. **v.19** 𝕋*: ειδωλοθυτον, 𝕍: ειδωλον. **v.20** 𝕋*: θυει τα εθνη δαιμονιοις θυει και ου θεω, 𝕍: θυουσιν δαιμονιοις και ου θεω [θυουσιν]. **v.23** 𝕋*: μοι, 𝕍: ∅. **v.24** 𝕋*: εκαστος, 𝕍: ∅. **v.26** 𝕋*: γαρ κυριου, 𝕍: κυριου γαρ. **v.27** 𝕋*: δε, 𝕍: ∅. **v.28** 𝕋*: ειδωλοθυτον, 𝕍: ιεροθυτον. **v.28** 𝕋*: του γαρ κυριου η γη και το πληρωμα αυτης, 𝕍: ∅. **v.29** 𝕋 𝕂 𝕍: ινατι, 𝕄: ινα τι. **v.30** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.32** 𝕋*: γινεσθε και ιουδαιοις, 𝕍: και ιουδαιοις γινεσθε. **v.33** 𝕋*: συμφερον, 𝕍: συμφορον. **11.v.2** 𝕋*: αδελφοι, 𝕍: ∅.

ἡ κεφαλὴ ὁ χριστός ἐστιν κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ κεφα-
4 λὴ δὲ χ̣ριστοῦ ὁ θεός ◦ πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων
5 κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ ◦ πᾶσα δὲ
γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τ̣ῇ̣ κεφα-
λῇ̣ καταισχύνει τὴν κεφαλὴν ἑ̣αυτῆς ἓν γάρ ἐστιν καὶ τὸ αὐτὸ
6 τ̣ῇ̣ ἐξυρημένῃ ◦ εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ καὶ κειράσθω
εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι κατακαλυπτέ-
7 σθω ◦ ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν
8 εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων γ̣υνὴ δὲ δόξα ἀνδρός ἐστιν ◦ οὐ
9 γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς ἀλλὰ γυνὴ ἐξ ἀνδρός ◦ καὶ γὰρ οὐκ
10 ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα ◦ διὰ
τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς
11 ἀγγέλους ◦ πλὴν οὔτε ἀνὴρ˚ χωρὶς γυναικὸς οὔτε γυνὴ χωρὶς
12 ἀνδρὸς ἐν κυρίῳ ◦ ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς οὕτως καὶ
13 ὁ ἀνὴρ διὰ τῆς γυναικὸς τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ ◦ ἐν ὑμῖν
αὐτοῖς κρίνατε πρέπον ἐστὶν γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ
14 προσεύχεσθαι ◦ ἢ˚ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς ὅτι ἀνὴρ
15 μὲν ἐὰν κομᾷ ἀτιμία αὐτῷ ἐστιν ◦ γυνὴ δὲ ἐὰν κομᾷ δόξα αὐτῇ
16 ἐστιν ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτ̣ῇ̣ ◦ εἰ δέ τις δοκεῖ
φιλόνεικος εἶναι ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν οὐδὲ αἱ
17 ἐκκλησίαι τοῦ θεοῦ ◦ τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ ὅτι οὐκ
18 εἰς τὸ κρεῖττον˚ ἀλλ᾽ εἰς τὸ ἧ̣ττον συνέρχεσθε ◦ πρῶτον μὲν γὰρ
συνερχομένων ὑμῶν ἐν τ̣ῇ̣ ἐκκλησίᾳ ἀκούω σχίσματα ἐν ὑμῖν
19 ὑπάρχειν καὶ μέρος τι πιστεύω ◦ δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν
20 εἶναι ἵνα̊ οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν ◦ συνερχομένων
21 οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ οὐκ ἔστιν κυριακὸν δεῖπνον φαγεῖν ◦ ἕκα-
στος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν καὶ ὃς μὲν
22 πεινᾷ ὃς δὲ μεθύει ◦ μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ
πίνειν ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε καὶ καταισχύ-
νετε τοὺς μὴ ἔχοντας τί ὑμῖν˚ εἴπω ἐπαινέσω ὑμᾶς ἐν τούτῳ οὐκ
23 ἐπαινῶ ◦ ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου ὃ καὶ παρέδωκα
ὑμῖν ὅτι ὁ κύριος ἰησοῦς ἐν τ̣ῇ̣ νυκτὶ ᾗ̣ παρεδίδ̣ο̣τ̣ο ἔλαβεν ἄρ-
24 τον ◦ καὶ εὐχαριστήσας ἔκλασεν καὶ εἶπεν λάβετε˚ φάγετε τοῦτό
μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμ̣ενον τοῦτο ποιεῖτε εἰς
25 τὴν ἐμὴν ἀνάμνησιν ◦ ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆ-

v.3 𝕋*: χριστου, 𝕍: του χριστου. **v.5** 𝕋*: εαυτης, 𝕍: αυτης. **v.7** 𝕋*: γυνη, 𝕍: η γυνη. **v.11** 𝕋*: ανηρ χωρις γυναικος ουτε γυνη χωρις ανδρος, 𝕍: γυνη χωρις ανδρος ουτε ανηρ χωρις γυναικος. **v.14** 𝕋*: η ουδε αυτη η φυσις, 𝕍: ουδε η φυσις αυτη. **v.15** 𝕋 𝕂: αυτη, 𝕄: ∅, 𝕍: [αυτη]. **v.17** 𝕋*: κρειττον αλλ εις το ηττον, 𝕍: κρεισσον αλλα εις το ησσον. **v.18** 𝕋 𝕂: τη, 𝕄 𝕍: ∅. **v.19** 𝕋*: ινα, 𝕍: ινα [και]. **v.22** 𝕋*: υμιν ειπω, 𝕍: ειπω υμιν. **v.23** 𝕋*: παρεδιδοτο, 𝕍: παρεδιδετο. **v.24** 𝕋*: λαβετε φαγετε, 𝕍: ∅. **v.24** 𝕋*: κλωμενον, 𝕍: ∅.

σαι λέγων τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ
αἵματι τοῦτο ποιεῖτε ὁσάκις ἂν πίνητε εἰς τὴν ἐμὴν ἀνάμνησιν ◦
ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο 26
πίνητε τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε ἄχρις˚ οὗ ἂν ἔλ-
θῃ ◦ ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον ἢ πίνῃ τὸ ποτήριον τοῦ 27
κυρίου ἀναξίως˚ ἔνοχος ἔσται τοῦ σώματος κἀὶ αἵματος τοῦ κυ-
ρίου ◦ δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν καὶ οὕτως ἐκ τοῦ ἄρτου 28
ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω ◦ ὁ γὰρ ἐσθίων καὶ πίνων 29
ἀνἀξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει μὴ διακρίνων τὸ σῶμα
τοῦ˚ κυρίου ◦ διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι 30
καὶ κοιμῶνται ἱκανοί ◦ εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν οὐκ ἂν ἐκρι- 31
νόμεθα ◦ κρινόμενοι δὲ ὑπὸ κυρίου παιδευόμεθα ἵνα μὴ σὺν τῷ 32
κόσμῳ κατακριθῶμεν ◦ ὥστε ἀδελφοί μου συνερχόμενοι εἰς τὸ 33
φαγεῖν ἀλλήλους ἐκδέχεσθε ◦ εἰ δέ˚ τις πεινᾷ ἐν οἴκῳ ἐσθιέτω ἵνα 34
μὴ εἰς κρίμα συνέρχησθε τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω διατάξομαι ◦

περὶ δὲ τῶν πνευματικῶν ἀδελφοὶ οὐ θέλω ὑμᾶς ἀγνοεῖν ◦ **12**
οἴδατε ὅτι ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε 2
ἀπαγόμενοι ◦ διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λα- 3
λῶν λέγει ἀνάθεμα ἰησοῦν˚ καὶ οὐδεὶς δύναται εἰπεῖν κύριον˚
ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ ◦ διαιρέσεις δὲ χαρισμάτων εἰσὶν 4
τὸ δὲ αὐτὸ πνεῦμα ◦ καὶ διαιρέσεις διακονιῶν εἰσὶν καὶ ὁ αὐ- 5
τὸς κύριος ◦ καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν ὁ δὲ αὐτός ἐστιν 6
θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν ◦ ἑκάστῳ δὲ δίδοται ἡ φα- 7
νέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον ◦ ᾧ˜ μὲν γὰρ διὰ τοῦ 8
πνεύματος δίδοται λόγος σοφίας ἄλλῳ δὲ λόγος γνώσεως κατὰ
τὸ αὐτὸ πνεῦμα ◦ ἑτέρῳ δὲ˚ πίστις ἐν τῷ αὐτῷ πνεύματι ἄλλῳ δὲ 9
χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ˜ πνεύματι ◦ ἄλλῳ δὲ ἐνεργήματα 10
δυνάμεων ἄλλῳ δὲ προφητεία ἄλλῳ δὲ διακρίσεις πνευμάτων
ἑτέρῳ δὲ˚ γένη γλωσσῶν ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν ◦ πάντα δὲ 11
ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ
καθὼς βούλεται ◦ καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστιν καὶ μέλη ἔχει˚ 12
πολλὰ πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ˚ ἑνὸς πολλὰ ὄντα ἕν
ἐστιν σῶμα οὕτως καὶ ὁ χριστός ◦ καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς 13
πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν εἴτε ἰουδαῖοι εἴτε ἕλληνες εἴτε

---

v.25 𝕋*: αν, 𝕍: εαν. **v.26** 𝕋*: αν, 𝕍: εαν. **v.26** 𝕋*: τουτο, 𝕍: ∅. **v.26** 𝕋*: αχρις ου αν, 𝕍: αχρι ου. **v.27** 𝕋*: τουτον, 𝕍: ∅. **v.27** 𝕋 𝕂 𝕍: αναξιως, 𝕄: αναξιως του κυριου. **v.27** 𝕋 𝕂: και, 𝕄 𝕍: και του. **v.29** 𝕋*: αναξιως, 𝕍: ∅. **v.29** 𝕋*: του κυριου, 𝕍: ∅. **v.31** 𝕋*: γαρ, 𝕍: δε. **v.32** 𝕋*: υπο, 𝕍: υπο [του]. **v.34** 𝕋*: δε, 𝕍: ∅. **12.v.2** 𝕋 𝕂: οτι, 𝕄 𝕍: οτι οτε. **v.3** 𝕋*: ιησουν, 𝕍: ιησους. **v.3** 𝕋*: κυριον ιησουν, 𝕍: κυριος ιησους. **v.6** 𝕋*: εστιν, 𝕍: ∅. **v.9** 𝕋*: δε, 𝕍: ∅. **v.9** 𝕋*: αυτω, 𝕍: ενι. **v.10** 𝕋*: δε, 𝕍: ∅. **v.12** 𝕋*: εχει πολλα, 𝕍: πολλα εχει. **v.12** 𝕋*: του ενος, 𝕍: ∅.

δοῦλοι εἴτε ἐλεύθεροι καὶ πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν ◦
14, 15 καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος ἀλλὰ πολλά ◦ ἐὰν εἴπῃ ὁ
πούς ὅτι οὐκ εἰμὶ χεὶρ οὐκ εἰμὶ ἐκ τοῦ σώματος οὐ παρὰ τοῦτο
16 οὐκ ἔστιν ἐκ τοῦ σώματος ◦ καὶ ἐὰν εἴπῃ τὸ οὖς ὅτι οὐκ εἰμὶ ὀ-
φθαλμὸς οὐκ εἰμὶ ἐκ τοῦ σώματος οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ
17 τοῦ σώματος ◦ εἰ ὅλον τὸ σῶμα ὀφθαλμός ποῦ ἡ ἀκοή εἰ ὅλον
18 ἀκοὴ ποῦ ἡ ὄσφρησις ◦ νυνὶ δὲ ὁ θεὸς ἔθετο τὰ μέλη ἓν ἕκα-
19 στον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν ◦ εἰ δὲ ἦν τὰ πάντα
20 ἓν μέλος ποῦ τὸ σῶμα ◦ νῦν δὲ πολλὰ μὲν μέλη ἓν δὲ σῶμα ◦
21 οὐ δύναται δὲ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ χρείαν σου οὐκ ἔχω ἢ
22 πάλιν ἡ κεφαλὴ τοῖς ποσίν χρείαν ὑμῶν οὐκ ἔχω ◦ ἀλλὰ πολλῷ
μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν
23 ἀναγκαῖά ἐστιν ◦ καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος
τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν καὶ τὰ ἀσχήμονα ἡμῶν
24 εὐσχημοσύνην περισσοτέραν ἔχει ◦ τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ
χρείαν ἔχει ἀλλ᾽ ὁ θεὸς συνεκέρασεν τὸ σῶμα τῷ ὑστεροῦντι
25 περισσοτέραν δοὺς τιμήν ◦ ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι ἀλλὰ
26 τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσιν τὰ μέλη ◦ καὶ εἴτε πάσχει ἓν
μέλος συμπάσχει πάντα τὰ μέλη εἴτε δοξάζεται ἓν μέλος συγ-
27 χαίρει πάντα τὰ μέλη ◦ ὑμεῖς δέ ἐστε σῶμα χριστοῦ καὶ μέλη
28 ἐκ μέρους ◦ καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον
ἀποστόλους δεύτερον προφήτας τρίτον διδασκάλους ἔπειτα δυ-
νάμεις εἶτα χαρίσματα ἰαμάτων ἀντιλήψεις κυβερνήσεις γένη
29 γλωσσῶν ◦ μὴ πάντες ἀπόστολοι μὴ πάντες προφῆται μὴ πάντες
30 διδάσκαλοι μὴ πάντες δυνάμεις ◦ μὴ πάντες χαρίσματα ἔχου-
σιν ἰαμάτων μὴ πάντες γλώσσαις λαλοῦσιν μὴ πάντες διερμη-
31 νεύουσιν ◦ ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα καὶ ἔτι καθ᾽
ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι ◦

13 ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων ἀγά-
2 πην δὲ μὴ ἔχω γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον ◦ καὶ
ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν
γνῶσιν καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν ἀγά-
3 πην δὲ μὴ ἔχω οὐθέν εἰμι ◦ καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχον-
τά μου καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι ἀγάπην
4 δὲ μὴ ἔχω οὐδὲν ὠφελοῦμαι ◦ ἡ ἀγάπη μακροθυμεῖ χρηστεύε-
ται ἡ ἀγάπη οὐ ζηλοῖ ἡ ἀγάπη οὐ περπερεύεται οὐ φυσιοῦται ◦

v.13 𝕋*: εις, 𝕍: Ø. **v.21** 𝕋 𝕂: δε, 𝕄 𝕍: δε ο. **v.24** 𝕋*: αλλ, 𝕍: αλλα. **v.24** 𝕋*: υστερουντι, 𝕍: υστερουμενω. **v.25** 𝕋 𝕂 𝕍: σχισμα, 𝕄: σχισματα. **v.28** 𝕋*: ειτα, 𝕍: επειτα. **v.28** 𝕋*: αντιληψεις, 𝕍: αντιλημψεις. **v.31** 𝕋*: κρειττονα, 𝕍: μειζονα. **13.v.2** 𝕋*: μεθιστανειν, 𝕍: μεθισταναι. **v.2** 𝕋 𝕄 𝕍: ουθεν, 𝕂: ουδεν. **v.3** 𝕋*: και εαν, 𝕍: καν. **v.3** 𝕋*: καυθησωμαι, 𝕍: καυχησωμαι.

οὐκ ἀσχημονεῖ οὐ ζητεῖ τὰ ἑαυτῆς οὐ παροξύνεται οὐ λογίζεται 5
τὸ κακόν ⸰ οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ συγχαίρει δὲ τῇ ἀληθείᾳ ⸰ 6
πάντα στέγει πάντα πιστεύει πάντα ἐλπίζει πάντα ὑπομένει ⸰ ἡ 7, 8
ἀγάπη οὐδέποτε ἐκπίπτει εἴτε δὲ προφητεῖαι καταργηθήσονται
εἴτε γλῶσσαι παύσονται εἴτε γνῶσις καταργηθήσεται ⸰ ἐκ μέρους 9
γὰρ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν ⸰ ὅταν δὲ ἔλθῃ τὸ 10
τέλειον τότε τὸ ἐκ μέρους καταργηθήσεται ⸰ ὅτε ἤμην νήπιος ὡς 11
νήπιος ἐλάλουν ὡς νήπιος ἐφρόνουν ὡς νήπιος ἐλογιζόμην ὅτε
δὲ γέγονα ἀνὴρ κατήργηκα τὰ τοῦ νηπίου ⸰ βλέπομεν γὰρ ἄρτι 12
δι᾽ ἐσόπτρου ἐν αἰνίγματι τότε δὲ πρόσωπον πρὸς πρόσωπον
ἄρτι γινώσκω ἐκ μέρους τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπε-
γνώσθην ⸰ νυνὶ δὲ μένει πίστις ἐλπὶς ἀγάπη τὰ τρία ταῦτα μείζων 13
δὲ τούτων ἡ ἀγάπη ⸰

διώκετε τὴν ἀγάπην ζηλοῦτε δὲ τὰ πνευματικὰ μᾶλλον δὲ ἵνα **14**
προφητεύητε ⸰ ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις λαλεῖ ἀλλὰ 2
τῷ Θεῷ οὐδεὶς γὰρ ἀκούει πνεύματι δὲ λαλεῖ μυστήρια ⸰ ὁ δὲ 3
προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ
παραμυθίαν ⸰ ὁ λαλῶν γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ ὁ δὲ προφη- 4
τεύων ἐκκλησίαν οἰκοδομεῖ ⸰ θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσ- 5
σαις μᾶλλον δὲ ἵνα προφητεύητε μείζων γὰρ ὁ προφητεύων ἢ
ὁ λαλῶν γλώσσαις ἐκτὸς εἰ μὴ διερμηνεύῃ ἵνα ἡ ἐκκλησία οἰ-
κοδομὴν λάβῃ ⸰ νυνὶ δὲ ἀδελφοί ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις 6
λαλῶν τί ὑμᾶς ὠφελήσω ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει
ἢ ἐν γνώσει ἢ ἐν προφητείᾳ ἢ ἐν διδαχῇ ⸰ ὅμως τὰ ἄψυχα φω- 7
νὴν διδόντα εἴτε αὐλὸς εἴτε κιθάρα ἐὰν διαστολὴν τοῖς φθόγγοις
μὴ δῷ πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον ⸰
καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ τίς παρασκευάσεται εἰς 8
πόλεμον ⸰ οὕτως καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λό- 9
γον δῶτε πῶς γνωσθήσεται τὸ λαλούμενον ἔσεσθε γὰρ εἰς ἀέρα
λαλοῦντες ⸰ τοσαῦτα εἰ τύχοι γένη φωνῶν ἐστιν ἐν κόσμῳ καὶ 10
οὐδὲν αὐτῶν ἄφωνον ⸰ ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς 11
ἔσομαι τῷ λαλοῦντι βάρβαρος καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος ⸰
οὕτως καὶ ὑμεῖς ἐπεὶ ζηλωταί ἐστε πνευμάτων πρὸς τὴν οἰκο- 12
δομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε ⸰ διόπερ ὁ λαλῶν 13
γλώσσῃ προσευχέσθω ἵνα διερμηνεύῃ ⸰ ἐὰν γὰρ προσεύχωμαι 14

v.8 𝕋*: εκπιπτει, 𝕍: πιπτει. **v.9** 𝕋 𝕂 𝕍: γαρ, 𝕄: δε. **v.10** 𝕋*: τοτε, 𝕍: ∅. **v.11** 𝕋*: ως νηπιος ελαλουν ως νηπιος εφρονουν ως νηπιος ελογιζομην οτε δε, 𝕍: ελαλουν ως νηπιος εφρονουν ως νηπιος ελογιζομην ως νηπιος οτε. **14.v.2** 𝕋*: τω, 𝕍: ∅. **v.5** 𝕋*: γαρ, 𝕍: δε. **v.5** 𝕋 𝕂 𝕍: διερμηνευη, 𝕄: διερμηνευει. **v.6** 𝕋*: νυνι, 𝕍: νυν. **v.7** 𝕋 𝕂 𝕍: δω, 𝕄: διδω. **v.8** 𝕋*: φωνην σαλπιγξ, 𝕍: σαλπιγξ φωνην. **v.10** 𝕋*: εστιν, 𝕍: εισιν. **v.10** 𝕋 𝕄: αυτων, 𝕂 𝕍: ∅. **v.13** 𝕋*: διοπερ, 𝕍: διο.

γλώσσῃ τὸ πνεῦμά μου προσεύχεται ὁ δὲ νοῦς μου ἄκαρπός
15 ἐστιν ◦ τί οὖν ἐστιν προσεύξομαι τῷ πνεύματι προσεύξομαι δὲ
16 καὶ τῷ νοΐ ψαλῶ τῷ πνεύματι ψαλῶ δὲ καὶ τῷ νοΐ ◦ ἐπεὶ ἐὰν εὐ-
λογήσῃς˚ τῷ πνεύματι ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς
ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ ἐπειδὴ τί λέγεις οὐκ οἶδεν ◦
17 σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς ἀλλ᾽ ὁ ἕτερος οὐκ οἰκοδομεῖται ◦
18 εὐχαριστῶ τῷ θεῷ μοῦ πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶ˙ ◦
19 ἀλλ᾽ ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ˚ τοῦ νοός μου λαλῆ-
σαι ἵνα καὶ ἄλλους κατηχήσω ἢ μυρίους λόγους ἐν γλώσσῃ ◦
20 ἀδελφοὶ μὴ παιδία γίνεσθε ταῖς φρεσὶν ἀλλὰ τῇ κακίᾳ νηπιά-
21 ζετε ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε ◦ ἐν τῷ νόμῳ γέγραπται ὅτι
ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ
22 καὶ οὐδ᾽ οὕτως εἰσακούσονταί μου λέγει κύριος ◦ ὥστε αἱ γλῶσ-
σαι εἰς σημεῖόν εἰσιν οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις
23 ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις ἀλλὰ τοῖς πιστεύουσιν ◦ ἐὰν
οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες γλώσσαις˚
λαλῶσιν εἰσέλθωσιν δὲ ἰδιῶται ἢ ἄπιστοι οὐκ ἐροῦσιν ὅτι μαί-
24 νεσθε ◦ ἐὰν δὲ πάντες προφητεύωσιν εἰσέλθῃ δέ τις ἄπιστος ἢ
25 ἰδιώτης ἐλέγχεται ὑπὸ πάντων ἀνακρίνεται ὑπὸ πάντων ◦ καὶ˚
οὕτως τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται καὶ οὕτως
πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ θεῷ ἀπαγγέλλων ὅτι ὁ˚
26 θεὸς ὄντως ἐν ὑμῖν ἐστιν ◦ τί οὖν ἐστιν ἀδελφοὶ ὅταν συνέρχησθε
ἕκαστος ὑμῶν ψαλμὸν ἔχει διδαχὴν ἔχει γλῶσσαν˚ ἔχει ἀποκά-
27 λυψιν ἔχει ἑρμηνείαν ἔχει πάντα πρὸς οἰκοδομὴν γενέσθω ◦ εἴτε
γλώσσῃ τις λαλεῖ κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς καὶ ἀνὰ μέρος
28 καὶ εἷς διερμηνευέτω ◦ ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς σιγάτω ἐν ἐκ-
29 κλησίᾳ ἑαυτῷ δὲ λαλείτω καὶ τῷ θεῷ ◦ προφῆται δὲ δύο ἢ τρεῖς
30 λαλείτωσαν καὶ οἱ ἄλλοι διακρινέτωσαν ◦ ἐὰν δὲ ἄλλῳ ἀποκαλυ-
31 φθῇ καθημένῳ ὁ πρῶτος σιγάτω ◦ δύνασθε γὰρ καθ᾽ ἕνα πάντες
προφητεύειν ἵνα πάντες μανθάνωσιν καὶ πάντες παρακαλῶνται ◦
32, 33 καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται ◦ οὐ γάρ ἐστιν
ἀκαταστασίας ὁ θεὸς ἀλλ᾽ εἰρήνης ὡς ἐν πάσαις ταῖς ἐκκλησί-
34 αις τῶν ἁγίων ◦ αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν
οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν ἀλλ᾽˚ ὑποτάσσεσθαι καθὼς

v.16 $\mathbb{T}^*$: ευλογησης τω, $\mathbb{V}$: ευλογης [εν]. **v.18** $\mathbb{T}^*$: μου, $\mathbb{V}$: ∅. **v.18** $\mathbb{T}^*$: λαλων, $\mathbb{V}$: λαλω. **v.19** $\mathbb{T}^*$: αλλ, $\mathbb{V}$: αλλα. **v.19** $\mathbb{T}^*$: δια του νοος, $\mathbb{V}$: τω νοι. **v.21** $\mathbb{T}^*$: ετεροις, $\mathbb{V}$: ετερων. **v.23** $\mathbb{T}^*$: γλωσσαις λαλωσιν, $\mathbb{V}$: λαλωσιν γλωσσαις. **v.25** $\mathbb{T}^*$: και ουτως, $\mathbb{V}$: ∅. **v.25** $\mathbb{T}^*$: ο θεος οντως, $\mathbb{V}$: οντως ο θεος. **v.26** $\mathbb{T}^*$: υμων, $\mathbb{V}$: ∅. **v.26** $\mathbb{T}^*$: γλωσσαν εχει αποκαλυψιν, $\mathbb{V}$: αποκαλυψιν εχει γλωσσαν. **v.26** $\mathbb{T}$ $\mathbb{K}$: γενεσθω, $\mathbb{M}$ $\mathbb{V}$: γινεσθω. **v.33** $\mathbb{T}$ $\mathbb{K}$: αλλ, $\mathbb{M}$ $\mathbb{V}$: αλλα. **v.34** $\mathbb{T}^*$: υμων, $\mathbb{V}$: ∅. **v.34** $\mathbb{T}^*$: επιτετραπται, $\mathbb{V}$: επιτρεπεται. **v.34** $\mathbb{T}^*$: αλλ υποτασσεσθαι, $\mathbb{V}$: αλλα υποτασσεσθωσαν.

καὶ ὁ νόμος λέγει ◦ εἰ δέ τι μαθεῖν θέλουσιν ἐν οἴκῳ τοὺς ἰδίους 35
ἄνδρας ἐπερωτάτωσαν αἰσχρὸν γάρ ἐστιν γυναιξὶν˚ ἐν ἐκκλησίᾳ
λαλεῖν ◦ ἢ ἀφ᾽ ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν ἢ εἰς ὑμᾶς μό- 36
νους κατήντησεν ◦ εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικὸς 37
ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν ὅτι τοῦ˚ κυρίου εἰσὶν ἐντολαί ◦ εἰ δέ 38
τις ἀγνοεῖ ἀγνοείτω ◦ ὥστε ἀδελφοί ζηλοῦτε τὸ προφητεύειν καὶ 39
τὸ λαλεῖν γλώσσαις˚ μὴ κωλύετε ◦ πάντα εὐσχημόνως καὶ κατὰ 40
τάξιν γινέσθω ◦

γνωρίζω δὲ ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑ- **15**
μῖν ὃ καὶ παρελάβετε ἐν ᾧ καὶ ἑστήκατε ◦ δι᾽ οὗ καὶ σώζεσθε 2
τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε ἐκτὸς εἰ μὴ εἰκῆ ἐπι-
στεύσατε ◦ παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον ὅτι 3
χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς ◦
καὶ ὅτι ἐτάφη καὶ ὅτι ἐγήγερται τῇ˚ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γρα- 4
φάς ◦ καὶ ὅτι ὤφθη κηφᾷ εἶτα τοῖς δώδεκα ◦ ἔπειτα ὤφθη ἐπάνω 5, 6
πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ ἐξ ὧν οἱ πλείοὺς μένουσιν ἕως
ἄρτι τινὲς δὲ καὶ ἐκοιμήθησαν ◦ ἔπειτα ὤφθη ἰακώβῳ εἶτα τοῖς 7
ἀποστόλοις πᾶσιν ◦ ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤ- 8
φθη κἀμοί ◦ ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων ὃς οὐκ 9
εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος διότι ἐδίωξα τὴν ἐκκλησίαν
τοῦ θεοῦ ◦ χάριτι δὲ θεοῦ εἰμι ὅ εἰμι καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ 10
οὐ κενὴ ἐγενήθη ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα
οὐκ ἐγὼ δὲ ἀλλ᾽ ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί ◦ εἴτε οὖν ἐγὼ εἴτε 11
ἐκεῖνοι οὕτως κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε ◦ εἰ δὲ χριστὸς 12
κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται πῶς λέγουσίν τινες˚ ἐν ὑμῖν
ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν ◦ εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔ- 13
στιν οὐδὲ χριστὸς ἐγήγερται ◦ εἰ δὲ χριστὸς οὐκ ἐγήγερται κενὸν 14
ἄρα τὸ κήρυγμα ἡμῶν κενὴ δὲ˚ καὶ ἡ πίστις ὑμῶν ◦ εὑρισκόμεθα 15
δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ
θεοῦ ὅτι ἤγειρεν τὸν χριστὸν ὃν οὐκ ἤγειρεν εἴπερ ἄρα νεκροὶ
οὐκ ἐγείρονται ◦ εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται οὐδὲ χριστὸς ἐ- 16
γήγερται ◦ εἰ δὲ χριστὸς οὐκ ἐγήγερται ματαία ἡ πίστις ὑμῶν ἔτι 17
ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν ◦ ἄρα καὶ οἱ κοιμηθέντες ἐν χριστῷ 18
ἀπώλοντο ◦ εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες˚ ἐσμὲν ἐν χριστῷ μόνον 19

---

v.35 𝕋*: γυναιξιν εν εκκλησια λαλειν, 𝕍: γυναικι λαλειν εν εκκλησια. **v.37** 𝕋 𝕂: του κυριου εισιν εντολαι, 𝕄: κυριου εισιν εντολαι, 𝕍: κυριου εστιν εντολη. **v.38** 𝕋*: αγνοειτω, 𝕍: αγνοειται. **v.39** 𝕋*: αδελφοι, 𝕍: αδελφοι [μου]. **v.39** 𝕋*: γλωσσαις μη κωλυετε, 𝕍: μη κωλυετε γλωσσαις. **v.40** 𝕋*: παντα, 𝕍: παντα δε. **15.v.4** 𝕋*: τη τριτη ημερα, 𝕍: τη ημερα τη τριτη. **v.6** 𝕋*: πλειους, 𝕍: πλειονες. **v.6** 𝕋*: και, 𝕍: ∅. **v.10** 𝕋*: αλλ, 𝕍: αλλα. **v.12** 𝕋*: τινες εν υμιν, 𝕍: εν υμιν τινες. **v.14** 𝕋*: αρα, 𝕍: αρα [και]. **v.14** 𝕋*: δε, 𝕍: ∅. **v.19** 𝕋*: ηλπικοτες εσμεν εν χριστω, 𝕍: εν χριστω ηλπικοτες εσμεν.

20 ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν ⸰ νυνὶ δὲ χριστὸς ἐγήγερ-
21 ται ἐκ νεκρῶν ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο ⸰ ἐπειδὴ γὰρ
δι᾽ ἀνθρώπου ὁ᾽ θάνατος καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν ⸰
22 ὥσπερ γὰρ ἐν τῷ ἀδὰμ πάντες ἀποθνήσκουσιν οὕτως καὶ ἐν τῷ
23 χριστῷ πάντες ζωοποιηθήσονται ⸰ ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι
24 ἀπαρχὴ χριστὸς ἔπειτα οἱ χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ ⸰ εἶτα
τὸ τέλος ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρὶ ὅταν
25 καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν ⸰ δεῖ
γὰρ αὐτὸν βασιλεύειν ἄχριᾡ οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑ-
26 πὸ τοὺς πόδας αὐτοῦ ⸰ ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος ⸰
27 πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ ὅταν δὲ εἴπῃ ὅτι
πάντα ὑποτέτακται δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ
28 πάντα ⸰ ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα τότε καὶ αὐτὸς ὁ υἱ-
ὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα ἵνα ᾖ ὁ θεὸς τὰ
29 πάντα ἐν πᾶσιν ⸰ ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νε-
κρῶν εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται τί καὶ βαπτίζονται ὑπὲρ τῶν᾽
30, 31 νεκρῶν ⸰ τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν ⸰ καθ᾽ ἡμέραν
ἀποθνήσκω νὴ τὴν ἡμετέραν᾽ καύχησιν ἣν ἔχω ἐν χριστῷ ἰησοῦ
32 τῷ κυρίῳ ἡμῶν ⸰ εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν ἐφέσῳ τί
μοι τὸ ὄφελος εἰ νεκροὶ οὐκ ἐγείρονται φάγωμεν καὶ πίωμεν αὔ-
33 ριον γὰρ ἀποθνήσκομεν ⸰ μὴ πλανᾶσθε φθείρουσιν ἤθη χρήθ᾽
34 ὁμιλίαι κακαί ⸰ ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε ἀγνωσίαν
35 γὰρ θεοῦ τινες ἔχουσιν πρὸς ἐντροπὴν ὑμῖν λέγω ⸰ ἀλλ᾽ ἐρεῖ τις
36 πῶς ἐγείρονται οἱ νεκροὶ ποίῳ δὲ σώματι ἔρχονται ⸰ ἄφρον σὺ
37 ὃ σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ ⸰ καὶ ὃ σπείρεις οὐ
τὸ σῶμα τὸ γενησόμενον σπείρεις ἀλλὰ γυμνὸν κόκκον εἰ τύ-
38 χοι σίτου ἤ τινος τῶν λοιπῶν ⸰ ὁ δὲ θεὸς αὐτῷ᾽ δίδωσιν σῶμα
39 καθὼς ἠθέλησεν καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα ⸰ οὐ
πᾶσα σὰρξ ἡ αὐτὴ σὰρξ ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων ἄλλη
40 δὲ σὰρξ κτηνῶν ἄλλη δὲ ἰχθύων᾽ ἄλλη δὲ πτηνῶν ⸰ καὶ σώματα
ἐπουράνια καὶ σώματα ἐπίγεια ἀλλ᾽ ἑτέρα μὲν ἡ τῶν ἐπουρα-
41 νίων δόξα ἑτέρα δὲ ἡ τῶν ἐπιγείων ⸰ ἄλλη δόξα ἡλίου καὶ ἄλλη
δόξα σελήνης καὶ ἄλλη δόξα ἀστέρων ἀστὴρ γὰρ ἀστέρος δια-
42 φέρει ἐν δόξῃ ⸰ οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν σπείρεται

v.20 𝕋*: εγενετο, 𝕍: ∅. **v.21** 𝕋*: ο, 𝕍: ∅. **v.23** 𝕋 𝕂: χριστου, 𝕄 𝕍: του χριστου. **v.24** 𝕋*: παραδω, 𝕍: παραδιδω. **v.25** 𝕋*: αχρις, 𝕍: αχρι. **v.25** 𝕋*: αν, 𝕍: ∅. **v.29** 𝕋*: των νεκρων, 𝕍: αυτων. **v.31** 𝕋: ημετεραν καυχησιν, 𝕂 𝕄: υμετεραν καυχησιν, 𝕍: υμετεραν καυχησιν [αδελφοι]. **v.33** 𝕋 𝕂: χρησθ, 𝕄 𝕍: χρηστα. **v.34** 𝕋*: λεγω, 𝕍: λαλω. **v.35** 𝕋*: αλλ, 𝕍: αλλα. **v.36** 𝕋*: αφρον, 𝕍: αφρων. **v.38** 𝕋*: αυτω διδωσιν, 𝕍: διδωσιν αυτω. **v.38** 𝕋*: το, 𝕍: ∅. **v.39** 𝕋 𝕂: σαρξ, 𝕄 𝕍: ∅. **v.39** 𝕋*: ιχθυων αλλη δε πτηνων, 𝕍: σαρξ πτηνων αλλη δε ιχθυων. **v.40** 𝕋*: αλλ, 𝕍: αλλα.

ἐν φθορᾷ ἐγείρεται ἐν ἀφθαρσίᾳ ⸓ σπείρεται ἐν ἀτιμίᾳ ἐγείρεται 43
ἐν δόξῃ σπείρεται ἐν ἀσθενείᾳ ἐγείρεται ἐν δυνάμει ⸓ σπείρεται 44
σῶμα ψυχικὸν ἐγείρεται σῶμα πνευματικὸν ἔστιν˙ σῶμα ψυχι-
κὸν καὶ ἔστιν σῶμα πνευματικόν ⸓ οὕτως καὶ γέγραπται ἐγένετο 45
ὁ πρῶτος ἄνθρωπος ἀδὰμ εἰς ψυχὴν ζῶσαν ὁ ἔσχατος ἀδὰμ
εἰς πνεῦμα ζωοποιοῦν ⸓ ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικὸν ἀλλὰ 46
τὸ ψυχικὸν ἔπειτα τὸ πνευματικόν ⸓ ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς 47
χοϊκὸς ὁ δεύτερος ἄνθρωπος ὁ˙ κύριος ἐξ οὐρανοῦ ⸓ οἷος ὁ χοϊ- 48
κὸς τοιοῦτοι καὶ οἱ χοϊκοὶ καὶ οἷος ὁ ἐπουράνιος τοιοῦτοι καὶ οἱ
ἐπουράνιοι ⸓ καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ φο- 49
ρέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου ⸓ τοῦτο δέ φημι ἀδελφοὶ 50
ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται
οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ ⸓ ἰδοὺ μυστήριον ὑμῖν 51
λέγω πάντες μὲν οὐ˙ κοιμηθησόμεθα πάντες δὲ ἀλλαγησόμεθα ⸓
ἐν ἀτόμῳ ἐν ῥιπῇ ὀφθαλμοῦ ἐν τῇ ἐσχάτῃ σάλπιγγι σαλπίσει 52
γὰρ καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι καὶ ἡμεῖς ἀλλαγησό-
μεθα ⸓ δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ 53
θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν ⸓ ὅταν δὲ τὸ φθαρτὸν τοῦτο 54
ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν
τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος κατεπόθη ὁ θάνατος εἰς
νῖκος ⸓ ποῦ σου θάνατε τὸ κέντρον˙ ποῦ σου ᾅδη τὸ νῖκος ⸓ τὸ δὲ 55, 56
κέντρον τοῦ θανάτου ἡ ἁμαρτία ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ
νόμος ⸓ τῷ δὲ θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ κυρίου 57
ἡμῶν ἰησοῦ χριστοῦ ⸓ ὥστε ἀδελφοί μου ἀγαπητοὶ ἑδραῖοι γίνε- 58
σθε ἀμετακίνητοι περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε
εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστιν κενὸς ἐν κυρίῳ ⸓

περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους ὥσπερ διέταξα ταῖς **16**
ἐκκλησίαις τῆς γαλατίας οὕτως καὶ ὑμεῖς ποιήσατε ⸓ κατὰ μίαν 2
σαββάτων ἕκαστος ὑμῶν παρ᾽ ἑαυτῷ τιθέτω θησαυρίζων ὅ τι ἂν
εὐοδῶται ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι γίνωνται ⸓ ὅταν δὲ πα- 3
ραγένωμαι οὓς ἐὰν δοκιμάσητε δι᾽ ἐπιστολῶν τούτους πέμψω
ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς ἱερουσαλήμ ⸓ ἐὰν δὲ ᾖ˙ ἄξιον τοῦ 4
κἀμὲ πορεύεσθαι σὺν ἐμοὶ πορεύσονται ⸓ ἐλεύσομαι δὲ πρὸς ὑ- 5
μᾶς ὅταν μακεδονίαν διέλθω μακεδονίαν γὰρ διέρχομαι ⸓ πρὸς 6

---

v.44 𝕋*: εστιν σωμα ψυχικον και εστιν σωμα, 𝕍: ει εστιν σωμα ψυχικον εστιν και. **v.45** 𝔼: ανθρωπος, 𝔹: ∅. **v.45** 𝔼: αδαμ, **XXX**: ∅. **v.47** 𝕋*: ο κυριος, 𝕍: ∅, **XXX**: πνευματικος. **v.49** 𝕋 𝕂 𝕍: φορεσομεν, 𝕄: φορεσωμεν. **v.50** 𝕋*: δυνανται, 𝕍: δυναται. **v.51** 𝕋*: μεν, 𝕍: ∅. **v.51** 𝔼: ου κοιμηθησομεθα παντες δε, 𝔎: κοιμηθησομεθα ου παντες δε, **XXX**: αναστησομεθα ου παντες δε. **v.55** 𝕋*: κεντρον που σου αδη το νικος, 𝕍: νικος που σου θανατε το κεντρον. **16.v.1** 𝕋*: λογιας, 𝕍: λογειας. **v.2** 𝕋*: σαββατων, 𝕍: σαββατου. **v.2** 𝕋*: αν, 𝕍: εαν. **v.2** 𝕋*: λογιαι, 𝕍: λογειαι. **v.4** 𝕋*: η αξιον, 𝕍: αξιον η.

ὑμᾶς δὲ τυχὸν παραμενῶ ἢ καὶ παραχειμάσω ἵνα ὑμεῖς με προ-
7 πέμψητε οὗ ἐὰν πορεύωμαι ⸰ οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ
ἰδεῖν ἐλπίζω δὲ ˚ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς ἐὰν ὁ κύριος
8, 9 ἐπιτρέπῃ ⸰ ἐπιμενῶ δὲ ἐν ἐφέσῳ ἕως τῆς πεντηκοστῆς ⸰ θύρα γάρ
10 μοι ἀνέῳγεν μεγάλη καὶ ἐνεργὴς καὶ ἀντικείμενοι πολλοί ⸰ ἐὰν
δὲ ἔλθῃ τιμόθεος βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς τὸ γὰρ
11 ἔργον κυρίου ἐργάζεται ὡς καὶ ˚ ἐγώ ⸰ μή τις οὖν αὐτὸν ἐξουθε-
νήσῃ προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ ἵνα ἔλθῃ πρός με ἐκδέχο-
12 μαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν ⸰ περὶ δὲ ἀπολλὼ τοῦ ἀδελφοῦ
πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελ-
φῶν καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ ἐλεύσεται δὲ ὅταν
13 εὐκαιρήσῃ ⸰ γρηγορεῖτε στήκετε ἐν τῇ πίστει ἀνδρίζεσθε κρα-
14, 15 ταιοῦσθε ⸰ πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω ⸰ παρακαλῶ δὲ ὑμᾶς
ἀδελφοὶ οἴδατε τὴν οἰκίαν στεφανᾶ ὅτι ἐστὶν ἀπαρχὴ τῆς ἀχαΐας
16 καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς ⸰ ἵνα καὶ ὑμεῖς ὑπο-
τάσσησθε τοῖς τοιούτοις καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι ⸰
17 χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ στεφανᾶ καὶ φοὐρτουνάτου καὶ ἀχαϊ-
18 κοῦ ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν ⸰ ἀνέπαυσαν γὰρ
τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν ἐπιγινώσκετε οὖν τοὺς τοιούτους ⸰
19 ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς ἀσίας ἀσπάζὸνται ὑμᾶς ἐν
κυρίῳ πολλὰ ἀκύλας καὶ πρίσκιλλα σὺν τῇ κατ᾽ οἶκον αὐτῶν
20 ἐκκλησίᾳ ⸰ ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες ἀσπάσασθε ἀλ-
21, 22 λήλους ἐν φιλήματι ἁγίῳ ⸰ ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ παύλου ⸰ εἴ
τις οὐ φιλεῖ τὸν κύριον ἰησοῦν ˚ χριστὸν ἤτω ἀνάθεμα μαρὰν ˚ ἀ-
23, 24 θά ⸰ ἡ χάρις τοῦ κυρίου ἰησοῦ χριστοῦ μεθ᾽ ὑμῶν ⸰ ἡ ἀγάπη μου
μετὰ πάντων ὑμῶν ἐν χριστῷ ἰησοῦ ἀμήν ⸰ Πρὸς ˚ κορινθίους
πρώτη ἐγράφη ἀπὸ φιλίππων διὰ στεφανᾶ καὶ φουρτουνάτου
καὶ ἀχαϊκοῦ καὶ τιμοθέου ⸰

---

v.7 $\mathbb{T}^*$: δε, $\mathbb{V}$: γαρ. **v.7** $\mathbb{T}^*$: επιτρεπη, $\mathbb{V}$: επιτρεψη. **v.10** $\mathbb{T}^*$: και εγω, $\mathbb{V}$: καγω. **v.17** $\mathbb{T}^*$: φουρτουνατου, $\mathbb{V}$: φορτουνατου. **v.17** $\mathbb{T}^*$: υμων, $\mathbb{V}$: υμετερον. **v.19** $\mathbb{T}^*$: ασπαζονται, $\mathbb{V}$: ασπαζεται. **v.19** $\mathbb{T}^*$: πρισκιλλα, $\mathbb{V}$: πρισκα. **v.22** $\mathbb{T}^*$: ιησουν χριστον, $\mathbb{V}$: ∅. **v.22** $\mathbb{T}^*$: μαραν αθα, $\mathbb{V}$: μαρανα θα. **v.23** $\mathbb{T}^*$: χριστου, $\mathbb{V}$: ∅. **v.24** $\mathbb{T}^*$: αμην, $\mathbb{V}$: ∅. **v.24** $\mathbb{T}$: Προς . . . τιμοθεου, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ∅.

Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΔΕΥΤΕΡΑ˚

παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θεοῦ καὶ **1**
τιμόθεος ὁ ἀδελφὸς τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν κορίνθῳ
σὺν τοῖς ἁγίοις πᾶσιν τοῖς οὖσιν ἐν ὅλῃ τῇ ἀχαΐᾳ ◦ χάρις ὑμῖν 2
καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ◦
εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ 3
ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως ◦ ὁ πα- 4
ρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν εἰς τὸ δύνασθαι ἡμᾶς
παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως ἧς πα-
ρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ ◦ ὅτι καθὼς περισσεύει τὰ πα- 5
θήματα τοῦ χριστοῦ εἰς ἡμᾶς οὕτως διὰ˚ χριστοῦ περισσεύει καὶ
ἡ παράκλησις ἡμῶν ◦ εἴτε δὲ θλιβόμεθα ὑπὲρ τῆς ὑμῶν πα- 6
ρακλήσεως καὶ σωτηρίας τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν
παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν εἴτε˚ παρακαλούμεθα ὑπὲρ
τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία
ὑπὲρ ὑμῶν ◦ εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων 7
οὕτως καὶ τῆς παρακλήσεως ◦ οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν ἀ- 8
δελφοὶ ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ ἀσίᾳ
ὅτι καθ᾽ ὑπερβολὴν ἐβαρήθημεν˚ ὑπὲρ δύναμιν ὥστε ἐξαπορη-
θῆναι ἡμᾶς καὶ τοῦ ζῆν ◦ ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ 9
θανάτου ἐσχήκαμεν ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς ἀλλ᾽ ἐ-
πὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς ◦ ὃς ἐκ τηλικούτου θανάτου 10
ἐρρύσατο ἡμᾶς καὶ ῥύεται εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται ◦
συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει ἵνα ἐκ πολ- 11
λῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ
ὑπὲρ ἡμῶν ◦ ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶν τὸ μαρτύριον τῆς 12
συνειδήσεως ἡμῶν ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ θεοῦ οὐκ ἐν
σοφίᾳ σαρκικῇ ἀλλ᾽ ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ
περισσοτέρως δὲ πρὸς ὑμᾶς ◦ οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν ἀλλ᾽ 13
ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπιγινώσκετε ἐλπίζω δὲ ὅτι καὶ ἕως τέ-
λους ἐπιγνώσεσθε ◦ καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους ὅτι 14

𝕋: Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΔΕΥΤΕΡΑ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, 𝕄 𝕍: ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β. **1.v.1** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.5** 𝕋 𝕂: δια, 𝕄 𝕍: δια του. **v.6** 𝕋*: της, 𝕍: ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως της. **v.6** 𝕋 𝕂: ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας και η ελπις ημων βεβαια υπερ υμων, 𝕄: και η ελπις ημων βεβαια υπερ υμων ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας, 𝕍: και η ελπις ημων βεβαια υπερ υμων. **v.7** 𝕋*: ωσπερ, 𝕍: ως. **v.8** 𝕋*: ημιν, 𝕍: ∅. **v.8** 𝕋*: εβαρηθημεν υπερ δυναμιν, 𝕍: υπερ δυναμιν εβαρηθημεν. **v.10** 𝕋*: ρυεται, 𝕍: ρυσεται. **v.11** 𝕋 𝕂 𝕍: ημων, 𝕄: υμων. **v.12** 𝕋*: θεου, 𝕍: του θεου [και]. **v.13** 𝕋*: και, 𝕍: ∅.

καύχημα ὑμῶν ἐσμεν καθάπερ καὶ ὑμεῖς ἡμῶν ἐν τῇ ἡμέρᾳ
15 τοῦ κυρίοὺ ἰησοῦ ◦ καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς˚
16 ὑμᾶς ἐλθεῖν πρότερον ἵνα δευτέραν χάριν ἔχητε ◦ καὶ δι᾽ ὑμῶν
διελθεῖν εἰς μακεδονίαν καὶ πάλιν ἀπὸ μακεδονίας ἐλθεῖν πρὸς
17 ὑμᾶς καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆναι εἰς τὴν ἰουδαίαν ◦ τοῦτο οὖν
βουλευόμενος˚ μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην ἢ ἃ βουλεύο-
μαι κατὰ σάρκα βουλεύομαι ἵνα ᾖ παρ᾽ ἐμοὶ τὸ ναὶ ναὶ καὶ τὸ οὒ
18 οὔ ◦ πιστὸς δὲ ὁ θεὸς ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο
19 ναὶ καὶ οὔ ◦ ὁ γὰρ˚ τοῦ θεοῦ υἱὸς ἰησοῦς χριστὸς ὁ ἐν ὑμῖν δι᾽
ἡμῶν κηρυχθεὶς δι᾽ ἐμοῦ καὶ σιλουανοῦ καὶ τιμοθέου οὐκ ἐγέ-
20 νετο ναὶ καὶ οὒ ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν ◦ ὅσαι γὰρ ἐπαγγελίαι
θεοῦ ἐν αὐτῷ τὸ ναὶ καὶ˚ ἐν αὐτῷ τὸ ἀμὴν τῷ θεῷ πρὸς δόξαν
21 δι᾽ ἡμῶν ◦ ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς χριστὸν καὶ χρίσας
22 ἡμᾶς θεός ◦ ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα
23 τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν ◦ ἐγὼ δὲ μάρτυρα τὸν θεὸν
ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν ὅτι φειδόμενος ὑμῶν οὐκέτι
24 ἦλθον εἰς κόρινθον ◦ οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως ἀλλὰ
συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν τῇ γὰρ πίστει ἑστήκατε ◦

2 ἔκρινα δὲ˚ ἐμαυτῷ τοῦτο τὸ μὴ πάλιν ἐλθεῖν˚ ἐν λύπῃ πρὸς
2 ὑμᾶς ◦ εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς καὶ τίς ἐστιν ὁ εὐφραίνων με εἰ
3 μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ ◦ καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτὸ ἵνα μὴ
ἐλθὼν λύπην ἔχω ἀφ᾽ ὧν ἔδει με χαίρειν πεποιθὼς ἐπὶ πάντας
4 ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν ◦ ἐκ γὰρ πολλῆς θλί-
ψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων
οὐχ ἵνα λυπηθῆτε ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισ-
5 σοτέρως εἰς ὑμᾶς ◦ εἰ δέ τις λελύπηκεν οὐκ ἐμὲ λελύπηκεν ἀλλ᾽
6 ἀπὸ μέρους ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς ◦ ἱκανὸν τῷ τοιούτῳ ἡ
7 ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων ◦ ὥστε τοὐναντίον μᾶλλον ὑ-
μᾶς χαρίσασθαι καὶ παρακαλέσαι μήπως τῇ περισσοτέρᾳ λύπῃ
8 καταποθῇ ὁ τοιοῦτος ◦ διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν
9 ἀγάπην ◦ εἰς τοῦτο γὰρ καὶ ἔγραψα ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν
10 εἰ εἰς πάντα ὑπήκοοί ἐστε ◦ ᾧ δέ τι χαρίζεσθε καὶ˚ ἐγὼ καὶ γὰρ
ἐγὼ εἴ˚ τι κεχάρισμαι ᾧ κεχάρισμαι δι᾽ ὑμᾶς ἐν προσώπῳ χρι-
11 στοῦ ◦ ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ οὐ γὰρ αὐτοῦ τὰ

v.14 𝕋*: κυριου, 𝕍: κυριου [ημων]. **v.15** 𝕋 𝕂: προς υμας ελθειν προτερον, 𝕄: ελθειν προς υμας το προτερον, 𝕍: προτερον προς υμας ελθειν. **v.15** 𝕋*: εχητε, 𝕍: σχητε. **v.17** 𝕋*: βουλευομενος μη τι, 𝕍: βουλομενος μητι. **v.18** 𝕋*: εγενετο, 𝕍: εστιν. **v.19** 𝕋*: γαρ του θεου, 𝕍: του θεου γαρ. **v.20** 𝕋*: και εν αυτω, 𝕍: διο και δι αυτου. **2.v.1** 𝕋*: δε, 𝕍: γαρ. **v.1** 𝕋 𝕂: ελθειν εν λυπη προς υμας, 𝕄 𝕍: εν λυπη προς υμας ελθειν. **v.2** 𝕋*: εστιν, 𝕍: ∅. **v.3** 𝕋*: υμιν, 𝕍: ∅. **v.3** 𝕋*: εχω, 𝕍: σχω. **v.5** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.7** 𝕋: μηπως, 𝕂 𝕄 𝕍: μη πως. **v.10** 𝕋*: και εγω, 𝕍: καγω. **v.10** 𝕋*: ει τι κεχαρισμαι ω, 𝕍: ο κεχαρισμαι ει τι.

νοήματα ἀγνοοῦμεν ◦ ἐλθὼν δὲ εἰς τὴν τρωάδα εἰς τὸ εὐαγγέλιον 12
τοῦ χριστοῦ καὶ θύρας μοι ἀνεῳγμένης ἐν κυρίῳ ◦ οὐκ ἔσχηκα 13
ἄνεσιν τῷ πνεύματί μου τῷ μὴ εὑρεῖν με τίτον τὸν ἀδελφόν μου
ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλθον εἰς μακεδονίαν ◦ τῷ δὲ θεῷ 14
χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ χριστῷ καὶ τὴν ὀ-
σμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ ◦
ὅτι χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς 15
ἀπολλυμένοις ◦ οἷς μὲν ὀσμὴ θάνάτου εἰς θάνατον οἷς δὲ ὀσμὴ 16
ζῶῆς εἰς ζωὴν καὶ πρὸς ταῦτα τίς ἱκανός ◦ οὐ γάρ ἐσμεν ὡς οἱ 17
πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ θεοῦ ἀλλ᾽ ὡς ἐξ εἰλικρινείας
ἀλλ᾽ ὡς ἐκ θεοῦ κατενώπιον˚ τοῦ θεοῦ ἐν χριστῷ λαλοῦμεν ◦

ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν εἰ μὴ χρῄζομεν ὥς τι- **3**
νες συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς ἢ ἐξ ὑμῶν συστάτικῶν ◦ ἡ 2
ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν
γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων ◦ φα- 3
νερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ χριστοῦ διακονηθεῖσα ὑφ᾽ ἡμῶν
ἐγγεγραμμένη οὐ μέλανι ἀλλὰ πνεύματι θεοῦ ζῶντος οὐκ ἐν
πλαξὶν λιθίναις ἀλλ᾽ ἐν πλαξὶν καρδίᾶς σαρκίναις ◦ πεποίθησιν 4
δὲ τοιαύτην ἔχομεν διὰ τοῦ χριστοῦ πρὸς τὸν θεόν ◦ οὐχ ὅτι ἱκα- 5
νοί˚ ἐσμεν ἀφ᾽ ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν ἀλλ᾽ ἡ ἱκανό-
της ἡμῶν ἐκ τοῦ θεοῦ ◦ ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς 6
διαθήκης οὐ γράμματος ἀλλὰ πνεύματος τὸ γὰρ γράμμα ἀ-
ποκτἐίνει τὸ δὲ πνεῦμα ζωοποιεῖ ◦ εἰ δὲ ἡ διακονία τοῦ θανάτου 7
ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν δόξῃ ὥστε μὴ
δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς τὸ πρόσωπον μωὐέως
διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην ◦ πῶς 8
οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ ◦ εἰ γὰρ 9
ἡ˚ διακονίᾳ τῆς κατακρίσεως δόξα πολλῷ μᾶλλον περισσεύει
ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ ◦ καὶ γὰρ οὐδὲ δεδόξασται 10
τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης
δόξης ◦ εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης πολλῷ μᾶλλον τὸ 11
μένον ἐν δόξῃ ◦ ἔχοντες οὖν τοιαύτην ἐλπίδα πολλῇ παρρησίᾳ 12
χρώμεθα ◦ καὶ οὐ καθάπερ μωσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσω- 13
πον ἑαὐτοῦ πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς τὸ τέλος

---

v.16 𝕋*: θανατου, 𝕍: εκ θανατου. **v.16** 𝕋*: ζωης, 𝕍: εκ ζωης. **v.17** 𝕋 𝕂 𝕍: πολλοι, 𝕄: λοιποι. **v.17** 𝕋*: κατενωπιον του, 𝕍: κατεναντι. **3.v.1** 𝕋 𝕄: ει, 𝕂 𝕍: η. **v.1** 𝕋*: συστατικων, 𝕍: ∅. **v.3** 𝕋 𝕂: καρδιας, 𝕄 𝕍: καρδιαις. **v.5** 𝕋*: ικανοι εσμεν αφ εαυτων, 𝕍: αφ εαυτων ικανοι εσμεν. **v.6** 𝕋 𝕂: αποκτεινει, 𝕄: αποκτενει, 𝕍: αποκτεννει. **v.7** 𝕋*: εν, 𝕍: ∅. **v.7** 𝕋 𝕂: μωσεως, 𝕄 𝕍: μωυσεως. **v.9** 𝕋*: η, 𝕍: τη. **v.9** 𝕋*: εν, 𝕍: ∅. **v.10** 𝕋 𝕂: ουδε, 𝕄 𝕍: ου. **v.10** 𝕋*: ενεκεν, 𝕍: εινεκεν. **v.13** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.13** 𝕋*: εαυτου, 𝕍: αυτου.

14 τοῦ καταργουμένου ⸂ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα αὐτῶν ἄχρι γὰρ
τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς
διαθήκης μένει μὴ ἀνακαλυπτόμενον ὅ˚ τι ἐν χριστῷ καταρ-
15 γεῖται ⸂ἀλλ᾽ ἕως σήμερον ἡνίκα ἀναγινώσκεται μωσῆς κάλυμμα
16 ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται ⸂ἡνίκα δ˚ ἂν ἐπιστρέψῃ πρὸς κύ-
17 ριον περιαιρεῖται τὸ κάλυμμα ⸂ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν οὗ
18 δὲ τὸ πνεῦμα κυρίου ἐκεῖ ἐλευθερία ⸂ἡμεῖς δὲ πάντες ἀνακε-
καλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι τὴν
αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν καθάπερ
ἀπὸ κυρίου πνεύματος ⸂

4 διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην καθὼς ἠλεήθημεν
2 οὐκ ἐκκακοῦμεν ⸂ἀλλ᾽ ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης μὴ
περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες τὸν λόγον τοῦ θε-
οῦ ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς
3 πᾶσαν συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ θεοῦ ⸂εἰ δὲ καὶ ἔστιν
κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν ἐν τοῖς ἀπολλυμένοις ἐστὶν
4 κεκαλυμμένον ⸂ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσεν τὰ
νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν
τοῦ εὐαγγελίου τῆς δόξης τοῦ χριστοῦ ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ ⸂
5 οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν ἀλλὰ χριστὸν˚ ἰησοῦν κύριον ἑαυ-
6 τοὺς δὲ δούλους ὑμῶν διὰ ἰησοῦν ⸂ὅτι ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους
φῶς λάμψαι ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν
τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ ἰησοῦ χριστοῦ ⸂
7 ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν ἵνα ἡ
8 ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ καὶ μὴ ἐξ ἡμῶν ⸂ἐν παν-
τὶ θλιβόμενοι ἀλλ᾽ οὐ στενοχωρούμενοι ἀπορούμενοι ἀλλ᾽ οὐκ
9 ἐξαπορούμενοι ⸂διωκόμενοι ἀλλ᾽ οὐκ ἐγκαταλειπόμενοι κατα-
10 βαλλόμενοι ἀλλ᾽ οὐκ ἀπολλύμενοι ⸂πάντοτε τὴν νέκρωσιν τοῦ
κυρίου ἰησοῦ ἐν τῷ σώματι περιφέροντες ἵνα καὶ ἡ ζωὴ τοῦ ἰ-
11 ησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ ⸂ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες
εἰς θάνατον παραδιδόμεθα διὰ ἰησοῦν ἵνα καὶ ἡ ζωὴ τοῦ ἰησοῦ
12 φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν ⸂ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν
13 ἐνεργεῖται ἡ δὲ ζωὴ ἐν ὑμῖν ⸂ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πί-
στεως κατὰ τὸ γεγραμμένον ἐπίστευσα διὸ ἐλάλησα καὶ ἡμεῖς
14 πιστεύομεν διὸ καὶ λαλοῦμεν ⸂εἰδότες ὅτι ὁ ἐγείρας τὸν κύριον

v.14 𝕋*: αλλ, 𝕍: αλλα. **v.14** 𝕋*: σημερον, 𝕍: σημερον ημερας. **v.14** 𝕋 𝕂: ο τι, 𝕄 𝕍: οτι. **v.15** 𝕋*: αναγινωσκεται, 𝕍: αν αναγινωσκηται. **v.15** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.16** 𝕋*: δ αν, 𝕍: δε εαν. **v.17** 𝕋*: εκει, 𝕍: ∅. **4.v.1** 𝕋*: ἐκκακοῦμεν, 𝕍: εγκακουμεν. **v.2** 𝕋 𝕂: ἀλλ᾽, 𝕄 𝕍: αλλα. **v.2** 𝕋*: συνιστωντες, 𝕍: συνιστανοντες. **v.4** 𝕋*: αυτοις, 𝕍: ∅. **v.5** 𝕋*: χριστον ιησουν, 𝕍: ιησουν χριστον. **v.6** 𝕋*: λαμψαι, 𝕍: λαμψει. **v.10** 𝕋*: κυριου, 𝕍: ∅. **v.12** 𝕋*: μεν, 𝕍: ∅.

ἰησοῦν καὶ ἡμᾶς διὰ˚ ἰησοῦ ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν ⸰
τὰ γὰρ πάντα δι᾽ ὑμᾶς ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειό- 15
νων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ ⸰ διὸ 16
οὐκ ἐκκακοῦμεν ἀλλ᾽ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται
ἀλλ᾽ ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ ⸰ τὸ γὰρ παραυ- 17
τίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολὴν
αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν ⸰ μὴ σκοπούντων ἡμῶν 18
τὰ βλεπόμενα ἀλλὰ τὰ μὴ βλεπόμενα τὰ γὰρ βλεπόμενα πρό-
σκαιρα τὰ δὲ μὴ βλεπόμενα αἰώνια ⸰

οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους κα- **5**
ταλυθῇ οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν οἰκίαν ἀχειροποίητον αἰώ-
νιον ἐν τοῖς οὐρανοῖς ⸰ καὶ γὰρ ἐν τούτῳ στενάζομεν τὸ οἰκητή- 2
ριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες ⸰ εἴ γε καὶ 3
ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα ⸰ καὶ γὰρ οἱ ὄντες ἐν τῷ 4
σκήνει στενάζομεν βαρούμενοι ἐπ᾽ ἐπιδὴ οὐ θέλομεν ἐκδύσασθαι
ἀλλ᾽ ἐπενδύσασθαι ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς ⸰ ὁ δὲ 5
κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο θεὸς ὁ κἀι δοὺς ἡμῖν τὸν
ἀρραβῶνα τοῦ πνεύματος ⸰ θαρροῦντες οὖν πάντοτε καὶ εἰδότες 6
ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου ⸰ διὰ 7
πίστεως γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους ⸰ θαρροῦμεν δὲ καὶ 8
εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆ-
σαι πρὸς τὸν κύριον ⸰ διὸ καὶ φιλοτιμούμεθα εἴτε ἐνδημοῦντες 9
εἴτε ἐκδημοῦντες εὐάρεστοι αὐτῷ εἶναι ⸰ τοὺς γὰρ πάντας ἡμᾶς 10
φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ χριστοῦ ἵνα κομί-
σηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν
εἴτε κακόν ⸰ εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου ἀνθρώπους πεί- 11
θομεν θεῷ δὲ πεφανερώμεθα ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν
ὑμῶν πεφανερῶσθαι ⸰ οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν 12
ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν ἵνα ἔ-
χητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους καὶ οὐ καρδίᾳ ⸰ εἴτε 13
γὰρ ἐξέστημεν θεῷ εἴτε σωφρονοῦμεν ὑμῖν ⸰ ἡ γὰρ ἀγάπη τοῦ 14
χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο ὅτι εἷς ὑπὲρ πάντων
ἀπέθανεν ἄρα οἱ πάντες ἀπέθανον ⸰ καὶ ὑπὲρ πάντων ἀπέθανεν 15
ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀπο-
θανόντι καὶ ἐγερθέντι ⸰ ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν 16
κατὰ σάρκα εἰ δὲ˚ καὶ ἐγνώκαμεν κατὰ σάρκα χριστὸν ἀλλὰ νῦν

---

v.14 $\mathbb{T}^*$: δια, $\mathbb{V}$: συν. **v.16** $\mathbb{T}^*$: εκκακουμεν, $\mathbb{V}$: εγκακουμεν. **v.16** $\mathbb{T}^*$: εσωθεν, $\mathbb{V}$: εσω ημων. **5.v.3** $\mathbb{T}^*$: ενδυσαμενοι, $\mathbb{V}$: εκδυσαμενοι. **v.4** $\mathbb{T}$: επειδη, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: εφ ω. **v.5** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: κακον, $\mathbb{V}$: φαυλον. **v.12** $\mathbb{T}^*$: γαρ, $\mathbb{V}$: ∅. **v.12** $\mathbb{T}^*$: ου, $\mathbb{V}$: μη εν. **v.14** $\mathbb{T}^*$: ει, $\mathbb{V}$: ∅. **v.16** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅.

17 οὐκ᾽ ἔτι γινώσκομεν ◦ ὥστε εἴ τις ἐν χριστῷ καινὴ κτίσις τὰ ἀρ-
18 χαῖα παρῆλθεν ἰδοὺ γέγονεν καινὰ τὰ᾽ πάντα ◦ τὰ δὲ πάντα ἐκ
τοῦ θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ ἰησοῦ χριστοῦ καὶ
19 δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς ◦ ὡς ὅτι θεὸς ἦν ἐν
χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ μὴ λογιζόμενος αὐτοῖς τὰ
παραπτώματα αὐτῶν καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλ-
20 λαγῆς ◦ ὑπὲρ χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ θεοῦ παρακα-
λοῦντος δι᾽ ἡμῶν δεόμεθα ὑπὲρ χριστοῦ καταλλάγητε τῷ θεῷ ◦
21 τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν ἵνα
ἡμεῖς γινώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ ◦

6 συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χά-
2 ριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς ◦ λέγει γὰρ καιρῷ δεκτῷ ἐπήκου-
σά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι ἰδοὺ νῦν καιρὸς
3 εὐπρόσδεκτος ἰδοὺ νῦν ἡμέρα σωτηρίας ◦ μηδεμίαν ἐν μηδενὶ
4 διδόντες προσκοπὴν ἵνα μὴ μωμηθῇ ἡ διακονία ◦ ἀλλ᾽ ἐν παντὶ
συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ ἐν
5 θλίψεσιν ἐν ἀνάγκαις ἐν στενοχωρίαις ◦ ἐν πληγαῖς ἐν φυλακαῖς
6 ἐν ἀκαταστασίαις ἐν κόποις ἐν ἀγρυπνίαις ἐν νηστείαις ◦ ἐν ἁ-
γνότητι ἐν γνώσει ἐν μακροθυμίᾳ ἐν χρηστότητι ἐν πνεύματι
7 ἁγίῳ ἐν ἀγάπῃ ἀνυποκρίτῳ ◦ ἐν λόγῳ ἀληθείας ἐν δυνάμει θε-
οῦ διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν ◦
8 διὰ δόξης καὶ ἀτιμίας διὰ δυσφημίας καὶ εὐφημίας ὡς πλάνοι
9 καὶ ἀληθεῖς ◦ ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι ὡς ἀποθνή-
σκοντες καὶ ἰδοὺ ζῶμεν ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι ◦
10 ὡς λυπούμενοι ἀεὶ δὲ χαίροντες ὡς πτωχοὶ πολλοὺς δὲ πλουτί-
11 ζοντες ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες ◦ τὸ στόμα ἡμῶν
12 ἀνέῳγεν πρὸς ὑμᾶς κορίνθιοι ἡ καρδία ἡμῶν πεπλάτυνται ◦ οὐ
στενοχωρεῖσθε ἐν ἡμῖν στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑ-
13 μῶν ◦ τὴν δὲ αὐτὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω πλατύνθητε καὶ
14 ὑμεῖς ◦ μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις τίς γὰρ μετοχὴ δι-
15 καιοσύνῃ καὶ ἀνομίᾳ τίς᾽ δὲ κοινωνία φωτὶ πρὸς σκότος ◦ τίς
δὲ συμφώνησις χριστῷ πρὸς βελίαρ ἢ τίς μερὶς πιστῷ μετὰ ἀ-
16 πίστου ◦ τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων ὑμεῖς γὰρ
ναὸς θεοῦ ἐστε ζῶντος καθὼς εἶπεν ὁ θεὸς ὅτι ἐνοικήσω ἐν αὐτοῖς
καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μοι

---

v.16 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.17** 𝕋*: τα παντα, 𝕍: ∅. **v.18** 𝕋*: ιησου, 𝕍: ∅. **v.21** 𝕋*: γαρ, 𝕍: ∅. **v.21** 𝕋 𝕂: γινωμεθα, 𝕄 𝕍: γενωμεθα. **6.v.4** 𝕋*: συνιστωντες, 𝕍: συνισταντες. **v.14** 𝕋*: τις δε, 𝕍: η τις. **v.15** 𝕋*: χριστω, 𝕍: χριστου. **v.15** 𝕋 𝕄 𝕍: βελιαρ, 𝕂: βελιαλ. **v.16** 𝕋*: υμεις, 𝕍: ημεις. **v.16** 𝔼: ναος, **XXX**: ναοι. **v.16** 𝕋*: εστε, 𝕍: εσμεν. **v.16** 𝕋*: μοι, 𝕍: μου.

λαός ⸰ διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε λέγει κύριος 17
καὶ ἀκαθάρτου μὴ ἅπτεσθε κἀγὼ εἰσδέξομαι ὑμᾶς ⸰ καὶ ἔσομαι 18
ὑμῖν εἰς πατέρα καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας
λέγει κύριος παντοκράτωρ ⸰

ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας ἀγαπητοὶ καθαρίσωμεν **7**
ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἐπιτε-
λοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ ⸰ χωρήσατε ἡμᾶς οὐδένα ἠ- 2
δικήσαμεν οὐδένα ἐφθείραμεν οὐδένα ἐπλεονεκτήσαμεν ⸰ οὐ˚ 3
πρὸς κατάκρισιν λέγω προείρηκα γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡ-
μῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν ⸰ πολλή μοι παρρησία 4
πρὸς ὑμᾶς πολλή μοι καύχησις ὑπὲρ ὑμῶν πεπλήρωμαι τῇ πα-
ρακλήσει ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν ⸰
καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς μακεδονίαν οὐδεμίαν ἔσχηκεν ἄνε- 5
σιν ἡ σὰρξ ἡμῶν ἀλλ᾽ ἐν παντὶ θλιβόμενοι ἔξωθεν μάχαι ἔσωθεν
φόβοι ⸰ ἀλλ᾽ ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ὁ 6
θεὸς ἐν τῇ παρουσίᾳ τίτου ⸰ οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ 7
ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ᾽ ὑμῖν ἀναγγέλλων
ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν τὸν ὑμῶν ὀδυρμὸν τὸν ὑμῶν ζῆλον
ὑπὲρ ἐμοῦ ὥστε με μᾶλλον χαρῆναι ⸰ ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν 8
τῇ ἐπιστολῇ οὐ μεταμέλομαι εἰ καὶ μετεμελόμην βλέπω γὰρ ὅτι
ἡ ἐπιστολὴ ἐκείνη εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς ⸰ νῦν χαίρω 9
οὐχ ὅτι ἐλυπήθητε ἀλλ᾽ ὅτι ἐλυπήθητε εἰς μετάνοιαν ἐλυπήθητε
γὰρ κατὰ θεὸν ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν ⸰ ἡ γὰρ κατὰ 10
θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται
ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται ⸰ ἰδοὺ γὰρ αὐτὸ 11
τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ὑμῖν
σπουδὴν ἀλλὰ ἀπολογίαν ἀλλὰ ἀγανάκτησιν ἀλλὰ φόβον ἀλ-
λὰ ἐπιπόθησιν ἀλλὰ ζῆλον ἀλλ᾽ ἐκδίκησιν ἐν παντὶ συνεστήσατε
ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι ⸰ ἄρα εἰ καὶ ἔγραψα ὑ- 12
μῖν οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος
ἀλλ᾽ εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ὑμῶν˚ τὴν ὑπὲρ ἡ-
μῶν πρὸς ὑμᾶς ἐνώπιον τοῦ θεοῦ ⸰ διὰ τοῦτο παρακεκλήμεθα 13
ἐπὶ τῇ παρακλήσει ὑμῶν˚ περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐ-
πὶ τῇ χαρᾷ τίτου ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων
ὑμῶν ⸰ ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι οὐ κατῃσχύνθην 14
ἀλλ᾽ ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν οὕτως καὶ ἡ καύχη-

v.17 $\mathbb{T}^*$: εξελθετε, $\mathbb{V}$: εξελθατε. **7.v.3** $\mathbb{T}^*$: ου προς κατακρισιν, $\mathbb{V}$: προς κατακρισιν ου. **v.10** $\mathbb{T}^*$: κατεργαζεται, $\mathbb{V}$: εργαζεται. **v.11** $\mathbb{T}^*$: υμας, $\mathbb{V}$: ∅. **v.11** $\mathbb{T}$ $\mathbb{K}$: αλλ, $\mathbb{M}$ $\mathbb{V}$: αλλα. **v.11** $\mathbb{T}^*$: εν, $\mathbb{V}$: ∅. **v.12** $\mathbb{T}^*$: εινεκεν, $\mathbb{V}$: ενεκεν. **v.12** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$: υμων την υπερ ημων, $\mathbb{K}$: ημων την υπερ υμων. **v.13** $\mathbb{T}$ $\mathbb{K}$: επι, $\mathbb{M}$ $\mathbb{V}$: επι δε. **v.13** $\mathbb{T}$ $\mathbb{K}$: υμων περισσοτερως δε, $\mathbb{M}$: υμων περισσοτερως, $\mathbb{V}$: ημων περισσοτερως.

15 σις ἡμῶν ἡ ἐπὶ τίτου ἀλήθεια ἐγενήθη ⸰ καὶ τὰ σπλάγχνα αὐτοῦ
περισσοτέρως εἰς ὑμᾶς ἐστιν ἀναμιμνησκομένου τὴν πάντων ὑ-
16 μῶν ὑπακοὴν ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν ⸰ χαίρω
ὅτι ἐν παντὶ θαρρῶ ἐν ὑμῖν ⸰

8 γνωρίζομεν δὲ ὑμῖν ἀδελφοὶ τὴν χάριν τοῦ θεοῦ τὴν δεδο-
2 μένην ἐν ταῖς ἐκκλησίαις τῆς μακεδονίας ⸰ ὅτι ἐν πολλῇ δοκι-
μῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ βάθους
πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν˚ πλοῦτον τῆς ἁπλότητος
3 αὐτῶν ⸰ ὅτι κατὰ δύναμιν μαρτυρῶ καὶ ὑπὲρ δύναμιν αὐθαίρε-
4 τοι ⸰ μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν τὴν χάριν καὶ
τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους δέξασθαι˚ ἡ-
5 μᾶς ⸰ καὶ οὐ καθὼς ἠλπίσαμεν ἀλλ᾽ ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ
6 κυρίῳ καὶ ἡμῖν διὰ θελήματος θεοῦ ⸰ εἰς τὸ παρακαλέσαι ἡμᾶς
τίτον ἵνα καθὼς προενήρξατο οὕτως καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ
7 τὴν χάριν ταύτην ⸰ ἀλλ᾽ ὥσπερ ἐν παντὶ περισσεύετε πίστει καὶ
λόγῳ καὶ γνώσει καὶ πάσῃ σπουδῇ καὶ τῇ ἐξ ὑμῶν˚ ἐν ἡμῖν ἀ-
8 γάπῃ ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε ⸰ οὐ κατ᾽ ἐπιταγὴν
λέγω ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς καὶ τὸ τῆς ὑμετέρας ἀγάπης
9 γνήσιον δοκιμάζων ⸰ γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ ὅτι δι᾽ ὑμᾶς ἐπτώχευσεν πλούσιος ὢν ἵνα ὑμεῖς
10 τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε ⸰ καὶ γνώμην ἐν τούτῳ δίδωμι
τοῦτο γὰρ ὑμῖν συμφέρει οἵτινες οὐ μόνον τὸ ποιῆσαι ἀλλὰ καὶ
11 τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι ⸰ νυνὶ δὲ καὶ τὸ ποιῆσαι
ἐπιτελέσατε ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν οὕτως καὶ
12 τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν ⸰ εἰ γὰρ ἡ προθυμία πρόκειται καθὸ
13 ἐὰν ἔχῃ ἵτις εὐπρόσδεκτος οὐ καθὸ οὐκ ἔχει ⸰ οὐ γὰρ ἵνα ἄλλοις
ἄνεσις ὑμῖν δὲ˚ θλῖψις ἀλλ᾽ ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν
14 περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα ⸰ ἵνα καὶ τὸ ἐκείνων πε-
ρίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα ὅπως γένηται ἰσότης ⸰
15 καθὼς γέγραπται ὁ τὸ πολὺ οὐκ ἐπλεόνασεν καὶ ὁ τὸ ὀλίγον
16 οὐκ ἠλαττόνησεν ⸰ χάρις δὲ τῷ θεῷ τῷ διδόντι τὴν αὐτὴν σπου-
17 δὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ τίτου ⸰ ὅτι τὴν μὲν παράκλησιν
ἐδέξατο σπουδαιότερος δὲ ὑπάρχων αὐθαίρετος ἐξῆλθεν πρὸς
18 ὑμᾶς ⸰ συνεπέμψαμεν δὲ μετ᾽ αὐτοῦ τὸν ἀδελφὸν οὗ ὁ ἔπαι-
19 νος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν ⸰ οὐ μόνον δὲ
ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν
σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν πρὸς τὴν αὐ-

---

v.16 𝕋 𝕄 𝕍: χαιρω, 𝕂: χαιρω ουν. **8.v.2** 𝕋*: τον πλουτον, 𝕍: το πλουτος. **v.3** 𝕋*: υπερ, 𝕍: παρα. **v.4** 𝕋 𝕂: δεξασθαι ημας, 𝕄 𝕍: ∅. **v.5** 𝕋*: αλλ, 𝕍: αλλα. **v.7** 𝕋*: υμων εν ημιν, 𝕍: ημων εν υμιν. **v.12** 𝕋*: τις, 𝕍: ∅. **v.13** 𝕋*: δε, 𝕍: ∅. **v.16** 𝕋*: διδοντι, 𝕍: δοντι.

τοῦ τοῦ κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν ⸰ στελλόμενοι τοῦτο 20
μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ
ὑφ᾽ ἡμῶν ⸰ προνοούμενοι˚ καλὰ οὐ μόνον ἐνώπιον κυρίου ἀλλὰ 21
καὶ ἐνώπιον ἀνθρώπων ⸰ συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν 22
ἡμῶν ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα
νυνὶ δὲ πολὺ σπουδαιότερον πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς ⸰
εἴτε ὑπὲρ τίτου κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργὸς εἴτε ἀδελ- 23
φοὶ ἡμῶν ἀπόστολοι ἐκκλησιῶν δόξα χριστοῦ ⸰ τὴν οὖν ἔνδειξιν 24
τῆς ἀγάπης ὑμῶν καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν εἰς αὐτοὺς
ἐνδείξασθε˚ καὶ εἰς πρόσωπον τῶν ἐκκλησιῶν ⸰

περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοί **9**
ἐστιν τὸ γράφειν ὑμῖν ⸰ οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν ἣν ὑπὲρ 2
ὑμῶν καυχῶμαι μακεδόσιν ὅτι ἀχαΐα παρεσκεύασται ἀπὸ πέ-
ρυσι καὶ ὁ˚ ἐξ ὑμῶν ζῆλος ἠρέθισεν τοὺς πλείονας ⸰ ἔπεμψα δὲ 3
τοὺς ἀδελφοὺς ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενω-
θῇ ἐν τῷ μέρει τούτῳ ἵνα καθὼς ἔλεγον παρεσκευασμένοι ἦτε ⸰
μή πως ἐὰν ἔλθωσιν σὺν ἐμοὶ μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀ- 4
παρασκευάστους καταισχυνθῶμεν ἡμεῖς ἵνα μὴ λέγωμεν ὑμεῖς
ἐν τῇ ὑποστάσει ταύτῃ τῆς˚ καυχήσεως ⸰ ἀναγκαῖον οὖν ἡγησά- 5
μην παρακαλέσαι τοὺς ἀδελφοὺς ἵνα προέλθωσιν εἰς ὑμᾶς καὶ
προκαταρτίσωσιν τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν ταύ-
την ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν καὶ μὴ ὥσπερ πλεονεξίαν ⸰
τοῦτο δὲ ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει καὶ ὁ 6
σπείρων ἐπ᾽ εὐλογίαις ἐπ᾽ εὐλογίαις καὶ θερίσει ⸰ ἕκαστος καθὼς 7
προᾄρεῖται τῇ καρδίᾳ μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης ἱλαρὸν γὰρ
δότην ἀγαπᾷ ὁ θεός ⸰ δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν περισσεῦ- 8
σαι εἰς ὑμᾶς ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες
περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν ⸰ καθὼς γέγραπται ἐσκόρπι- 9
σεν ἔδωκεν τοῖς πένησιν ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰ-
ῶνα ⸰ ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶ- 10
σιν χορηγήσαι˚ καὶ πληθύναι τὸν σπόρον ὑμῶν καὶ αὐξήσαι τὰ
γενήματα τῆς δικαιοσύνης ὑμῶν ⸰ ἐν παντὶ πλουτιζόμενοι εἰς 11
πᾶσαν ἁπλότητα ἥτις κατεργάζεται δι᾽ ἡμῶν εὐχαριστίαν τῷ θε-
ῷ ⸰ ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶν προσα- 12
ναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων ἀλλὰ καὶ περισσεύουσα

v.19 𝕋 𝕂: υμων, 𝕄 𝕍: ημων. **v.21** 𝕋*: προνοουμενοι, 𝕍: προνοουμεν γαρ. **v.24** 𝕋 𝕂: ενδειξασθε και, 𝕄: ενδειξασθε, 𝕍: ενδεικνυμενοι. **9.v.2** 𝕋*: ο εξ, 𝕍: το. **v.4** 𝕋*: λεγωμεν, 𝕍: λεγω. **v.4** 𝕋*: της καυχησεως, 𝕍: ∅. **v.5** 𝕋*: προκατηγγελμενην, 𝕍: προεπηγγελμενην. **v.5** 𝕋 𝕂: ωσπερ, 𝕄 𝕍: ως. **v.7** 𝕋*: προαιρειται, 𝕍: προηρηται. **v.8** 𝕋*: δυνατος, 𝕍: δυνατει. **v.10** 𝕋*: σπερμα, 𝕍: σπορον. **v.10** 𝕋*: χορηγησαι και πληθυναι, 𝕍: χορηγησει και πληθυνει. **v.10** 𝕋*: αυξησαι, 𝕍: αυξησει. **v.10** 𝕋 𝕂: γεννηματα, 𝕄 𝕍: γενηματα.

διὰ πολλῶν εὐχαριστιῶν τῷ θεῷ ◦ διὰ τῆς δοκιμῆς τῆς διακονίας
ταύτης δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑ-
μῶν εἰς τὸ εὐαγγέλιον τοῦ χριστοῦ καὶ ἁπλότητι τῆς κοινωνίας
εἰς αὐτοὺς καὶ εἰς πάντας ◦ καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιπο-
θούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ᾽ ὑμῖν ◦
χάρις δὲ˚ τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ ◦

10 αὐτὸς δὲ ἐγὼ παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος καὶ
ἐπιεικείας τοῦ χριστοῦ ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν
ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς ◦ δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ
πεποιθήσει ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους
ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας ◦ ἐν σαρκὶ γὰρ περιπατοῦν-
τες οὐ κατὰ σάρκα στρατευόμεθα ◦ τὰ γὰρ ὅπλα τῆς στρατείας
ἡμῶν οὐ σαρκικὰ ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρω-
μάτων ◦ λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον
κατὰ τῆς γνώσεως τοῦ θεοῦ καὶ αἰχμαλωτίζοντες πᾶν νόημα
εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ ◦ καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι
πᾶσαν παρακοὴν ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή ◦ τὰ κατὰ πρό-
σωπον βλέπετε εἴ τις πέποιθεν ἑαυτῷ χριστοῦ εἶναι τοῦτο λογιζέ-
σθω πάλιν ἀφ᾽ ἑαυτοῦ ὅτι καθὼς αὐτὸς χριστοῦ οὕτως καὶ ἡμεῖς
χριστοῦ ◦ ἐάν τε γὰρ κἀὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς
ἐξουσίας ἡμῶν ἧς ἔδωκεν ὁ κύριος ἡμῖν εἰς οἰκοδομὴν καὶ οὐκ
εἰς καθαίρεσιν ὑμῶν οὐκ αἰσχυνθήσομαι ◦ ἵνα μὴ δόξω ὡς ἂν
ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν ◦ ὅτι αἱ μὲν˚ ἐπιστολαὶ φησὶν
βαρεῖαι καὶ ἰσχυραὶ ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς καὶ ὁ
λόγος ἐξουθενημένος ◦ τοῦτο λογιζέσθω ὁ τοιοῦτος ὅτι οἷοί ἐσμεν
τῷ λόγῳ δι᾽ ἐπιστολῶν ἀπόντες τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ ◦
οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισιν τῶν ἑαυ-
τοὺς συνιστανόντων ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες
καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς οὐ συνιοῦσιν ◦ ἡμεῖς δὲ οὐχὶ
εἰς τὰ ἄμετρα καυχησόμεθα ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος
οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς μέτρου ἐφικέσθαι ἄχρι καὶ ὑμῶν ◦ οὐ
γὰρ ὡς μὴ ἐφικνούμενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν ἑαυτοὺς ἄχρι
γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ ◦ οὐκ εἰς
τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις ἐλπίδα δὲ ἔχοντες
αὐξανομένης τῆς πίστεως ὑμῶν ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν
κανόνα ἡμῶν εἰς περισσείαν ◦ εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγε-
λίσασθαι οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι ◦ ὁ

v.15 $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅. **10.v.1** $\mathbb{T}^*$: πραοτητος, $\mathbb{V}$: πραυτητος. **v.7** $\mathbb{T}^*$: αφ, $\mathbb{V}$: εφ. **v.7** $\mathbb{T}^*$: χριστου, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}^*$: ημιν, $\mathbb{V}$: ∅. **v.10** $\mathbb{T}^*$: μεν επιστολαι, $\mathbb{V}$: επιστολαι μεν. **v.12** $\mathbb{T}^*$: συνιουσιν, $\mathbb{V}$: συνιασιν. **v.13** $\mathbb{T}^*$: ουχι, $\mathbb{V}$: ουκ.

δὲ καυχώμενος ἐν κυρίῳ καυχάσθω ⸰ οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν 18
ἐκεῖνός ἐστιν δόκιμος ἀλλ᾽ ὃν ὁ κύριος συνίστησιν ⸰

ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ˚ ἀφροσύνῃ ἀλλὰ καὶ ἀνέ- **11**
χεσθέ μου ⸰ ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ ἡρμοσάμην γὰρ ὑμᾶς 2
ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ χριστῷ ⸰ φοβοῦμαι δὲ 3
μή πως ὡς ὁ ὄφις εὔαν˚ ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ
οὕτως φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος˚ τῆς εἰς τὸν
χριστόν ⸰ εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον ἰησοῦν κηρύσσει ὃν 4
οὐκ ἐκηρύξαμεν ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε ἢ
εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε καλῶς ἠνείχεσθε ⸰ λογίζομαι 5
γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ˚ λίαν ἀποστόλων ⸰ εἰ δὲ καὶ 6
ἰδιώτης τῷ λόγῳ ἀλλ᾽ οὐ τῇ γνώσει ἀλλ᾽ ἐν παντὶ φανερῶθέντες
ἐν πᾶσιν εἰς ὑμᾶς ⸰ ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν ἵνα 7
ὑμεῖς ὑψωθῆτε ὅτι δωρεὰν τὸ τοῦ θεοῦ εὐαγγέλιον εὐηγγελισά-
μην ὑμῖν ⸰ ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν 8
ὑμῶν διακονίαν ⸰ καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς οὐ κα- 9
τενάρκησα οὐδενός˚ τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν οἱ
ἀδελφοὶ ἐλθόντες ἀπὸ μακεδονίας καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν˚ ἐ-
μαυτὸν ἐτήρησα καὶ τηρήσω ⸰ ἔστιν ἀλήθεια χριστοῦ ἐν ἐμοὶ ὅτι 10
ἡ καύχησις αὕτη οὐ φραγίσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασιν τῆς
ἀχαΐας ⸰ διατὶ ὅτι οὐκ ἀγαπῶ ὑμᾶς ὁ θεὸς οἶδεν ⸰ ὃ δὲ ποιῶ καὶ 11, 12
ποιήσω ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν ἵνα ἐν
ᾧ καυχῶνται εὑρεθῶσιν καθὼς καὶ ἡμεῖς ⸰ οἱ γὰρ τοιοῦτοι ψευ- 13
δαπόστολοι ἐργάται δόλιοι μετασχηματιζόμενοι εἰς ἀποστόλους
χριστοῦ ⸰ καὶ οὐ θαυμαστὸν αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματί- 14
ζεται εἰς ἄγγελον φωτός ⸰ οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ 15
μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης ὧν τὸ τέλος ἔσται
κατὰ τὰ ἔργα αὐτῶν ⸰ πάλιν λέγω μή τίς με δόξῃ ἄφρονα εἶναι εἰ 16
δὲ μή γε κἂν ὡς ἄφρονα δέξασθέ με ἵνα μικρόν˚ τι κἀγὼ καυ-
χήσωμαι ⸰ ὃ λαλῶ οὐ λαλῶ˚ κατὰ κύριον ἀλλ᾽ ὡς ἐν ἀφροσύνῃ 17
ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως ⸰ ἐπεὶ πολλοὶ καυχῶνται 18
κατὰ τὴν σάρκα κἀγὼ καυχήσομαι ⸰ ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀ- 19
φρόνων φρόνιμοι ὄντες ⸰ ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ εἴ 20

---

v.18 𝕋*: συνιστων, 𝕍: συνιστανων. **v.18** 𝕋*: αλλ, 𝕍: αλλα. **11.v.1** 𝕋*: τη αφροσυνη, 𝕍: τι αφροσυνης. **v.3** 𝕋*: ευαν εξηπατησεν, 𝕍: εξηπατησεν ευαν. **v.3** 𝕋*: ουτως, 𝕍: ∅. **v.3** 𝕋*: απλοτητος, 𝕍: απλοτητος [και της αγνοτητος]. **v.4** 𝕋 𝕂: ηνειχεσθε, 𝕄: ανειχεσθε, 𝕍: ανεχεσθε. **v.5** 𝕋*: υπερ λιαν, 𝕍: υπερλιαν. **v.6** 𝕋*: φανερωθεντες, 𝕍: φανερωσαντες. **v.9** 𝕋*: ουδενος, 𝕍: ουθενος. **v.9** 𝕋*: υμιν εμαυτον, 𝕍: εμαυτον υμιν. **v.10** 𝕋: σφραγισεται, 𝕂 𝕄 𝕍: φραγησεται. **v.11** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.14** 𝕋*: θαυμαστον, 𝕍: θαυμα. **v.16** 𝕋 𝕂: μικρον τι καγω, 𝕄 𝕍: καγω μικρον τι. **v.17** 𝕋*: λαλω κατα κυριον, 𝕍: κατα κυριον λαλω. **v.18** 𝕋*: την, 𝕍: ∅.

τις κατεσθίει εἴ τις λαμβάνει εἴ τις ἐπαίρεται εἴ τις ὑμᾶς˚ εἰς πρό-
21 σωπον δέρει ◦ κατὰ ἀτιμίαν λέγω ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν ἐν ᾧ
22 δ᾽ ἄν τις τολμᾷ ἐν ἀφροσύνῃ λέγω τολμῶ κἀγώ ◦ ἑβραῖοί εἰσιν κἀ-
23 γὼ ἰσραηλῖταί εἰσιν κἀγὼ σπέρμα ἀβραάμ εἰσιν κἀγώ ◦ διάκονοι
χριστοῦ εἰσιν παραφρονῶν λαλῶ ὑπὲρ ἐγὼ ἐν κόποις περισσοτέ-
ρως ἐν πληγαῖς˚ ὑπερβαλλόντως ἐν φυλακαῖς περισσοτέρως ἐν
24 θανάτοις πολλάκις ◦ ὑπὸ ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ
25 μίαν ἔλαβον ◦ τρὶς ἐρραβδίσθην ἅπαξ ἐλιθάσθην τρὶς ἐναυάγησα
26 νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα ◦ ὁδοιπορίαις πολλάκις κιν-
δύνοις ποταμῶν κινδύνοις λῃστῶν κινδύνοις ἐκ γένους κινδύ-
νοις ἐξ ἐθνῶν κινδύνοις ἐν πόλει κινδύνοις ἐν ἐρημίᾳ κινδύνοις
27 ἐν θαλάσσῃ κινδύνοις ἐν ψευδαδέλφοις ◦ ἐν˙ κόπῳ καὶ μόχθῳ
ἐν ἀγρυπνίαις πολλάκις ἐν λιμῷ καὶ δίψει ἐν νηστείαις πολλά-
28 κις ἐν ψύχει καὶ γυμνότητι ◦ χωρὶς τῶν παρεκτὸς ἡ ἐπισύστασίς˚
29 μου ἡ καθ᾽ ἡμέραν ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν ◦ τίς ἀσθε-
νεῖ καὶ οὐκ ἀσθενῶ τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι ◦
30, 31 εἰ καυχᾶσθαι δεῖ τὰ τῆς ἀσθενείας μου καυχήσομαι ◦ ὁ θεὸς καὶ
πατὴρ τοῦ κυρίου ἡμῶν˚ ἰησοῦ χριστοῦ οἶδεν ὁ ὢν εὐλογητὸς
32 εἰς τοὺς αἰῶνας ὅτι οὐ ψεύδομαι ◦ ἐν δαμασκῷ ὁ ἐθνάρχης ἀ-
ρέτα τοῦ βασιλέως ἐφρούρει τὴν δαμασκηνῶν˚ πόλιν πιάσαι με
33 θέλων ◦ καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους
καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ ◦

12 καυχᾶσθαι δὴ˚ οὐ συμφέρει μοι ἐλεύσομαι γὰρ εἰς ὀπτασίας
2 καὶ ἀποκαλύψεις κυρίου ◦ οἶδα ἄνθρωπον ἐν χριστῷ πρὸ ἐτῶν
δεκατεσσάρων εἴτε ἐν σώματι οὐκ οἶδα εἴτε ἐκτὸς τοῦ σώμα-
τος οὐκ οἶδα ὁ θεὸς οἶδεν ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου
3 οὐρανοῦ ◦ καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον εἴτε ἐν σώματι εἴτε
4 ἐκτὸς τοῦ σώματος οὐκ οἶδα ὁ θεὸς οἶδεν ◦ ὅτι ἡρπάγη εἰς τὸν
παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώ-
5 πῳ λαλῆσαι ◦ ὑπὲρ τοῦ τοιούτου καυχήσομαι ὑπὲρ δὲ ἐμαυτοῦ
6 οὐ καυχήσομαι εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου ◦ ἐὰν γὰρ θελήσω
καυχήσασθαι οὐκ ἔσομαι ἄφρων ἀλήθειαν γὰρ ἐρῶ φείδομαι
δὲ μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ
7 ἐμοῦ ◦ καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι

---

v.20 𝕋*: υμας εις προσωπον, 𝕍: εις προσωπον υμας. **v.21** 𝕋*: ησθενησαμεν, 𝕍: ησθενηκαμεν. **v.23** 𝕋*: πληγαις υπερβαλλοντως εν φυλακαις περισσοτερως, 𝕍: φυλακαις περισσοτερως εν πληγαις υπερβαλλοντως. **v.24** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.25** 𝕋 𝕂 𝕍: ερραβδισθην, 𝕄: εραβδισθην. **v.27** 𝕋*: εν, 𝕍: ∅. **v.28** 𝕋*: επισυστασις μου, 𝕍: επιστασις μοι. **v.31** 𝕋 𝕂: ημων ιησου χριστου, 𝕄: ιησου χριστου, 𝕍: ιησου. **v.32** 𝕋*: δαμασκηνων πολιν πιασαι με θελων, 𝕍: πολιν δαμασκηνων πιασαι με. **12.v.1** 𝕋*: δη ου συμφερει μοι ελευσομαι γαρ, 𝕍: δει ου συμφερον μεν ελευσομαι δε. **v.3** 𝕋*: εκτος, 𝕍: χωρις. **v.5** 𝕋*: μου, 𝕍: ∅. **v.7** 𝕋*: ινα, 𝕍: διο ινα.

ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος σατᾶν ἵνα με κολαφίζῃ ἵνα
μὴ ὑπεραίρωμαι ◦ ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα ἵνα 8
ἀποστῇ ἀπ᾽ ἐμοῦ ◦ καὶ εἴρηκέν μοι ἀρκεῖ σοι ἡ χάρις μου ἡ γὰρ 9
δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις
τοῦ χριστοῦ ◦ διὸ εὐδοκῶ ἐν ἀσθενείαις ἐν ὕβρεσιν ἐν ἀνάγκαις 10
ἐν διωγμοῖς ἐν στενοχωρίαις ὑπὲρ χριστοῦ ὅταν γὰρ ἀσθενῶ τότε
δυνατός εἰμι ◦ γέγονα ἄφρων καυχώμενος ὑμεῖς με ἠναγκάσατε 11
ἐγὼ γὰρ ὤφειλον ὑφ᾽ ὑμῶν συνίστασθαι οὐδὲν γὰρ ὑστέρησα
τῶν ὑπὲρ˚ λίαν ἀποστόλων εἰ καὶ οὐδέν εἰμι ◦ τὰ μὲν σημεῖα τοῦ 12
ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ ἐν˚ σημείοις καὶ τέρασιν καὶ δυνάμεσιν ◦ τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ 13
τὰς λοιπὰς ἐκκλησίας εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην ◦ ἰδοὺ τρίτον ἑτοίμως ἔχω 14
ἐλθεῖν πρὸς ὑμᾶς καὶ οὐ καταναρκήσω ὑμῶν οὐ γὰρ ζητῶ τὰ
ὑμῶν ἀλλ᾽ ὑμᾶς οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσιν θησαυρίζειν ἀλλ᾽ οἱ γονεῖς τοῖς τέκνοις ◦ ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ 15
ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν εἰ κἀι περισσοτέρως
ὑμᾶς ἀγαπῶν˚ ἧττον ἀγαπῶμαι ◦ ἔστω δὲ ἐγὼ οὐ κατεβάρησα ὑ- 16
μᾶς ἀλλ᾽ ὑπάρχων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον ◦ μή τινα ὧν 17
ἀπέσταλκα πρὸς ὑμᾶς δι᾽ αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς ◦ παρεκά- 18
λεσα τίτον καὶ συναπέστειλα τὸν ἀδελφὸν μή˚ τι ἐπλεονέκτησεν
ὑμᾶς τίτος οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν οὐ τοῖς αὐτοῖς
ἴχνεσιν ◦ πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα κατενώπιον˚ τοῦ 19
θεοῦ ἐν χριστῷ λαλοῦμεν τὰ δὲ πάντα ἀγαπητοὶ ὑπὲρ τῆς ὑμῶν
οἰκοδομῆς ◦ φοβοῦμαι γὰρ μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω 20
ὑμᾶς κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε μή πως ἔρεις˚ ζῆλοι θυμοὶ ἐριθεῖαι καταλαλιαὶ ψιθυρισμοὶ φυσιώσεις ἀκαταστασίαι ◦
μὴ πάλιν ἐλθόντα˚ με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς καὶ 21
πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων
ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν ◦

τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς ἐπὶ στόματος δύο μαρτύρων **13**
καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα ◦ προείρηκα καὶ προλέγω ὡς 2

---

v.7 𝕋*: σαταν, 𝕍: σατανα. **v.9** 𝕋*: μου, 𝕍: ∅. **v.9** 𝕋*: τελειουται, 𝕍: τελειται. **v.10** 𝕋*: εν, 𝕍: και. **v.11** 𝕋*: καυχωμενος, 𝕍: ∅. **v.11** 𝕋 𝕂: υπερ λιαν, 𝕄 𝕍: υπερλιαν. **v.12** 𝕋*: εν σημειοις, 𝕍: σημειοις τε. **v.13** 𝕋*: ηττηθητε, 𝕍: ησσωθητε. **v.14** 𝕋*: τριτον, 𝕍: τριτον τουτο. **v.14** 𝕋*: υμων, 𝕍: ∅. **v.14** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.14** 𝕋*: αλλ, 𝕍: αλλα. **v.15** 𝕋*: και, 𝕍: ∅. **v.15** 𝕋*: αγαπων ηττον, 𝕍: αγαπω[ν] ησσον. **v.16** 𝕋*: αλλ, 𝕍: αλλα. **v.18** 𝕋*: μη τι, 𝕍: μητι. **v.19** 𝕋*: παλιν, 𝕍: παλαι. **v.19** 𝕋*: κατενωπιον του, 𝕍: κατεναντι. **v.20** 𝕋*: ερεις ζηλοι, 𝕍: ερις ζηλος. **v.21** 𝕋 𝕂: ελθοντα με ταπεινωση, 𝕄: ελθοντα με ταπεινωσει, 𝕍: ελθοντος μου ταπεινωση με.

παρὼν τὸ δεύτερον καὶ ἀπὼν νῦν γρ̣άφω τοῖς προημαρτηκόσιν
καὶ τοῖς λοιποῖς πᾶσιν ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν οὐ φείσομαι ⸰
3 ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χριστοῦ ὃς εἰς ὑμᾶς
4 οὐκ ἀσθενεῖ ἀλλὰ δυνατεῖ ἐν ὑμῖν ⸰ καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ
ἀσθενείας ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ καὶ γ̣ὰ̣ρ̣ ἡμεῖς ἀσθενοῦμεν
ἐν αὐτῷ ἀλλὰ ζησόμεθ̣ὰ̣ σὺν αὐτῷ ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς ⸰
5 ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τ̣ῇ̣ πίστει ἑαυτοὺς δοκιμάζετε ἢ οὐκ
ἐπιγινώσκετε ἑαυτοὺς ὅτι ἰησοῦς χριστὸς ἐν ὑμῖν ἐστ̣ῖν εἰ μή˚
6 τι ἀδόκιμοί ἐστε ⸰ ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν
7 ἀδόκιμοι ⸰ εὔχομ̣ὰι δὲ πρὸς τὸν θεὸν μὴ ποιῆσαι ὑμᾶς κακὸν
μηδὲν οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν ἀλλ᾽ ἵνα ὑμεῖς τὸ καλὸν
8 ποιῆτε ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦ̃μεν ⸰ οὐ γὰρ δυνάμεθά τι κατὰ
9 τῆς ἀληθείας ἀλλ̣᾽ ὑπὲρ τῆς ἀληθείας ⸰ χαίρομεν γὰρ ὅταν ἡμεῖς
ἀσθενῶμεν ὑμεῖς δὲ δυνατοὶ ἦ̃τε τοῦτο δὲ˚ καὶ εὐχόμεθα τὴν
10 ὑμῶν κατάρτισιν ⸰ διὰ τοῦτο ταῦτα ἀπὼν γράφω ἵνα παρὼν μὴ
ἀποτόμως χρήσωμαι κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέν˚ μοι ὁ κύριος
11 εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν ⸰ λοιπὸν ἀδελφοὶ χαίρετε
καταρτίζεσθε παρακαλεῖσθε τὸ αὐτὸ φρονεῖτε εἰρηνεύετε καὶ
12 ὁ θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ᾽ ὑμῶν ⸰ ἀσπάσασθε
ἀλλήλους ἐν ἁγίῳ φιλήματι ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες ⸰
13 ἡ χάρις τοῦ κυρίου ἰησοῦ χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ ἡ
κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν ἀμ̣ήν ⸰ Πρὸς˚
κορινθίους δευτέρα ἐγράφη ἀπὸ φιλίππων τῆς μακεδονίας διὰ
τίτου καὶ λουκᾶ ⸰

13.v.2 𝕋*: γραφω, 𝕍: ∅. **v.4** 𝕋*: ει, 𝕍: ∅. **v.4** 𝕋 𝕄 𝕍: γαρ, 𝕂: γαρ και. **v.4** 𝕋*: ζησομεθα, 𝕍: ζησομεν. **v.5** 𝕋*: εστιν, 𝕍: ∅. **v.5** 𝕋 𝕂: μη τι, 𝕄 𝕍: μητι. **v.7** 𝕋*: ευχομαι, 𝕍: ευχομεθα. **v.8** 𝕋*: αλλ, 𝕍: αλλα. **v.9** 𝕋*: δε, 𝕍: ∅. **v.10** 𝕋*: εδωκεν μοι ο κυριος, 𝕍: ο κυριος εδωκεν μοι. **v.13** 𝕋*: αμην, 𝕍: ∅. **v.13** 𝕋: Προς . . . λουκα, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

παῦλος ἀπόστολος οὐκ ἀπ᾽ ἀνθρώπων οὐδὲ δι᾽ ἀνθρώπου ἀλ- **1**
λὰ διὰ ἰησοῦ χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ
νεκρῶν ⸰ καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ ταῖς ἐκκλησίαις τῆς γα- 2
λατίας ⸰ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ˚ κυρίου ἡ- 3
μῶν ἰησοῦ χριστοῦ ⸰ τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν 4
ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος˚ αἰῶνος πονηροῦ κατὰ τὸ
θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν ⸰ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας 5
τῶν αἰώνων ἀμήν ⸰ θαυμάζω ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ 6
τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι χριστοῦ εἰς ἕτερον εὐαγγέλιον ⸰
ὃ οὐκ ἔστιν ἄλλο εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέ- 7
λοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ χριστοῦ ⸰ ἀλλὰ καὶ ἐὰν 8
ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζῆται ὑμῖν παρ᾽ ὃ εὐηγγε-
λισάμεθα ὑμῖν ἀνάθεμα ἔστω ⸰ ὡς προειρήκαμεν καὶ ἄρτι πάλιν 9
λέγω εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε ἀνάθεμα ἔ-
στω ⸰ ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεὸν ἢ ζητῶ ἀνθρώποις 10
ἀρέσκειν εἰ ἒτι ἀνθρώποις ἤρεσκον χριστοῦ δοῦλος οὐκ ἂν
ἤμην ⸰ γνωρίζω δὲ˚ ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν 11
ὑπ᾽ ἐμοῦ ὅτι οὐκ ἔστιν κατὰ ἄνθρωπον ⸰ οὐδὲ γὰρ ἐγὼ παρὰ ἀν- 12
θρώπου παρέλαβον αὐτὸ οὔτε ἐδιδάχθην ἀλλὰ δι᾽ ἀποκαλύψεως
ἰησοῦ χριστοῦ ⸰ ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ 13
ἰουδαϊσμῷ ὅτι καθ᾽ ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θε-
οῦ καὶ ἐπόρθουν αὐτήν ⸰ καὶ προέκοπτον ἐν τῷ ἰουδαϊσμῷ ὑπὲρ 14
πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου περισσοτέρως ζηλωτὴς
ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων ⸰ ὅτε δὲ εὐδόκησεν ὁ 15
θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου καὶ καλέσας διὰ τῆς
χάριτος αὐτοῦ ⸰ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ ἵνα εὐαγγε- 16
λίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν εὐθέως οὐ προσανεθέμην σαρκὶ
καὶ αἵματι ⸰ οὐδὲ ἀνῆλθον εἰς ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ 17
ἀποστόλους ἀλλ᾽ ἀπῆλθον εἰς ἀραβίαν καὶ πάλιν ὑπέστρεψα
εἰς δαμασκόν ⸰ ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς ἱεροσόλυμα ἱ- 18
στορῆσαι πέτρον καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε ⸰
ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον εἰ μὴ ἰάκωβον τὸν ἀδελφὸν 19

𝕋: Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, 𝕂: ΠΑΥΛΟΥ Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΓΑΛΑΤΑΣ. **1.v.3** 𝕋*: και κυριου ημων, 𝕍: ημων και κυριου. **v.4** 𝕋 𝕂 𝕍: υπερ, 𝕄: περι. **v.4** 𝕋*: ενεστωτος αιωνος, 𝕍: αιωνος του ενεστωτος. **v.8** 𝕋 𝕂 𝕍: ευαγγελιζηται, 𝕄: ευαγγελιζεται. **v.10** 𝕋*: γαρ, 𝕍: ∅. **v.11** 𝕋*: δε, 𝕍: γαρ. **v.17** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.18** 𝕋*: πετρον, 𝕍: κηφαν.

20 τοῦ κυρίου ⸰ ἃ δὲ γράφω ὑμῖν ἰδοὺ ἐνώπιον τοῦ θεοῦ ὅτι οὐ
21 ψεύδομαι ⸰ ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς συρίας καὶ τῆς κι-
22 λικίας ⸰ ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς
23 ἰουδαίας ταῖς ἐν χριστῷ ⸰ μόνον δὲ ἀκούοντες ἦσαν ὅτι ὁ διώκων
24 ἡμᾶς ποτε νῦν εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε ἐπόρθει ⸰ καὶ
ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν ⸰

2 ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς ἱεροσόλυμα
2 μετὰ βαρνάβα συμπαραλαβὼν καὶ τίτον ⸰ ἀνέβην δὲ κατὰ ἀπο-
κάλυψιν καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς
ἔθνεσιν κατ᾽ ἰδίαν δὲ τοῖς δοκοῦσιν μή πως εἰς κενὸν τρέχω ἢ
3 ἔδραμον ⸰ ἀλλ᾽ οὐδὲ τίτος ὁ σὺν ἐμοὶ ἕλλην ὢν ἠναγκάσθη πε-
4 ριτμηθῆναι ⸰ διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους οἵτινες
παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν
5 ἐν χριστῷ ἰησοῦ ἵνα ἡμᾶς καταδουλώσωνται ⸰ οἷς οὐδὲ πρὸς ὥ-
ραν εἴξαμεν τῇ ὑποταγῇ ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ
6 πρὸς ὑμᾶς ⸰ ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι ὁποῖοί ποτε ἦσαν οὐ-
δέν μοι διαφέρει πρόσωπον θεὸς ἀνθρώπου οὐ λαμβάνει ἐμοὶ
7 γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο ⸰ ἀλλὰ τοὐναντίον ἰδόντες
ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς πέτρος
8 τῆς περιτομῆς ⸰ ὁ γὰρ ἐνεργήσας πέτρῳ εἰς ἀποστολὴν τῆς πε-
9 ριτομῆς ἐνήργησεν καὶ ἐμοὶ εἰς τὰ ἔθνη ⸰ καὶ γνόντες τὴν χάριν
τὴν δοθεῖσάν μοι ἰάκωβος καὶ κηφᾶς καὶ ἰωάννης οἱ δοκοῦν-
τες στύλοι εἶναι δεξιὰς ἔδωκαν ἐμοὶ καὶ βαρνάβᾳ κοινωνίας ἵνα
10 ἡμεῖς εἰς τὰ ἔθνη αὐτοὶ δὲ εἰς τὴν περιτομήν ⸰ μόνον τῶν πτω-
χῶν ἵνα μνημονεύωμεν ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι ⸰
11 ὅτε δὲ ἦλθεν πέτρος εἰς ἀντιόχειαν κατὰ πρόσωπον αὐτῷ ἀν-
12 τέστην ὅτι κατεγνωσμένος ἦν ⸰ πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ
ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν ὅτε δὲ ἦλθον ὑπέστελλεν
13 καὶ ἀφώριζεν ἑαυτὸν φοβούμενος τοὺς ἐκ περιτομῆς ⸰ καὶ συ-
νυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ ἰουδαῖοι ὥστε καὶ βαρνάβας
14 συναπήχθη αὐτῶν τῇ ὑποκρίσει ⸰ ἀλλ᾽ ὅτε εἶδον ὅτι οὐκ ὀρθο-
ποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου εἶπον τῷ πέτρῳ
ἔμπροσθεν πάντων εἰ σὺ ἰουδαῖος ὑπάρχων ἐθνικῶς ζῇς˙ καὶ
15 οὐκ ἰουδαϊκῶς τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν ⸰ ἡμεῖς φύσει
16 ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί ⸰ εἰδότες ὅτι οὐ δικαιοῦται
ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως ἰησοῦ χριστοῦ
καὶ ἡμεῖς εἰς χριστὸν ἰησοῦν ἐπιστεύσαμεν ἵνα δικαιωθῶμεν ἐκ

2.v.4 𝕋*: καταδουλωσωνται, 𝕍: καταδουλωσουσιν. **v.6** 𝕋*: θεος, 𝕍: [ο] θεος. **v.11** 𝕋*: πετρος, 𝕍: κηφας. **v.14** 𝕋*: πετρω, 𝕍: κηφα. **v.14** 𝕋*: ζης και ουκ ιουδαικως τι, 𝕍: και ουχι ιουδαικως ζης πως. **v.16** 𝕋*: ειδοτες, 𝕍: ειδοτες [δε].

πίστεως χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου διότι˚ οὐ δικαιωθήσε-
ται ἐξ ἔργων νόμου πᾶσα σάρξ ◦ εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν 17
χριστῷ εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ ἆρα χριστὸς ἁμαρτίας
διάκονος μὴ γένοιτο ◦ εἰ γὰρ ἃ κατέλυσα ταῦτα πάλιν οἰκοδο- 18
μῶ παραβάτην ἐμαυτὸν συνίστημι ◦ ἐγὼ γὰρ διὰ νόμου νόμῳ 19
ἀπέθανον ἵνα θεῷ ζήσω ◦ χριστῷ συνεσταύρωμαι ζῶ δὲ οὐκ˚ ἔτι 20
ἐγὼ ζῇ δὲ ἐν ἐμοὶ χριστὸς ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ τῇ
τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν
ὑπὲρ ἐμοῦ ◦ οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ εἰ γὰρ διὰ νόμου 21
δικαιοσύνη ἄρα χριστὸς δωρεὰν ἀπέθανεν ◦

ὦ ἀνόητοι γαλάται τίς ὑμᾶς ἐβάσκανεν τῇ˚ ἀληθείᾳ μὴ πεί- **3**
θεσθαι οἷς κατ᾽ ὀφθαλμοὺς ἰησοῦς χριστὸς προεγράφη ἐν˚ ὑμῖν
ἐσταυρωμένος ◦ τοῦτο μόνον θέλω μαθεῖν ἀφ᾽ ὑμῶν ἐξ ἔργων νό- 2
μου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως ◦ οὕτως ἀνόητοί ἐστε 3
ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπιτελεῖσθε ◦ τοσαῦτα ἐπάθετε 4
εἰκῇ εἴ γε καὶ εἰκῇ ◦ ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα καὶ ἐ- 5
νεργῶν δυνάμεις ἐν ὑμῖν ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως ◦
καθὼς ἀβραὰμ ἐπίστευσεν τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δι- 6
καιοσύνην ◦ γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως οὗτοί εἰσιν˚ υἱοὶ 7
ἀβραάμ ◦ προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη 8
ὁ θεὸς προευηγγελίσατο τῷ ἀβραὰμ ὅτι ἐνευλογηθήσονται ἐν
σοὶ πάντα τὰ ἔθνη ◦ ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πι- 9
στῷ ἀβραάμ ◦ ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν ὑπὸ κατάραν εἰσὶν 10
γέγραπται γὰρ ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσιν τοῖς
γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά ◦ ὅτι δὲ 11
ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ δῆλον ὅτι ὁ δίκαιος ἐκ
πίστεως ζήσεται ◦ ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως ἀλλ᾽ ὁ ποιήσας 12
αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς ◦ χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ 13
τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατάρα γέγρα-
πται˚ γὰρ ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου ◦ ἵνα εἰς 14
τὰ ἔθνη ἡ εὐλογία τοῦ ἀβραὰμ γένηται ἐν χριστῷ ἰησοῦ ἵνα τὴν
ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως ◦ ἀδελφοὶ 15
κατὰ ἄνθρωπον λέγω ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην
οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται ◦ τῷ δὲ ἀβραὰμ ἐρρήθησαν αἱ ἐ- 16
παγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ οὐ λέγει καὶ τοῖς σπέρμασιν

v.16 $\mathbb{T}^*$: διοτι ου δικαιωθησεται εξ εργων νομου, $\mathbb{V}$: οτι εξ εργων νομου ου δικαιωθησεται. **v.18** $\mathbb{T}^*$: συνιστημι, $\mathbb{V}$: συνιστανω. **v.20** $\mathbb{T}$: ουκ ετι, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **3.v.1** $\mathbb{T}^*$: τη αληθεια μη πειθεσθαι, $\mathbb{V}$: ∅. **v.1** $\mathbb{T}^*$: εν υμιν, $\mathbb{V}$: ∅. **v.7** $\mathbb{T}^*$: εισιν υιοι, $\mathbb{V}$: υιοι εισιν. **v.8** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$: ενευλογηθησονται, $\mathbb{K}$: ευλογηθησονται. **v.10** $\mathbb{T}^*$: γαρ, $\mathbb{V}$: γαρ οτι. **v.10** $\mathbb{T}^*$: εν, $\mathbb{V}$: ∅. **v.12** $\mathbb{T}^*$: ανθρωπος, $\mathbb{V}$: ∅. **v.13** $\mathbb{T}^*$: γεγραπται γαρ, $\mathbb{V}$: οτι γεγραπται. **v.16** $\mathbb{T}^*$: ερρηθησαν, $\mathbb{V}$: ερρεθησαν.

ὡς ἐπὶ πολλῶν ἀλλ᾽ ὡς ἐφ᾽ ἑνὸς καὶ τῷ σπέρματί σου ὅς ἐστιν
17 χριστός ⋄ τοῦτο δὲ λέγω διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θε-
οῦ εἰς˚ χριστὸν ὁ μετὰ ἔτη˚ τετρακόσια καὶ τριάκοντα γεγονὼς
18 νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν ⋄ εἰ γὰρ ἐκ
νόμου ἡ κληρονομία οὐκ˚ ἔτι ἐξ ἐπαγγελίας τῷ δὲ ἀβραὰμ δι᾽
19 ἐπαγγελίας κεχάρισται ὁ θεός ⋄ τί οὖν ὁ νόμος τῶν παραβάσεων
χάριν προσετέθη ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται διατα-
20 γεὶς δι᾽ ἀγγέλων ἐν χειρὶ μεσίτου ⋄ ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν
21 ὁ δὲ θεὸς εἷς ἐστιν ⋄ ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ
μὴ γένοιτο εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι ὄντως
22 ἂν˚ ἐκ νόμου ἦν ἡ δικαιοσύνη ⋄ ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ
πάντα ὑπὸ ἁμαρτίαν ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως ἰησοῦ χριστοῦ
23 δοθῇ τοῖς πιστεύουσιν ⋄ πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νό-
μον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν
24 ἀποκαλυφθῆναι ⋄ ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς
25 χριστὸν ἵνα ἐκ πίστεως δικαιωθῶμεν ⋄ ἐλθούσης δὲ τῆς πίστεως
26 οὐκ˚ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν ⋄ πάντες γὰρ υἱοὶ θεοῦ ἐστε διὰ
27 τῆς πίστεως ἐν χριστῷ ἰησοῦ ⋄ ὅσοι γὰρ εἰς χριστὸν ἐβαπτίσθητε
28 χριστὸν ἐνεδύσασθε ⋄ οὐκ ἔνι ἰουδαῖος οὐδὲ ἕλλην οὐκ ἔνι δοῦ-
λος οὐδὲ ἐλεύθερος οὐκ ἔνι ἄρσεν καὶ θῆλυ πάντες γὰρ ὑμεῖς
29 εἷς ἐστε ἐν χριστῷ ἰησοῦ ⋄ εἰ δὲ ὑμεῖς χριστοῦ ἄρα τοῦ ἀβραὰμ
σπέρμα ἐστὲ κἀὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι ⋄

4 λέγω δὲ ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν οὐδὲν
2 διαφέρει δούλου κύριος πάντων ὤν ⋄ ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐ-
3 στὶν καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός ⋄ οὕτως
καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν˙ δε-
4 δουλωμένοι ⋄ ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέστειλεν
ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς γενόμενον ὑπὸ
5 νόμον ⋄ ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ ἵνα τὴν υἱοθεσίαν ἀπο-
6 λάβωμεν ⋄ ὅτι δέ ἐστε υἱοὶ ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ
7 υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον ἀββᾶ ὁ πατήρ ⋄ ὥστε
οὐκ˚ ἔτι εἶ δοῦλος ἀλλ᾽ υἱὸς εἰ δὲ υἱὸς καὶ κληρονόμος θεοῦ˚ διὰ
8 χριστοῦ ⋄ ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς μὴ˚
9 φύσει οὖσιν θεοῖς ⋄ νῦν δὲ γνόντες θεὸν μᾶλλον δὲ γνωσθέντες
ὑπὸ θεοῦ πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοι-

v.17 $\mathbb{T}^*$: εις χριστον, $\mathbb{V}$: ∅. **v.17** $\mathbb{T}^*$: ετη τετρακοσια και τριακοντα, $\mathbb{V}$: τετρακοσια και τριακοντα ετη. **v.18** $\mathbb{T}$: ουκ ετι, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **v.21** $\mathbb{T}^*$: αν εκ νομου, $\mathbb{V}$: εκ νομου αν. **v.23** $\mathbb{T}^*$: συγκεκλεισμενοι, $\mathbb{V}$: συγκλειομενοι. **v.25** $\mathbb{T}$: ουκ ετι, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **v.29** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **4.v.3** $\mathbb{T}^*$: ημεν, $\mathbb{V}$: ημεθα. **v.6** $\mathbb{T}^*$: υμων, $\mathbb{V}$: ημων. **v.7** $\mathbb{T}$: ουκ ετι, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ουκετι. **v.7** $\mathbb{T}^*$: αλλ, $\mathbb{V}$: αλλα. **v.7** $\mathbb{T}^*$: θεου δια χριστου, $\mathbb{V}$: δια θεου. **v.8** $\mathbb{T}^*$: μη φυσει, $\mathbb{V}$: φυσει μη.

χεῖα οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε ◦ ἡμέρας παρατηρεῖσθε 10
καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς ◦ φοβοῦμαι ὑμᾶς μή πως 11
εἰκῇ κεκοπίακα εἰς ὑμᾶς ◦ γίνεσθε ὡς ἐγὼ ὅτι κἀγὼ ὡς ὑμεῖς 12
ἀδελφοὶ δέομαι ὑμῶν οὐδέν με ἠδικήσατε ◦ οἴδατε δὲ ὅτι δι᾽ ἀ- 13
σθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον ◦ καὶ τὸν 14
πειρασμόν μου˚ τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐ-
ξεπτύσατε ἀλλ᾽ ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με ὡς χριστὸν ἰησοῦν ◦
τίς˚ οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνα- 15
τὸν τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι ◦ ὥστε 16
ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν ◦ ζηλοῦσιν ὑμᾶς οὐ καλῶς 17
ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν ἵνα αὐτοὺς ζηλοῦτε ◦ καλὸν δὲ 18
τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με
πρὸς ὑμᾶς ◦ τεκνία μου οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ χρι- 19
στὸς ἐν ὑμῖν ◦ ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι 20
τὴν φωνήν μου ὅτι ἀποροῦμαι ἐν ὑμῖν ◦ λέγετέ μοι οἱ ὑπὸ νό- 21
μον θέλοντες εἶναι τὸν νόμον οὐκ ἀκούετε ◦ γέγραπται γὰρ ὅτι 22
ἀβραὰμ δύο υἱοὺς ἔσχεν ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς
ἐλευθέρας ◦ ἀλλ᾽ ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται 23
ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ˚ τῆς ἐπαγγελίας ◦ ἅτινά ἐστιν ἀλλη- 24
γορούμενα αὗται γάρ εἰσιν ἀί δύο διαθῆκαι μία μὲν ἀπὸ ὄρους
σινᾶ εἰς δουλείαν γεννῶσα ἥτις ἐστὶν ἄγαρ ◦ τὸ γὰρ ἄγαρ σινᾶ ὄ- 25
ρος ἐστὶν ἐν τῇ ἀραβίᾳ συστοιχεῖ δὲ τῇ νῦν ἱερουσαλὴμ δουλεύει
δὲ˚ μετὰ τῶν τέκνων αὐτῆς ◦ ἡ δὲ ἄνω ἱερουσαλὴμ ἐλευθέρα ἐ- 26
στὶν ἥτις ἐστὶν μήτηρ πάντων ἡμῶν ◦ γέγραπται γὰρ εὐφράνθητι 27
στεῖρα ἡ οὐ τίκτουσα ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα ὅτι
πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα ◦
ἡμεῖς δὲ ἀδελφοὶ κατὰ ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν ◦ ἀλλ᾽ ὥ- 28, 29
σπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκεν τὸν κατὰ πνεῦμα
οὕτως καὶ νῦν ◦ ἀλλὰ τί λέγει ἡ γραφὴ ἔκβαλε τὴν παιδίσκην 30
καὶ τὸν υἱὸν αὐτῆς οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παι-
δίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας ◦ ἄρα ἀδελφοὶ οὐκ ἐσμὲν 31
παιδίσκης τέκνα ἀλλὰ τῆς ἐλευθέρας ◦

τῇ ἐλευθερίᾳ οὖν˚ ᾗ χριστὸς ἡμᾶς ἠλευθέρωσεν στήκετε καὶ **5**
μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε ◦ ἴδε ἐγὼ παῦλος λέγω ὑμῖν 2

---

v.14 𝕋*: μου τον, 𝕍: υμων. **v.14** 𝕋*: αλλ, 𝕍: αλλα. **v.15** 𝕋*: τις ουν ην, 𝕍: που ουν. **v.15** 𝕋*: αν, 𝕍: ∅. **v.18** 𝕋*: το, 𝕍: ∅. **v.19** 𝕋*: τεκνια, 𝕍: τεκνα. **v.19** 𝕋*: αχρις, 𝕍: μεχρις. **v.21** 𝔼: ακουετε, **XXX**: αναγινωσκετε. **v.23** 𝕋*: δια της, 𝕍: δι. **v.24** 𝕋 𝕂: αι, 𝕄 𝕍: ∅. **v.25** 𝕋*: γαρ, 𝕍: δε. **v.25** 𝕋*: δε, 𝕍: γαρ. **v.26** 𝕋*: παντων, 𝕍: ∅. **v.28** 𝕋*: ημεις, 𝕍: υμεις. **v.28** 𝕋*: εσμεν, 𝕍: εστε. **v.30** 𝕋*: κληρονομηση, 𝕍: κληρονομησει. **v.31** 𝕋*: αρα, 𝕍: διο. **5.v.1** 𝕋*: ουν η χριστος ημας, 𝕍: ημας χριστος. **v.1** 𝕋*: στηκετε, 𝕍: στηκετε ουν.

3 ὅτι ἐὰν περιτέμνησθε χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει ◦ μαρτύρο-
μαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι ὀφειλέτης ἐστὶν
4 ὅλον τὸν νόμον ποιῆσαι ◦ κατηργήθητε ἀπὸ τοῦ χριστοῦ οἵτινες
5 ἐν νόμῳ δικαιοῦσθε τῆς χάριτος ἐξεπέσατε ◦ ἡμεῖς γὰρ πνεύματι
6 ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα ◦ ἐν γὰρ χριστῷ
ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία ἀλλὰ πίστις δι᾽
7 ἀγάπης ἐνεργουμένη ◦ ἐτρέχετε καλῶς τίς ὑμᾶς ἀνέκοψεν τῇ ἀ-
8 ληθείᾳ μὴ πείθεσθαι ◦ ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς ◦
9, 10 μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ ◦ ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν
κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει
11 τὸ κρίμα ὅστις ἂν ᾖ ◦ ἐγὼ δὲ ἀδελφοὶ εἰ περιτομὴν ἔτι κηρύσσω
12 τί ἔτι διώκομαι ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ ◦ ὄ-
13 φελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς ◦ ὑμεῖς γὰρ ἐπ᾽
ἐλευθερίᾳ ἐκλήθητε ἀδελφοὶ μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀ-
φορμὴν τῇ σαρκὶ ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις ◦
14 ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται ἐν τῷ ἀγαπήσεις τὸν
15 πλησίον σου ὡς ἑαυτόν ◦ εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθί-
16 ετε βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε ◦ λέγω δὲ πνεύματι πε-
17 ριπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε ◦ ἡ γὰρ σὰρξ
ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς
ταῦτα δὲ˚ ἀντίκειται ἀλλήλοις ἵνα μὴ ἃ ἂν θέλητε ταῦτα ποιῆτε ◦
18, 19 εἰ δὲ πνεύματι ἄγεσθε οὐκ ἐστὲ ὑπὸ νόμον ◦ φανερὰ δέ ἐστιν
τὰ ἔργα τῆς σαρκὸς ἅτινά ἐστιν μοιχεία πορνεία ἀκαθαρσία ἀ-
20 σέλγεια ◦ εἰδωλολατρεία φαρμακεία ἔχθραι ἔρεις˚ ζῆλοι θυμοὶ
21 ἐριθεῖαι διχοστασίαι αἱρέσεις ◦ φθόνοι φόνοι μέθαι κῶμοι καὶ
τὰ ὅμοια τούτοις ἃ προλέγω ὑμῖν καθὼς καὶ προεῖπον ὅτι οἱ
τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν ◦
22 ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη χαρὰ εἰρήνη μακρο-
23 θυμία χρηστότης ἀγαθωσύνη πίστις ◦ πρᾳότης ἐγκράτεια κατὰ
24 τῶν τοιούτων οὐκ ἔστιν νόμος ◦ οἱ δὲ τοῦ χριστοῦ τὴν σάρκα ἐ-
25 σταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις ◦ εἰ ζῶμεν
26 πνεύματι πνεύματι καὶ στοιχῶμεν ◦ μὴ γινώμεθα κενόδοξοι ἀλ-
λήλους προκαλούμενοι ἀλλήλοις φθονοῦντες ◦

6 ἀδελφοὶ ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι

---

v.4 𝕋*: του, 𝕍: ∅. **v.4** 𝕋 𝕂 𝕍: εξεπεσατε, 𝕄: εξεπεσετε. **v.7** 𝕋 𝕂: ανεκοψεν τη, 𝕄: ενεκοψεν τη, 𝕍: ενεκοψεν [τη]. **v.10** 𝕋*: αν, 𝕍: εαν. **v.14** 𝕋*: πληρουται, 𝕍: πεπληρωται. **v.14** 𝕋 𝕂: εαυτον, 𝕄 𝕍: σεαυτον. **v.15** 𝕋*: υπο, 𝕍: υπ. **v.17** 𝕋*: δε αντικειται αλληλοις, 𝕍: γαρ αλληλοις αντικειται. **v.17** 𝕋*: αν, 𝕍: εαν. **v.19** 𝕋*: μοιχεια, 𝕍: ∅. **v.20** 𝕋*: ειδωλολατρεια, 𝕍: ειδωλολατρια. **v.20** 𝕋*: ερεις ζηλοι, 𝕍: ερις ζηλος. **v.21** 𝕋*: φονοι, 𝕍: ∅. **v.21** 𝕋*: και, 𝕍: ∅. **v.23** 𝕋*: πραοτης, 𝕍: πραυτης. **v.24** 𝕋*: χριστου, 𝕍: χριστου [ιησου]. **6.v.1** 𝕋*: προληφθη, 𝕍: προλημφθη.

ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳ-
ότητος σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς ⋄ ἀλλήλων τὰ βάρη 2
βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ χριστοῦ ⋄ εἰ 3
γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὢν ἑαυτὸν˚ φρεναπατᾷ ⋄ τὸ δὲ ἔργον 4
ἑαυτοῦ δοκιμαζέτω ἕκαστος καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύ-
χημα ἕξει καὶ οὐκ εἰς τὸν ἕτερον ⋄ ἕκαστος γὰρ τὸ ἴδιον φορτίον 5
βαστάσει ⋄ κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατη- 6
χοῦντι ἐν πᾶσιν ἀγαθοῖς ⋄ μὴ πλανᾶσθε θεὸς οὐ μυκτηρίζεται ὃ 7
γὰρ ἐὰν σπείρῃ ἄνθρωπος τοῦτο καὶ θερίσει ⋄ ὅτι ὁ σπείρων εἰς 8
τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθορὰν ὁ δὲ σπείρων
εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον ⋄ τὸ δὲ 9
καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ
ἐκλυόμενοι ⋄ ἄρα οὖν ὡς καιρὸν ἔχομεν ἐργαζώμεθα τὸ ἀγαθὸν 10
πρὸς πάντας μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως ⋄ ἴδετε 11
πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί ⋄ ὅσοι θέλουσιν 12
εὐπροσωπῆσαι ἐν σαρκὶ οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνε-
σθαι μόνον ἵνα μὴ˚ τῷ σταυρῷ τοῦ χριστοῦ διώκωνται ⋄ οὐδὲ γὰρ 13
οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν ἀλλὰ θέλουσιν ὑ-
μᾶς περιτέμνεσθαι ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται ⋄ ἐμοὶ 14
δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ ⋄
ἐν˚ γὰρ χριστῷ ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία 15
ἀλλὰ καινὴ κτίσις ⋄ καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν εἰ- 16
ρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος καὶ ἐπὶ τὸν ἰσραὴλ τοῦ θεοῦ ⋄ τοῦ 17
λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω ἐγὼ γὰρ τὰ στίγματα τοῦ
κυρίου ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω ⋄ ἡ χάρις τοῦ κυρίου 18
ἡμῶν ἰησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν ἀδελφοὶ ἀμήν ⋄
Πρὸς˚ γαλάτας ἐγράφη ἀπὸ ῥώμης ⋄

---

v.1 𝕋*: πραοτητος, 𝕍: πραυτητος. **v.2** 𝕋*: αναπληρωσατε, 𝕍: αναπληρωσετε. **v.3** 𝕋*: εαυτον φρεναπατα, 𝕍: φρεναπατα εαυτον. **v.9** 𝕋*: εκκακωμεν, 𝕍: εγκακωμεν. **v.10** 𝔼: εχομεν, B* ℵ: εχωμεν. **v.11** 𝔼: πηλικοις, B* 𝔓46: ηλικοις, **XXX**: ποικιλοις. **v.12** 𝕋*: μη τω σταυρω του χριστου, 𝕍: τω σταυρω του χριστου μη. **v.13** 𝕋 𝕂 𝕍: περιτεμνομενοι, 𝕄: περιτετμημενοι. **v.14** 𝕋*: τω, 𝕍: ∅. **v.15** 𝕋*: εν γαρ χριστω ιησου, 𝕍: ∅. **v.15** 𝕋*: ουτε περιτομη τι ισχυει, 𝕍: ουτε γαρ περιτομη τι εστιν. **v.17** 𝕋*: κυριου, 𝕍: ∅. **v.18** 𝕋: Προς . . . ρωμης, 𝕂 𝕄 𝕍: ∅.

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

1 παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θεοῦ τοῖς
2 ἁγίοις τοῖς οὖσιν ἐν˚ ἐφέσῳ καὶ πιστοῖς ἐν χριστῷ ἰησοῦ ⸰ χά-
ρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ
3 χριστοῦ ⸰ εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν
4 τοῖς ἐπουρανίοις χ̣ριστῷ ⸰ καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ
καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώ-
5 πιον αὐτοῦ ἐν ἀγάπῃ ⸰ προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ ἰησοῦ
χριστοῦ εἰς αὐτὸν κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ ⸰
6 εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ ἐν˚ ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν
7 τῷ ἠγαπημένῳ ⸰ ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος
αὐτοῦ τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν˚ πλοῦτον τῆς
8 χάριτος αὐτοῦ ⸰ ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ
9 φρονήσει ⸰ γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ
10 κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν προέθετο ἐν αὐτῷ ⸰ εἰς οἰκονομίαν
τοῦ πληρώματος τῶν καιρῶν ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν
11 τῷ χριστῷ τά τε˚ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς ⸰ ἐν αὐ-
τῷ ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ
12 πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ ⸰ εἰς
τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον ῆς δόξης αὐτοῦ τοὺς προηλπικότας
13 ἐν τῷ χριστῷ ⸰ ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀλη-
θείας τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν ἐν ᾧ καὶ πιστεύσαντες
14 ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ ⸰ ὅς˚ ἐστιν
ἀρραβὼν τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν τῆς περιποι-
15 ήσεως εἰς ἔπαινον τῆς δόξης αὐτοῦ ⸰ διὰ τοῦτο κἀγὼ ἀκούσας
τὴν καθ᾽ ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ ἰησοῦ καὶ τὴν ἀγάπην τὴν εἰς
16 πάντας τοὺς ἁγίους ⸰ οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν μνείαν
17 ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου ⸰ ἵνα ὁ θεὸς τοῦ κυ-
ρίου ἡμῶν ἰησοῦ χριστοῦ ὁ πατὴρ τῆς δόξης δώῃ ὑμῖν πνεῦμα
18 σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ ⸰ πεφωτισμένους
τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐ-
στιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ κἀι τίς ὁ πλοῦτος τῆς δόξης τῆς

𝕋: ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ. **1.v.1** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.1** 𝕋*: εν εφεσω, 𝕍: [εν εφεσω], 𝔅* 𝔎* 𝔓46: ∅. **v.3** 𝕋: χριστω, 𝕂 𝕄 𝕍: εν χριστω. **v.6** 𝕋*: εν η, 𝕍: ης. **v.7** 𝕋*: τον πλουτον, 𝕍: το πλουτος. **v.10** 𝕋 𝕂: τε εν, 𝕄 𝕍: επι. **v.12** 𝕋 𝕂: της, 𝕄 𝕍: ∅. **v.14** 𝕋*: ος, 𝕍: ο. **v.16** 𝕋*: υμων, 𝕍: ∅. **v.18** 𝕋 𝕂: διανοιας, 𝕄 𝕍: καρδιας. **v.18** 𝕋*: και, 𝕍: ∅.

κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις ⸰ καὶ τί τὸ ὑπερβάλλον μέγε- 19
θος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν
ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ ⸰ ἣν ἐνήργησεν ἐν τῷ 20
χριστῷ ἐγείρας αὐτὸν ἐκ νεκρῶν˚ καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ
ἐν τοῖς ἐπουρανίοις ⸰ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ 21
δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου
οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι ⸰ καὶ πάντα 22
ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ καὶ αὐτὸν ἔδωκεν κεφαλὴν ὑ-
πὲρ πάντα τῇ ἐκκλησίᾳ ⸰ ἥτις ἐστὶν τὸ σῶμα αὐτοῦ τὸ πλήρωμα 23
τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου ⸰

καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασιν καὶ ταῖς ἁμαρ- **2**
τίαις ⸰ ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου 2
τούτου κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύμα-
τος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας ⸰ ἐν οἷς καὶ 3
ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς
ἡμῶν ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν καὶ
ἦμεν τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί ⸰ ὁ δὲ θεὸς πλούσιος 4
ὢν ἐν ἐλέει διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς ⸰
καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν συνεζωοποίησεν τῷ 5
χριστῷ χάριτί ἐστε σεσωσμένοι ⸰ καὶ συνήγειρεν καὶ συνεκάθι- 6
σεν ἐν τοῖς ἐπουρανίοις ἐν χριστῷ ἰησοῦ ⸰ ἵνα ἐνδείξηται ἐν τοῖς 7
αἰῶσιν τοῖς ἐπερχομένοις τὸν˚ ὑπερβάλλοντα πλοῦτον τῆς χά-
ριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν χριστῷ ἰησοῦ ⸰ τῇ γὰρ 8
χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως καὶ τοῦτο οὐκ ἐξ ὑμῶν
θεοῦ τὸ δῶρον ⸰ οὐκ ἐξ ἔργων ἵνα μή τις καυχήσηται ⸰ αὐτοῦ γάρ 9, 10
ἐσμεν ποίημα κτισθέντες ἐν χριστῷ ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς οἷς
προητοίμασεν ὁ θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν ⸰ διὸ μνημο- 11
νεύετε ὅτι ὑμεῖς˚ ποτε τὰ ἔθνη ἐν σαρκὶ οἱ λεγόμενοι ἀκροβυστία
ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου ⸰ ὅτι ἦτε ἐν 12
τῷ καιρῷ ἐκείνῳ χωρὶς χριστοῦ ἀπηλλοτριωμένοι τῆς πολιτείας
τοῦ ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας ἐλπίδα μὴ
ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ ⸰ νυνὶ δὲ ἐν χριστῷ ἰησοῦ ὑμεῖς οἱ 13
ποτὲ ὄντες μακρὰν ἐγγὺς˚ ἐγενήθητε ἐν τῷ αἵματι τοῦ χριστοῦ ⸰
αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ 14
τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας ⸰ τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐ- 15

---

v.20 𝕋 𝕂: νεκρων και εκαθισεν, 𝕄: των νεκρων και εκαθισεν, 𝕍: νεκρων και καθισας. **v.23** 𝕋 𝕂: παντα, 𝕄 𝕍: τα παντα. **2.v.1** 𝕋*: αμαρτιαις, 𝕍: αμαρτιαις υμων, 𝔹: επιθυμιαις. **v.3** 𝕋*: ημεν, 𝕍: ημεθα. **v.5** 𝔼: τω, 𝔹: εν τω. **v.5** 𝔼: χαριτι, **XXX**: οὗ χαριτι. **v.7** 𝕋*: τον υπερβαλλοντα πλουτον, 𝕍: το υπερβαλλον πλουτος. **v.8** 𝕋*: της, 𝕍: ∅. **v.11** 𝕋*: υμεις ποτε, 𝕍: ποτε υμεις. **v.12** 𝕋*: εν, 𝕍: ∅. **v.13** 𝕋*: εγγυς εγενηθητε, 𝕍: εγενηθητε εγγυς.

τοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν καταργήσας ἵνα τοὺς
δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην ⸰
16 καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ διὰ
17 τοῦ σταυροῦ ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ ⸰ καὶ ἐλθὼν εὐηγ-
18 γελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ τοῖς ἐγγύς ⸰ ὅτι δι᾽ αὐτοῦ
ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν
19 πατέρα ⸰ ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι ἀλλὰ˚ συμπο-
20 λῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ θεοῦ ⸰ ἐποικοδομηθέντες ἐπὶ τῷ
θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν ὄντος ἀκρογωνιαίου αὐ-
21 τοῦ ἰησοῦ˚ χριστοῦ ⸰ ἐν ᾧ πᾶσα ἡ˚ οἰκοδομὴ συναρμολογουμένη
22 αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ ⸰ ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε
εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι ⸰

3 τούτου χάριν ἐγὼ παῦλος ὁ δέσμιος τοῦ χριστοῦ ἰησοῦ ὑπὲρ
2 ὑμῶν τῶν ἐθνῶν ⸰ εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ
3 θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς ⸰ ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρι-
4 σέν˚ μοι τὸ μυστήριον καθὼς προέγραψα ἐν ὀλίγῳ ⸰ πρὸς ὃ δύ-
νασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ
5 τοῦ χριστοῦ ⸰ ὃ ἐν˚ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν
ἀνθρώπων ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ
6 καὶ προφήταις ἐν πνεύματι ⸰ εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ
σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ˚ ἐν τῷ χριστῷ
7 διὰ τοῦ εὐαγγελίου ⸰ οὗ ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς
χάριτος τοῦ θεοῦ τὴν˚ δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τῆς δυ-
8 νάμεως αὐτοῦ ⸰ ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ˚τῶν ἁγίων ἐδόθη
ἡ χάρις αὕτη ἐν˚ τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν˚ ἀνεξιχνίαα-
9 στον πλοῦτον τοῦ χριστοῦ ⸰ καὶ φωτίσαι πάντας τίς ἡ κοινωνία
τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ θε-
10 ῷ τῷ τὰ πάντα κτίσαντι διὰ˚ ἰησοῦ χριστοῦ ⸰ ἵνα γνωρισθῇ νῦν
ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκ-
11 κλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ ⸰ κατὰ πρόθεσιν τῶν
12 αἰώνων ἣν ἐποίησεν ἐν˚ χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν ⸰ ἐν ᾧ ἔχο-
μεν τὴν παρρησίαν καὶ ˚τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς
13 πίστεως αὐτοῦ ⸰ διὸ αἰτοῦμαι μὴ ἐκ˚κακεῖν ἐν ταῖς θλίψεσίν μου
14 ὑπὲρ ὑμῶν ἥτις ἐστὶν δόξα ὑμῶν ⸰ τούτου χάριν κάμπτω τὰ γό-

---

v.15 𝕋*: εαυτω, 𝕍: αυτω. **v.17** 𝕋*: και, 𝕍: και ειρηνην. **v.19** 𝕋*: αλλα, 𝕍: αλλα εστε. **v.20** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.21** 𝕋 𝕂: η, 𝕄 𝕍: ∅. **3.v.2** 𝕋*: ειγε, 𝕍: ει γε. **v.3** 𝕋*: εγνωρισεν, 𝕍: εγνωρισθη. **v.5** 𝕋 𝕂: εν, 𝕄 𝕍: ∅. **v.6** 𝕋*: αυτου εν τω χριστω, 𝕍: εν χριστω ιησου. **v.7** 𝕋*: εγενομην, 𝕍: εγενηθην. **v.7** 𝕋*: την δοθεισαν, 𝕍: της δοθεισης. **v.8** 𝕋 𝕂: των, 𝕄 𝕍: ∅. **v.8** 𝕋*: εν, 𝕍: ∅. **v.8** 𝕋*: τον ανεξιχνιαστον πλουτον, 𝕍: το ανεξιχνιαστον πλουτος. **v.9** 𝕋 𝕂: κοινωνια, 𝕄 𝕍: οικονομια. **v.9** 𝕋*: δια ιησου χριστου, 𝕍: ∅. **v.11** 𝕋*: εν, 𝕍: εν τω. **v.12** 𝕋*: την, 𝕍: ∅. **v.13** 𝕋*: εκκακειν, 𝕍: εγκακειν.

νατά μου πρὸς τὸν πατέρα ⸀τοῦ κυρίου ἡμῶν ⸀ἰησοῦ χριστοῦ ⸂ἐξ 15
οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ⸀ἐπὶ γῆς ὀνομάζεται ⸂ἵνα δῴη˚ 16
ὑμῖν κατὰ τὸν˚ πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι
διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον ⸂κατοικῆσαι 17
τὸν χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν ἐν ἀγάπῃ
ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ⸂ἵνα ἐξισχύσητε καταλαβέσθαι 18
σὺν πᾶσιν τοῖς ἁγίοις τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος˚ καὶ
ὕψος ⸂γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ 19
χριστοῦ ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ ⸂τῷ δὲ δυ- 20
ναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ˚ ἐκ περισσοῦ ὧν αἰτούμεθα
ἢ νοοῦμεν κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν ⸂αὐτῷ ἡ 21
δόξα ἐν τῇ ἐκκλησίᾳ ἐν̓ χριστῷ ⸀ἰησοῦ εἰς πάσας τὰς γενεὰς τοῦ
αἰῶνος τῶν αἰώνων ἀμήν ⸂

παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ ἀξίως περιπα- **4**
τῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε ⸂μετὰ πάσης ταπεινοφροσύνης 2
καὶ πρᾳότητος μετὰ μακροθυμίας ἀνεχόμενοι ἀλλήλων ἐν ἀ-
γάπῃ ⸂σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ 3
συνδέσμῳ τῆς εἰρήνης ⸂ἓν σῶμα καὶ ἓν πνεῦμα καθὼς καὶ ἐ- 4
κλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν ⸂εἷς κύριος μία πίστις 5
ἓν βάπτισμα ⸂εἷς θεὸς καὶ πατὴρ πάντων ὁ ἐπὶ πάντων καὶ διὰ 6
πάντων καὶ ἐν πᾶσιν ὑμῖν ⸂ ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις 7
κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ χριστοῦ ⸂διὸ λέγει ἀναβὰς εἰς 8
ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν κἀὶ ἔδωκεν δόματα τοῖς ἀν-
θρώποις ⸂τὸ δὲ ἀνέβη τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ 9
κατώτερα μέρη τῆς γῆς ⸂ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑ- 10
περάνω πάντων τῶν οὐρανῶν ἵνα πληρώσῃ τὰ πάντα ⸂καὶ αὐτὸς 11
ἔδωκεν τοὺς μὲν ἀποστόλους τοὺς δὲ προφήτας τοὺς δὲ εὐαγ-
γελιστὰς τοὺς δὲ ποιμένας καὶ διδασκάλους ⸂πρὸς τὸν καταρ- 12
τισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας εἰς οἰκοδομὴν τοῦ σώμα-
τος τοῦ χριστοῦ ⸂μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα 13
τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ εἰς ἄνδρα
τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ χριστοῦ ⸂ἵνα 14
μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ
ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων ἐν πανουρ-
γίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης ⸂ἀληθεύοντες δὲ ἐν ἀγάπῃ 15
αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα ὅς ἐστιν ἡ κεφαλὴ ὁ˚ χριστός ⸂

v.14 𝕋*: του κυριου ημων ιησου χριστου, 𝕍: ∅. **v.16** 𝕋*: δωη, 𝕍: δω. **v.16** 𝕋*: τον πλουτον, 𝕍: το πλουτος. **v.18** 𝕋*: βαθος και υψος, 𝕍: υψος και βαθος. **v.20** 𝕋 𝕂: υπερ εκ περισσου, 𝕄 𝕍: υπερεκπερισσου. **v.21** 𝕋*: εν, 𝕍: και εν. **4.v.2** 𝕋*: πραοτητος, 𝕍: πραυτητος. **v.6** 𝕋 𝕂: υμιν, 𝕄: ημιν, 𝕍: ∅. **v.8** 𝕋*: και, 𝕍: ∅. **v.9** 𝕋*: πρωτον, 𝕍: ∅. **v.15** 𝕋*: ο, 𝕍: ∅.

16 ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον
διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς
ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκο-
17 δομὴν ἑαυτοῦ ἐν ἀγάπῃ ◦ τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν
κυρίῳ μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ ἔθνη περι-
18 πατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν ◦ ἐσκοτισμένοι τῇ διανοίᾳ
ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ διὰ τὴν ἄγνοιαν τὴν
19 οὖσαν ἐν αὐτοῖς διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν ◦ οἵτινες
ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀ-
20 καθαρσίας πάσης ἐν πλεονεξίᾳ ◦ ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν
21 χριστόν ◦ εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε καθώς ἐ-
22 στιν ἀλήθεια ἐν τῷ ἰησοῦ ◦ ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν
ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς
23 ἐπιθυμίας τῆς ἀπάτης ◦ ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νο-
24 ὸς ὑμῶν ◦ καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν
25 κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας ◦ διὸ ἀπο-
θέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον
26 αὐτοῦ ὅτι ἐσμὲν ἀλλήλων μέλη ◦ ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε ὁ
27 ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν ◦ μήτε δίδοτε τόπον
28 τῷ διαβόλῳ ◦ ὁ κλέπτων μηκέτι κλεπτέτω μᾶλλον δὲ κοπιάτω ἐρ-
γαζόμενος τὸ˚ ἀγαθὸν ταῖς χερσὶν ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν
29 ἔχοντι ◦ πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέ-
σθω ἀλλ᾽ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας ἵνα δῷ χάριν
30 τοῖς ἀκούουσιν ◦ καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ
31 ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως ◦ πᾶσα πικρία καὶ
θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ᾽ ὑμῶν
32 σὺν πάσῃ κακίᾳ ◦ γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ εὔσπλαγ-
χνοι χαριζόμενοι ἑαυτοῖς καθὼς καὶ ὁ θεὸς ἐν χριστῷ ἐχαρίσατο
ὑμῖν ◦

5, 2 γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητά ◦ καὶ πε-
ριπατεῖτε ἐν ἀγάπῃ καθὼς καὶ ὁ χριστὸς ἠγάπησεν ἡμᾶς καὶ
παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ
3 εἰς ὀσμὴν εὐωδίας ◦ πορνεία δὲ καὶ πᾶσα˚ ἀκαθαρσία ἢ πλεο-
4 νεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν καθὼς πρέπει ἁγίοις ◦ καὶ αἰ-
σχρότης καὶ μωρολογία ἢ εὐτραπελία τὰ˚ οὐκ ἀνήκοντα ἀλλὰ
5 μᾶλλον εὐχαριστία ◦ τοῦτο γάρ ἐστε γινώσκοντες ὅτι πᾶς πόρ-

---

v.17 𝕋*: λοιπα, 𝕍: ∅. **v.18** 𝕋*: εσκοτισμενοι, 𝕍: εσκοτωμενοι. **v.21** 𝕋 𝕂: ειγε, 𝕄 𝕍: ει γε. **v.27** 𝕋 𝕂: μητε, 𝕄 𝕍: μηδε. **v.28** 𝕋*: το αγαθον ταις χερσιν, 𝕍: ταις [ιδιαις] χερσιν το αγαθον. **v.29** 𝕋*: αλλ, 𝕍: αλλα. **v.32** 𝕋 𝕂 𝕍: υμιν, 𝕄: ημιν. **5.v.3** 𝕋*: πασα ακαθαρσια, 𝕍: ακαθαρσια πασα. **v.4** 𝕋*: τα ουκ ανηκοντα, 𝕍: α ουκ ανηκεν. **v.5** 𝕋*: εστε, 𝕍: ιστε.

νος ἢ ἀκάθαρτος ἢ πλεονέκτης ὅς ἐστιν εἰδωλολάτρης οὐκ ἔχει
κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ χριστοῦ καὶ θεοῦ ⸰ μηδεὶς ὑμᾶς 6
ἀπατάτω κενοῖς λόγοις διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ
ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας ⸰ μὴ οὖν γίνεσθε συμμέτοχοι αὐ- 7
τῶν ⸰ ἦτε γάρ ποτε σκότος νῦν δὲ φῶς ἐν κυρίῳ ὡς τέκνα φωτὸς 8
περιπατεῖτε ⸰ ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ 9
καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ ⸰ δοκιμάζοντες τί ἐστιν εὐάρεστον 10
τῷ κυρίῳ ⸰ καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ 11
σκότους μᾶλλον δὲ καὶ ἐλέγχετε ⸰ τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ 12
αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν ⸰ τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ 13
τοῦ φωτὸς φανεροῦται πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν ⸰ διὸ 14
λέγει ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν καὶ ἐπιφαύ-
σει σοι ὁ χριστός ⸰ βλέπετε οὖν πῶς˚ ἀκριβῶς περιπατεῖτε μὴ ὡς 15
ἄσοφοι ἀλλ᾽ ὡς σοφοί ⸰ ἐξαγοραζόμενοι τὸν καιρὸν ὅτι αἱ ἡμέραι 16
πονηραί εἰσιν ⸰ διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες ἀλλὰ συνιέντες τί 17
τὸ θέλημα τοῦ κυρίου ⸰ καὶ μὴ μεθύσκεσθε οἴνῳ ἐν ᾧ ἐστιν ἀσω- 18
τία ἀλλὰ πληροῦσθε ἐν πνεύματι ⸰ λαλοῦντες ἑαυτοῖς ψαλμοῖς 19
καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ
καρδίᾳ ὑμῶν τῷ κυρίῳ ⸰ εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων 20
ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τῷ θεῷ καὶ πατρί ⸰
ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ θεοῦ ⸰ αἱ γυναῖκες τοῖς ἰδίοις 21, 22
ἀνδράσιν ὑποτάσσεσθε ὡς τῷ κυρίῳ ⸰ ὅτι ὁ˚ ἀνήρ ἐστιν κεφα- 23
λὴ τῆς γυναικὸς ὡς καὶ ὁ χριστὸς κεφαλὴ τῆς ἐκκλησίας καὶ˚
αὐτός ἐστιν σωτὴρ τοῦ σώματος ⸰ ἀλλ᾽ ὥσπερ ἡ ἐκκλησία ὑπο- 24
τάσσεται τῷ χριστῷ οὕτως καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν
ἐν παντί ⸰ οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν καθὼς καὶ 25
ὁ χριστὸς ἠγάπησεν τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑ-
πὲρ αὐτῆς ⸰ ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος 26
ἐν ῥήματι ⸰ ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν 27
μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων ἀλλ᾽ ἵνα ᾖ ἁγία
καὶ ἄμωμος ⸰ οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν 28
γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα
ἑαυτὸν ἀγαπᾷ ⸰ οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν 29
ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει αὐτὴν καθὼς καὶ ὁ κύριος τὴν ἐκκλη-

---

v.5 𝕋*: ος, 𝕍: ο. **v.9** 𝕋*: πνευματος, 𝕍: φωτος. **v.14** 𝕋 𝕂: εγειραι, 𝕄 𝕍: εγειρε. **v.15** 𝕋*: πως ακριβως, 𝕍: ακριβως πως. **v.17** 𝕋*: συνιεντες, 𝕍: συνιετε. **v.19** 𝕋*: ψαλμοις, 𝕍: [εν] ψαλμοις. **v.19** 𝕋*: εν, 𝕍: ∅. **v.21** 𝕋*: θεου, 𝕍: χριστου. **v.22** 𝕋*: υποτασσεσθε, 𝕍: ∅. **v.23** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.23** 𝕋*: και αυτος εστιν, 𝕍: αυτος. **v.24** 𝕋*: αλλ, 𝕍: αλλα. **v.24** 𝕋*: ωσπερ, 𝕍: ως. **v.24** 𝕋*: ιδιοις, 𝕍: ∅. **v.25** 𝕋*: εαυτων, 𝕍: ∅. **v.27** 𝕋*: αυτην, 𝕍: αυτος. **v.28** 𝕋*: οι, 𝕍: [και] οι. **v.29** 𝕋*: αλλ, 𝕍: αλλα. **v.29** 𝕋*: κυριος, 𝕍: χριστος.

30 σίαν ⸰ ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ ἐκ˚ τῆς σαρκὸς αὐτοῦ
31 καὶ ἐκ τῶν ὀστέων αὐτοῦ ⸰ ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν
πατέρα αὐ̔τοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν
32 γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν ⸰ τὸ μυστήριον
τοῦτο μέγα ἐστὶν ἐγὼ δὲ λέγω εἰς χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν ⸰
33 πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως
ἀγαπάτω ὡς ἑαυτὸν ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα ⸰

6 τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ τοῦτο γάρ
2 ἐστιν δίκαιον ⸰ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα ἥτις ἐστὶν
3 ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ ⸰ ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακρο-
4 χρόνιος ἐπὶ τῆς γῆς ⸰ καὶ οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα
5 ὑμῶν ἀλλ᾽ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου ⸰ οἱ
δοῦλοι ὑπακούετε τοῖς κυρίοις˚ κατὰ σάρκα μετὰ φόβου καὶ
6 τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν ὡς τῷ χριστῷ ⸰ μὴ κατ᾽
ὀφθαλμοδουλεῖαν ὡς ἀνθρωπάρεσκοι ἀλλ᾽ ὡς δοῦλοι τοῦ χρι-
7 στοῦ ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς ⸰ μετ᾽ εὐνοίας
8 δουλεύοντες τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις ⸰ εἰδότες ὅτι ὃ˚ ἐάν τι
ἕκαστος ποιήσῃ ἀγαθὸν τοῦτο κομιεῖται˚ παρὰ τοῦ κυρίου εἴτε
9 δοῦλος εἴτε ἐλεύθερος ⸰ καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐ-
τοὺς ἀνιέντες τὴν ἀπειλὴν εἰδότες ὅτι καὶ˚ ὑμῶν αὐτῶν ὁ κύριός
10 ἐστιν ἐν οὐρανοῖς καὶ προσωποληψία οὐκ ἔστιν παρ᾽ αὐτῷ ⸰ τὸ˚
λοιπὸν ἀδελφοί μου ἐνδυναμοῦσθε ἐν κυρίῳ καὶ ἐν τῷ κράτει
11 τῆς ἰσχύος αὐτοῦ ⸰ ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ
12 δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου ⸰ ὅτι
οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα ἀλλὰ πρὸς τὰς
ἀρχὰς πρὸς τὰς ἐξουσίας πρὸς τοὺς κοσμοκράτορας τοῦ σκό-
τους τοῦ˚ αἰῶνος τούτου πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν
13 τοῖς ἐπουρανίοις ⸰ διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ
ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα
14 κατεργασάμενοι στῆναι ⸰ στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑ-
μῶν ἐν ἀληθείᾳ καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης ⸰
15 καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς
16 εἰρήνης ⸰ ἐ̓πὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως ἐν ᾧ δυ-
νήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι ⸰

---

v.30 𝕋*: εκ της σαρκος αυτου και εκ των οστεων αυτου, 𝕍: ∅. **v.31** 𝕋*: αυτου, 𝕍: ∅. **6.v.4** 𝕋*: αλλ, 𝕍: αλλα. **v.5** 𝕋*: κυριοις κατα σαρκα, 𝕍: κατα σαρκα κυριοις. **v.6** 𝕋*: οφθαλμοδουλειαν, 𝕍: οφθαλμοδουλιαν. **v.6** 𝕋*: του, 𝕍: ∅. **v.7** 𝕋: τω, 𝕂 𝕄 𝕍: ως τω. **v.8** 𝕋 𝕂: ο εαν τι εκαστος, 𝕄: εαν τι εκαστος, 𝕍: εκαστος εαν τι. **v.8** 𝕋*: κομιειται παρα του, 𝕍: κομισεται παρα. **v.9** 𝕋*: και υμων αυτων, 𝕍: και αυτων και υμων. **v.9** 𝕋*: προσωποληψια, 𝕍: προσωπολημψια. **v.10** 𝕋*: το λοιπον αδελφοι μου, 𝕍: του λοιπου. **v.12** 𝕋*: του αιωνος, 𝕍: ∅. **v.16** 𝕋*: επι, 𝕍: εν.

καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε καὶ τὴν μάχαι- 17
ραν τοῦ πνεύματος ὅ ἐστιν ῥῆμα θεοῦ ◦ διὰ πάσης προσευχῆς 18
καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι καὶ εἰς
αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει
περὶ πάντων τῶν ἁγίων ◦ καὶ ὑπὲρ ἐμοῦ ἵνα μοι δοθείη λόγος ἐν 19
ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον
τοῦ εὐαγγελίου ◦ ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει ἵνα ἐν αὐτῷ παρ- 20
ρησιάσωμαι ὡς δεῖ με λαλῆσαι ◦ ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽ 21
ἐμὲ τί πράσσω πάντα ὑμῖν˚ γνωρίσει τυχικὸς ὁ ἀγαπητὸς ἀδελ-
φὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ ◦ ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς 22
αὐτὸ τοῦτο ἵνα γνῶτε τὰ περὶ ἡμῶν καὶ παρακαλέσῃ τὰς καρ-
δίας ὑμῶν ◦ εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ 23
θεοῦ πατρὸς καὶ κυρίου ἰησοῦ χριστοῦ ◦ ἡ χάρις μετὰ πάντων 24
τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν ἐν ἀφθαρσίᾳ
ἀμήν ◦ Πρὸς˚ ἐφεσίους ἐγράφη ἀπὸ ῥώμης διὰ τυχικοῦ ◦

v.17 𝕋 𝕂 𝕍: δεξασθε, 𝕄: δεξασθαι. **v.18** 𝕋*: τουτο, 𝕍: ∅. **v.19** 𝕋 𝕂: δοθειη, 𝕄 𝕍: δοθη. **v.21** 𝕋*: υμιν γνωρισει, 𝕍: γνωρισει υμιν. **v.24** 𝕋 𝕄: αμην, 𝕂 𝕍: ∅. **v.24** 𝕋: Προς . . . τυχικου, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ˚

1 παῦλος καὶ τιμόθεος δοῦλοι ἰησοῦ˚ χριστοῦ πᾶσιν τοῖς ἁ-
γίοις ἐν χριστῷ ἰησοῦ τοῖς οὖσιν ἐν φιλίπποις σὺν ἐπισκόποις
2 καὶ διακόνοις ◦ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν
3 καὶ κυρίου ἰησοῦ χριστοῦ ◦ εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ
4 μνείᾳ ὑμῶν ◦ πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν
5 μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος ◦ ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς
6 τὸ εὐαγγέλιον ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν ◦ πεποιθὼς αὐ-
τὸ τοῦτο ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει
7 ἄχριȣ ἡμέρας ἰησοῦ˚ χριστοῦ ◦ καθώς ἐστιν δίκαιον ἐμοὶ τοῦτο
φρονεῖν ὑπὲρ πάντων ὑμῶν διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑ-
μᾶς ἔν τε τοῖς δεσμοῖς μου καὶ τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ
εὐαγγελίου συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄν-
8 τας ◦ μάρτυς γάρ μού ἐστιν ὁ θεὸς ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν
9 σπλάγχνοις ἰησοῦ˚ χριστοῦ ◦ καὶ τοῦτο προσεύχομαι ἵνα ἡ ἀ-
γάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ
10 πάσῃ αἰσθήσει ◦ εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα ἵνα ἦτε
11 εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν χριστοῦ ◦ πεπληρωμένοι
καρπῶν δικαιοσύνης τῶν διὰ ἰησοῦ χριστοῦ εἰς δόξαν καὶ ἔπαι-
12 νον θεοῦ ◦ γινώσκειν δὲ ὑμᾶς βούλομαι ἀδελφοὶ ὅτι τὰ κατ᾽ ἐμὲ
13 μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν ◦ ὥστε τοὺς δε-
σμούς μου φανεροὺς ἐν χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ
14 καὶ τοῖς λοιποῖς πᾶσιν ◦ καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυ-
ρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾷν ἀφόβως
15 τὸν λόγον λαλεῖν ◦ τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν τινὲς δὲ καὶ
16 δι᾽ εὐδοκίαν τὸν χριστὸν κηρύσσουσιν ◦ οἱ μὲν ἐξ ἐριθείας˚ τὸν
χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς οἰόμενοι θλῖψιν ἐπιφέρειν
17 τοῖς δεσμοῖς μου ◦ οἱ δὲ ἐξ ἀγάπης˚ εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ
18 εὐαγγελίου κεῖμαι ◦ τί γὰρ πλὴν παντὶ τρόπῳ εἴτε προφάσει εἴτε
ἀληθείᾳ χριστὸς καταγγέλλεται καὶ ἐν τούτῳ χαίρω ἀλλὰ καὶ

𝕋: Η ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ. **1.v.1** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.5** 𝕋*: απο, 𝕍: απο της. **v.6** 𝕋*: αχρις, 𝕍: αχρι. **v.6** 𝕋 𝕂: ιησου χριστου, 𝕄 𝕍: χριστου ιησου. **v.7** 𝕋 𝕂: τη, 𝕄 𝕍: εν τη. **v.8** 𝕋*: εστιν, 𝕍: ∅. **v.8** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.11** 𝕋*: καρπων, 𝕍: καρπον. **v.11** 𝕋*: των, 𝕍: τον. **v.16** 𝕋*: εριθειας τον χριστον καταγγελλουσιν ουχ αγνως οιομενοι θλιψιν επιφερειν τοις δεσμοις μου, 𝕍: αγαπης ειδοτες οτι εις απολογιαν του ευαγγελιου κειμαι. **v.17** 𝕋*: αγαπης ειδοτες οτι εις απολογιαν του ευαγγελιου κειμαι, 𝕍: εριθειας τον χριστον καταγγελλουσιν ουχ αγνως οιομενοι θλιψιν εγειρειν τοις δεσμοις μου. **v.18** 𝕋*: πλην, 𝕍: πλην οτι.

χαρήσομαι ◦ οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν 19
διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος ἰησοῦ
χριστοῦ ◦ κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου ὅτι ἐν οὐδε- 20
νὶ αἰσχυνθήσομαι ἀλλ᾽ ἐν πάσῃ παρρησίᾳ ὡς πάντοτε καὶ νῦν
μεγαλυνθήσεται χριστὸς ἐν τῷ σώματί μου εἴτε διὰ ζωῆς εἴτε διὰ
θανάτου ◦ ἐμοὶ γὰρ τὸ ζῆν χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος ◦ εἰ 21, 22
δὲ τὸ ζῆν ἐν σαρκὶ τοῦτό μοι καρπὸς ἔργου καὶ τί αἱρήσομαι οὐ
γνωρίζω ◦ συνέχομαι ⸂γὰρ ἐκ τῶν δύο τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ 23
ἀναλῦσαι καὶ σὺν χριστῷ εἶναι πόλλῳ μᾶλλον κρεῖσσον ◦ τὸ δὲ 24
ἐπιμένειν ἐν τῇ σαρκὶ ἀναγκαιότερον δι᾽ ὑμᾶς ◦ καὶ τοῦτο πεποι- 25
θὼς οἶδα ὅτι μενῶ καὶ ⸀συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν
προκοπὴν καὶ χαρὰν τῆς πίστεως ◦ ἵνα τὸ καύχημα ὑμῶν πε- 26
ρισσεύῃ ἐν χριστῷ ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν
πρὸς ὑμᾶς ◦ μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ χριστοῦ πολιτεύ- 27
εσθε ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε ἀπὼν ἀκούσω τὰ περὶ
ὑμῶν ὅτι στήκετε ἐν ἑνὶ πνεύματι μιᾷ ψυχῇ συναθλοῦντες τῇ
πίστει τοῦ εὐαγγελίου ◦ καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν 28
ἀντικειμένων ἥτις αὐτοῖς˚ μέν ἐστιν ἔνδειξις ἀπωλείας ὑμῖν δὲ
σωτηρίας καὶ τοῦτο ἀπὸ θεοῦ ◦ ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ χρι- 29
στοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ
πάσχειν ◦ τὸν αὐτὸν ἀγῶνα ἔχοντες οἷον ⸀εἴδετε ἐν ἐμοὶ καὶ νῦν 30
ἀκούετε ἐν ἐμοί ◦

εἴ τις οὖν παράκλησις ἐν χριστῷ εἴ τι παραμύθιον ἀγάπης εἴ **2**
τις κοινωνία πνεύματος εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί ◦ πλη- 2
ρώσατέ μου τὴν χαρὰν ἵνα τὸ αὐτὸ φρονῆτε τὴν αὐτὴν ἀγάπην
ἔχοντες σύμψυχοι τὸ ἓν φρονοῦντες ◦ μηδὲν κατὰ˚ ἐρίθειαν ἢ 3
κενοδοξίαν ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπε-
ρέχοντας ἑαυτῶν ◦ μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε ἀλλὰ καὶ τὰ 4
ἑτέρων ἕκαστος˚ ◦ τοῦτο γὰρ˚ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν χρι- 5
στῷ ἰησοῦ ◦ ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο 6
τὸ εἶναι ἴσα θεῷ ◦ ἀλλ᾽ ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών 7
ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος ◦ καὶ σχήματι εὑρεθεὶς ὡς 8
ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θα-
νάτου θανάτου δὲ σταυροῦ ◦ διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν 9
καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα ◦ ἵνα ἐν τῷ ὀ- 10

v.23 𝕋 𝕂: γαρ, 𝕄 𝕍: δε. **v.23** 𝕋*: πολλω, 𝕍: πολλω [γαρ]. **v.25** 𝕋*: συμπαραμενω, 𝕍: παραμενω. **v.27** 𝕋*: ακουσω, 𝕍: ακουω. **v.28** 𝕋*: αυτοις μεν εστιν ενδειξις απωλειας υμιν, 𝕍: εστιν αυτοις ενδειξις απωλειας υμων. **v.30** 𝕋: ιδετε, 𝕂 𝕄 𝕍: ειδετε. **2.v.1** 𝕋 𝕂: τινα, 𝕄 𝕍: τις. **v.3** 𝕋*: κατα εριθειαν η, 𝕍: κατ εριθειαν μηδε κατα. **v.4** 𝕋*: σκοπειτε, 𝕍: σκοπουντες. **v.4** 𝕋*: εκαστος, 𝕍: εκαστοι. **v.5** 𝕋*: γαρ φρονεισθω, 𝕍: φρονειτε. **v.7** 𝕋*: αλλ, 𝕍: αλλα. **v.9** 𝕋*: ονομα, 𝕍: το ονομα.

νόματι ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ
11 καταχθονίων ⸰ καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος ἰη-
12 σοῦς χριστὸς εἰς δόξαν θεοῦ πατρός ⸰ ὥστε ἀγαπητοί μου καθὼς
πάντοτε ὑπηκούσατε μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον ἀλλὰ
νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου μετὰ φόβου καὶ τρόμου
13 τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε ⸰ ὁ˚ θεὸς γάρ ἐστιν ὁ ἐνερ-
γῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας ⸰
14, 15 πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν ⸰ ἵνα γένησθε
ἄμεμπτοι καὶ ἀκέραιοι τέκνα θεοῦ ἀμώμητα˚ ἐν μέσῳ γενεᾶς
σκολιᾶς καὶ διεστραμμένης ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κό-
16 σμῳ ⸰ λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν χρι-
17 στοῦ ὅτι οὐκ εἰς κενὸν ἔδραμον οὐδὲ εἰς κενὸν ἐκοπίασα ⸰ ἀλλ᾽
εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν
18 χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν ⸰ τὸ δ᾽ αὐτὸ καὶ ὑμεῖς χαίρετε
19 καὶ συγχαίρετέ μοι ⸰ ἐλπίζω δὲ ἐν κυρίῳ ἰησοῦ τιμόθεον ταχέως
20 πέμψαι ὑμῖν ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν ⸰ οὐδένα
21 γὰρ ἔχω ἰσόψυχον ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει ⸰ οἱ
22 πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν οὐ τὰ τοῦ˚ χριστοῦ ἰησοῦ ⸰ τὴν
δὲ δοκιμὴν αὐτοῦ γινώσκετε ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδού-
23 λευσεν εἰς τὸ εὐαγγέλιον ⸰ τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι ὡς ἂν
24 ἀφίδω τὰ περὶ ἐμὲ ἐξαυτῆς ⸰ πέποιθα δὲ ἐν κυρίῳ ὅτι καὶ αὐτὸς
25 ταχέως ἐλεύσομαι ⸰ ἀναγκαῖον δὲ ἡγησάμην ἐπαφρόδιτον τὸν
ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου ὑμῶν δὲ ἀπόστο-
26 λον καὶ λειτουργὸν τῆς χρείας μου πέμψαι πρὸς ὑμᾶς ⸰ ἐπειδὴ
ἐπιποθῶν ἦν πάντας ὑμᾶς καὶ ἀδημονῶν διότι ἠκούσατε ὅτι ἠ-
27 σθένησεν ⸰ καὶ γὰρ ἠσθένησεν παραπλήσιον θανάτῳ ἀλλ᾽ ὁ θεὸς
αὐτὸν˚ ἠλέησεν οὐκ αὐτὸν δὲ μόνον ἀλλὰ καὶ ἐμὲ ἵνα μὴ λύπην
28 ἐπὶ λύπῃ σχῶ ⸰ σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν ἵνα ἰδόντες
29 αὐτὸν πάλιν χαρῆτε κἀγὼ ἀλυπότερος ὦ ⸰ προσδέχεσθε οὖν αὐ-
τὸν ἐν κυρίῳ μετὰ πάσης χαρᾶς καὶ τοὺς τοιούτους ἐντίμους
30 ἔχετε ⸰ ὅτι διὰ τὸ ἔργον τοῦ χριστοῦ μέχρι θανάτου ἤγγισεν πα-
ραβοὺλευσάμενος τῇ ψυχῇ ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα
τῆς πρός με λειτουργίας ⸰

3 τὸ λοιπὸν ἀδελφοί μου χαίρετε ἐν κυρίῳ τὰ αὐτὰ γράφειν
2 ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν ὑμῖν δὲ˚ ἀσφαλές ⸰ βλέπετε τοὺς

---

v.13 𝕋*: ο, 𝕍: ∅. **v.15** 𝕋*: αμωμητα εν μεσω, 𝕍: αμωμα μεσον. **v.17** 𝕋*: αλλ, 𝕍: αλλα. **v.18** 𝕋*: δ, 𝕍: δε. **v.21** 𝕋 𝕂: του χριστου ιησου, 𝕄: χριστου ιησου, 𝕍: ιησου χριστου. **v.23** 𝕋*: απιδω, 𝕍: αφιδω. **v.27** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.27** 𝕋*: αυτον ηλεησεν, 𝕍: ηλεησεν αυτον. **v.27** 𝕋 𝕂: λυπη, 𝕄 𝕍: λυπην. **v.30** 𝕋*: του, 𝕍: ∅. **v.30** 𝕋*: παραβουλευσαμενος, 𝕍: παραβολευσαμενος. **3.v.1** 𝕋 𝕂 𝕍: δε, 𝕄: δε το.

κύνας βλέπετε τοὺς κακοὺς ἐργάτας βλέπετε τὴν κατατομήν ⸰
ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ οἱ πνεύματι θεῷ λατρεύοντες καὶ 3
καυχώμενοι ἐν χριστῷ ἰησοῦ καὶ οὐκ ἐν σαρκὶ πεποιθότες ⸰
καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκὶ εἴ τις δοκεῖ ἄλλος 4
πεποιθέναι ἐν σαρκὶ ἐγὼ μᾶλλον ⸰ περιτομὴ ὀκταήμερος ἐκ γέ- 5
νους ἰσραὴλ φυλῆς βενιαμὶν ἑβραῖος ἐξ ἑβραίων κατὰ νόμον
φαρισαῖος ⸰ κατὰ ζῆλος διώκων τὴν ἐκκλησίαν κατὰ δικαιοσύ- 6
νην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος ⸰ ἀλλ᾽ ἅτινα ἦν μοι κέρδη 7
ταῦτα ἥγημαι διὰ τὸν χριστὸν ζημίαν ⸰ ἀλλὰ μενοῦνγε καὶ ἡγοῦ- 8
μαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως χριστοῦ
ἰησοῦ τοῦ κυρίου μου δι᾽ ὃν τὰ πάντα ἐζημιώθην καὶ ἡγοῦ-
μαι σκύβαλα εἶνα χριστὸν κερδήσω ⸰ καὶ εὑρεθῶ ἐν αὐτῷ 9
μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου ἀλλὰ τὴν διὰ πίστεως
χριστοῦ τὴν ἐκ θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει ⸰ τοῦ γνῶναι αὐ- 10
τὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ καὶ τὴν κοινωνίαν
τῶν παθημάτων αὐτοῦ συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ ⸰ εἴ 11
πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν ⸰ οὐχ ὅτι ἤδη 12
ἔλαβον ἢ ἤδη τετελείωμαι διώκω δὲ εἰ καὶ καταλάβω ἐφ᾽ ᾧ καὶ
κατελήφθην ὑπὸ τοῦ χριστοῦ ἰησοῦ ⸰ ἀδελφοὶ ἐγὼ ἐμαυτὸν οὐ 13
λογίζομαι κατειληφέναι ἓν δὲ τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος
τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος ⸰ κατὰ σκοπὸν διώκω εἰς τὸ 14
βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν χριστῷ ἰησοῦ ⸰ ὅσοι οὖν 15
τέλειοι τοῦτο φρονῶμεν καὶ εἴ τι ἑτέρως φρονεῖτε καὶ τοῦτο ὁ
θεὸς ὑμῖν ἀποκαλύψει ⸰ πλὴν εἰς ὃ ἐφθάσαμεν τῷ αὐτῷ στοιχεῖν 16
κανόνι˚ τὸ αὐτὸ φρονεῖν ⸰ συμμιμηταί μου γίνεσθε ἀδελφοὶ καὶ 17
σκοπεῖτε τοὺς οὕτως περιπατοῦντας καθὼς ἔχετε τύπον ἡμᾶς ⸰
πολλοὶ γὰρ περιπατοῦσιν οὓς πολλάκις ἔλεγον ὑμῖν νῦν δὲ καὶ 18
κλαίων λέγω τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ χριστοῦ ⸰ ὧν τὸ τέ- 19
λος ἀπώλεια ὧν ὁ θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν
οἱ τὰ ἐπίγεια φρονοῦντες ⸰ ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς 20
ὑπάρχει ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον ἰησοῦν χρι-
στόν ⸰ ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς˚ τὸ 21
γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν
ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα ⸰

ὥστε ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι χαρὰ καὶ στέφα- **4**

---

v.3 𝕋 𝕂: θεω, 𝕄 𝕍: θεου. **v.4** 𝕋: ειτις, 𝕂 𝕄 𝕍: ει τις. **v.6** 𝕋*: ζηλον, 𝕍: ζηλος. **v.7** 𝕋*: αλλ, 𝕍: [αλλα]. **v.8** 𝕋 𝕂 𝕍: μενουνγε, 𝕄: μενουν. **v.8** 𝕋*: ειναι, 𝕍: ∅. **v.10** 𝕋*: συμμορφουμενος, 𝕍: συμμορφιζομενος. **v.11** 𝕋*: των, 𝕍: την εκ. **v.12** 𝕋*: κατεληφθην, 𝕍: κατελημφθην. **v.12** 𝕋*: του, 𝕍: ∅. **v.14** 𝕋*: επι, 𝕍: εις. **v.16** 𝕋*: κανονι το αυτο φρονειν, 𝕍: ∅. **v.21** 𝕋*: εις το γενεσθαι αυτο, 𝕍: ∅. **v.21** 𝕋*: εαυτω, 𝕍: αυτω.

2 νός μου οὕτως στήκετε ἐν κυρίῳ ἀγαπητοί ⸰ εὐῳδίαν παρακαλῶ
3 καὶ συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ ⸰ καὶ ἐρω-
τῶ καί σε σύζυγε˚ γνήσιε συλλαμβάνου αὐταῖς αἵτινες ἐν τῷ
εὐαγγελίῳ συνήθλησάν μοι μετὰ καὶ κλήμεντος καὶ τῶν λοιπῶν
4 συνεργῶν μου ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς ⸰ χαίρετε ἐν κυρίῳ
5 πάντοτε πάλιν ἐρῶ χαίρετε ⸰ τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν
6 ἀνθρώποις ὁ κύριος ἐγγύς ⸰ μηδὲν μεριμνᾶτε ἀλλ᾽ ἐν παντὶ τῇ
προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν
7 γνωριζέσθω πρὸς τὸν θεόν ⸰ καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέ-
χουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα
8 ὑμῶν ἐν χριστῷ ἰησοῦ ⸰ τὸ λοιπὸν ἀδελφοὶ ὅσα ἐστὶν ἀληθῆ ὅσα
σεμνὰ ὅσα δίκαια ὅσα ἁγνὰ ὅσα προσφιλῆ ὅσα εὔφημα εἴ τις
9 ἀρετὴ καὶ εἴ τις ἔπαινος ταῦτα λογίζεσθε ⸰ ἃ καὶ ἐμάθετε καὶ πα-
ρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοὶ ταῦτα πράσσετε καὶ
10 ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ᾽ ὑμῶν ⸰ ἐχάρην δὲ ἐν κυρίῳ με-
γάλως ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν ἐφ᾽ ᾧ καὶ
11 ἐφρονεῖτε ἠκαιρεῖσθε δέ ⸰ οὐχ ὅτι καθ᾽ ὑστέρησιν λέγω ἐγὼ γὰρ
12 ἔμαθον ἐν οἷς εἰμι αὐτάρκης εἶναι ⸰ οἶδα δὲ˚ ταπεινοῦσθαι οἶδα
καὶ περισσεύειν ἐν παντὶ καὶ ἐν πᾶσιν μεμύημαι καὶ χορτάζε-
13 σθαι καὶ πεινᾶν καὶ περισσεύειν καὶ ὑστερεῖσθαι ⸰ πάντα ἰσχύω
14 ἐν τῷ ἐνδυναμοῦντί με χριστῷ ⸰ πλὴν καλῶς ἐποιήσατε συγκοι-
15 νωνήσαντές μου τῇ θλίψει ⸰ οἴδατε δὲ καὶ ὑμεῖς φιλιππήσιοι ὅτι
ἐν ἀρχῇ τοῦ εὐαγγελίου ὅτε ἐξῆλθον ἀπὸ μακεδονίας οὐδεμία
μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως εἰ μὴ
16 ὑμεῖς μόνοι ⸰ ὅτι καὶ ἐν θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν
17 χρείαν μοι ἐπέμψατε ⸰ οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα ἀλλ᾽ ἐπιζητῶ τὸν
18 καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν ⸰ ἀπέχω δὲ πάντα καὶ
περισσεύω πεπλήρωμαι δεξάμενος παρὰ ἐπαφροδίτου τὰ παρ᾽
19 ὑμῶν ὀσμὴν εὐωδίας θυσίαν δεκτὴν εὐάρεστον τῷ θεῷ ⸰ ὁ δὲ θε-
ός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν˚ πλοῦτον αὐτοῦ
20 ἐν δόξῃ ἐν χριστῷ ἰησοῦ ⸰ τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς
21 τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ⸰ ἀσπάσασθε πάντα ἅγιον ἐν χρι-
22 στῷ ἰησοῦ ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί ⸰ ἀσπάζονται
23 ὑμᾶς πάντες οἱ ἅγιοι μάλιστα δὲ οἱ ἐκ τῆς καίσαρος οἰκίας ⸰ ἡ
χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων˚ ὑμῶν ἀ-
μήν ⸰ Πρὸς˚ φιλιππησίους ἐγράφη ἀπὸ ῥώμης δι᾽ ἐπαφροδίτου ⸰

4.v.2 𝕋: ευωδιαν, 𝕂 𝕄 𝕍: ευοδιαν. **v.3** 𝕋 𝕂: και, 𝕄 𝕍: ναι. **v.3** 𝕋*: συζυγε γνησιε, 𝕍: γνησιε συζυγε. **v.12** 𝕋: δε, 𝕂 𝕄 𝕍: και. **v.13** 𝕋*: χριστω, 𝕍: ∅. **v.15** 𝕋*: ληψεως, 𝕍: λημψεως. **v.17** 𝕋*: αλλ, 𝕍: αλλα. **v.19** 𝕋*: τον πλουτον, 𝕍: το πλουτος. **v.23** 𝕋 𝕂: ημων, 𝕄 𝕍: ∅. **v.23** 𝕋*: παντων υμων αμην, 𝕍: του πνευματος υμων. **v.23** 𝕋: Προς . . . επαφροδιτου, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θεοῦ καὶ **1**
τιμόθεος ὁ ἀδελφός ⸰ τοῖς ἐν κολάσσαις ἁγίοις καὶ πιστοῖς ἀδελ- 2
φοῖς ἐν χριστῷ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν
καὶ˚ κυρίου ἰησοῦ χριστοῦ ⸰ εὐχαριστοῦμεν τῷ θεῷ κἀὶ πατρὶ 3
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ πάντοτε περὶ ὑμῶν προσευ-
χόμενοι ⸰ ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν χριστῷ ἰησοῦ καὶ τὴν 4
ἀγάπην ἣν εἰς πάντας τοὺς ἁγίους ⸰ διὰ τὴν ἐλπίδα τὴν ἀπο- 5
κειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς
ἀληθείας τοῦ εὐαγγελίου ⸰ τοῦ παρόντος εἰς ὑμᾶς καθὼς καὶ ἐν 6
παντὶ τῷ κόσμῳ κἀὶ ἔστιν καρποφορούμενον˙ καθὼς καὶ ἐν ὑμῖν
ἀφ᾽ ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν
ἀληθείᾳ ⸰ καθὼς κἀὶ ἐμάθετε ἀπὸ ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συν- 7
δούλου ἡμῶν ὅς ἐστιν πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ χριστοῦ ⸰
ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι ⸰ διὰ τοῦτο 8, 9
καὶ ἡμεῖς ἀφ᾽ ἧς ἡμέρας ἠκούσαμεν οὐ παυόμεθα ὑπὲρ ὑμῶν
προσευχόμενοι καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν
τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ ⸰
περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ κυρίου εἰς πᾶσαν ἀρέσκειαν ἐν 10
παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανόμενοι εἰς˚ τὴν
ἐπίγνωσιν τοῦ θεοῦ ⸰ ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ 11
κράτος τῆς δόξης αὐτοῦ εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν
μετὰ χαρᾶς ⸰ εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς 12
τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί ⸰ ὃς ἐρρύσατο ἡμᾶς 13
ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν
τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ ⸰ ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ˚ 14
τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ⸰ ὅς ἐστιν εἰκὼν τοῦ 15
θεοῦ τοῦ ἀοράτου πρωτότοκος πάσης κτίσεως ⸰ ὅτι ἐν αὐτῷ ἐκτί- 16
σθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς τὰ ὁρατὰ καὶ
τὰ ἀόρατα εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι
τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται ⸰ καὶ αὐτός ἐστιν πρὸ 17
πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν ⸰ καὶ αὐτός ἐστιν ἡ κε- 18

𝕋: Η ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ. **1.v.1** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.2** 𝕋 𝕄: κολασσαις, 𝕂 𝕍: κολοσσαις. **v.2** 𝕋*: και κυριου ιησου χριστου, 𝕍: ∅. **v.3** 𝕋*: και, 𝕍: ∅. **v.4** 𝕋*: την, 𝕍: ην εχετε. **v.6** 𝕋*: και, 𝕍: ∅. **v.6** 𝕋 𝕂: καρποφορουμενον, 𝕄 𝕍: καρποφορουμενον και αυξανομενον. **v.7** 𝕋*: και, 𝕍: ∅. **v.10** 𝕋*: υμας, 𝕍: ∅. **v.10** 𝕋*: εις την επιγνωσιν, 𝕍: τη επιγνωσει. **v.12** 𝕋*: ημας, 𝕍: υμας. **v.14** 𝕋 𝕂: δια του αιματος αυτου, 𝕄 𝕍: ∅. **v.16** 𝕋*: τα, 𝕍: ∅.

φαλὴ τοῦ σώματος τῆς ἐκκλησίας ὅς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ
19 τῶν νεκρῶν ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων ⸰ ὅτι ἐν αὐτῷ
20 εὐδόκησεν πᾶν τὸ πλήρωμα κατοικῆσαι ⸰ καὶ δι᾽ αὐτοῦ ἀποκα-
ταλλάξαι τὰ πάντα εἰς αὐτὸν εἰρηνοποιήσας διὰ τοῦ αἵματος
τοῦ σταυροῦ αὐτοῦ δι᾽ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς
21 οὐρανοῖς ⸰ καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς
τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς νυνὶ δὲ ἀποκατήλλαξεν ⸰
22 ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου παραστῆσαι
ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ ⸰
23 εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ με-
τακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε τοῦ
κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανὸν οὗ ἐγενό-
24 μην ἐγὼ παῦλος διάκονος ⸰ νῦν χαίρω ἐν τοῖς παθήμασίν μου
ὑπὲρ ὑμῶν καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ
χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ ὅ ἐστιν ἡ
25 ἐκκλησία ⸰ ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ
θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τοῦ θε-
26 οῦ ⸰ τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ
27 τῶν γενεῶν νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ ⸰ οἷς ἠθέλησεν
ὁ θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τού-
του ἐν τοῖς ἔθνεσιν ὅς ἐστιν χριστὸς ἐν ὑμῖν ἡ ἐλπὶς τῆς δόξης ⸰
28 ὃν ἡμεῖς καταγγέλλομεν νουθετοῦντες πάντα ἄνθρωπον καὶ δι-
δάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ ἵνα παραστήσωμεν
29 πάντα ἄνθρωπον τέλειον ἐν χριστῷ ἰησοῦ ⸰ εἰς ὃ καὶ κοπιῶ ἀγω-
νιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ
ἐν δυνάμει ⸰

2 θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω ὑπὲρ ὑμῶν καὶ
τῶν ἐν λαοδικείᾳ καὶ ὅσοι οὐχ ἑώρακασιν τὸ πρόσωπόν μου
2 ἐν σαρκί ⸰ ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν συμβιβασθέντων
ἐν ἀγάπῃ καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέ-
σεως εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ θεοῦ καὶ πατρὸς καὶ
3 τοῦ χριστοῦ ⸰ ἐν ᾧ εἰσιν πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς
4 γνώσεως ἀπόκρυφοι ⸰ τοῦτο δὲ λέγω ἵνα μή τις ὑμᾶς παρα-
5 λογίζηται ἐν πιθανολογίᾳ ⸰ εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι ἀλλὰ τῷ
πνεύματι σὺν ὑμῖν εἰμὶ χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ

v.20 𝕋 𝕂 𝕍: εν, 𝕄: επι. **v.23** 𝕋*: ειγε, 𝕍: ει γε. **v.23** 𝕋*: τη, 𝕍: ∅. **v.24** 𝕋 𝕄 𝕍: νυν, 𝕂: ος νυν. **v.24** 𝕋 𝕂: μου, 𝕄 𝕍: ∅. **v.26** 𝕋*: νυνι, 𝕍: νυν. **v.27** 𝕋 𝕂: τις ο, 𝕄 𝕍: τι το. **v.27** 𝕋*: ος, 𝕍: ο. **v.28** 𝕋*: ιησου, 𝕍: ∅. **2.v.1** 𝕋*: περι, 𝕍: υπερ. **v.1** 𝕋*: εωρακασιν, 𝕍: εορακαν. **v.2** 𝕋*: συμβιβασθεντων, 𝕍: συμβιβασθεντες. **v.2** 𝕋*: παντα πλουτον, 𝕍: παν πλουτος. **v.2** 𝕋*: και πατρος και του, 𝕍: ∅. **v.3** 𝕋*: της, 𝕍: ∅. **v.4** 𝕋*: δε, 𝕍: ∅. **v.4** 𝕋*: μη τις, 𝕍: μηδεις.

τὸ στερέωμα τῆς εἰς χριστὸν πίστεως ὑμῶν ◦ ὡς οὖν παρελάβετε 6
τὸν χριστὸν ἰησοῦν τὸν κύριον ἐν αὐτῷ περιπατεῖτε ◦ ἐρριζωμένοι 7
καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ βεβαιούμενοι ἐν̓ τῇ πίστει
καθὼς ἐδιδάχθητε περισσεύοντες ἐν̓ αὐτῇ ἐν εὐχαριστίᾳ ◦ βλέ- 8
πετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ
κενῆς ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων κατὰ τὰ στοι-
χεῖα τοῦ κόσμου καὶ οὐ κατὰ χριστόν ◦ ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν 9
τὸ πλήρωμα τῆς θεότητος σωματικῶς ◦ καί ἐστε ἐν αὐτῷ πεπλη- 10
ρωμένοι ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας ◦ ἐν ᾧ καὶ 11
περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώ-
ματος τῶν̓ ἁμαρτιῶν τῆς σαρκὸς ἐν τῇ περιτομῇ τοῦ χριστοῦ ◦
συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι ἐν ᾧ καὶ συνηγέρθητε διὰ 12
τῆς πίστεως τῆς ἐνεργείας τοῦ θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ
τ̔ῶν νεκρῶν ◦ καὶ ὑμᾶς νεκροὺς ὄντας ἐν τοῖς παραπτώμασιν καὶ 13
τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν συνεζωποίησεν̓ σὺν αὐτῷ χα-
ρισάμενος ἡμ̔ῖν πάντα τὰ παραπτώματα ◦ ἐξαλείψας τὸ καθ̓ ἡ- 14
μῶν χειρόγραφον τοῖς δόγμασιν ὃ ἦν ὑπεναντίον ἡμῖν καὶ αὐτὸ
ἦρκεν ἐκ τοῦ μέσου προσηλώσας αὐτὸ τῷ σταυρῷ ◦ ἀπεκδυσά- 15
μενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ
θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ ◦ μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώ- 16
σει ἢ̓ ἐν πόσει ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας ἢ σαββάτων ◦
ἅ ἐστιν σκιὰ τῶν μελλόντων τὸ δὲ σῶμα τ̔οῦ χριστοῦ ◦ μηδεὶς 17, 18
ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ
τῶν ἀγγέλων ἃ μὴ̓ ἑώρακεν ἐμβατεύων εἰκῇ φυσιούμενος ὑπὸ
τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ ◦ καὶ οὐ κρατῶν τὴν κεφαλὴν ἐξ οὗ 19
πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ
συμβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ θεοῦ ◦ εἰ οὖν̓ ἀπεθάνετε 20
σὺν τῷ χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου τί ὡς ζῶντες ἐν
κόσμῳ δογματίζεσθε ◦ μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς ◦ ἅ ἐστιν 21, 22
πάντα εἰς φθορὰν τῇ ἀποχρήσει κατὰ τὰ ἐντάλματα καὶ διδα-
σκαλίας τῶν ἀνθρώπων ◦ ἅτινά ἐστιν λόγον μὲν ἔχοντα σοφίας ἐν 23
ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος οὐκ
ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός ◦

εἰ οὖν συνηγέρθητε τῷ χριστῷ τὰ ἄνω ζητεῖτε οὗ ὁ χριστός **3**
ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος ◦ τὰ ἄνω φρονεῖτε μὴ τὰ ἐ- 2

---

v.7 𝕋*: εν, 𝕍: ∅. **v.7** 𝕋*: εν αυτη, 𝕍: ∅. **v.11** 𝕋*: των αμαρτιων, 𝕍: ∅. **v.12** 𝕋*: βαπτισματι, 𝕍: βαπτισμω. **v.12** 𝕋*: των, 𝕍: ∅. **v.13** 𝕋: συνεζωποιησεν, 𝕂: συνεζωοποιησεν, 𝕄 𝕍: συνεζωοποιησεν υμας. **v.13** 𝕋 𝕄 𝕍: ημιν, 𝕂: υμιν. **v.16** 𝕋*: η, 𝕍: και. **v.16** 𝕋*: νουμηνιας, 𝕍: νεομηνιας. **v.17** 𝕋 𝕂 𝕍: του, 𝕄: ∅. **v.18** 𝕋*: μη εωρακεν, 𝕍: εορακεν. **v.20** 𝕋 𝕂: ουν απεθανετε συν τω, 𝕄 𝕍: απεθανετε συν. **v.23** 𝕋*: εθελοθρησκεια, 𝕍: εθελοθρησκια.

3 πὶ τῆς γῆς ⸰ ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ
4 χριστῷ ἐν τῷ θεῷ ⸰ ὅταν ὁ χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν τότε
5 καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ ⸰ νεκρώσατε οὖν τὰ
μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς πορνείαν ἀκαθαρσίαν πάθος ἐπιθυ-
6 μίαν κακὴν καὶ τὴν πλεονεξίαν ἥτις ἐστὶν εἰδωλολατρεία ⸰ δι᾽ ἃ
7 ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας ⸰ ἐν οἷς
8 καὶ ὑμεῖς περιεπατήσατέ ποτε ὅτε ἐζῆτε ἐν αὐτοῖς ⸰ νυνὶ δὲ ἀ-
πόθεσθε καὶ ὑμεῖς τὰ πάντα ὀργὴν θυμὸν κακίαν βλασφημίαν
9 αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν ⸰ μὴ ψεύδεσθε εἰς ἀλλή-
λους ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν
10 αὐτοῦ ⸰ καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπί-
11 γνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν ⸰ ὅπου οὐκ ἔνι Ἕλλην καὶ
Ἰουδαῖος περιτομὴ καὶ ἀκροβυστία βάρβαρος σκύθης δοῦλος ἐ-
12 λεύθερος ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσιν χριστός ⸰ ἐνδύσασθε οὖν
ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ ἠγαπημένοι σπλάγχνα οἰκτιρ-
13 μῶν χρηστότητα ταπεινοφροσύνην πρᾳότητα μακροθυμίαν ⸰ ἀ-
νεχόμενοι ἀλλήλων καὶ χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα
ἔχῃ μομφὴν καθὼς καὶ ὁ χριστὸς ἐχαρίσατο ὑμῖν οὕτως καὶ ὑ-
14 μεῖς ⸰ ἐπὶ πᾶσιν δὲ τούτοις τὴν ἀγάπην ἥτις ἐστὶν σύνδεσμος τῆς
15 τελειότητος ⸰ καὶ ἡ εἰρήνη τοῦ θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις
ὑμῶν εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι καὶ εὐχάριστοι γίνεσθε ⸰
16 ὁ λόγος τοῦ χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σο-
φίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ˚ ὕμνοις
καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι ᾄδοντες ἐν τῇ˚ καρδίᾳ ὑμῶν
17 τῷ κυρίῳ ⸰ καὶ πᾶν ὅ τι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ πάντα ἐν
ὀνόματι κυρίου ἰησοῦ εὐχαριστοῦντες τῷ θεῷ κἀὶ πατρὶ δι᾽ αὐ-
18 τοῦ ⸰ αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν ὡς ἀνῆκεν
19 ἐν κυρίῳ ⸰ οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ πικραίνε-
20 σθε πρὸς αὐτάς ⸰ τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν κατὰ πάντα
21 τοῦτο γάρ ἐστιν˚ εὐάρεστον τῷ κυρίῳ ⸰ οἱ πατέρες μὴ ἐρεθίζετε τὰ
22 τέκνα ὑμῶν ἵνα μὴ ἀθυμῶσιν ⸰ οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα
τοῖς κατὰ σάρκα κυρίοις μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρω-
23 πάρεσκοι ἀλλ᾽ ἐν ἁπλότητι καρδίας φοβούμενοι τὸν θεόν ⸰ καὶ˚

3.v.4 𝕋*: ημων, 𝕍: υμων. **v.5** 𝕋*: υμων, 𝕍: ∅. **v.5** 𝕋*: ειδωλολατρεια, 𝕍: ειδωλολατρια. **v.7** 𝕋*: αυτοις, 𝕍: τουτοις. **v.12** 𝕋 𝕂: οικτιρμων, 𝕄 𝕍: οικτιρμου. **v.12** 𝕋*: πραοτητα, 𝕍: πραυτητα. **v.13** 𝕋*: χριστος, 𝕍: κυριος. **v.14** 𝕋*: ητις, 𝕍: ο. **v.15** 𝕋*: θεου, 𝕍: χριστου. **v.16** 𝕋*: και υμνοις και ωδαις πνευματικαις εν, 𝕍: υμνοις ωδαις πνευματικαις εν [τη]. **v.16** 𝕋*: τη καρδια υμων τω κυριω, 𝕍: ταις καρδιαις υμων τω θεω. **v.17** 𝕋*: αν, 𝕍: εαν. **v.17** 𝕋*: και, 𝕍: ∅. **v.18** 𝕋*: ιδιοις, 𝕍: ∅. **v.20** 𝕋 𝕂: εστιν ευαρεστον τω, 𝕄: εστιν ευαρεστον εν, 𝕍: ευαρεστον εστιν εν. **v.22** 𝕋*: οφθαλμοδουλειαις, 𝕍: οφθαλμοδουλια. **v.22** 𝕋*: θεον, 𝕍: κυριον. **v.23** 𝕋*: και παν ο τι, 𝕍: ο.

πᾶν ὅ τι ἐὰν ποιῆτε ἐκ ψυχῆς ἐργάζεσθε ὡς τῷ κυρίῳ καὶ οὐκ
ἀνθρώποις ⸰ εἰδότες ὅτι ἀπὸ κυρίου ἀπολήψεσθε τὴν ἀνταπό- 24
δοσιν τῆς κληρονομίας τῷ γὰρ κυρίῳ χριστῷ δουλεύετε ⸰ ὁ δὲ˚ 25
ἀδικῶν κομιεῖται ὃ ἠδίκησεν καὶ οὐκ ἔστιν προσωποληψία ⸰

οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε **4**
εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς ⸰ τῇ προσευχῇ 2
προσκαρτερεῖτε γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ ⸰ προσευ- 3
χόμενοι ἅμα καὶ περὶ ἡμῶν ἵνα ὁ θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ
λόγου λαλῆσαι τὸ μυστήριον τοῦ χριστοῦ δι᾽ ὃ καὶ δέδεμαι ⸰
ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι ⸰ ἐν σοφίᾳ περιπατεῖτε 4, 5
πρὸς τοὺς ἔξω τὸν καιρὸν ἐξαγοραζόμενοι ⸰ ὁ λόγος ὑμῶν πάν- 6
τοτε ἐν χάριτι ἅλατι ἠρτυμένος εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ
ἀποκρίνεσθαι ⸰ τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν τυχικὸς ὁ ἀγα- 7
πητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν κυρίῳ ⸰
ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ 8
παρακαλέσῃ τὰς καρδίας ὑμῶν ⸰ σὺν ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγα- 9
πητῷ ἀδελφῷ ὅς ἐστιν ἐξ ὑμῶν πάντα ὑμῖν γνωριοῦσιν τὰ ὧδε ⸰
ἀσπάζεται ὑμᾶς ἀρίσταρχος ὁ συναιχμάλωτός μου καὶ μάρκος 10
ὁ ἀνεψιὸς βαρνάβα περὶ οὗ ἐλάβετε ἐντολὰς ἐὰν ἔλθῃ πρὸς ὑ-
μᾶς δέξασθε αὐτόν ⸰ καὶ ἰησοῦς ὁ λεγόμενος ἰοῦστος οἱ ὄντες 11
ἐκ περιτομῆς οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ
οἵτινες ἐγενήθησάν μοι παρηγορία ⸰ ἀσπάζεται ὑμᾶς ἐπαφρᾶς 12
ὁ ἐξ ὑμῶν δοῦλος χριστοῦ πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν
ταῖς προσευχαῖς ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ
θελήματι τοῦ θεοῦ ⸰ μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον˚ πολὺν ὑ- 13
πὲρ ὑμῶν καὶ τῶν ἐν λαοδικείᾳ καὶ τῶν ἐν ἱεραπόλει ⸰ ἀσπάζεται 14
ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ δημᾶς ⸰ ἀσπάσασθε τοὺς 15
ἐν λαοδικείᾳ ἀδελφοὺς καὶ νυμφᾶν καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ
ἐκκλησίαν ⸰ καὶ ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολὴ ποιή- 16
σατε ἵνα καὶ ἐν τῇ λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ καὶ τὴν ἐκ
λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε ⸰ καὶ εἴπατε ἀρχίππῳ βλέπε 17
τὴν διακονίαν ἣν παρέλαβες ἐν κυρίῳ ἵνα αὐτὴν πληροῖς ⸰ ὁ ἀ- 18
σπασμὸς τῇ ἐμῇ χειρὶ παύλου μνημονεύετέ μου τῶν δεσμῶν ἡ
χάρις μεθ᾽ ὑμῶν ἀμήν ⸰ Πρὸς˚ κολασσαεῖς ἐγράφη ἀπὸ ῥώμης

---

v.24 𝕋 𝕂: απολημψεσθε, 𝕄: ληψεσθε, 𝕍: απολημψεσθε. **v.24** 𝕋*: γαρ, 𝕍: ∅. **v.25** 𝕋*: δε αδικων κομιειται, 𝕍: γαρ αδικων κομισεται. **v.25** 𝕋*: προσωποληψια, 𝕍: προσωπολημψια. **4.v.1** 𝕋*: ουρανοις, 𝕍: ουρανω. **v.8** 𝕋*: γνω, 𝕍: γνωτε. **v.8** 𝕋*: υμων, 𝕍: ημων. **v.9** 𝕋*: γνωριουσιν, 𝕍: γνωρισουσιν. **v.12** 𝕋*: χριστου, 𝕍: χριστου [ιησου]. **v.12** 𝕋*: στητε, 𝕍: σταθητε. **v.12** 𝕋*: πεπληρωμενοι, 𝕍: πεπληροφορημενοι. **v.13** 𝕋*: ζηλον πολυν, 𝕍: πολυν πονον. **v.15** 𝕋*: αυτου, 𝕍: αυτης, ℵ A C: αυτων. **v.18** 𝕋*: αμην, 𝕍: ∅. **v.18** 𝕋: Προς . . . ονησιμου, 𝕂 𝕄 𝕍: ∅.

διὰ τυχικοῦ καὶ ὀνησίμου ⸎

Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ ΠΡΩΤΗ˚

παῦλος καὶ σιλουανὸς καὶ τιμόθεος τῇ ἐκκλησίᾳ θεσσαλο- **1**
νικέων ἐν θεῷ πατρὶ καὶ κυρίῳ ἰησοῦ χριστῷ χάρις ὑμῖν καὶ
εἰρήνη ἀπὸ˚ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ⸰ εὐ- 2
χαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ πάντων ὑμῶν μνείαν ὑμῶν
ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν ⸰ ἀδιαλείπτως μνημονεύ- 3
οντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης
καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν ⸰ εἰδότες ἀδελφοὶ ἠγα- 4
πημένοι ὑπὸ θεοῦ τὴν ἐκλογὴν ὑμῶν ⸰ ὅτι τὸ εὐαγγέλιον ἡμῶν 5
οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον ἀλλὰ καὶ ἐν δυνάμει καὶ
ἐν πνεύματι ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ καθὼς οἴδατε οἷοι
ἐγενήθημεν ἐν ὑμῖν δι᾽ ὑμᾶς ⸰ καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενή- 6
θητε καὶ τοῦ κυρίου δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ
χαρᾶς πνεύματος ἁγίου ⸰ ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσιν τοῖς 7
πιστεύουσιν ἐν τῇ μακεδονίᾳ καὶ τῇ ἀχαΐᾳ ⸰ ἀφ᾽ ὑμῶν γὰρ ἐξῆ- 8
χηται ὁ λόγος τοῦ κυρίου οὐ μόνον ἐν τῇ μακεδονίᾳ καὶ ἀχαΐᾳ
ἀλλὰ˚ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυ-
θεν ὥστε μὴ χρείαν ἡμᾶς˚ ἔχειν λαλεῖν τι ⸰ αὐτοὶ γὰρ περὶ ἡμῶν 9
ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔχομεν πρὸς ὑμᾶς καὶ πῶς ἐπε-
στρέψατε πρὸς τὸν θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν θεῷ ζῶντι
καὶ ἀληθινῷ ⸰ καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν ὃν 10
ἤγειρεν ἐκ˙ νεκρῶν ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς
τῆς ἐρχομένης ⸰

αὐτοὶ γὰρ οἴδατε ἀδελφοὶ τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς **2**
ὅτι οὐ κενὴ γέγονεν ⸰ ἀλλὰ καὶ προπαθόντες καὶ ὑβρισθέντες 2
καθὼς οἴδατε ἐν φιλίπποις ἐπαρρησιασάμεθα ἐν τῷ θεῷ ἡμῶν
λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐν πολλῷ ἀγῶνι ⸰
ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας 3
οὔτε ἐν δόλῳ ⸰ ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πι- 4
στευθῆναι τὸ εὐαγγέλιον οὕτως λαλοῦμεν οὐχ ὡς ἀνθρώποις ἀ-
ρέσκοντες ἀλλὰ ˚τῷ θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν ⸰ οὔτε 5

𝕋: Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ ΠΡΩΤΗ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α. **1.v.1** 𝕋*: απο θεου . . . χριστου, 𝕍: ∅. **v.2** 𝕋*: υμων, 𝕍: ∅. **v.4** 𝕋*: θεου, 𝕍: [του] θεου. **v.7** 𝕋*: τυπους, 𝕍: τυπον. **v.7** 𝕋*: και, 𝕍: και εν. **v.8** 𝕋 𝕂: αχαια, 𝕄: εν τη αχαια, 𝕍: [εν τη] αχαια. **v.8** 𝕋*: αλλα και, 𝕍: αλλ. **v.8** 𝕋*: ημας εχειν, 𝕍: εχειν ημας. **v.9** 𝕋: εχομεν, 𝕂 𝕄 𝕍: εσχομεν. **v.10** 𝕋 𝕂: εκ, 𝕄: εκ των, 𝕍: εκ [των]. **v.10** 𝕋*: απο, 𝕍: εκ. **2.v.2** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.3** 𝕋*: ουτε, 𝕍: ουδε. **v.4** 𝕋*: τω, 𝕍: ∅.

γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν καθὼς οἴδατε οὔτε ἐν
6 προφάσει πλεονεξίας θεὸς μάρτυς ◦ οὔτε ζητοῦντες ἐξ ἀνθρώπων
δόξαν οὔτε ἀφ᾽ ὑμῶν οὔτε ἀπ᾽ ἄλλων δυνάμενοι ἐν βάρει εἶναι ὡς
7 χριστοῦ ἀπόστολοι ◦ ἀλλ᾽ ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν ὡς ἂν
8 τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα ◦ οὕτως ἱμειρόμενοι ὑμῶν εὐδο-
κοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ ἀλλὰ
9 καὶ τὰς ἑαυτῶν ψυχάς διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε ◦ μνημο-
νεύετε γὰρ ἀδελφοὶ τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον νυκτὸς γὰρ
καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν ἐκη-
10 ρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ◦ ὑμεῖς μάρτυρες καὶ ὁ
θεὸς ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν
11 ἐγενήθημεν ◦ καθάπερ οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν ὡς πατὴρ
τέκνα ἑαυτοῦ παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι καὶ
12 μαρτυρόμενοι ◦ εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ θεοῦ τοῦ
13 καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν ◦ διὰ τοῦτο
καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ θεῷ ἀδιαλείπτως ὅτι παραλαβόντες
λόγον ἀκοῆς παρ᾽ ἡμῶν τοῦ θεοῦ ἐδέξασθε οὐ λόγον ἀνθρώπων
ἀλλὰ καθώς ἐστιν ἀληθῶς λόγον θεοῦ ὃς καὶ ἐνεργεῖται ἐν ὑ-
14 μῖν τοῖς πιστεύουσιν ◦ ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε ἀδελφοὶ τῶν
ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ ἰουδαίᾳ ἐν χριστῷ ἰησοῦ
ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς
15 καὶ αὐτοὶ ὑπὸ τῶν ἰουδαίων ◦ τῶν καὶ τὸν κύριον ἀποκτεινάντων
ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας καὶ ἡμᾶς ἐκδιωξάντων καὶ
16 θεῷ μὴ ἀρεσκόντων καὶ πᾶσιν ἀνθρώποις ἐναντίων ◦ κωλυόντων
ἡμᾶς τοῖς ἔθνεσιν λαλῆσαι ἵνα σωθῶσιν εἰς τὸ ἀναπληρῶσαι αὐ-
τῶν τὰς ἁμαρτίας πάντοτε ἔφθασεν δὲ ἐπ᾽ αὐτοὺς ἡ ὀργὴ εἰς
17 τέλος ◦ ἡμεῖς δὲ ἀδελφοὶ ἀπορφανισθέντες ἀφ᾽ ὑμῶν πρὸς και-
ρὸν ὥρας προσώπῳ οὐ καρδίᾳ περισσοτέρως ἐσπουδάσαμεν τὸ
18 πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ ◦ διὸ ἠθελήσαμεν ἐλ-
θεῖν πρὸς ὑμᾶς ἐγὼ μὲν παῦλος καὶ ἅπαξ καὶ δὶς καὶ ἐνέκοψεν
19 ἡμᾶς ὁ σατανᾶς ◦ τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυ-
χήσεως ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ κυρίου ἡμῶν ἰησοῦ
20 χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ ◦ ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν
καὶ ἡ χαρά ◦

3 διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν ἀθή-

v.6 𝕋 𝕂 𝕍: απ, 𝕄: απο. **v.7** 𝕋*: αλλ, 𝕍: αλλα. **v.7** 𝕋*: ηπιοι, 𝕍: νηπιοι. **v.7** 𝕋*: αν, 𝕍: εαν. **v.8** 𝕋 𝕂: ιμειρομενοι, 𝕄 𝕍: ομειρομενοι. **v.8** 𝕋*: γεγενησθε, 𝕍: εγενηθητε. **v.9** 𝕋*: γαρ, 𝕍: ∅. **v.11** 𝕋 𝕂: μαρτυρουμενοι, 𝕄 𝕍: μαρτυρομενοι. **v.12** 𝕋*: περιπατησαι, 𝕍: περιπατειν. **v.12** 𝔼: καλουντος, ℵ A: καλεσαντος. **v.13** 𝕋*: δια, 𝕍: και δια. **v.14** 𝕋 𝕂: ταυτα, 𝕄 𝕍: τα αυτα. **v.15** 𝕋*: ιδιους, 𝕍: ∅. **v.15** 𝕋: υμας, 𝕂 𝕄 𝕍: ημας. **v.16** 𝔼: οργη, **xxx**: οργη του θεου. **v.18** 𝕋*: διο, 𝕍: διοτι. **v.19** 𝕋 𝕂: χριστου, 𝕄 𝕍: ∅.

ναις μόνοι ⸂ καὶ ἐπέμψαμεν τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ 2
διάκονον τοῦ θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ
χριστοῦ εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς
πίστεως ὑμῶν ⸂ τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσιν ταύταις 3
αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα ⸂ καὶ γὰρ ὅτε πρὸς ὑμᾶς 4
ἦμεν προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι καθὼς καὶ ἐ-
γένετο καὶ οἴδατε ⸂ διὰ τοῦτο κἀγὼ μηκέτι στέγων ἔπεμψα εἰς 5
τὸ γνῶναι τὴν πίστιν ὑμῶν μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων
καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν ⸂ ἄρτι δὲ ἐλθόντος τιμοθέου 6
πρὸς ἡμᾶς ἀφ᾽ ὑμῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ
τὴν ἀγάπην ὑμῶν καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε
ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς ⸂ διὰ τοῦτο 7
παρεκλήθημεν ἀδελφοὶ ἐφ᾽ ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀ-
νάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως ⸂ ὅτι νῦν ζῶμεν ἐὰν ὑμεῖς 8
στήκητε ἐν κυρίῳ ⸂ τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ θεῷ ἀν- 9
ταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι᾽ ὑμᾶς
ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν ⸂ νυκτὸς καὶ ἡμέρας ὑπὲρ ἐκπερισ- 10
σοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον καὶ καταρτίσαι
τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν ⸂ αὐτὸς δὲ ὁ θεὸς καὶ πατὴρ 11
ἡμῶν καὶ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς κατευθύναι τὴν ὁδὸν
ἡμῶν πρὸς ὑμᾶς ⸂ ὑμᾶς δὲ ὁ κύριος πλεονάσαι καὶ περισσεύσαι 12
τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας καθάπερ καὶ ἡμεῖς εἰς
ὑμᾶς ⸂ εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύ- 13
νῃ ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ ⸂

τὸ λοιπὸν οὖν ἀδελφοὶ ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν **4**
κυρίῳ ἰησοῦ καθὼς παρελάβετε παρ᾽ ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς πε-
ριπατεῖν καὶ ἀρέσκειν θεῷ ἵνα περισσεύητε μᾶλλον ⸂ οἴδατε γὰρ 2
τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ κυρίου ἰησοῦ ⸂ τοῦτο 3
γάρ ἐστιν θέλημα τοῦ θεοῦ ὁ ἁγιασμὸς ὑμῶν ἀπέχεσθαι ὑμᾶς
ἀπὸ τῆς πορνείας ⸂ εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶ- 4
σθαι ἐν ἁγιασμῷ καὶ τιμῇ ⸂ μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ 5
τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν θεόν ⸂ τὸ μὴ ὑπερβαίνειν καὶ πλεονε- 6
κτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ διότι ἔκδικος ὁ κύριος
περὶ πάντων τούτων καθὼς καὶ προείπαμεν ὑμῖν καὶ διεμαρτυ-

3.v.2 𝕋*: διακονον, 𝕍: συνεργον. **v.2** 𝕋*: και συνεργον ημων, 𝕍: ∅. **v.2** 𝕋*: υμας περι, 𝕍: υπερ. **v.3** 𝕋 𝕂: τω, 𝕄 𝕍: το. **v.7** 𝕋*: θλιψει και αναγκη, 𝕍: αναγκη και θλιψει. **v.8** 𝕋 𝕂: στηκητε, 𝕄 𝕍: στηκετε. **v.10** 𝕋: υπερ εκπερισσου, 𝕂: υπερ εκ περισσου, 𝕄 𝕍: υπερεκπερισσου. **v.11** 𝕋*: χριστος, 𝕍: ∅. **v.13** 𝕋*: χριστου, 𝕍: ∅. **v.13** 𝕋*: αυτου, 𝕍: αυτου [αμην]. **4.v.1** 𝕋 𝕂: το, 𝕄 𝕍: ∅. **v.1** 𝕋*: ιησου, 𝕍: ιησου ινα. **v.1** 𝕋*: θεω, 𝕍: θεω καθως και περιπατειτε. **v.6** 𝕋*: ο, 𝕍: ∅.

ῥάμεθα ◦ οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ ἀλλ᾽ ἐν
ἁγιασμῷ ◦ τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ ἀλλὰ τὸν
θεὸν τὸν καὶ˚ δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς ◦ περὶ
δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφειν ὑμῖν αὐτοὶ γὰρ ὑ-
μεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους ◦ καὶ γὰρ ποιεῖτε
αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ μακεδονίᾳ παρα-
καλοῦμεν δὲ ὑμᾶς ἀδελφοὶ περισσεύειν μᾶλλον ◦ καὶ φιλοτιμεῖ-
σθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια καὶ ἐργάζεσθαι ταῖς ἰδίαις
χερσὶν ὑμῶν καθὼς ὑμῖν παρηγγείλαμεν ◦ ἵνα περιπατῆτε εὐ-
σχημόνως πρὸς τοὺς ἔξω καὶ μηδενὸς χρείαν ἔχητε ◦ οὐ θέλω δὲ
ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν ⸀κεκοιμημένων ἵνα μὴ λυπῆσθε
καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα ◦ εἰ γὰρ πιστεύομεν
ὅτι ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη οὕτως καὶ ὁ θεὸς τοὺς κοιμη-
θέντας διὰ τοῦ ἰησοῦ ἄξει σὺν αὐτῷ ◦ τοῦτο γὰρ ὑμῖν λέγομεν
ἐν λόγῳ κυρίου ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν
παρουσίαν τοῦ κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας ◦ ὅτι
αὐτὸς ὁ κύριος ἐν κελεύσματι ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλ-
πιγγι θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ καὶ οἱ νεκροὶ ἐν χριστῷ
ἀναστήσονται πρῶτον ◦ ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι
ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ
κυρίου εἰς ἀέρα καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα ◦ ὥστε
παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις ◦

5 περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν ἀδελφοὶ οὐ χρείαν ἔ-
χετε ὑμῖν γράφεσθαι ◦ αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ˚ ἡμέρα
κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται ◦ ὅταν ⸂γὰρ λέγωσιν
εἰρήνη καὶ ἀσφάλεια τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος
ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ καὶ οὐ μὴ ἐκφύγωσιν ◦ ὑμεῖς
δὲ ἀδελφοὶ οὐκ ἐστὲ ἐν σκότει ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτῃς
καταλάβῃ ◦ πάντες⸃ ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας οὐκ
ἐσμὲν νυκτὸς οὐδὲ σκότους ◦ ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ
οἱ λοιποὶ ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν ◦ οἱ γὰρ καθεύδοντες
νυκτὸς καθεύδουσιν καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν ◦
ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν ἐνδυσάμενοι θώρακα πίστεως
καὶ ἀγάπης καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας ◦ ὅτι οὐκ ἔθετο
ἡμᾶς ὁ θεὸς εἰς ὀργὴν ἀλλ᾽ εἰς περιποίησιν σωτηρίας διὰ τοῦ
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ◦ τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν ἵνα

---

v.8 𝕋*: και δοντα, 𝕍: [και] διδοντα. **v.8** 𝕋 𝕂: ημας, 𝕄 𝕍: υμας. **v.13** 𝕋 𝕂: θελω, 𝕄 𝕍: θελομεν. **v.13** 𝕋*: κεκοιμημενων, 𝕍: κοιμωμενων. **5.v.2** 𝕋*: η, 𝕍: ∅. **v.3** 𝕋*: γαρ, 𝕍: ∅. **v.4** 𝔼: κλεπτης, A B: κλεπτας. **v.5** 𝕋*: παντες, 𝕍: παντες γαρ. **v.6** 𝕋*: και, 𝕍: ∅. **v.9** 𝕋*: αλλ, 𝕍: αλλα.

εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν ἅμα σὺν αὐτῷ ζήσωμεν ◦ διὸ 11
παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα καθὼς καὶ
ποιεῖτε ◦ ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοὶ εἰδέναι τοὺς κοπιῶντας ἐν 12
ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν κυρίῳ καὶ νουθετοῦντας ὑ-
μᾶς ◦ καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ˚ ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ 13
ἔργον αὐτῶν εἰρηνεύετε ἐν ἑαυτοῖς ◦ παρακαλοῦμεν δὲ ὑμᾶς ἀ- 14
δελφοὶ νουθετεῖτε τοὺς ἀτάκτους παραμυθεῖσθε τοὺς ὀλιγοψύ-
χους ἀντέχεσθε τῶν ἀσθενῶν μακροθυμεῖτε πρὸς πάντας ◦ ὁρᾶτε 15
μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ ἀλλὰ πάντοτε τὸ ἀγαθὸν
διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας ◦ πάντοτε χαίρετε ◦ ἀ- 16, 17
διαλείπτως προσεύχεσθε ◦ ἐν παντὶ εὐχαριστεῖτε τοῦτο γὰρ θέ- 18
λημα θεοῦ ἐν χριστῷ ἰησοῦ εἰς ὑμᾶς ◦ τὸ πνεῦμα μὴ σβέννυτε ◦ 19
προφητείας μὴ ἐξουθενεῖτε ◦ πάντα δοκιμάζετε τὸ καλὸν κατέ- 20, 21
χετε ◦ ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε ◦ αὐτὸς δὲ ὁ θεὸς 22, 23
τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ
πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τηρηθείη ◦ πιστὸς ὁ καλῶν ὑμᾶς 24
ὃς καὶ ποιήσει ◦ ἀδελφοὶ προσεύχεσθε˙ περὶ ἡμῶν ◦ ἀσπάσασθε 25, 26
τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ ◦ ὁρκίζω ὑμᾶς τὸν κύ- 27
ριον ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσιν τοῖς ἁγίοις ἀδελφοῖς ◦
ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μεθ᾽ ὑμῶν ἀμήν ◦ Πρὸς˚ 28
θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ ἀθηνῶν ◦

---

v.13 𝕋: υπερ εκπερισσου, 𝕂: υπερ εκ περισσου, 𝕄 𝕍: υπερεκπερισσου. **v.21** 𝕋 𝕂: παντα, 𝕄 𝕍: παντα δε. **v.25** 𝕋*: προσευχεσθε, 𝕍: προσευχεσθε [και]. **v.27** 𝕋*: ορκιζω, 𝕍: ενορκιζω. **v.27** 𝕋*: αγιοις, 𝕍: ∅. **v.28** 𝕋*: αμην, 𝕍: ∅. **v.28** 𝕋: Προς . . . αθηνων, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ˚

1 παῦλος καὶ σιλουανὸς καὶ τιμόθεος τῇ ἐκκλησίᾳ θεσσαλο-
2 νικέων ἐν θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ ἰησοῦ χριστῷ ⸰ χάρις ὑμῖν
καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ⸰
3 εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελφοὶ κα-
θὼς ἄξιόν ἐστιν ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν καὶ πλεονάζει
4 ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους ⸰ ὥστε ἡμᾶς˚
αὐτοὺς ἐν ὑμῖν ⸀καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ ὑπὲρ
τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν
5 καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε ⸰ ἔνδειγμα τῆς δικαίας κρίσεως
τοῦ θεοῦ εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ ὑ-
6 πὲρ ἧς καὶ πάσχετε ⸰ εἴπερ δίκαιον παρὰ θεῷ ἀνταποδοῦναι τοῖς
7 θλίβουσιν ὑμᾶς θλῖψιν ⸰ καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ᾽
ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου ἰησοῦ ἀπ᾽ οὐρανοῦ μετ᾽
8 ἀγγέλων δυνάμεως αὐτοῦ ⸰ ἐν πυρὶ φλογὸς διδόντος ἐκδίκησιν
τοῖς μὴ εἰδόσιν θεὸν καὶ τοῖς μὴ ὑπακούουσιν τῷ εὐαγγελίῳ
9 τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⸰ οἵτινες δίκην τίσουσιν ὄλε-
θρον αἰώνιον ἀπὸ προσώπου τοῦ κυρίου καὶ ἀπὸ τῆς δόξης
10 τῆς ἰσχύος αὐτοῦ ⸰ ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ
καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς πιστεύουσιν ὅτι ἐπιστεύθη τὸ
11 μαρτύριον ἡμῶν ἐφ᾽ ὑμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ⸰ εἰς ὃ καὶ προ-
σευχόμεθα πάντοτε περὶ ὑμῶν ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ
θεὸς ἡμῶν καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ ἔρ-
12 γον πίστεως ἐν δυνάμει ⸰ ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ ἐν ὑμῖν καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν
τοῦ θεοῦ ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ⸰

2 ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοὶ ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου
2 ἡμῶν ἰησοῦ χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ᾽ αὐτόν ⸰ εἰς τὸ
μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μήτε θροεῖσθαι μήτε
διὰ πνεύματος μήτε διὰ λόγου μήτε δι᾽ ἐπιστολῆς ὡς δι᾽ ἡμῶν
3 ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ χριστοῦ ⸰ μή τις ὑμᾶς ἐξαπατήσῃ
κατὰ μηδένα τρόπον ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ
ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας ὁ υἱὸς τῆς ἀπωλείας ⸰

𝕋: Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, 𝕄 𝕍: ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β. **1.v.4** 𝕋*: ημας αυτους, 𝕍: αυτους ημας. **v.4** 𝕋*: καυχασθαι, 𝕍: εγκαυχασθαι. **v.8** 𝕋*: χριστου, 𝕍: ∅. **v.10** 𝕋 𝕂: πιστευουσιν, 𝕄 𝕍: πιστευσασιν. **v.12** 𝕋 𝕂: χριστου, 𝕄 𝕍: ∅. **2.v.2** 𝕋*: μητε, 𝕍: μηδε. **v.2** 𝕋*: χριστου, 𝕍: κυριου. **v.3** 𝕋*: αμαρτιας, 𝕍: ανομιας.

ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν 4
ἢ σέβασμα ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς˚ θεὸν καθίσαι
ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶν θεός ◦ οὐ μνημονεύετε ὅτι ἔτι ὢν 5
πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν ◦ καὶ νῦν τὸ κατέχον οἴδατε εἰς τὸ 6
ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ ◦ τὸ γὰρ μυστήριον 7
ἤδη ἐνεργεῖται τῆς ἀνομίας μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέ-
σου γένηται ◦ καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος ὃν ὁ κύριος 8
ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ
ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ ◦ οὗ ἐστιν ἡ παρουσία κατ᾽ ἐ- 9
νέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν
ψεύδους ◦ καὶ ἐν πάσῃ ἀπάτῃ τῆς˚ ἀδικίας ἐν τοῖς ἀπολλυμένοις 10
ἀνθ᾽ ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι
αὐτούς ◦ καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης 11
εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει ◦ ἵνα κριθῶσιν πάντες οἱ μὴ 12
πιστεύσαντες τῇ ἀληθείᾳ ἀλλ᾽ εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ ◦ ἡμεῖς 13
δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελφοὶ
ἠγαπημένοι ὑπὸ κυρίου ὅτι εἵλετο ὑμᾶς ὁ θεὸς ἀπ᾽˚ ἀρχῆς εἰς
σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει ἀληθείας ◦ εἰς ὃ˚ ἐ- 14
κάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ◦ ἄρα οὖν ἀδελφοὶ στήκετε καὶ 15
κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι᾽
ἐπιστολῆς ἡμῶν ◦ αὐτὸς δὲ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς καὶ ὁ 16
θεὸς καὶ πατὴρ ἡμῶν ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν
αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι ◦ παρακαλέσαι ὑμῶν τὰς 17
καρδίας καὶ στηρίξαι ὑμᾶς˚ ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ ◦

τὸ λοιπὸν προσεύχεσθε ἀδελφοὶ περὶ ἡμῶν ἵνα ὁ λόγος τοῦ **3**
κυρίου τρέχῃ καὶ δοξάζηται καθὼς καὶ πρὸς ὑμᾶς ◦ καὶ ἵνα ῥυ- 2
σθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων οὐ γὰρ πάντων
ἡ πίστις ◦ πιστὸς δέ ἐστιν ὁ κύριος ὃς στηρίξει ὑμᾶς καὶ φυλά- 3
ξει ἀπὸ τοῦ πονηροῦ ◦ πεποίθαμεν δὲ ἐν κυρίῳ ἐφ᾽ ὑμᾶς ὅτι 4
ἃ παραγγέλλομεν ὑμῖν˚ καὶ ποιεῖτε καὶ ποιήσετε ◦ ὁ δὲ κύριος 5
κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ καὶ εἰς
ὑπομονὴν τοῦ χριστοῦ ◦ παραγγέλλομεν δὲ ὑμῖν ἀδελφοὶ ἐν ὀ- 6
νόματι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ στέλλεσθαι ὑμᾶς ἀπὸ
παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν πα-

---

v.4 𝕋 𝕄 𝕍: παντα, 𝕂: παν το. **v.4** 𝕋*: ως θεον, 𝕍: ∅. **v.8** 𝕋*: αναλωσει, 𝕍: [ιησους] ανελει. **v.10** 𝕋*: της αδικιας εν, 𝕍: αδικιας. **v.11** 𝕋*: πεμψει, 𝕍: πεμπει. **v.12** 𝕋*: αλλ, 𝕍: αλλα. **v.12** 𝕋*: εν, 𝕍: ∅. **v.13** 𝕋*: ειλετο, 𝕍: ειλατο. **v.13** 𝕋*: απ αρχης, 𝕍: απαρχην. **v.14** 𝕋*: ο, 𝕍: ο [και]. **v.16** 𝕋*: και, 𝕍: ο. **v.17** 𝕋*: υμας εν παντι λογω και εργω, 𝕍: εν παντι εργω και λογω. **3.v.4** 𝕋*: υμιν και, 𝕍: [και]. **v.5** 𝕋: εις, 𝕂 𝕄 𝕍: εις την.

7 ράδοσιν ἣν παρέλαβεν παρ᾽ ἡμῶν ⋄ αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μι-
8 μεῖσθαι ἡμᾶς ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν ⋄ οὐδὲ δωρεὰν ἄρτον
ἐφάγομεν παρά τινος ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ νύκτα˚ καὶ ἡμέ-
9 ραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν ⋄ οὐχ ὅτι οὐκ
ἔχομεν ἐξουσίαν ἀλλ᾽ ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μι-
10 μεῖσθαι ἡμᾶς ⋄ καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς τοῦτο παρηγγέλλο-
11 μεν ὑμῖν ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι μηδὲ ἐσθιέτω ⋄ ἀκούομεν
γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως μηδὲν ἐργαζομένους
12 ἀλλὰ περιεργαζομένους ⋄ τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ
παρακαλοῦμεν διὰ˚ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἵνα μετὰ
13 ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν ⋄ ὑμεῖς δὲ ἀ-
14 δελφοὶ μὴ ἐκκακήσητε καλοποιοῦντες ⋄ εἰ δέ τις οὐχ ὑπακούει
τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε καὶ˚ μὴ
15 συναναμίγνυσθε αὐτῷ ἵνα ἐντραπῇ ⋄ καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε
16 ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν ⋄ αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δώῃ
ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ ὁ κύριος μετὰ πάν-
17 των ὑμῶν ⋄ ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ παύλου ὅ ἐστιν σημεῖον ἐν
18 πάσῃ ἐπιστολῇ οὕτως γράφω ⋄ ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ μετὰ πάντων ὑμῶν ἀμήν ⋄ Πρὸς˚ θεσσαλονικεῖς δευτέρα
ἐγράφη ἀπὸ ἀθηνῶν ⋄

---

v.6 𝕋 𝕂: παρελαβεν, 𝕄: παρελαβον, 𝕍: παρελαβοσαν. **v.8** 𝕋*: νυκτα και ημεραν, 𝕍: νυκτος και ημερας. **v.12** 𝕋*: δια του κυριου ημων ιησου χριστου, 𝕍: εν κυριω ιησου χριστω. **v.13** 𝕋*: εκκακησητε, 𝕍: εγκακησητε. **v.14** 𝕋*: και μη συναναμιγνυσθε, 𝕍: μη συναναμιγνυσθαι. **v.18** 𝕋*: αμην, 𝕍: ∅. **v.18** 𝕋: Προς . . . αθηνων, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ˚

παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ κατ᾽ ἐπιταγὴν θεοῦ σωτῆ- **1**
ρος ἡμῶν καὶ κυρίου˚ ἰησοῦ χριστοῦ τῆς ἐλπίδος ἡμῶν ⸰ τιμο- 2
θέῳ γνησίῳ τέκνῳ ἐν πίστει χάρις ἔλεος εἰρήνη ἀπὸ θεοῦ πατρὸς
ἡμῶν καὶ χριστοῦ˚ ἰησοῦ τοῦ κυρίου ἡμῶν ⸰ καθὼς παρεκάλεσά 3
σε προσμεῖναι ἐν ἐφέσῳ πορευόμενος εἰς μακεδονίαν ἵνα πα-
ραγγείλῃς τισὶν μὴ ἑτεροδιδασκαλεῖν ⸰ μηδὲ προσέχειν μύθοις 4
καὶ γενεαλογίαις ἀπεράντοις αἵτινες ζήτήσεις παρέχουσιν μᾶλ-
λον ἢ οἰκονὸμίαν θεοῦ τὴν ἐν πίστει ⸰ τὸ δὲ τέλος τῆς παραγγε- 5
λίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς
καὶ πίστεως ἀνυποκρίτου ⸰ ὧν τινες ἀστοχήσαντες ἐξετράπησαν 6
εἰς ματαιολογίαν ⸰ θέλοντες εἶναι νομοδιδάσκαλοι μὴ νοοῦντες 7
μήτε ἃ λέγουσιν μήτε περὶ τίνων διαβεβαιοῦνται ⸰ οἴδαμεν δὲ ὅτι 8
καλὸς ὁ νόμος ἐάν τις αὐτῷ νομίμως χρῆται ⸰ εἰδὼς τοῦτο ὅτι δι- 9
καίῳ νόμος οὐ κεῖται ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις ἀσεβέσιν καὶ
ἁμαρτωλοῖς ἀνοσίοις καὶ βεβήλοις πατραλῴαις˚ καὶ μητραλῴαις
ἀνδροφόνοις ⸰ πόρνοις ἀρσενοκοίταις ἀνδραποδισταῖς ψεύσταις 10
ἐπιόρκοις καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκει-
ται ⸰ κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου θεοῦ ὃ ἐπι- 11
στεύθην ἐγώ ⸰ κἀὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με χριστῷ ἰησοῦ 12
τῷ κυρίῳ ἡμῶν ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν ⸰
τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστὴν ἀλλ᾽ 13
ἠλεήθην ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ ⸰ ὑπερεπλεόνασεν δὲ ἡ 14
χάρις τοῦ κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν χριστῷ
ἰησοῦ ⸰ πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος ὅτι χριστὸς 15
ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι ὧν πρῶτός εἰμι
ἐγώ ⸰ ἀλλὰ διὰ τοῦτο ἠλεήθην ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται ἰ- 16
ησοῦς˚ χριστὸς τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν
μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον ⸰ τῷ δὲ βασιλεῖ 17
τῶν αἰώνων ἀφθάρτῳ ἀοράτῳ μόνῳ σοφῷ θεῷ τιμὴ καὶ δόξα εἰς
τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ⸰ ταύτην τὴν παραγγελίαν πατα- 18
τίθεμαί σοι τέκνον τιμόθεε κατὰ τὰς προαγούσας ἐπί σε προφη-

𝕋: Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, 𝕄 𝕍: ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α. **1.v.1** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.1** 𝕋*: κυριου ιησου χριστου, 𝕍: χριστου ιησου. **v.2** 𝕋*: ημων, 𝕍: ∅. **v.2** 𝕋 𝕄 𝕍: χριστου ιησου, 𝕂: ιησου χριστου. **v.4** 𝕋*: ζητησεις, 𝕍: εκζητησεις. **v.4** 𝕋 𝕄 𝕍: οικονομιαν, 𝕂: οικοδομιαν. **v.9** 𝕋 𝕂: πατραλωαις και μητραλωαις, 𝕄 𝕍: πατρολωαις και μητρολωαις. **v.12** 𝕋*: και, 𝕍: ∅. **v.13** 𝕋*: τον, 𝕍: το. **v.13** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.16** 𝕋*: ιησους χριστος την πασαν, 𝕍: χριστος ιησους την απασαν. **v.17** 𝕋*: σοφω, 𝕍: ∅.

19 τείας ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν ◦ ἔχων πίστιν
καὶ ἀγαθὴν συνείδησιν ἥν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐ-
20 ναυάγησαν ◦ ὧν ἐστιν ὑμέναιος καὶ ἀλέξανδρος οὓς παρέδωκα
τῷ σατανᾷ ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν ◦

2 παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις προσευχὰς
2 ἐντεύξεις εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων ◦ ὑπὲρ βασιλέων
καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων ἵνα ἤρεμον καὶ ἡσύχιον βίον
3 διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι ◦ τοῦτο γὰρ καλὸν καὶ
4 ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ ◦ ὃς πάντας ἀνθρώ-
5 πους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν ◦ εἷς γὰρ
θεὸς εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος χριστὸς ἰ-
6 ησοῦς ◦ ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων τὸ μαρτύριον
7 καιροῖς ἰδίοις ◦ εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος ἀλήθειαν
λέγω ἐν˚ χριστῷ οὐ ψεύδομαι διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ
8 ἀληθείᾳ ◦ βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τό-
πῳ ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ ◦
9 ὡσαύτως καὶ˚ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς
καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς μὴ ἐν πλέγμασιν ἢ˚ χρυσῷ ἢ
10 μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ ◦ ἀλλ᾽ ὃ πρέπει γυναιξὶν ἐ-
11 παγγελλομέναις θεοσέβειαν δι᾽ ἔργων ἀγαθῶν ◦ γυνὴ ἐν ἡσυχίᾳ
12 μανθανέτω ἐν πάσῃ ὑποταγῇ ◦ γυναικὶ˚ δὲ διδάσκειν οὐκ ἐπι-
13 τρέπω οὐδὲ αὐθεντεῖν ἀνδρὸς ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ ◦ ἀδὰμ γὰρ
14 πρῶτος ἐπλάσθη εἶτα ἓυα ◦ καὶ ἀδὰμ οὐκ ἠπατήθη ἡ δὲ γυνὴ
15 ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν ◦ σωθήσεται δὲ διὰ τῆς τε-
κνογονίας ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ
σωφροσύνης ◦

3 πιστὸς ὁ λόγος εἴ τις ἐπισκοπῆς ὀρέγεται καλοῦ ἔργου ἐπι-
2 θυμεῖ ◦ δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι μιᾶς γυναικὸς
3 ἄνδρα νηφάλεον σώφρονα κόσμιον φιλόξενον διδακτικόν ◦ μὴ
πάροινον μὴ πλήκτην μὴ˚ αἰσχροκερδῆ ἀλλ᾽ ἐπιεικῆ ἄμαχον
4 ἀφιλάργυρον ◦ τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον τέκνα ἔ-
5 χοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος ◦ εἰ δέ τις τοῦ ἰδίου
οἴκου προστῆναι οὐκ οἶδεν πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται ◦
6 μὴ νεόφυτον ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου ◦
7 δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν ἵνα
8 μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου ◦ διακόνους

2.v.3 𝕋*: γαρ, 𝕍: ∅. **v.7** 𝕋*: εν χριστω, 𝕍: ∅. **v.9** 𝕋*: και τας, 𝕍: [και]. **v.9** 𝕋*: η χρυσω, 𝕍: και χρυσιω. **v.12** 𝕋*: γυναικι δε διδασκειν, 𝕍: διδασκειν δε γυναικι. **v.13** 𝕋: εὖα, 𝕂: εὕα, 𝕄 𝕍: εὕα. **v.14** 𝕋*: απατηθεισα, 𝕍: εξαπατηθεισα. **3.v.2** 𝕋*: ανεπιληπτον, 𝕍: ανεπιλημπτον. **v.2** 𝕋 𝕄: νηφαλεον, 𝕂 𝕍: νηφαλιον. **v.3** 𝕋*: μη αισχροκερδη αλλ, 𝕍: αλλα. **v.7** 𝕋*: αυτον, 𝕍: ∅.

ὡσαύτως σεμνοὺς μὴ διλόγους μὴ οἴνῳ πολλῷ προσέχοντας μὴ
αἰσχροκερδεῖς ⸎ ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ 9
συνειδήσει ⸎ καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον εἶτα διακονεί- 10
τωσαν ἀνέγκλητοι ὄντες ⸎ γυναῖκας ὡσαύτως σεμνὰς μὴ διαβό- 11
λους νηφαλέους πιστὰς ἐν πᾶσιν ⸎ διάκονοι ἔστωσαν μιᾶς γυναι- 12
κὸς ἄνδρες τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων ⸎ οἱ 13
γὰρ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦν-
ται καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν χριστῷ ἰησοῦ ⸎ ταῦτά 14
σοι γράφω ἐλπίζων ἐλθεῖν πρός σε τάχιον ⸎ ἐὰν δὲ βραδύνω ἵνα 15
εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι ἥτις ἐστὶν ἐκκλησία
θεοῦ ζῶντος στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας ⸎ καὶ ὁμολογου- 16
μένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον θεὸς ἐφανερώθη
ἐν σαρκὶ ἐδικαιώθη ἐν πνεύματι ὤφθη ἀγγέλοις ἐκηρύχθη ἐν
ἔθνεσιν ἐπιστεύθη ἐν κόσμῳ ἀνελήφθη ἐν δόξῃ ⸎

τὸ δὲ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστή- **4**
σονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασιν πλάνοις καὶ
διδασκαλίαις δαιμονίων ⸎ ἐν ὑποκρίσει ψευδολόγων κεκαυτη- 2
ριασμένων τὴν ἰδίαν συνείδησιν ⸎ κωλυόντων γαμεῖν ἀπέχεσθαι 3
βρωμάτων ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς
πιστοῖς καὶ ἐπεγνωκόσιν τὴν ἀλήθειαν ⸎ ὅτι πᾶν κτίσμα θεοῦ κα- 4
λὸν καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον ⸎ ἁ- 5
γιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως ⸎ ταῦτα ὑποτιθέμενος 6
τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος ἰησοῦ˚ χριστοῦ ἐντρεφόμενος
τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκο-
λούθηκας ⸎ τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ 7
γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν ⸎ ἡ γὰρ σωματικὴ γυμνασία 8
πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφε-
λιμός ἐστιν ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλού-
σης ⸎ πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος ⸎ εἰς τοῦτο γὰρ 9, 10
καὶ˚ κοπιῶμεν καὶ ὀνειδιζόμεθα ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι
ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων μάλιστα πιστῶν ⸎ παράγγελλε 11
ταῦτα καὶ δίδασκε ⸎ μηδείς σου τῆς νεότητος καταφρονείτω ἀλ- 12
λὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ ἐν ἀναστροφῇ ἐν ἀγάπῃ
ἐν˚ πνεύματι ἐν πίστει ἐν ἁγνείᾳ ⸎ ἕως ἔρχομαι πρόσεχε τῇ ἀ- 13
ναγνώσει τῇ παρακλήσει τῇ διδασκαλίᾳ ⸎ μὴ ἀμέλει τοῦ ἐν σοὶ 14
χαρίσματος ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χει-

v.11 𝕋 𝕄: νηφαλεους, 𝕂 𝕍: νηφαλιους. **v.14** 𝕋*: ταχιον, 𝕍: εν ταχει. **v.16** 𝕋*: θεος, 𝕍: ος, **XXX**: ο. **v.16** 𝕋*: ανεληφθη, 𝕍: ανελημφθη. **4.v.2** 𝕋*: κεκαυτηριασμενων, 𝕍: κεκαυστηριασμενων. **v.3** 𝕋*: μεταληψιν, 𝕍: μεταλημψιν. **v.6** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.10** 𝕋*: και κοπιωμεν και ονειδιζομεθα, 𝕍: κοπιωμεν και αγωνιζομεθα. **v.12** 𝕋*: εν πνευματι, 𝕍: ∅.

15 ρῶν τοῦ πρεσβυτερίου ◦ ταῦτα μελέτα ἐν τούτοις ἴσθι ἵνα σου ἡ
16 προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν ◦ ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ
ἐπίμενε αὐτοῖς τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς
ἀκούοντάς σου ◦

5 πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς ἀλλὰ παρακάλει ὡς πατέρα νε-
2 ωτέρους ὡς ἀδελφούς ◦ πρεσβυτέρας ὡς μητέρας νεωτέρας ὡς
3, 4 ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ ◦ χήρας τίμα τὰς ὄντως χήρας ◦ εἰ δέ
τις χήρα τέκνα ἢ ἔκγονα ἔχει μανθανέτωσαν πρῶτον τὸν ἴδιον
οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις τοῦτο
5 γάρ ἐστιν καλὸν˚ καὶ ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ ◦ ἡ δὲ ὄντως
χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν θεὸν καὶ προσμένει ταῖς
6 δεήσεσιν καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας ◦ ἡ δὲ σπα-
7 ταλῶσα ζῶσα τέθνηκεν ◦ καὶ ταῦτα παράγγελλε ἵνα ἀνεπίληπτοι
8 ὦσιν ◦ εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ
9 τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων ◦ χήρα καταλεγέ-
10 σθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή ◦ ἐν
ἔργοις καλοῖς μαρτυρουμένη εἰ ἐτεκνοτρόφησεν εἰ ἐξενοδόχη-
σεν εἰ ἁγίων πόδας ἔνιψεν εἰ θλιβομένοις ἐπήρκεσεν εἰ παντὶ
11 ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν ◦ νεωτέρας δὲ χήρας παραιτοῦ ὅ-
12 ταν γὰρ καταστρηνιάσωσιν τοῦ χριστοῦ γαμεῖν θέλουσιν ◦ ἔχου-
13 σαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν ◦ ἅμα δὲ καὶ ἀργαὶ
μανθάνουσιν περιερχόμεναι τὰς οἰκίας οὐ μόνον δὲ ἀργαὶ ἀλλὰ
14 καὶ φλύαροι καὶ περίεργοι λαλοῦσαι τὰ μὴ δέοντα ◦ βούλομαι
οὖν νεωτέρας γαμεῖν τεκνογονεῖν οἰκοδεσποτεῖν μηδεμίαν ἀ-
15 φορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν ◦ ἤδη γάρ τινες
16 ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ ◦ εἴ τις πιστὸς˚ ἢ πιστὴ ἔχει χή-
ρας ἐπαρκείτω αὐταῖς καὶ μὴ βαρείσθω ἡ ἐκκλησία ἵνα ταῖς
17 ὄντως χήραις ἐπαρκέσῃ ◦ οἱ καλῶς προεστῶτες πρεσβύτεροι δι-
πλῆς τιμῆς ἀξιούσθωσαν μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ δι-
18 δασκαλίᾳ ◦ λέγει γὰρ ἡ γραφὴ βοῦν ἀλοῶντα οὐ φιμώσεις καὶ
19 ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ◦ κατὰ πρεσβυτέρου κατηγο-
ρίαν μὴ παραδέχου ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων ◦
20 τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε ἵνα καὶ οἱ λοιποὶ
21 φόβον ἔχωσιν ◦ διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ κυρίου˚
ἰησοῦ χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ἵνα ταῦτα φυλάξῃς
22 χωρὶς προκρίματος μηδὲν ποιῶν κατὰ πρόσκλισιν ◦ χεῖρας τα-
χέως μηδενὶ ἐπιτίθει μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις σεαυ-

---

v.15 𝕋*: εν, 𝕍: ∅. **5.v.4** 𝕋 𝕂: καλον και, 𝕄 𝕍: ∅. **v.5** 𝕋*: τον, 𝕍: ∅. **v.7** 𝕋*: ανεπιληπτοι, 𝕍: ανεπιλημπτοι. **v.8** 𝕋*: των, 𝕍: ∅. **v.16** 𝕋*: πιστος η, 𝕍: ∅. **v.21** 𝕋*: κυριου ιησου χριστου, 𝕍: χριστου ιησου. **v.21** 𝕋 𝕂 𝕍: προσκλισιν, 𝕄: προσκλησιν.

τὸν ἁγνὸν τήρει ◦ μηκέτι ὑδροποτεῖ ἀλλ᾽ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν 23
στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας ◦ τινῶν ἀνθρώπων 24
αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν προάγουσαι εἰς κρίσιν τισὶν δὲ καὶ
ἐπακολουθοῦσιν ◦ ὡσαύτως καὶ τὰ˚ καλὰ ἔργα πρόδηλά ἐστιν 25
καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύναται ◦

6 ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι τοὺς ἰδίους δεσπότας πάσης
τιμῆς ἀξίους ἡγείσθωσαν ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ διδα-
σκαλία βλασφημῆται ◦ οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ κα- 2
ταφρονείτωσαν ὅτι ἀδελφοί εἰσιν ἀλλὰ μᾶλλον δουλευέτωσαν
ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανό-
μενοι ταῦτα δίδασκε καὶ παρακάλει ◦ εἴ τις ἑτεροδιδασκαλεῖ καὶ 3
μὴ προσέρχεται ὑγιαίνουσιν λόγοις τοῖς τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ καὶ τῇ κατ᾽ εὐσέβειαν διδασκαλίᾳ ◦ τετύφωται μηδὲν ἐπι- 4
στάμενος ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας ἐξ ὧν γίνε-
ται φθόνος ἔρις βλασφημίαι ὑπόνοιαι πονηραί ◦ παραδιατριβαὶ 5
διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀλη-
θείας νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν ἀφίστασο˚ ἀπὸ
τῶν τοιούτων ◦ ἔστιν δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρ- 6
κείας ◦ οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον δῆλόν ὅτι οὐδὲ 7
ἐξενεγκεῖν τι δυνάμεθα ◦ ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα 8
τούτοις ἀρκεσθησόμεθα ◦ οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτου- 9
σιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους
καὶ βλαβερὰς αἵτινες βυθίζουσιν τοὺς ἀνθρώπους εἰς ὄλεθρον
καὶ ἀπώλειαν ◦ ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία 10
ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυ-
τοὺς περιέπειραν ὀδύναις πολλαῖς ◦ σὺ δέ ὦ ἄνθρωπε τὸῦ θεοῦ 11
ταῦτα φεῦγε δίωκε δὲ δικαιοσύνην εὐσέβειαν πίστιν ἀγάπην
ὑπομονὴν πρᾳότητα ◦ ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως 12
ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς εἰς ἣν κἀὶ ἐκλήθης καὶ ὡμολόγησας
τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων ◦ παραγγέλλω 13
σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοπὸιοιοῦντος τὰ πάντα καὶ χριστοῦ
ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ ποντίου πιλάτου τὴν καλὴν ὁμο-
λογίαν ◦ τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον ἀνεπίληπτον μέχρι τῆς 14
ἐπιφανείας τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ◦ ἣν καιροῖς ἰδίοις 15
δείξει ὁ μακάριος καὶ μόνος δυνάστης ὁ βασιλεὺς τῶν βασι-

---

v.23 𝕋*: αλλ, 𝕍: αλλα. **v.23** 𝕋*: σου, 𝕍: ∅. **v.25** 𝕋*: τα καλα εργα, 𝕍: τα εργα τα καλα. **v.25** 𝕋*: εστιν, 𝕍: ∅. **v.25** 𝕋 𝕂: δυναται, 𝕄 𝕍: δυνανται. **6.v.5** 𝕋 𝕂: παραδιατριβαι, 𝕄 𝕍: διαπαρατριβαι. **v.5** 𝕋*: αφιστασο απο των τοιουτων, 𝕍: ∅. **v.7** 𝕋*: δηλον, 𝕍: ∅. **v.11** 𝕋*: του, 𝕍: ∅. **v.11** 𝕋*: πραοτητα, 𝕍: πραυπαθιαν. **v.12** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.13** 𝕋*: ζωοποιουντος, 𝕍: ζωογονουντος. **v.14** 𝕋*: ανεπιληπτον, 𝕍: ανεπιλημπτον.

16 λευόντων καὶ κύριος τῶν κυριευόντων ⸰ ὁ μόνος ἔχων ἀθανα-
σίαν φῶς οἰκῶν ἀπρόσιτον ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν
17 δύναται ᾧ τιμὴ καὶ κράτος αἰώνιον ἀμήν ⸰ τοῖς πλουσίοις ἐν τῷ
νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν μηδὲ ἠλπικέναι ἐπὶ
πλούτου ἀδηλότητι ἀλλ᾽ ἐν˚ τῷ θεῷ τῷ ζῶντι τῷ παρέχοντι ἡμῖν
18 πλουσίως˚ πάντα εἰς ἀπόλαυσιν ⸰ ἀγαθοεργεῖν πλουτεῖν ἐν ἔρ-
19 γοις καλοῖς εὐμεταδότους εἶναι κοινωνικούς ⸰ ἀποθησαυρίζον-
τας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον ἵνα ἐπιλάβωνται τῆς
20 αἰωνίου ζωῆς ⸰ ὦ τιμόθεε τὴν παραϰαταθήκην φύλαξον ἐκτρε-
πόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδω-
21 νύμου γνώσεως ⸰ ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστό-
χησαν ἡ χάρις μετὰ˚ σοῦ ἀμήν ⸰ Πρὸς˚ τιμόθεον πρώτη ἐγράφη
ἀπὸ λαοδικείας ἥτις ἐστὶν μητρόπολις φρυγίας τῆς πακατια-
νῆς ⸰

v.17 $\mathbb{T}^*$: εν τω θεω τω ζωντι, $\mathbb{V}$: επι θεω. **v.17** $\mathbb{T}$ $\mathbb{K}$: πλουσιως παντα, $\mathbb{M}$ $\mathbb{V}$: παντα πλουσιως. **v.19** $\mathbb{T}^*$: αιωνιου, $\mathbb{V}$: οντως. **v.20** $\mathbb{T}$ $\mathbb{K}$: παρακαταθηκην, $\mathbb{M}$ $\mathbb{V}$: παραθηκην. **v.21** $\mathbb{T}^*$: μετα σου αμην, $\mathbb{V}$: μεθ υμων. **v.21** $\mathbb{T}$: Προς . . . πακατιανης, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ∅.

Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ˚

παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θεοῦ κατ᾽ **1**
ἐπαγγελίαν ζωῆς τῆς ἐν χριστῷ ἰησοῦ ⋄ τιμοθέῳ ἀγαπητῷ τέκνῳ 2
χάρις ἔλεος εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ χριστοῦ˚ ἰησοῦ τοῦ
κυρίου ἡμῶν ⋄ χάριν ἔχω τῷ θεῷ ᾧ λατρεύω ἀπὸ προγόνων ἐν 3
καθαρᾷ συνειδήσει ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν
ταῖς δεήσεσίν μου νυκτὸς καὶ ἡμέρας ⋄ ἐπιποθῶν σε ἰδεῖν με- 4
μνημένος σου τῶν δακρύων ἵνα χαρᾶς πληρωθῶ ⋄ ὑπόμνησιν 5
λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως ἥτις ἐνῴκησεν πρῶ-
τον ἐν τῇ μάμμῃ σου λωΐδι καὶ τῇ μητρί σου εὐνείκῃ πέπεισμαι
δὲ ὅτι καὶ ἐν σοί ⋄ δι᾽ ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ 6
χάρισμα τοῦ θεοῦ ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν
μου ⋄ οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας ἀλλὰ δυνά- 7
μεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ ⋄ μὴ οὖν ἐπαισχυνθῇς τὸ 8
μαρτύριον τοῦ κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ ἀλλὰ
συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν θεοῦ ⋄ τοῦ σώσαν- 9
τος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ οὐ κατὰ τὰ ἔργα ἡμῶν
ἀλλὰ κατ᾽ ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν χριστῷ
ἰησοῦ πρὸ χρόνων αἰωνίων ⋄ φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπι- 10
φανείας τοῦ σωτῆρος ἡμῶν ἰησοῦ˚ χριστοῦ καταργήσαντος μὲν
τὸν θάνατον φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγ-
γελίου ⋄ εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος 11
ἐθνῶν ⋄ δι᾽ ἣν αἰτίαν καὶ ταῦτα πάσχω ἀλλ᾽ οὐκ ἐπαισχύνομαι 12
οἶδα γὰρ ᾧ πεπίστευκα καὶ πέπεισμαι ὅτι δυνατός ἐστιν τὴν
παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν ⋄ ὑποτύπωσιν 13
ἔχε ὑγιαινόντων λόγων ὧν παρ᾽ ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀ-
γάπῃ τῇ ἐν χριστῷ ἰησοῦ ⋄ τὴν καλὴν παραθήκην φύλαξον 14
διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν ⋄ οἶδας τοῦτο ὅτι 15
ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ ἀσίᾳ ὧν ἐστιν φύγελλος καὶ
ἑρμογένης ⋄ δῴη ἔλεος ὁ κύριος τῷ ὀνησιφόρου οἴκῳ ὅτι πολ- 16
λάκις με ἀνέψυξεν καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη ⋄ ἀλλὰ 17

𝕋: Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, 𝕄 𝕍: ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β. **1.v.1** 𝕋 𝕂: ιησου χριστου, 𝕄 𝕍: χριστου ιησου. **v.2** 𝔼: χριστου ιησου, 𝔎: κυριου ιησου χριστου, **XXX**: ιησου χριστου. **v.5** 𝕋*: λαμβανων, 𝕍: λαβων. **v.5** 𝕋: ευνεικη, 𝕂 𝕄 𝕍: ευνικη. **v.6** 𝔼: αναμιμνησκω, **XXX**: υπομιμνησκω. **v.6** 𝔼: θεου, A: χριστου. **v.9** 𝕋*: κατ, 𝕍: κατα. **v.10** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου, **XXX**: θεου. **v.11** 𝔼: διδασκαλος, **XXX**: διακονος. **v.11** 𝕋*: εθνων, 𝕍: ∅. **v.12** 𝔼: και, 𝔎: ∅. **v.14** 𝕋 𝕂: παρακαταθηκην, 𝕄 𝕍: παραθηκην. **v.15** 𝕋 𝕂: φυγελλος, 𝕄 𝕍: φυγελος. **v.16** 𝕋 𝕂: επησχυνθη, 𝕄 𝕍: επαισχυνθη.

18 γενόμενος ἐν ῥώμῃ σπουδαιότερον ἐζήτησέν με καὶ εὗρεν ⸓ δῴη
αὐτῷ ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
καὶ ὅσα ἐν ἐφέσῳ διηκόνησεν βέλτιον σὺ γινώσκεις ⸓
2 σὺ οὖν τέκνον μου ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν χριστῷ ἰ-
2 ησοῦ ⸓ καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων ταῦτα
παράθου πιστοῖς ἀνθρώποις οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους
3 διδάξαι ⸓ σὺ˚ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης ἰησοῦ˚ χρι-
4 στοῦ ⸓ οὐδεὶς στρατευόμενος̣ ἐμπλέκεται ταῖς τοῦ βίου πραγμα-
5 τείαις ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ ⸓ ἐὰν δὲ καὶ ἀθλῇ τις οὐ
6 στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ ⸓ τὸν κοπιῶντα γεωργὸν
7 δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν ⸓ νόει ἃ˚ λέγω δῴη γάρ
8 σοι ὁ κύριος σύνεσιν ἐν πᾶσιν ⸓ μνημόνευε ἰησοῦν χριστὸν ἐγη-
γερμένον ἐκ νεκρῶν ἐκ σπέρματος δαβὶδ κατὰ τὸ εὐαγγέλιόν
9 μου ⸓ ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος ἀλλ᾽ ὁ λό-
10 γος τοῦ θεοῦ οὐ δέδεται ⸓ διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς
ἐκλεκτοὺς ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν χριστῷ ἰησοῦ
11 μετὰ δόξης αἰωνίου ⸓ πιστὸς ὁ λόγος εἰ γὰρ συναπεθάνομεν καὶ
12 συζήσομεν ⸓ εἰ ὑπομένομεν καὶ συμβασιλεύσομεν εἰ ἀρνούμεθα
13 κἀκεῖνος ἀρνήσεται ἡμᾶς ⸓ εἰ ἀπιστοῦμεν ἐκεῖνος πιστὸς μένει
14 ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται ⸓ ταῦτα ὑπομίμνησκε διαμαρτυ-
ρόμενος ἐνώπιον τοῦ κυρίου μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον
15 ἐπὶ καταστροφῇ τῶν ἀκουόντων ⸓ σπούδασον σεαυτὸν δόκιμον
παραστῆσαι τῷ θεῷ ἐργάτην ἀνεπαίσχυντον ὀρθοτομοῦντα τὸν
16 λόγον τῆς ἀληθείας ⸓ τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο
17 ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας ⸓ καὶ ὁ λόγος αὐτῶν ὡς
18 γάγγραινα νομὴν ἕξει ὧν ἐστιν ὑμέναιος καὶ φιλητός ⸓ οἵτινες
περὶ τὴν ἀλήθειαν ἠστόχησαν λέγοντες τὴν ἀνάστασιν ἤδη γε-
19 γονέναι καὶ ἀνατρέπουσιν τήν τινων πίστιν ⸓ ὁ μέντοι στερεὸς
θεμέλιος τοῦ θεοῦ ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην ἔγνω κύ-
ριος τοὺς ὄντας αὐτοῦ καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνο-
20 μάζων τὸ ὄνομα χριστοῦ ⸓ ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον
σκεύη χρυσᾶ καὶ ἀργυρᾶ ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα καὶ ἃ
21 μὲν εἰς τιμὴν ἃ δὲ εἰς ἀτιμίαν ⸓ ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ

---

v.17 𝕋*: σπουδαιοτερον, 𝕍: σπουδαιως. **v.18** 𝔼: διηκονησεν, **XXX**: διηκονησεν μοι. **2.v.3** 𝕋*: συ ουν κακοπαθησον, 𝕍: συγκακοπαθησον, **XXX**: κακοπαθησον. **v.3** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.4** 𝔼: στρατευομενος, **XXX**: στρατευομενος τω θεω. **v.6** 𝔼: πρωτον, ℵ: προτερον. **v.7** 𝕋*: α λεγω δωη, 𝕍: ο λεγω δωσει. **v.8** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.9** 𝕋*: αλλ, 𝕍: αλλα. **v.12** 𝕋*: αρνουμεθα, 𝕍: αρνησομεθα. **v.13** 𝕋*: αρνησασθαι, 𝕍: αρνησασθαι γαρ. **v.14** 𝕋*: κυριου, 𝕍: θεου, **XXX**: χριστου. **v.14** 𝔼: λογομαχειν, A: λογομαχει. **v.14** 𝕋*: εις, 𝕍: επ. **v.16** 𝔼: κενοφωνιας, **XXX**: καινοφωνιας. **v.18** 𝕋*: την, 𝕍: [την], ℵ: ∅. **v.19** 𝔼: τους, ℵ: παντας τους. **v.19** 𝕋 𝕂: χριστου, 𝕄 𝕍: κυριου.

τούτων ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον καὶ εὔχρηστον τῷ δε-
σπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον · τὰς δὲ νεωτερικὰς 22
ἐπιθυμίας φεῦγε δίωκε δὲ δικαιοσύνην πίστιν ἀγάπην εἰρήνην
μετὰ τῶν˚ ἐπικαλουμένων τὸν κύριον ἐκ καθαρᾶς καρδίας · τὰς 23
δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ εἰδὼς ὅτι γεννῶ-
σιν μάχας · δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι ἀλλ᾽ ἤπιον εἶναι 24
πρὸς πάντας διδακτικὸν ἀνεξίκακον · ἐν πρᾳότητι παιδεύοντα 25
τοὺς ἀντιδιατιθεμένους μήποτε δῷ˚ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς
ἐπίγνωσιν ἀληθείας · καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου πα- 26
γίδος ἐζωγρημένοι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα ·

τοῦτο δὲ γίνωσκε ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ **3**
χαλεποί · ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι φιλάργυροι ἀ- 2
λαζόνες ὑπερήφανοι βλάσφημοι γονεῦσιν ἀπειθεῖς ἀχάριστοι
ἀνόσιοι · ἄστοργοι˚ ἄσπονδοι διάβολοι ἀκρατεῖς ἀνήμεροι ἀφι- 3
λάγαθοι · προδόται προπετεῖς τετυφωμένοι φιλήδονοι μᾶλλον 4
ἢ φιλόθεοι · ἔχοντες μόρφωσιν εὐσεβείας τὴν δὲ δύναμιν αὐτῆς 5
ἠρνημένοι καὶ τούτους ἀποτρέπου · ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύ- 6
νοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτεύοντες˚ τὰ γυναικάρια σε-
σωρευμένα ἁμαρτίαις ἀγόμενα ἐπιθυμίαις˚ ποικίλαις · πάντοτε 7
μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυ-
νάμενα · ὃν τρόπον δὲ ἰάννης καὶ ἰαμβρῆς ἀντέστησαν μωϋσεῖ 8
οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ ἄνθρωποι κατεφθαρμέ-
νοι τὸν νοῦν ἀδόκιμοι περὶ τὴν πίστιν · ἀλλ᾽ οὐ προκόψουσιν ἐπὶ 9
πλεῖον ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν ὡς καὶ ἡ ἐκείνων
ἐγένετο · σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ τῇ ἀγωγῇ 10
τῇ προθέσει τῇ πίστει τῇ μακροθυμίᾳ τῇ˚ ἀγάπῃ τῇ ὑπομονῇ ·
τοῖς διωγμοῖς τοῖς παθήμασιν οἷά μοι ἐγένετο ἐν ἀντιοχείᾳ ἐν 11
ἰκονίῳ ἐν λύστροις οἵους διωγμοὺς ὑπήνεγκα καὶ ἐκ πάντων με
ἐρρύσατο ὁ κύριος · καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς˚ ζῆν ἐν 12
χριστῷ ἰησοῦ διωχθήσονται · πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες 13
προκόψουσιν ἐπὶ τὸ χεῖρον πλανῶντες καὶ πλανώμενοι · σὺ δὲ 14
μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης εἰδὼς παρὰ τίνος ἔμαθες ·

---

v.21 𝕋*: και, 𝕍: ∅. **v.22** 𝔼: των επικαλουμενων, A: παντων των αγαπωντων, **XXX**: παντων των επικαλουμενων. **v.24** 𝕋*: αλλ, 𝕍: αλλα. **v.24** 𝔼: ηπιον, **XXX**: νηπιον. **v.25** 𝕋*: πραοτητι, 𝕍: πραυτητι. **v.25** 𝕋*: δω, 𝕍: δωη. **3.v.1** 𝔼: γινωσκε, A: γινωσκετε, **XXX**: γινωσκετω. **v.2** 𝔼: αχαριστοι, **XXX**: αχριστοι. **v.3** 𝔼: αστοργοι ασπονδοι, ℵ: ασπονδοι, **XXX**: ασπονδοι αστοργοι. **v.6** 𝕋 𝕂: αιχμαλωτευοντες τα, 𝕄: αιχμαλωτευοντες, 𝕍: αιχμαλωτιζοντες. **v.6** 𝔼: επιθυμιαις, A: επιθυμιαις και ηδοναις. **v.8** 𝔼: ιαμβρης, **XXX**: μαμβρης. **v.9** 𝔼: ανοια, A: διανοια. **v.10** 𝕋*: παρηκολουθηκας, 𝕍: παρηκολουθησας. **v.10** 𝔼: τη αγαπη, A: ∅. **v.11** 𝔼: εγενετο, A: εγενοντο. **v.11** 𝔼: αντιοχεια, **XXX**: αντιοχεια α δια την θεκλαν επαθεν. **v.12** 𝔼: ευσεβως ζην, ℵ A: ζην ευσεβως. **v.14** 𝕋*: τινος, 𝕍: τινων.

15 καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε
16 σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν χριστῷ ἰησοῦ ⋄ πᾶσα
γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν πρὸς ἔ-
λεγχον πρὸς ἐπανόρθωσιν πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ ⋄
17 ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ἐ-
ξηρτισμένος ⋄

4 διαμαρτύρομαι οὖν˚ ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ˚ κυρίου
ἰησοῦ χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς καὰ
2 τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ ⋄ κήρυξον τὸν
λόγον ἐπίστηθι εὐκαίρως ἀκαίρως ἔλεγξον ἐπιτίμησον˚ παρα-
3 κάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ ⋄ ἔσται γὰρ καιρὸς ὅτε
τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται ἀλλὰ κατὰ τὰς ἐπι-
θυμίας˚ τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσιν διδασκάλους κνηθό-
4 μενοι τὴν ἀκοήν ⋄ καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέ-
5 ψουσιν ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται ⋄ σὺ δὲ νῆφε ἐν πᾶ-
σιν κακοπάθησον ἔργον ποίησον εὐαγγελιστοῦ τὴν διακονίαν
6 σου πληροφόρησον ⋄ ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς
7 ἐμῆς˚ ἀναλύσεως ἐφέστηκεν ⋄ τὸν ἀγῶνα˚ τὸν καλὸν ἠγώνισμαι
8 τὸν δρόμον τετέλεκα τὴν πίστιν τετήρηκα ⋄ λοιπὸν ἀπόκειταί μοι
ὁ τῆς δικαιοσύνης στέφανος ὃν ἀποδώσει μοι ὁ κύριος ἐν ἐκεί-
νῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτὴς οὐ μόνον δὲ ἐμοὶ ἀλλὰ καὶ πᾶσιν
9 τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ ⋄ σπούδασον ἐλθεῖν πρός
10 με ταχέως ⋄ δημᾶς γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰ-
ῶνα καὶ ἐπορεύθη εἰς θεσσαλονίκην κρήσκης εἰς γαλατίαν τίτος
11 εἰς δαλματίαν ⋄ λουκᾶς ἐστιν μόνος μετ᾽ ἐμοῦ μάρκον ἀναλαβὼν
12 ἄγε μετὰ σεαυτοῦ ἔστιν γάρ μοι εὔχρηστος εἰς διακονίαν ⋄ τυ-
13 χικὸν δὲ ἀπέστειλα εἰς ἔφεσον ⋄ τὸν φαιλόνην ὃν ἀπέλιπον ἐν
τρωάδι παρὰ κάρπῳ ἐρχόμενος φέρε καὶ τὰ βιβλία μάλιστα τὰς
14 μεμβράνας ⋄ ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο
15 ἀποδῴη αὐτῷ ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ ⋄ ὃν καὶ σὺ φυλάσ-
16 σου λίαν γὰρ ἀνθέστηκεν τοῖς ἡμετέροις λόγοις ⋄ ἐν τῇ πρώτῃ
μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο ἀλλὰ πάντες με ἐγ-

v.15 𝕋*: τα, 𝕍: [τα], ℵ: ∅. **v.16** 𝔼: και, **XXX**: ∅. **v.16** 𝕋*: ελεγχον, 𝕍: ελεγμον. **v.17** 𝔼: αρτιος, **XXX**: τελειος. **4.v.1** 𝕋*: ουν εγω, 𝕍: ∅. **v.1** 𝕋*: του κυριου ιησου χριστου, 𝕍: χριστου ιησου. **v.1** 𝔼: κρινειν, **XXX**: κριναι. **v.1** 𝕋*: κατα, 𝕍: και. **v.2** 𝔼: επιτιμησον παρακαλεσον, ℵ: παρακαλεσον επιτιμησον. **v.3** 𝕋*: επιθυμιας τας ιδιας, 𝕍: ιδιας επιθυμιας. **v.5** 𝔼: κακοπαθησον, ℵ: ∅, A: κακοπαθησον ως καλος στρατιωτης χριστου ιησου. **v.6** 𝕋*: εμης αναλυσεως, 𝕍: αναλυσεως μου. **v.7** 𝕋*: αγωνα τον καλον, 𝕍: καλον αγωνα. **v.8** 𝔼: πασιν, **XXX**: ∅. **v.9** 𝔼: ταχεως, **XXX**: ταχιον. **v.10** 𝔼: εγκατελιπεν, A: εγκατελειπεν. **v.10** 𝔼: γαλατιαν, ℵ: γαλλιαν. **v.11** 𝔼: αγε, A: αγαγε. **v.13** 𝕋 𝕄 𝕍: φαιλονην, 𝕂: φελονην. **v.13** 𝔼: απελιπον, A: απελειπον. **v.13** 𝔼: τας, **XXX**: δε τας. **v.14** 𝔼: αλεξανδρος, A: αλιξανδρος. **v.14** 𝕋*: αποδωη, 𝕍: αποδωσει. **v.15** 𝕋*: ανθεστηκεν, 𝕍: αντεστη. **v.16** 𝕋*: συμπαρεγενετο, 𝕍: παρεγενετο.

κατέλιπον μὴ αὐτοῖς λογισθείη ⸰ ὁ δὲ κύριός μοι παρέστη καὶ 17
ἐνεδυνάμωσέν με ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ
ἀκούσῃ πάντα τὰ ἔθνη καὶ ἐρρύσθην ἐκ στόματος λέοντος ⸰ κἀὶ 18
ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς
τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ἀμήν ⸰ ἄσπασαι πρίσκαν καὶ ἀκύλαν καὶ τὸν ὀνησι- 19
φόρου οἶκον ⸰ ἔραστος ἔμεινεν ἐν κορίνθῳ τρόφιμον δὲ ἀπέλιπον 20
ἐν μιλήτῳ ἀσθενοῦντα ⸰ σπούδασον πρὸ χειμῶνος ἐλθεῖν ἀσπά- 21
ζεταί σε εὔβουλος καὶ πούδης καὶ λῖνος καὶ κλαυδία καὶ οἱ
ἀδελφοὶ πάντες ⸰ ὁ κύριος ἰησοῦς˚ χριστὸς μετὰ τοῦ πνεύματός 22
σου ἡ χάρις μεθ᾽ ὑμῶν ἀμήν ⸰ Πρὸς˚ τιμόθεον δευτέρα τῆς ἐφε-
σίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπὸ
ῥώμης ὅτε ἐκ δευτέρου παρέστη παῦλος τῷ καίσαρι νέρωνι ⸰

v.16 𝔼: εγκατελιπον, A: εγκατελειπον. **v.17** 𝕋*: ακουση, 𝕍: ακουσωσιν. **v.18** 𝕋*: και, 𝕍: ∅. **v.19** 𝔼: ακυλαν, **XXX**: ακυλαν λεκτραν την γυναικα αυτου και σιμαιαν και ζηνωνα τους υιους αυτου. **v.20** 𝔼: απελιπον, **XXX**: απελειπον. **v.20** 𝔼: μιλητω, A: μηλωτω. **v.21** 𝔼: παντες, ℵ: ∅. **v.22** 𝕋*: ιησους χριστος, 𝕍: ∅, A: ιησους. **v.22** 𝕋*: αμην, 𝕍: ∅. **v.22** 𝕋: Προς . . . νερωνι, 𝕂 𝕄 𝕍: ∅, A: Προς τιμοθεον β εγραφη απο λαοδικειας.

Η ΠΡΟΣ ΤΙΤΟΝ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

1 παῦλος δοῦλος θεοῦ ἀπόστολος δὲ ἰησοῦ χριστοῦ κατὰ πί-
στιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέβειαν ◦
2 ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ
3 χρόνων αἰωνίων ◦ ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ
ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ᾽ ἐπιταγὴν τοῦ σωτῆρος ἡ-
4 μῶν θεοῦ ◦ τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν χάρις ἔλεος εἰ-
ρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου˚ ἰησοῦ χριστοῦ τοῦ σωτῆρος
5 ἡμῶν ◦ τούτου χάριν κατέλιπόν σε ἐν κρήτῃ ἵνα τὰ λείποντα ἐπι-
διορθώσῃ καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους ὡς ἐγώ σοι
6 διεταξάμην ◦ εἴ τίς ἐστιν ἀνέγκλητος μιᾶς γυναικὸς ἀνὴρ τέκνα
7 ἔχων πιστὰ μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα ◦ δεῖ γὰρ
τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς θεοῦ οἰκονόμον μὴ αὐθάδη
8 μὴ ὀργίλον μὴ πάροινον μὴ πλήκτην μὴ αἰσχροκερδῆ ◦ ἀλλὰ
9 φιλόξενον φιλάγαθον σώφρονα δίκαιον ὅσιον ἐγκρατῆ ◦ ἀντεχό-
μενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου ἵνα δυνατὸς ᾖ καὶ
παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέ-
10 γοντας ἐλέγχειν ◦ εἰσὶν γὰρ πολλοὶ καὶ ἀνυπότακτοι ματαιολόγοι
11 καὶ φρεναπάται μάλιστα οἱ ἐκ περιτομῆς ◦ οὓς δεῖ ἐπιστομίζειν
οἵτινες ὅλους οἴκους ἀνατρέπουσιν διδάσκοντες ἃ μὴ δεῖ αἰ-
12 σχροῦ κέρδους χάριν ◦ εἶπέν τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης
13 κρῆτες ἀεὶ ψεῦσται κακὰ θηρία γαστέρες ἀργαί ◦ ἡ μαρτυρία
αὕτη ἐστὶν ἀληθὴς δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως ἵνα
14 ὑγιαίνωσιν ἐν τῇ πίστει ◦ μὴ προσέχοντες ἰουδαϊκοῖς μύθοις καὶ
15 ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν ◦ πάντα μὲν
καθαρὰ τοῖς καθαροῖς τοῖς δὲ μεμιαῦμένοις καὶ ἀπίστοις οὐδὲν
καθαρὸν ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις ◦
16 θεὸν ὁμολογοῦσιν εἰδέναι τοῖς δὲ ἔργοις ἀρνοῦνται βδελυκτοὶ
ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι ◦

2, 2 σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ◦ πρεσβύ-
τας νηφαλίους εἶναι σεμνοὺς σώφρονας ὑγιαίνοντας τῇ πίστει
3 τῇ ἀγάπῃ τῇ ὑπομονῇ ◦ πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι
ἱεροπρεπεῖς μὴ διαβόλους μὴ οἴνῳ πολλῷ δεδουλωμένας κα-
4 λοδιδασκάλους ◦ ἵνα σωφρονίζωσιν τὰς νέας φιλάνδρους εἶναι

𝕋: Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, 𝕂: ΠΑΥΛΟΥ Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΤΙΤΟΝ. **1.v.4** 𝕋*: ελεος, 𝕍: και. **v.4** 𝕋*: κυριου ιησου χριστου, 𝕍: χριστου ιησου. **v.5** 𝕋*: κατελιπον, 𝕍: απελιπον. **v.10** 𝕋*: εκ, 𝕍: εκ της. **v.15** 𝕋*: μεν, 𝕍: ∅. **v.15** 𝕋*: μεμιασμενοις, 𝕍: μεμιαμμενοις. **2.v.2** 𝕋 𝕂 𝕍: νηφαλίους, 𝕄: νηφαλεους.

φιλοτέκνους ⸎ σώφρονας ἁγνὰς οἰκουρούς ἀγαθὰς ὑποτασσομέ- 5
νας τοῖς ἰδίοις ἀνδράσιν ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται ⸎
τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν ⸎ περὶ πάντα σε- 6, 7
αυτὸν παρεχόμενος τύπον καλῶν ἔργων ἐν τῇ διδασκαλίᾳ ἀ-
διαφθορίαν˙ σεμνότητα ἀφθαρσίαν ⸎ λόγον ὑγιῆ ἀκατάγνωστον 8
ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ˙ ὑμῶν λέγειν φαῦ-
λον ⸎ δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν εὐαρέ- 9
στους εἶναι μὴ ἀντιλέγοντας ⸎ μὴ νοσφιζομένους ἀλλὰ πίστιν˙ 10
πᾶσαν ἐνδεικνυμένους ἀγαθὴν ἵνα τὴν διδασκαλίαν τὸῦ σωτῆ-
ρος ὑμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν ⸎ ἐπεφάνη γὰρ ἡ χάρις τοῦ 11
θεοῦ ἡ˙ σωτήριος πᾶσιν ἀνθρώποις ⸎ παιδεύουσα ἡμᾶς ἵνα ἀρ- 12
νησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως
καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι ⸎ προσδεχόμε- 13
νοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου
θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ ⸎ ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ 14
ἡμῶν ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ
ἑαυτῷ λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων ⸎ ταῦτα λάλει καὶ 15
παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς μηδείς σου περι-
φρονείτω ⸎

ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς κἀὶ ἐξουσίαις ὑποτάσσεσθαι **3**
πειθαρχεῖν πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι ⸎ μηδένα βλα- 2
σφημεῖν ἀμάχους εἶναι ἐπιεικεῖς πᾶσαν ἐνδεικνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους ⸎ ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι 3
ἀπειθεῖς πλανώμενοι δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποι-
κίλαις ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες στυγητοὶ μισοῦντες ἀλλή-
λους ⸎ ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σω- 4
τῆρος ἡμῶν θεοῦ ⸎ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν˙ ἐποιήσα- 5
μεν ἡμεῖς ἀλλὰ κατὰ τὸν˙ αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ
παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου ⸎ οὗ ἐξέχεεν 6
ἐφ᾽ ἡμᾶς πλουσίως διὰ ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν ⸎ ἵνα 7
δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ᾽ ἐλ-
πίδα ζωῆς αἰωνίου ⸎ πιστὸς ὁ λόγος καὶ περὶ τούτων βούλομαί 8
σε διαβεβαιοῦσθαι ἵνα φροντίζωσιν καλῶν ἔργων προϊστασθαι
οἱ πεπιστευκότες τῷ θεῷ ταῦτά ἐστιν τὰ καλὰ καὶ ὠφέλιμα τοῖς
ἀνθρώποις ⸎ μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ 9

v.5 $\mathbb{T}^*$: οικουρους, $\mathbb{V}$: οικουργους. **v.7** $\mathbb{T}^*$: αδιαφθοριαν σεμνοτητα αφθαρσιαν, $\mathbb{V}$: αφθοριαν σεμνοτητα. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: περι υμων λεγειν, $\mathbb{M}$: περι ημων λεγειν, $\mathbb{V}$: λεγειν περι ημων. **v.10** $\mathbb{T}^*$: πιστιν πασαν, $\mathbb{V}$: πασαν πιστιν. **v.10** $\mathbb{T}^*$: του, $\mathbb{V}$: την του. **v.10** $\mathbb{T}$: υμων, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ημων. **v.11** $\mathbb{T}^*$: η, $\mathbb{V}$: ∅. **3.v.1** $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.2** $\mathbb{T}^*$: πραοτητα, $\mathbb{V}$: πραυτητα. **v.5** $\mathbb{T}^*$: ων, $\mathbb{V}$: α. **v.5** $\mathbb{T}^*$: τον αυτου ελεον, $\mathbb{V}$: το αυτου ελεος. **v.7** $\mathbb{T}^*$: γενωμεθα, $\mathbb{V}$: γενηθωμεν. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: τω, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}^*$: τα, $\mathbb{V}$: ∅.

μάχας νομικὰς περιΐστασο εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι ⸰
10 αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραι-
11 τοῦ ⸰ εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτο-
12 κατάκριτος ⸰ ὅταν πέμψω ἀρτεμᾶν πρός σε ἢ τυχικὸν σπούδα-
σον ἐλθεῖν πρός με εἰς νικόπολιν ἐκεῖ γὰρ κέκρικα παραχει-
13 μάσαι ⸰ ζηνᾶν τὸν νομικὸν καὶ ἀπόλλὼ σπουδαίως πρόπεμψον
14 ἵνα μηδὲν αὐτοῖς λείπῃ ⸰ μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι κα-
λῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας ἵνα μὴ ὦσιν
15 ἄκαρποι ⸰ ἀσπάζονταί σε οἱ μετ᾽ ἐμοῦ πάντες ἄσπασαι τοὺς φι-
λοῦντας ἡμᾶς ἐν πίστει ἡ χάρις μετὰ πάντων ὑμῶν ἀμήν ⸰ Πρὸς˚
τίτον τῆς κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα
ἐγράφη ἀπὸ νικοπόλεως τῆς μακεδονίας ⸰

v.13 𝕋*: απολλω, 𝕍: απολλων. **v.15** 𝕋*: αμην, 𝕍: ∅. **v.15** 𝕋: Προς . . . μακεδονιας, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

παῦλος δέσμιος χριστοῦ ἰησοῦ καὶ τιμόθεος ὁ ἀδελφὸς φι- **1**
λήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν ◦ καὶ ἀπφίᾳ τῇ ἀγαπητῇ 2
καὶ ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ᾽ οἶκόν σου ἐκ-
κλησίᾳ ◦ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυ- 3
ρίου ἰησοῦ χριστοῦ ◦ εὐχαριστῶ τῷ θεῷ μου πάντοτε μνείαν σου 4
ποιούμενος ἐπὶ τῶν προσευχῶν μου ◦ ἀκούων σου τὴν ἀγάπην 5
καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν κύριον ἰησοῦν καὶ εἰς πάντας
τοὺς ἁγίους ◦ ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται 6
ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς χριστὸν ἰησοῦν ◦
χάριν˚ γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου 7
ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ ἀδελφέ ◦ διὸ 8
πολλὴν ἐν χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον ◦
διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ τοιοῦτος ὢν ὡς παῦλος πρε- 9
σβύτης νυνὶ δὲ καὶ δέσμιος ἰησοῦ˚ χριστοῦ ◦ παρακαλῶ σε περὶ 10
τοῦ ἐμοῦ τέκνου ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μοῦ ὀνήσιμον ◦
τόν ποτέ σοι ἄχρηστον νυνὶ δέ˚ σοι καὶ ἐμοὶ εὔχρηστον ◦ ὃν ἀνέ- 11, 12
πεμψα σὺ˚ δὲ αὐτὸν τουτ᾽έστιν τὰ ἐμὰ σπλάγχνα προσλαβοῦ ◦ ὃν 13
ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν ἵνα ὑπὲρ σοῦ διακονῇ˚
μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου ◦ χωρὶς δὲ τῆς σῆς γνώμης 14
οὐδὲν ἠθέλησα ποιῆσαι ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν
σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον ◦ τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς 15
ὥραν ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς ◦ οὐκέτι ὡς δοῦλον ἀλλ᾽ ὑπὲρ 16
δοῦλον ἀδελφὸν ἀγαπητὸν μάλιστα ἐμοὶ πόσῳ δὲ μᾶλλόν σοι
καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ ◦ εἰ οὖν ἐμὲ ἔχεις κοινωνὸν προσλα- 17
βοῦ αὐτὸν ὡς ἐμέ ◦ εἰ δέ τι ἠδίκησέν σε ἢ ὀφείλει τοῦτο ἐμοὶ 18
ἐλλόγει ◦ ἐγὼ παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ ἐγὼ ἀποτίσω ἵνα μὴ 19
λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις ◦ ναὶ ἀδελφὲ ἐγώ σου 20
ὀναίμην ἐν κυρίῳ ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν κυρίῳ ◦ πε- 21
ποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ˚ λέγω
ποιήσεις ◦ ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν ἐλπίζω γὰρ ὅτι διὰ τῶν 22

𝕋: Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, 𝕂: ΠΑΥΛΟΥ Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ. **1.v.2** 𝕋*: αγαπητη, 𝕍: αδελφη. **v.6** 𝕋 𝕂: υμιν, 𝕄 𝕍: ημιν. **v.6** 𝕋*: ιησουν, 𝕍: ∅. **v.7** 𝕋 𝕄: χαριν γαρ εχομεν πολλην, 𝕂: χαραν γαρ εχομεν πολλην, 𝕍: χαραν γαρ πολλην εσχον. **v.9** 𝕋*: ιησου χριστου, 𝕍: χριστου ιησου. **v.10** 𝕋*: μου, 𝕍: ∅. **v.11** 𝕋*: δε, 𝕍: δε [και]. **v.12** 𝕋*: συ δε, 𝕍: σοι. **v.12** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.12** 𝕋*: προσλαβου, 𝕍: ∅. **v.13** 𝕋*: διακονη μοι, 𝕍: μοι διακονη. **v.17** 𝕋 𝕂: εμε, 𝕄 𝕍: με. **v.18** 𝕋*: ελλογει, 𝕍: ελλογα. **v.20** 𝕋*: κυριω, 𝕍: χριστω. **v.21** 𝕋*: ο, 𝕍: α.

23 προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν ⸰ ἀσπάζονταί σε ἐπαφρᾶς
24 ὁ συναιχμάλωτός μου ἐν χριστῷ ἰησοῦ ⸰ μάρκος ἀρίσταρχος δη-
25 μᾶς λουκᾶς οἱ συνεργοί μου ⸰ ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν ἀμήν ⸰ Πρὸς˚ φιλήμονα ἐ-
γράφη ἀπὸ ῥώμης διὰ ὀνησίμου οἰκέτου ⸰

v.23 𝕋*: ασπαζονται, 𝕍: ασπαζεται. **v.25** 𝕋*: ημων, 𝕍: ∅. **v.25** 𝕋*: αμην, 𝕍: ∅. **v.25** 𝕋: Προς . . . οικετου, 𝕂 𝕄 𝕍: ∅.

Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πα- **1**
τράσιν ἐν τοῖς προφήταις ◦ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐ- 2
λάλησεν ἡμῖν ἐν υἱῷ ὃν ἔθηκεν κληρονόμον πάντων δι᾽ οὗ καὶ
τοὺς˚ αἰῶνας ἐποίησεν ◦ ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρα- 3
κτὴρ τῆς ὑποστάσεως αὐτοῦ φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς
δυνάμεως αὐτοῦ δι˚ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁ-
μαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς ◦
τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων ὅσῳ διαφορώτερον 4
παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα ◦ τίνι γὰρ εἶπέν ποτε τῶν 5
ἀγγέλων υἱός μου εἶ σὺ ἐγὼ σήμερον γεγέννηκά σε καὶ πάλιν ἐ-
γὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν ◦ ὅταν δὲ 6
πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει καὶ
προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ ◦ καὶ πρὸς μὲν 7
τοὺς ἀγγέλουṣ λέγει ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα
καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα ◦ πρὸς δὲ τὸν υἱὸν ὁ 8
θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ˚ αἰῶνος ῥάβδος˚ εὐθύτητος
ἡ ῥάβδος τῆς βασιλείας σοῦ ◦ ἠγάπησας δικαιοσύνην καὶ ἐμί- 9
σησας ἀνομίαν διὰ τοῦτο ἔχρισέν σε ὁ θεὸς ὁ θεός σου ἔλαιον
ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου ◦ καὶ σὺ κατ᾽ ἀρχὰς κύριε 10
τὴν γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί ◦
αὐτοὶ ἀπολοῦνται σὺ δὲ διαμένεις καὶ πάντες ὡς ἱμάτιον πα- 11
λαιωθήσονται ◦ καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλα- 12
γήσονται σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν ◦ πρὸς 13
τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε κάθου ἐκ δεξιῶν μου ἕως ἂν
θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου ◦ οὐχὶ πάντες 14
εἰσὶν λειτουργικὰ πνεύματα εἰς διακονίαν᾽ ἀποστελλόμενα διὰ
τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν ◦

διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς˚ προσέχειν τοῖς ἀκουσθεῖ- **2**

𝕋: Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, 𝕂: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, 𝕄 𝕍: ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ. **1.v.1** 𝔼: πατρασιν, $\mathfrak{P}^{12,46}$: πατρασιν ημων. **v.2** 𝕋 𝕂: εσχατων, 𝕄 𝕍: εσχατου. **v.2** 𝔼: και, $\mathfrak{P}^{46}$: ∅. **v.2** $\mathbb{T}^{*}$: τους αιωνας εποιησεν, 𝕍: εποιησεν τους αιωνας. **v.3** 𝔼: φερων, Β: φανερων. **v.3** 𝔼: αυτου, $\mathfrak{P}^{46}$: ∅. **v.3** $\mathbb{T}^{*}$: δι εαυτου καθαρισμον ποιησαμενος των αμαρτιων ημων, 𝕍: καθαρισμον των αμαρτιων ποιησαμενος. **v.4** 𝔼: των, Β: ∅. **v.7** 𝔼: αγγελους, **XXX**: αγγελους αυτου. **v.7** 𝔼: πνευματα, **XXX**: πνευμα. **v.8** 𝔼: του αιωνος, Β: ∅. **v.8** $\mathbb{T}^{*}$: ραβδος ευθυτητος η, 𝕍: και η ραβδος της ευθυτητος. **v.8** 𝔼: σου, ℵ Β: αυτου. **v.9** 𝔼: ανομιαν, ℵ Α: αδικιαν, **XXX**: ανομιας. **v.11** 𝔼: διαμένεις, **XXX**: διαμενεῖς. **v.12** 𝔼: ελιξεις, ℵ: αλλαξεις. **v.12** $\mathbb{T}^{*}$: αυτους, 𝕍: αυτους ως ιματιον. **v.14** 𝔼: διακονιαν, Β: διακονιας. **2.v.1** $\mathbb{T}^{*}$: ημας προσεχειν, 𝕍: προσεχειν ημας.

2 σιν μήˊ ποτε παραρῥυῶμεν ⸰ εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λό-
γος ἐγένετο βέβαιος καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν
3 ἔνδικον μισθαποδοσίαν ⸰ πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀ-
μελήσαντες σωτηρίας ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ
4 κυρίου ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη ⸰ συνεπιμαρ-
τυροῦντος τοῦ θεοῦ σημείοις τεˊ καὶ τέρασιν καὶ ποικίλαις δυνά-
μεσιν καὶ πνεύματος ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν ⸰
5 οὐ γὰρ ἀγγέλοις ὑπέταξεν τὴν οἰκουμένην τὴν μέλλουσαν περὶ
6 ἧς λαλοῦμεν ⸰ διεμαρτύρατο δέ πού τις λέγων τίˊ ἐστιν ἄνθρωπος
ὅτι μιμνήσκῃ αὐτοῦ ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν ⸰
7 ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους δόξῃ καὶ τιμῇ ἐστε-
φάνωσας αὐτὸν καὶˊ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν
8 σου ⸰ πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ ἐν γὰρˊ τῷ ὑ-
ποτάξαι αὐτῷˊ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον νῦν
9 δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα ⸰ τὸν δὲ βραχύ
τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα
τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον ὅπως χάριτι θεοῦ
10 ὑπὲρ παντὸς γεύσηται θανάτου ⸰ ἔπρεπεν γὰρ αὐτῷ δι᾽ ὃν τὰ
πάντα καὶ δι᾽ οὗ τὰ πάντα πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα
11 τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι ⸰ ὅ
τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες δι᾽ ἣν αἰτίαν
12 οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν ⸰ λέγων ἀπαγγελῶ τὸ
ὄνομά σου τοῖς ἀδελφοῖς μου ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε ⸰
13 καὶ πάλιν ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ καὶ πάλιν ἰδοὺ ἐγὼ
14 καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ θεός ⸰ ἐπεὶ οὖν τὰ παιδία κεκοι-
νώνηκεν σαρκὸςˊ καὶ αἵματος καὶ αὐτὸς παραπλησίως μετέσχεν
τῶν αὐτῶνˊ ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα
15 τοῦ θανάτου τουτέστιν τὸν διάβολον ⸰ καὶ ἀπαλλάξῃ τούτους ὅ-
16 σοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας ⸰ οὐ
γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται ἀλλὰ σπέρματος Ἀβραὰμ
17 ἐπιλαμβάνεται ⸰ ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιω-
θῆναι ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν
18 θεὸν εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ ⸰ ἐν ᾧ γὰρ πέπον-
θεν αὐτὸς πειρασθεὶς δύναται τοῖς πειραζομένοις βοηθῆσαι ⸰

3 ὅθεν ἀδελφοὶ ἅγιοι κλήσεως ἐπουρανίου μέτοχοι κατανοή-

v.1 𝕋 𝕂: μη ποτε, 𝕄 𝕍: μηποτε. **v.1** 𝕋*: παραρρυωμεν, 𝕍: παραρυωμεν. **v.2** 𝔼: αγγελων, **XXX**: αγγελου. **v.4** 𝔼: συνεπιμαρτυροῦντος, 𝔹: συμμαρτυρουντος. **v.4** 𝔼: τε, **XXX**: ∅. **v.4** 𝔼: αυτου, **XXX**: του θεου. **v.6** 𝔼: τι, 𝔓46: τις. **v.7** 𝕋 𝕂: και . . . σου, 𝕄 𝕍: ∅. **v.8** 𝕋*: γαρ τω, 𝕍: τω γαρ. **v.8** 𝕋*: αυτω, 𝕍: [αυτω], 𝔓46: ∅. **v.14** 𝕋*: σαρκος και αιματος, 𝕍: αιματος και σαρκος. **v.14** 𝔼: αυτων, **XXX**: αυτων παθηματων. **v.14** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν.

σατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν χριστὸν˚
ἰησοῦν ⸓ πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ὡς καὶ μωσῆς ἐν ὅλῳ 2
τῷ οἴκῳ αὐτοῦ ⸓ πλείονος γὰρ δόξης˚ οὗτος παρὰ μωσῆν ἠξίω- 3
ται καθ᾽ ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας
αὐτόν ⸓ πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος ὁ δὲ τὰ πάντα 4
κατασκευάσας θεός ⸓ καὶ μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐ- 5
τοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων ⸓ χριστὸς δὲ 6
ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ οὗ οἶκός ἐσμεν ἡμεῖς ἐάνπερ τὴν
παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι˚ τέλους βεβαίαν
κατάσχωμεν ⸓ διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον σήμερον ἐὰν 7
τῆς φωνῆς αὐτοῦ ἀκούσητε ⸓ μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν 8
ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν
τῇ ἐρήμῳ ⸓ οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν ἐδοκίμασάν˚ με 9
καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη ⸓ διὸ προσώχθισα τῇ 10
γενεᾷ ἐκείνῃ καὶ εἶπον ἀεὶ πλανῶνται τῇ καρδίᾳ αὐτοὶ δὲ οὐκ
ἔγνωσαν τὰς ὁδούς μου ⸓ ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύ- 11
σονται εἰς τὴν κατάπαυσίν μου ⸓ βλέπετε ἀδελφοὶ μή˚ ποτε ἔσται 12
ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ
ζῶντος ⸓ ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν ἄχρις 13
οὗ τὸ σήμερον καλεῖται ἵνα μὴ σκληρυνθῇ τις˚ ἐξ ὑμῶν ἀπάτῃ
τῆς ἁμαρτίας ⸓ μέτοχοι γὰρ γεγόναμεν˚ τοῦ χριστοῦ ἐάνπερ τὴν 14
ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν ⸓ ἐν 15
τῷ λέγεσθαι σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε μὴ σκλη-
ρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ ⸓ τινὲς γὰρ 16
ἀκούσαντες παρεπίκραναν ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ αἰ-
γύπτου διὰ μωσέως ⸓ τίσιν δὲ προσώχθισεν τεσσαράκοντα ἔτη 17
οὐχὶ τοῖς ἁμαρτήσασιν ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ ⸓ τίσιν δὲ 18
ὤμοσεν μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ εἰ μὴ τοῖς
ἀπειθήσασιν ⸓ καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ 19
ἀπιστίαν ⸓

φοβηθῶμεν οὖν μή˚ ποτε καταλειπομένης ἐπαγγελίας εἰσελ- **4**
θεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι ⸓

3.v.1 𝕋 𝕂: χριστον ιησουν, 𝕄: ιησουν χριστον, 𝕍: ιησουν. **v.2** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.3** 𝕋*: δοξης ουτος, 𝕍: ουτος δοξης. **v.3** 𝕋 𝕂: μωσην, 𝕄 𝕍: μωυσην. **v.4** 𝕋*: τα, 𝕍: ∅. **v.5** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.6** 𝕋*: εανπερ, 𝕍: εαν[περ]. **v.6** 𝕋*: μεχρι τελους βεβαιαν, 𝕍: ∅. **v.9** 𝕋*: με, 𝕍: ∅. **v.9** 𝕋*: εδοκιμασαν με, 𝕍: εν δοκιμασια. **v.9** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.10** 𝕋*: εκεινη, 𝕍: ταυτη. **v.12** 𝕋 𝕂: μη ποτε, 𝕄 𝕍: μηποτε. **v.13** 𝔼: παρακαλειτε, 𝔓[13]: παρακαλεσατε. **v.13** 𝕋 𝕂 𝕍: τις εξ υμων, 𝕄: εξ υμων τις. **v.14** 𝕋*: γεγοναμεν του χριστου, 𝕍: του χριστου γεγοναμεν. **v.16** 𝕋 𝕂: τινὲς, 𝕄 𝕍: τίνες. **v.16** 𝕋 𝕂: μωσεως, 𝕄 𝕍: μωυσεως. **v.17** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα. **v.17** 𝔼: αμαρτησασιν, A: απειθησασιν. **v.18** 𝔼: απειθησασιν, 𝔓[46]: απιστησασιν. **4.v.1** 𝕋 𝕂: μη ποτε, 𝕄 𝕍: μηποτε.

καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι ἀλλ᾽ οὐκ ὠφέ-
2 λησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένος τῇ πίστει
3 τοῖς ἀκούσασιν ◦ εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύ-
σαντες καθὼς εἴρηκεν ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύσον-
ται εἰς τὴν κατάπαυσίν μου καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς
4 κόσμου γενηθέντων ◦ εἴρηκεν γάρ που περὶ τῆς ἑβδόμης οὕτως
καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν
5 ἔργων αὐτοῦ ◦ καὶ ἐν τούτῳ πάλιν εἰ εἰσελεύσονται εἰς τὴν κατά-
6 παυσίν μου ◦ ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτὴν καὶ
7 οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι᾽ ἀπείθειαν ◦ πά-
λιν τινὰ ὁρίζει ἡμέραν σήμερον ἐν Δαβὶδ λέγων μετὰ τοσοῦτον
χρόνον καθὼς εἴρηται σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε
8 μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ◦ εἰ γὰρ αὐτοὺς Ἰησοῦς κα-
9 τέπαυσεν οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας ◦ ἄρα
10 ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ ◦ ὁ γὰρ εἰσελθὼν εἰς
τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων
11 αὐτοῦ ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός ◦ σπουδάσωμεν οὖν εἰσελθεῖν
εἰς ἐκείνην τὴν κατάπαυσιν ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι
12 πέσῃ τῆς ἀπειθείας ◦ ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ
τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διϊκνούμενος
ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος ἁρμῶν τε καὶ μυελῶν
13 καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας ◦ καὶ οὐκ ἔστιν
κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ πάντα δὲ γυμνὰ καὶ τετραχηλι-
14 σμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος ◦ ἔχοντες
οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς Ἰησοῦν τὸν υἱ-
15 ὸν τοῦ θεοῦ κρατῶμεν τῆς ὁμολογίας ◦ οὐ γὰρ ἔχομεν ἀρχιερέα
μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν πεπειραμένον
16 δὲ κατὰ πάντα καθ᾽ ὁμοιότητα χωρὶς ἁμαρτίας ◦ προσερχώμεθα
οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος ἵνα λάβωμεν ἔλεον
καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν ◦

5 πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀν-
θρώπων καθίσταται τὰ πρὸς τὸν θεὸν ἵνα προσφέρῃ δῶρά τε καὶ
2 θυσίας ὑπὲρ ἁμαρτιῶν ◦ μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦ-
3 σιν καὶ πλανωμένοις ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν ◦ καὶ

---

v.2 𝕋 𝕂: συγκεκραμενος, 𝕄: συγκεκραμενους, 𝕍: συγκεκερασμενους. **v.3** 𝔼: εισερχομεθα, A C: εισερχωμεθα. **v.3** 𝔼: γαρ, ℵ A C: ουν. **v.3** 𝕋*: την, 𝕍: [την], B: ∅. **v.6** 𝔼: απειθειαν, ℵ: απιστιαν. **v.7** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.7** 𝕋*: ειρηται, 𝕍: προειρηται. **v.8** 𝔼: αν, B: αρα. **v.11** 𝔼: απειθειας, 𝔓46: απιστιας, **XXX**: αληθειας. **v.12** 𝔼: ενεργης, B: εναργης. **v.12** 𝕋*: τε, 𝕍: ∅. **v.12** 𝔼: πνευματος, **XXX**: σωματος. **v.15** 𝕋 𝕄: πεπειραμενον, 𝕂 𝕍: πεπειρασμενον. **v.16** 𝕋*: ελεον, 𝕍: ελεος.

διὰ˚ ταύτην ὀφείλει καθὼς περὶ τοῦ λαοῦ οὕτως καὶ περὶ ἑαυτοῦ
προσφέρειν ὑπὲρ ἁμαρτιῶν ⸰ καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τι- 4
μὴν ἀλλὰ ὁ˚ καλούμενος ὑπὸ τοῦ θεοῦ καθάπερ καὶ ὁ˚ ἀαρών ⸰
οὕτως καὶ ὁ χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερέα 5
ἀλλ᾽ ὁ λαλήσας πρὸς αὐτὸν υἱός μου εἶ σὺ ἐγὼ σήμερον γε-
γέννηκά σε ⸰ καθὼς καὶ ἐν ἑτέρῳ λέγει σὺ ἱερεὺς εἰς τὸν αἰῶνα 6
κατὰ τὴν τάξιν μελχισεδέκ ⸰ ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ 7
δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ
θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ
εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας ⸰ καίπερ ὢν υἱὸς ἔμαθεν ἀφ᾽ ὧν 8
ἔπαθεν τὴν ὑπακοήν ⸰ καὶ τελειωθεὶς ἐγένετο τοῖς˚ ὑπακούουσιν 9
αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου ⸰ προσαγορευθεὶς ὑπὸ τοῦ 10
θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν μελχισεδέκ ⸰ περὶ οὗ πολὺς ἡμῖν 11
ὁ λόγος καὶ δυσερμήνευτος λέγειν ἐπεὶ νωθροὶ γεγόνατε ταῖς
ἀκοαῖς ⸰ καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον 12
πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινὰ τὰ στοιχεῖα τῆς ἀρ-
χῆς τῶν λογίων τοῦ θεοῦ καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος
καὶ οὐ στερεᾶς τροφῆς ⸰ πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος 13
λόγου δικαιοσύνης νήπιος γάρ ἐστιν ⸰ τελείων δέ ἐστιν ἡ στερεὰ 14
τροφὴ τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων
πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ ⸰

διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ χριστοῦ λόγον ἐπὶ τὴν τελειό- **6**
τητα φερώμεθα μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας
ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ θεόν ⸰ βαπτισμῶν διδαχῆς 2
ἐπιθέσεώς τε χειρῶν ἀναστάσεώς τε νεκρῶν καὶ κρίματος αἰω-
νίου ⸰ καὶ τοῦτο ποιήσομεν ἐάνπερ ἐπιτρέπῃ ὁ θεός ⸰ ἀδύνατον 3, 4
γὰρ τοὺς ἅπαξ φωτισθέντας γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐ-
πουρανίου καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου ⸰ καὶ κα- 5
λὸν γευσαμένους θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος ⸰ καὶ 6
παραπεσόντας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν ἀνασταυροῦν-
τας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας ⸰ γῆ γὰρ 7
ἡ πιοῦσα τὸν ἐπ᾽ αὐτῆς πολλάκις˚ ἐρχόμενον ὑετὸν καὶ τίκτουσα
βοτάνην εὔθετον ἐκείνοις δι᾽ οὓς καὶ γεωργεῖται μεταλαμβάνει
εὐλογίας ἀπὸ τοῦ θεοῦ ⸰ ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους 8
ἀδόκιμος καὶ κατάρας ἐγγὺς ἧς τὸ τέλος εἰς καῦσιν ⸰ πεπεί- 9

5.v.3 𝕋*: δια ταυτην, 𝕍: δι αυτην. **v.3** 𝕋*: εαυτου, 𝕍: αυτου. **v.3** 𝕋*: υπερ, 𝕍: περι. **v.4** 𝕋 𝕂 𝕍: αλλα, 𝕄: αλλ. **v.4** 𝕋*: ο, 𝕍: ∅. **v.4** 𝕋*: καθαπερ, 𝕍: καθωσπερ. **v.4** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.6** 𝔼: συ, 𝔓46: συ ει. **v.9** 𝕋*: τοις υπακουουσιν αυτω πασιν, 𝕍: πασιν τοις υπακουουσιν αυτω. **v.13** 𝔼: γαρ, **XXX**: γαρ ακμην. **6.v.2** 𝔼: διδαχης, 𝔹: διδαχην. **v.3** 𝕋 𝕂 𝕍: ποιησομεν, 𝕄: ποιησωμεν. **v.7** 𝕋*: πολλακις ερχομενον, 𝕍: ερχομενον πολλακις.

σμεθα δὲ περὶ ὑμῶν ἀγαπητοὶ τὰ κρείττονα καὶ ἐχόμενα σωτη-
10 ρίας εἰ καὶ οὕτως λαλοῦμεν ⸂ οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι
τοῦ ἔργου ὑμῶν καὶ τοῦ˚ κόπου τῆς ἀγάπης ἧς˙ ἐνεδείξασθε εἰς
11 τὸ ὄνομα αὐτοῦ διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες ⸂ ἐ-
πιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν
12 πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους ⸂ ἵνα μὴ νωθροὶ
γένησθε μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρο-
13 νομούντων τὰς ἐπαγγελίας ⸂ τῷ γὰρ ἀβραὰμ ἐπαγγειλάμενος ὁ
θεὸς ἐπεὶ κατ᾽ οὐδενὸς εἶχεν μείζονος ὀμόσαι ὤμοσεν καθ᾽ ἑαυ-
14 τοῦ ⸂ λέγων ἦ˚ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πλη-
15 θυνῶ σε ⸂ καὶ οὕτως μακροθυμήσας ἐπέτυχεν τῆς ἐπαγγελίας ⸂
16 ἄνθρωποι μὲν˙ γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσιν καὶ πάσης αὐ-
17 τοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος ⸂ ἐν ᾧ περισσότερον
βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας
18 τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ ἐμεσίτευσεν ὅρκῳ ⸂ ἵνα διὰ δύο
πραγμάτων ἀμεταθέτων ἐν οἷς ἀδύνατον ψεύσασθαι θεὸν ἰσχυ-
ρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προ-
19 κειμένης ἐλπίδος ⸂ ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ
τε καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπε-
20 τάσματος ⸂ ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν ἰησοῦς κατὰ
τὴν τάξιν μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα ⸂

7 οὗτος γὰρ ὁ μελχισεδὲκ βασιλεὺς σαλὴμ ἱερεὺς τοῦ θεοῦ τοῦ
ὑψίστου ὁ συναντήσας ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς
2 τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν ⸂ ᾧ καὶ δεκάτην ἀπὸ πάντων
ἐμέρισεν ἀβραὰμ πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιο-
σύνης ἔπειτα δὲ καὶ βασιλεὺς σαλὴμ ὅ ἐστιν βασιλεὺς εἰρήνης ⸂
3 ἀπάτωρ ἀμήτωρ ἀγενεαλόγητος μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς
τέλος ἔχων ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς
4 τὸ διηνεκές ⸂ θεωρεῖτε δὲ πηλίκος οὗτος ᾧ καὶ δεκάτην ἀβραὰμ
5 ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης ⸂ καὶ οἱ μὲν ἐκ τῶν υἱῶν
λευῒ τὴν ἱερατείαν λαμβάνοντες ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν
τὸν λαὸν κατὰ τὸν νόμον τουτέστιν τοὺς ἀδελφοὺς αὐτῶν καίπερ
6 ἐξεληλυθότας ἐκ τῆς ὀσφύος ἀβραάμ ⸂ ὁ δὲ μὴ γενεαλογούμενος
ἐξ αὐτῶν δεδεκάτωκεν τὸν˚ ἀβραὰμ καὶ τὸν ἔχοντα τὰς ἐπαγγε-
7 λίας εὐλόγηκεν ⸂ χωρὶς δὲ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ
8 κρείττονος εὐλογεῖται ⸂ καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄν-

---

v.9 𝔼: αγαπητοι, ℵ: αδελφοι, **XXX**: αγαπητοι αδελφοι. **v.9** 𝕋 𝕂: κρειττονα, 𝕄 𝕍: κρεισσονα. **v.10** 𝕋*: του κοπου, 𝕍: ∅. **v.10** 𝔼: ης, 𝔓46: ην. **v.10** 𝕋 𝕍: ενεδειξασθε, 𝕄 𝕂: ενδειξασθε. **v.11** 𝔼: ελπιδος, **XXX**: πιστεως. **v.14** 𝕋*: η, 𝕍: ει. **v.16** 𝕋*: μεν, 𝕍: ∅. **v.18** 𝕋*: θεον, 𝕍: [τον] θεον. **7.v.5** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.6** 𝕋*: τον, 𝕍: ∅.

θρωποι λαμβάνουσιν ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ ◦ καὶ ὡς ἔπος 9
εἰπεῖν διὰ˚ ἀβραὰμ καὶ λευῒ ὁ δεκάτας λαμβάνων δεδεκάτωται ◦
ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ ὁ˚ μελ- 10
χισεδέκ ◦ εἰ μὲν οὖν τελείωσις διὰ τῆς λευϊτικῆς ἱερωσύνης ἦν 11
ὁ λαὸς γὰρ ἐπ᾽ αὐτῇ˚ νενομοθέτητο τίς ἔτι χρεία κατὰ τὴν τά-
ξιν μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν
ἀαρὼν λέγεσθαι ◦ μετατιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ ἀνάγκης 12
καὶ νόμου μετάθεσις γίνεται ◦ ἐφ᾽ ὃν γὰρ λέγεται ταῦτα φυλῆς ἑ- 13
τέρας μετέσχηκεν ἀφ᾽ ἧς οὐδεὶς προσέσχηκεν τῷ θυσιαστηρίῳ ◦
πρόδηλον γὰρ ὅτι ἐξ ἰούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν εἰς ἣν 14
φυλὴν οὐδὲν˚ περὶ ἱερωσύνης μωσῆς ἐλάλησεν ◦ καὶ περισσό- 15
τερον ἔτι κατάδηλόν ἐστιν εἰ κατὰ τὴν ὁμοιότητα μελχισεδὲκ
ἀνίσταται ἱερεὺς ἕτερος ◦ ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς 16
γέγονεν ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου ◦ μαρτυρεῖ γὰρ 17
ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ ◦ ἀθέτησις 18
μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ
ἀνωφελές ◦ οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος ἐπεισαγωγὴ δὲ κρείτ- 19
τονος ἐλπίδος δι᾽ ἧς ἐγγίζομεν τῷ θεῷ ◦ καὶ καθ᾽ ὅσον οὐ χωρὶς 20
ὁρκωμοσίας ◦ οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονό- 21
τες ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτὸν ὤμοσεν
κύριος καὶ οὐ μεταμεληθήσεται σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ˚
τὴν τάξιν μελχισεδέκ ◦ κατὰ τοσοῦτοῦ κρείττονος διαθήκης γέ- 22
γονεν ἔγγυος ἰησοῦς ◦ καὶ οἱ μὲν πλείονές εἰσιν γεγονότες ἱερεῖς 23
διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν ◦ ὁ δὲ διὰ τὸ μένειν αὐτὸν 24
εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην ◦ ὅθεν καὶ σώ- 25
ζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι᾽ αὐτοῦ τῷ
θεῷ πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν ◦ τοιοῦτος γὰρ 26
ἡμῖν˚ ἔπρεπεν ἀρχιερεὺς ὅσιος ἄκακος ἀμίαντος κεχωρισμένος
ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος ◦
ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην ὥσπερ οἱ ἀρχιερεῖς πρότε- 27
ρον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν ἔπειτα τῶν τοῦ
λαοῦ τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας ◦ ὁ νόμος 28
γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν ὁ λό-
γος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα
τετελειωμένον ◦

κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις τοιοῦτον ἔχομεν ἀρχιε- **8**

v.9 $\mathbb{T}^*$: δια, $\mathbb{V}$: δι. **v.10** $\mathbb{T}^*$: ο, $\mathbb{V}$: ∅. **v.11** $\mathbb{T}^*$: αυτη νενομοθετητο, $\mathbb{V}$: αυτης νενομοθετηται. **v.14** $\mathbb{T}^*$: ουδεν περι ιερωσυνης, $\mathbb{V}$: περι ιερεων ουδεν. **v.14** $\mathbb{T}$ $\mathbb{K}$: μωσης, $\mathbb{M}$ $\mathbb{V}$: μωυσης. **v.16** $\mathbb{T}^*$: σαρκικης, $\mathbb{V}$: σαρκινης. **v.17** $\mathbb{T}^*$: μαρτυρει, $\mathbb{V}$: μαρτυρειται. **v.21** $\mathbb{T}^*$: κατα την ταξιν μελχισεδεκ, $\mathbb{V}$: ∅. **v.22** $\mathbb{T}^*$: τοσουτον, $\mathbb{V}$: τοσουτο [και]. **v.26** $\mathbb{T}^*$: ημιν, $\mathbb{V}$: ημιν και. **8.v.1** $\mathbb{E}$: επι, A: εν.

ρέα ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς
2 οὐρανοῖς ◦ τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς
3 ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος ◦ πᾶς γὰρ ἀρχιερεὺς εἰς
τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται ὅθεν ἀναγκαῖον
4 ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ ◦ εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς οὐδ' ἂν
ἦν ἱερεὺς ὄντων τῶν˚ ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον
5 τὰ δῶρα ◦ οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσιν τῶν ἐπουρανίων καθὼς κεχρημάτισται μωσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν ὅρα γάρ φησιν ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα
6 σοι ἐν τῷ ὄρει ◦ νυνὶ δὲ διαφορωτέρας τέτευχεν λειτουργίας ὅσῳ
καὶ κρείττονός ἐστιν διαθήκης μεσίτης ἥτις ἐπὶ κρείττοσιν ἐ-
7 παγγελίαις νενομοθέτηται ◦ εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος
8 οὐκ ἂν δεύτέρας ἐζητεῖτο τόπος ◦ μεμφόμενος γὰρ αὐτοῖς λέγει
ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος καὶ συντελέσω ἐπὶ τὸν οἶκον
9 ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον ἰούδα διαθήκην καινήν ◦ οὐ κατὰ τὴν
διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου ὅτι
αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου κἀγὼ ἠμέλησα αὐτῶν
10 λέγει κύριος ◦ ὅτι αὕτη ἡ διαθήκἠ ἣν διαθήσομαι τῷ οἴκῳ ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος διδοὺς νόμους μου
εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίαṣ αὐτῶν ἐπιγράψω αὐτοὺς καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν ◦
11 καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος
τὸν ἀδελφὸν αὐτοῦ λέγων γνῶθι τὸν κύριον ὅτι πάντες εἰδήσου-
12 σίν με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν ◦ ὅτι ἵλεως ἔσομαι
ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ˚ τῶν ἀνομιῶν
13 αὐτῶν οὐ μὴ μνησθῶ ἔτι ◦ ἐν τῷ λέγειν καινὴν πεπαλαίωκεν τὴν
πρώτην τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ ◦

9 εἶχεν μὲν οὖν καὶ ἡ πρώτη σκἠνὴ δικαιώματα λατρείας τό
2 τε ἅγιον κοσμικόν ◦ σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ
τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτωv ἥτις λέγεται
3 ἁγία ◦ μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἁ-

---

v.1 𝔼: ουρανοις, **XXX**: υψηλοις. **v.2** 𝕋*: και, 𝕍: ∅. **v.4** 𝕋*: γαρ, 𝕍: ουν. **v.4** 𝕋*: των ιερεων, 𝕍: ∅. **v.4** 𝕋*: τον, 𝕍: ∅. **v.5** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.5** 𝕋 𝕂: ποιησης, 𝕄 𝕍: ποιησεις. **v.6** 𝕋*: νυνι, 𝕍: νυν[ι], 𝔓46*: νυν. **v.6** 𝕋 𝕂: τετευχεν, 𝕄 𝕍: τετυχεν, **XXX**: τετυχηκεν. **v.6** 𝔼: και, **XXX**: ∅. **v.7** 𝔼: δευτερας, B: ετερας, **XXX**: δευτερος. **v.8** 𝕋*: αυτοις, 𝕍: αυτους. **v.9** 𝔼: ημερα, B: ημεραις. **v.10** 𝔼: διαθηκη, A: διαθηκη μου. **v.10** 𝔼: καρδιας, ℵ: καρδιαν, B: καρδια, **XXX**: καρδιαις. **v.10** 𝔼: επιγραψω, B 𝔓46: γραψω. **v.11** 𝔼: εκαστος, 𝔓46: ετερος. **v.11** 𝕋 𝕂: πλησιον, 𝕄 𝕍: πολιτην. **v.11** 𝔼: αυτου, 𝔓46: ∅. **v.11** 𝕋*: αυτων, 𝕍: ∅. **v.12** 𝕋*: και των ανομιων αυτων, 𝕍: ∅. **9.v.1** 𝕋: σκηνη, 𝕂 𝕄 𝕍: ∅. **v.2** 𝔼: αρτων, B: αρτων και το χρυσουν θυμιατηριον. **v.2** 𝕋: ἁγία, 𝕂 𝕄 𝕍: ἅγια, B: τα αγια, A 𝔓46: αγια αγιων.

για˚ ἁγίων ⸓ χρυσοῦν˚ ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς 4
διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ ἐν ᾗ στάμνος
χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος ἀαρὼν ἡ˚ βλαστήσασα
καὶ αἱ πλάκες τῆς διαθήκης ⸓ ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης 5
κατασκιάζοντα τὸ ἱλαστήριον περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ
μέρος ⸓ τούτων δὲ οὕτως κατεσκευασμένων εἰς μὲν τὴν πρώτην 6
σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες ⸓
εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς οὐ 7
χωρὶς αἵματος ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀ-
γνοημάτων ⸓ τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου μήπω 8
πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν ἔτι τῆς πρώτης σκηνῆς ἐχού-
σης στάσιν ⸓ ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα καθ᾽ 9
ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνάμεναι κατὰ συνεί-
δησιν τελειῶσαι τὸν λατρεύοντα ⸓ μόνον ἐπὶ βρώμασιν καὶ πόμα- 10
σιν καὶ διαφόροις βαπτισμοῖς καὶ˚ δικαιώμασιν σαρκὸς μέχρι
καιροῦ διορθώσεως ἐπικείμενα ⸓ χριστὸς δὲ παραγενόμενος ἀρ- 11
χιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας
σκηνῆς οὐ χειροποιήτου τουτέστιν οὐ ταύτης τῆς κτίσεως ⸓ οὐδὲ 12
δι᾽ αἵματος τράγων καὶ μόσχων διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλ-
θεν ἐφάπαξ εἰς τὰ ἅγια αἰωνίαν λύτρωσιν εὑράμενος ⸓ εἰ γὰρ 13
τὸ αἷμα ταύρων˚ καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα
τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα ⸓
πόσῳ μᾶλλον τὸ αἷμα τοῦ χριστοῦ ὃς διὰ πνεύματος αἰωνίου 14
ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ καθαριεῖ τὴν συνείδησιν
ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν θεῷ ζῶντι ⸓ καὶ διὰ 15
τοῦτο διαθήκης καινῆς μεσίτης ἐστὶν ὅπως θανάτου γενομένου
εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων τὴν
ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας ⸓
ὅπου γὰρ διαθήκη θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου ⸓ 16
διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία ἐπεὶ μή˚ ποτε ἰσχύει ὅτε ζῇ 17
ὁ διαθέμενος ⸓ ὅθεν οὐδ᾽ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται ⸓ 18
λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ μωϋσέως παντὶ 19
τῷ λαῷ λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ˚ τράγων μετὰ ὕδατος καὶ

v.3 𝔼: αγια αγιων, 𝔹: τα αγια των αγιων, 𝔓[46]: ανα, **XXX**: αγια των αγιων. **v.4** 𝔼: χρυσουν εχουσα θυμιατηριον και, 𝔹: εχουσα. **v.4** 𝔼: η, 𝔹: ∅. **v.5** 𝕋*: χερουβιμ, 𝕍: χερουβιν. **v.6** 𝕋: διαπαντος, 𝕂 𝕄 𝕍: δια παντος. **v.9** 𝔼: παραβολη, **XXX**: πρωτη παραβολη. **v.9** 𝕋*: ον, 𝕍: ην. **v.10** 𝕋*: και δικαιωμασιν, 𝕍: δικαιωματα. **v.11** 𝕋*: μελλοντων, 𝕍: γενομενων. **v.11** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.12** 𝔼: αγια, **XXX**: αγια των αγιων. **v.13** 𝕋*: ταυρων και τραγων, 𝕍: τραγων και ταυρων. **v.14** 𝔼: αιωνιου, **XXX**: αγιου. **v.14** 𝕋*: υμων, 𝕍: ημων. **v.17** 𝕋 𝕂: μη ποτε, 𝕄 𝕍: μηποτε, 𝔎: μη τοτε. **v.18** 𝕋*: ουδ, 𝕍: ουδε. **v.19** 𝔼: εντολης, 𝔓[46]: της εντολης. **v.19** 𝕋*: νομον, 𝕍: τον νομον. **v.19** 𝕋*: και τραγων, 𝕍: [και των τραγων], 𝔓[46]: ∅. **v.19** 𝔼: μετα, 𝔓[46]: μεθ.

ἐρίου κοκκίνου καὶ ὑσσώπου αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν
20 λαὸν ἐρῥάντισεν ◦ λέγων τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετεί-
21 λατο πρὸς ὑμᾶς ὁ θεός ◦ καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη
22 τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισεν ◦ καὶ σχεδὸν ἐν
αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον καὶ χωρὶς αἱματεκ-
23 χυσίας οὐ γίνεται ἄφεσις ◦ ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν
ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι αὐτὰ δὲ τὰ ἐπουράνια
24 κρείττοσιν θυσίαις παρὰ ταύτας ◦ οὐ γὰρ εἰς χειροποίητα ἅγια˚
εἰσῆλθεν ὁ χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν ἀλλ᾽ εἰς αὐτὸν τὸν
οὐρανὸν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν ◦
25 οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρ-
26 χεται εἰς τὰ ἅγιὰ κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ ◦ ἐπεὶ ἔδει
αὐτὸν πολλάκις πaθεῖν ἀπὸ καταβολῆς κόσμου νῦν᾽ δὲ ἅπαξ ἐ-
πὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας
27 αὐτοῦ πεφανέρωται ◦ καὶ καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις
28 ἅπαξ ἀποθανεῖν μετὰ δὲ τοῦτο κρίσις ◦ οὕτως ὁ˚ χριστὸς ἅπαξ
προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας ἐκ δευτέρου
χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σω-
τηρίαν᾽ ◦

10 σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν οὐκ αὐ-
τὴν τὴν εἰκόνα τῶν πραγμάτων κατ᾽ ἐνιαυτὸν ταῖς αὐταῖς θυ-
σίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς οὐδέποτε δύναται τοὺς
2 προσερχομένους τελειῶσαι ◦ ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφε-
ρόμεναι διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς
3 λατρεύοντας ἅπαξ κεκαθαρμένους ◦ ἀλλ᾽ ἐν αὐταῖς ἀνάμνησις
4 ἁμαρτιῶν κατ᾽ ἐνιαυτόν ◦ ἀδύνατον γὰρ αἷμα ταύρων˚ καὶ τρά-
5 γων ἀφαιρεῖν ἁμαρτίας ◦ διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει
θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας σῶμα δὲ κατηρτίσω μοι ◦
6, 7 ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας ◦ τότε εἶπον
ἰδοὺ ἥκω ἐν κεφαλίδι βιβλίου γέγραπταί περὶ ἐμοῦ τοῦ ποιῆσαι
8 ὁ θεὸς τὸ θέλημά σου ◦ ἀνώτερον λέγων ὅτι θυσίαν˚ καὶ προ-
σφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας
9 οὐδὲ εὐδόκησας αἵτινες κατὰ τὸν νόμον προσφέρονται ◦ τότε εἶ-

---

v.19 𝕋*: ερραντισεν, 𝕍: εραντισεν. **v.21** 𝕋* 𝕍*: ἐρράντισεν, 𝕍 ℕ: ἐράντισεν. **v.24** 𝕋*: αγια εισηλθεν ο, 𝕍: εισηλθεν αγια. **v.25** 𝔼: αγια, **XXX**: αγια των αγιων. **v.26** 𝔼: παθειν, **XXX**: αποθανειν. **v.26** 𝕋*: νυν, 𝕍: νυνι. **v.26** 𝕋*: αμαρτιας, 𝕍: [της] αμαρτιας, **XXX**: αμαρτιων. **v.28** 𝕋 𝕂: ο, 𝕄 𝕍: και ο. **v.28** 𝔼: σωτηριαν, A: σωτηριαν δια πιστεως. **10.v.1** 𝕋 𝕂 𝕍: δυναται, 𝕄: δυνανται. **v.2** 𝕋*: κεκαθαρμενους, 𝕍: κεκαθαρισμενους. **v.4** 𝔼: ταυρων και τραγων, 𝔓46: τραγων και ταυρων. **v.4** 𝔼: αφαιρειν, **XXX**: αφελειν. **v.6** 𝔼: ολοκαυτωματα, 𝔓46: ολοκαυτωμα. **v.7** 𝔼: γεγραπται, 𝔓46: γεγραπται γαρ. **v.8** 𝕋*: θυσιαν και προσφοραν, 𝕍: θυσιας και προσφορας. **v.8** 𝕋*: τον, 𝕍: ∅.

ρηκεν ἰδοὺ ἥκω τοῦ ποιῆσαι ὁ˚ θεὸς τὸ θέλημά σου ἀναιρεῖ
τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ ⸰ ἐν ᾧ˙ θελήματι ἡγιασμένοι 10
ἐσμὲν ὁἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ˙ ἰησοῦ χριστοῦ
ἐφάπαξ ⸰ καὶ πᾶς μὲν ἱέρευς ἕστηκεν καθ᾽ ἡμέραν λειτουργῶν 11
καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας αἵτινες οὐδέποτε
δύνανται περιελεῖν ἁμαρτίας˙ ⸰ αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν 12
προσενέγκας θυσίαν εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ˙ τοῦ θε-
οῦ ⸰ τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτ˙οῦ ὑπο- 13
πόδιον τῶν ποδῶν αὐτοῦ ⸰ μιᾷ˙ γὰρ προσφορᾷ˙ τετελείωκεν εἰς τὸ 14
διηνεκὲς τοὺς ἁγ˙ιαζομένους ⸰ μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα 15
τὸ ἅγιον μετὰ γὰρ τὸ ῥ˙ηθὲν προειρηκέναι ⸰ αὕτη ἡ διαθήκη ἣν δια- 16
θήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος
διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν καὶ ἐπὶ τῶν˚ διανοιῶν
αὐτῶν ἐπιγράψω αὐτούς ⸰ καὶ τῶν ἁμαρτιῶν αὐτ˙ῶν καὶ τῶν ἀνο- 17
μιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι ⸰ ὅπου δὲ ἄφεσις τούτ˙ων οὐκ˚ ἔτι 18
προσφορὰ περὶ ἁμαρτίας ⸰ ἔχοντες οὖν ἀδελφοὶ παρρησίαν εἰς 19
τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ˙ αἵματι ἰησοῦ ⸰ ἣν ἐνεκαίνισεν ἡμῖν 20
ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος τουτ˙έστιν
τῆς σαρκὸς αὐτοῦ ⸰ καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ ⸰ 21
προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ˙ πίστεως 22
ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λε-
λουμένοι τὸ σῶμα ὕδατι καθαρῷ˙ ⸰ κατέχωμεν τὴν ὁμολογίαν τῆς 23
ἐλπίδος˙ ἀκλινῆ πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος ⸰ καὶ κατανοῶ- 24
μεν ἀλλήλους εἰς˚ παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων ⸰ μὴ 25
ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν καθὼς ἔθος τισὶν
ἀλλὰ παρακαλοῦντες˙ καὶ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγί-
ζουσαν τὴν ἡμέραν ⸰ ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ 26
τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας οὐκ˚ ἔτι περὶ ἁμαρτιῶν
ἀπολείπεται θυσία ⸰ φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς 27
ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους ⸰ ἀθετήσας τις νόμον 28
μωσέως χωρὶς οἰκτιρμῶν˙ ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνή-

---

v.9 𝕋*: ο θεος, 𝕍: ∅. **v.10** 𝕋 𝕄: οι, 𝕂 𝕍: ∅. **v.10** 𝔼: σωματος, **XXX**: αιματος. **v.10** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.11** 𝔼: ιερευς, A C: αρχιερευς. **v.11** 𝔼: αμαρτιας, 𝔓[13]: αμαρτιαν. **v.12** 𝕋*: αυτος, 𝕍: ουτος. **v.13** 𝔼: αυτου, 𝔓[13]: ∅. **v.14** 𝔼: αγιαζομενους, 𝔓[46]: ανασωζομενους. **v.15** 𝕋*: προειρηκεναι, 𝕍: ειρηκεναι. **v.16** 𝕋*: των διανοιων, 𝕍: την διανοιαν. **v.17** 𝕋 𝕂 𝕍: αυτων, 𝕄: ∅. **v.17** 𝕋*: μνησθω, 𝕍: μνησθησομαι. **v.18** 𝔼: τουτων, ℵ: ∅. **v.18** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.20** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.22** 𝔼: προσερχωμεθα, 𝔓[46*]: προσερχομεθα. **v.22** 𝕋*: ερραντισμενοι, 𝕍: ρεραντισμενοι. **v.22** 𝕋*: λελουμενοι, 𝕍: λελουσμενοι. **v.23** 𝔼: ελπιδος, ℵ: ελπιδος ημων. **v.24** 𝔼: εις παροξυσμον, 𝔓[46]: εκ παροξυσμου. **v.25** 𝔼: εγκαταλειποντες, 𝔓[46]: καταλειποντες. **v.25** 𝔼: παρακαλουντες, **XXX**: παρακαλουντες εαυτους. **v.26** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.28** 𝕋 𝕂: μωσεως, 𝕄 𝕍: μωυσεως. **v.28** 𝔼: οικτιρμων, **XXX**: οικτιρμων και δακρυων.

29 σκει ◦ πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν
τοῦ θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγη-
σάμενος ἐν˚ ᾧ ἡγιάσθη καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας ◦
30 οἴδαμεν γὰρ τὸν εἰπόντα ἐμοὶ ἐκδίκησις ἐγὼ ἀνταποδώσω λέγει˚
31 κύριος καὶ πάλιν κύριος˚ κρινεῖ τὸν λαὸν αὐτοῦ ◦ φοβερὸν τὸ ἐμ-
32 πεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος ◦ ἀναμιμνήσκεσθε δὲ τὰς πρότε-
ρον ἡμέρας ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε πα-
33 θημάτων ◦ τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσιν θεατριζόμενοι
34 τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες ◦ καὶ
γὰρ τοῖς δεσμοῖς˚ μου συνεπαθήσατε καὶ τὴν ἁρπαγὴν τῶν ὑ-
παρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε γινώσκοντες ἔχειν
35 ἐν˚ ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν˚ οὐρανοῖς καὶ μένουσαν ◦ μὴ
ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν ἥτις ἔχει μισθαποδοσίαν˚
36 μεγάλην ◦ ὑπομονῆς γὰρ ἔχετε χρείαν ἵνα τὸ θέλημα τοῦ θεοῦ
37 ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν ◦ ἔτι γὰρ μικρὸν ὅσον ὅ-
38 σον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ ◦ ὁ δὲ δίκαιός ἐκ πίστεως
ζήσεται καὶ ἐὰν ὑποστείληται οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ ◦
39 ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν ἀλλὰ πίστεως εἰς
περιποίησιν ψυχῆς ◦

11 ἔστιν δὲ πίστις ἐλπιζομένων ὑπόστασις πραγμάτων ἔλεγχος
2 οὐ βλεπομένων ◦ ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι ◦
3 πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ εἰς τὸ μὴ
4 ἐκ φαινομένων τὰ˚ βλεπόμενα γεγονέναι ◦ πίστει πλείονα θυσίαν
ἄβελ παρὰ κάϊν προσήνεγκεν τῷ˚ θεῷ δι᾽ ἧς ἐμαρτυρήθη εἶναι
δίκαιος μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ καὶ δι᾽
5 αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται ◦ πίστει ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν
θάνατον καὶ οὐχ ηὑρίσκετο διότι μετέθηκεν αὐτὸν ὁ θεός πρὸ
γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ θε-
6 ῷ ◦ χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι πιστεῦσαι γὰρ δεῖ
τὸν προσερχόμενον τῷ θεῷ ὅτι ἔστιν καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν
7 μισθαποδότης γίνεται ◦ πίστει χρηματισθεὶς νῶε περὶ τῶν μη-
δέπω βλεπομένων εὐλαβηθεὶς κατεσκεύασεν κιβωτὸν εἰς σωτη-

---

v.29 𝔼: αξιωθησεται, 𝔓^{46}: καταξιωθησεται. **v.29** 𝔼: της, **XXX**: της καινης. **v.29** 𝔼: εν ω ηγιασθη, A: ∅. **v.30** 𝕋*: λεγει κυριος, 𝕍: ∅. **v.30** 𝕋*: κυριος κρινει, 𝕍: κρινει κυριος. **v.32** 𝔼: ημερας, 𝔎: αμαρτιας υμων, **XXX**: ημερας υμων. **v.33** 𝔼: θεατριζομενοι, **XXX**: ονειδιζομενοι. **v.34** 𝕋*: δεσμοις μου, 𝕍: δεσμιοις. **v.34** 𝕋 𝕂: εν εαυτοις, 𝕄: εαυτοις, 𝕍: εαυτους, **XXX**: ∅. **v.34** 𝕋*: εν ουρανοις, 𝕍: ∅. **v.35** 𝕋*: μισθαποδοσιαν μεγαλην, 𝕍: μεγαλην μισθαποδοσιαν. **v.37** 𝔼: γαρ, 𝔓^{13}: ∅. **v.37** 𝕋*: χρονιει, 𝕍: χρονισει. **v.38** 𝕋*: δικαιος, 𝕍: δικαιος μου. **11.v.3** 𝕋*: τα βλεπομενα, 𝕍: το βλεπομενον. **v.4** 𝔼: τω θεω, 𝔓^{13}: ∅. **v.4** 𝕋 𝕄: λαλειται, 𝕂 𝕍: λαλει. **v.5** 𝕋*: ευρισκετο, 𝕍: ηυρισκετο. **v.5** 𝕋*: αυτου, 𝕍: ∅. **v.5** 𝕋*: ευηρεστηκεναι, 𝕍: ευαρεστηκεναι. **v.6** 𝔼: τω, 𝔎: ∅. **v.6** 𝔼: εκζητουσιν, 𝔓^{13}: ζητουσιν.

ρίαν τοῦ οἴκου αὐτοῦ δι᾽ ἧς κατέκρινεν τὸν κόσμον καὶ τῆς κατὰ
πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος ◦ πίστει κ̔αλούμενος ἀ- 8
βραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τ̀ὸν τόπον ὃν ἤμελλεν λαμβάνειν
εἰς κληρονομίαν καὶ ἐξῆλθεν μὴ ἐπιστάμενος ποῦ ἔρχεται ◦ πί- 9
στει παρῴκησεν εἰς τ̀ὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν ἐν
σκηναῖς κατοικήσας μετὰ ἰσαὰκ καὶ ἰακὼβ τῶν συγκληρονό-
μων τῆς ἐπαγγελίας τῆς αὐτῆς ◦ ἐξεδέχετο γὰρ τ̀ὴν τοὺς θεμελί- 10
ους ἔχουσαν πόλιν ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός ◦ πίστει 11
καὶ αὐτ̀ὴ σάρρᾳ δύναμιν εἰς καταβολ̀ὴν σπέρματος ἔλαβεν̓ καὶ
παρὰ καιρὸν ἡλικίας ἔτ̓εκεν ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγει-
λάμενον ◦ διὸ καὶ ἀφ᾽ ἑνὸς ἐγεν̓ήθησαν καὶ ταῦτα νενεκρωμέ- 12
νου καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ̃ πλήθει καὶ ὡσεὶ ἄμμος
ἡ˚ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος ◦ κατὰ πίστιν 13
ἀπέθανον οὗτοι πάντες μὴ λαβόντες τὰς ἐπαγγελίας ἀλλὰ πόρ-
ρωθεν αὐτὰς ἰδόντες καὶ πεισθέντες˚ καὶ ἀσπασάμενοι καὶ ὁ-
μολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς ◦ οἱ 14
γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐ̓πιζητοῦσιν ◦
καὶ εἰ μὲν ἐκείνης ἐ̓μνημόνευον ἀφ᾽ ἧς ἐξῆλθὸν εἶχον ἂν καιρ- 15
ὸν ἀνακάμψαι ◦ νυν̀ὶ δὲ κρείττονος ὀρέγονται τουτ̓έστιν ἐπου-
ρανίου διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς θεὸς ἐ̓πικαλεῖσθαι
αὐτῶν ἡτοίμασεν γὰρ αὐτοῖς πόλιν ◦ πίστει προσενήνοχεν ἀβρα- 17
ὰμ τὸν ἰσαὰκ πειραζόμενος καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς
ἐπαγγελίας ἀναδεξάμενος ◦ πρὸς ὃν ἐλαλήθη ὅτι ἐν ἰσαὰκ κλη- 18
θήσεταί σοι σπέρμα ◦ λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν 19
δυνατὸς ὁ θεὸς ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ̃ ἐκομίσατο ◦ πίστει 20
π̔ερὶ μελλόντων εὐλόγησεν ἰσαὰκ τὸν ἰακὼβ καὶ τὸν ἡσαῦ ◦ πί- 21
στει ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν ἰωσὴφ εὐλόγησεν καὶ
προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ ◦ πίστει ἰωσὴφ 22
τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν ἰσραὴλ ἐμνημόνευσεν καὶ
περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο ◦ πίστει μωσῆς γεννηθεὶς ἐ- 23
κρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ διότι εἶδον ἀστεῖον τὸ
παιδίον καὶ οὐκ ἐφοβήθησαν τὸ διάτ̔αγμα τοῦ βασιλέως̓ ◦ πί- 24
στει μωσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς

v.8 𝔼: καλουμενος, A: ο καλουμενος. **v.8** 𝕋*: τον, 𝕍: ∅. **v.9** 𝕋 𝕂: την, 𝕄 𝕍: ∅. **v.11** 𝕋*: σαρρα, 𝕍: σαρρα στειρα. **v.11** 𝔼: ελαβεν, **XXX**: ελαβεν εις το τεκνωσαι. **v.11** 𝕋*: ετεκεν, 𝕍: ∅. **v.12** 𝔼: εγεννηθησαν, A: εγενηθησαν. **v.12** 𝕋 𝕂: ωσει, 𝕄 𝕍: ως η. **v.12** 𝔼: η παρα το χειλος, 𝔓46: ∅. **v.13** 𝕋 𝕂: πεισθεντες και, 𝕄 𝕍: ∅. **v.14** 𝔼: επιζητουσιν, 𝔓46: ζητουσιν. **v.15** 𝔼: εμνημονευον, ℵ: μνημονευουσιν, **XXX**: εμνημονευσαν. **v.15** 𝕋*: εξηλθον, 𝕍: εξεβησαν. **v.16** 𝕋 𝕂: νυνι, 𝕄 𝕍: νυν. **v.16** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.20** 𝕋*: περι, 𝕍: και περι. **v.23** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης. **v.23** 𝔼: διαταγμα, **XXX**: δογμα. **v.23** 𝔼: βασιλεως, **XXX**: βασιλεως πιστει μεγας γενομενος μωυσης ανειλεν τον αιγυπτιον κατανοων την ταπεινωσιν των αδελφων αυτου. **v.24** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης.

25 φαραώ ⸓ μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ ἢ
26 πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν ⸓ μείζονα πλοῦτον ἡγη-
σάμενος τῶν ἐν˚ αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ χριστοῦ
27 ἀπέβλεπεν γὰρ εἰς τὴν μισθαποδοσίαν ⸓ πίστει κατέλιπεν αἴγυ-
πτον μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως τὸν γὰρ ἀόρατον ὡς
28 ὁρῶν ἐκαρτέρησεν ⸓ πίστει πεποίηκεν τὸ πάσχα καὶ τὴν πρόσχυ-
σιν τοῦ αἵματος ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν ⸓
29 πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς ἧ̈ς πεῖραν
30 λαβόντες οἱ αἰγύπτιοι κατεπόθησαν ⸓ πίστει τὰ τείχη ἰεριχὼ ἔ-
31 πεσὲν κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας ⸓ πίστει ῥαὰβ ἡ˚ πόρνη οὐ
συναπώλετο τοῖς ἀπ̈ειθήσασιν δεξαμένη τοὺς κατασκόπους μετ᾽
32 εἰρήνης ⸓ καὶ τί ἔτι λέγω ἐπιλείψει γάρ˚ με διηγούμενον ὁ χρό-
νος περὶ γεδεὼν βαράκ τε˚ καὶ σαμψὼν κἀὶ ἰεφθάε δαβ́ίδ τε καὶ
33 σαμουὴλ καὶ τῶν προφητῶν ⸓ οἳ διὰ πίστεως κατηγωνίσαντο βα-
σιλείᾶς εἰργάσαντο δικαιοσύνην ἐπέτυχον ἐπαγγελιῶν ἔφραξαν
34 στόματα λεόντων ⸓ ἔσβεσαν δύναμιν πυρὸς ἔφυγον στόματα μα-
χαίρας˚ ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας ἐγενήθησαν ἰσχυροὶ
35 ἐν πολέμῳ παρεμβολὰς ἔκλιναν ἀλλοτρίων ⸓ ἔλαβον γυναῖκες ἐξ
ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν ἄλλοι δὲ ἐτυμπανίσθησαν οὐ
προσδεξάμενοι τὴν ἀπολύτρωσιν ἵνα κρείττονος ἀναστάσεως τύ-
36 χωσιν ⸓ ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον ἔτι δὲ
37 δεσμῶν καὶ φυλακῆς ⸓ ἐλιθάσθησαν ἐπρίσθησαν ἐπειρ́άσθησαν
ἐν φόνῳ μαχαίρᾶς ἀπέθανον περιῆλθον ἐν μηλωταῖς ἐν αἰγείοις
38 δέρμασιν ὑστερούμενοι θλιβόμενοι κακουχούμενοι ⸓ ὧν οὐκ ἦν
ἄξιος ὁ κόσμος ἐν̊ ἐρημίαις πλανώμενοι καὶ ὄρεσιν καὶ σπη-
39 λαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ⸓ καὶ οὗ̈τοι πάντες μαρτυρηθέντες
40 διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν ⸓ τοῦ θεοῦ περὶ
ἡμῶν κρεῖττόν τι προβλεψαμένου ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶ-
σιν ⸓

12 τοιγαροῦν καὶ ἡμεῖς τοσ̊οῦτον ἔχοντες περικείμενον ἡμῖν νέ-
φος μαρτύρων ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίσ̈τατον
ἁμαρτίαν δι᾽ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα ⸓
2 ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν ἰησοῦν ὃς
ἀντὶ τῆς προκειμένης αὐτῷ̃ χαρᾶς ὑπέμεινεν σ̈ταυρὸν αἰσχύνης

---

v.26 𝕋 𝕂: εν αιγυπτω, 𝕄 𝕍: αιγυπτου. **v.29** 𝕋*: ης, 𝕍: γης ης. **v.30** 𝕋*: επεσεν, 𝕍: επεσαν. **v.31** 𝔼: η, 𝔎: η επιλεγομενη. **v.31** 𝔼: απειθησασιν, 𝔓46: απιστησασιν. **v.32** 𝕋*: γαρ με, 𝕍: με γαρ. **v.32** 𝕋*: τε και, 𝕍: ∅. **v.32** 𝕋*: και, 𝕍: ∅. **v.32** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.33** 𝔼: βασιλειας, 𝔓46: βασιλεις. **v.34** 𝕋*: μαχαιρας ενεδυναμωθησαν, 𝕍: μαχαιρης εδυναμωθησαν. **v.37** 𝕋*: επειρασθησαν, 𝕍: ∅. **v.37** 𝕋*: μαχαιρας, 𝕍: μαχαιρης. **v.38** 𝕋*: εν, 𝕍: επι. **v.39** 𝔼: ουτοι, 𝔓46: ∅. **12.v.1** 𝔼: τοσουτον, 𝔎: τηλικουτον. **v.1** 𝔼: ευπεριστατον, 𝔓46: ευπερισπαστον. **v.2** 𝔼: σταυρον, 𝔓46: τον σταυρον.

καταφρονήσας ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ ἐκάθισεν ⸂ ἀ- 3
ναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρ-
τωλῶν εἰς ἑαυτὸν ἀντιλογίαν ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν
ἐκλυόμενοι ⸂ οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁ- 4
μαρτίαν ἀνταγωνιζόμενοι ⸂ καὶ ἐκλέλησθε τῆς παρακλήσεως ἥ- 5
τις ὑμῖν ὡς υἱοῖς διαλέγεται υἱέ μου μὴ ὀλιγώρει παιδείας κυ-
ρίου μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος ⸂ ὃν γὰρ ἀγαπᾷ κύ- 6
ριος παιδεύει μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται ⸂ εἰ παι- 7
δείαν ὑπομένετε ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεὸς τίς γάρ ἐστιν˚
υἱὸς ὃν οὐ παιδεύει πατήρ ⸂ εἰ δὲ χωρίς ἐστε παιδείας ἧς μέτοχοι 8
γεγόνασιν πάντες ἄρα νόθοι ἐστε˚ καὶ οὐχ υἱοί ⸂ εἶτα τοὺς μὲν 9
τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα
οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ
ζήσομεν ⸂ οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς 10
ἐπαίδευον ὁ δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότη-
τος αὐτοῦ ⸂ πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς 11
εἶναι ἀλλὰ λύπης ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς
γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύνης ⸂ διὸ τὰς παρειμένας 12
χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε ⸂ καὶ τροχιὰς 13
ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ ἰαθῇ
δὲ μᾶλλον ⸂ εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμὸν οὗ 14
χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον ⸂ ἐπισκοποῦντες μή τις ὑστερῶν 15
ἀπὸ τῆς χάριτος τοῦ θεοῦ μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνο-
χλῇ καὶ διὰ˚ ταύτης μιανθῶσιν πολλοί ⸂ μή τις πόρνος ἢ βέβηλος 16
ὡς ἠσαῦ ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ ⸂
ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν 17
ἀπεδοκιμάσθη μετανοίας γὰρ τόπον οὐχ εὗρεν καίπερ μετὰ δα-
κρύων ἐκζητήσας αὐτήν ⸂ οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ 18
ὄρει καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ ὁκότῳ καὶ θυέλλῃ ⸂
καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων ἧς οἱ ἀκούσαντες πα- 19
ρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον ⸂ οὐκ ἔφερον γὰρ τὸ 20
διαστελλόμενον κἂν θηρίον θίγῃ τοῦ ὄρους λιθοβοληθήσεται ἢ˚
βολίδι κατατοξευθήσεται ⸂ καὶ οὕτως φοβερὸν ἦν τὸ φανταζόμε- 21
νον μωσῆς εἶπεν ἔκφοβός εἰμι καὶ ἔντρομος ⸂ ἀλλὰ προσεληλύ- 22

---

v.2 𝕋 𝕂: εκαθισεν, 𝕄 𝕍: κεκαθικεν. **v.3** 𝕋*: αυτον, 𝕍: εαυτον. **v.3** 𝔼: εκλυομενοι, 𝔓13: εκλελυμενοι, 𝔓46: εγλελυμενοι. **v.7** 𝕋 𝕂: ει, 𝕄 𝕍: εις. **v.7** 𝕋*: εστιν υιος, 𝕍: υιος. **v.8** 𝕋*: εστε και ουχ υιοι, 𝕍: και ουχ υιοι εστε. **v.9** 𝕋*: πολλω, 𝕍: πολυ [δε]. **v.9** 𝔼: πνευματων, **XXX**: πνευματικων, **XXX**: πατερων. **v.13** 𝕋*: ποιησατε, 𝕍: ποιειτε. **v.15** 𝕋*: δια ταυτης, 𝕍: δι αυτης. **v.16** 𝕋*: απεδοτο, 𝕍: απεδετο. **v.16** 𝕋*: αυτου, 𝕍: εαυτου. **v.18** 𝕋*: ορει, 𝕍: ∅. **v.18** 𝕋*: σκοτω, 𝕍: ζοφω. **v.20** 𝕋 𝕂: η βολιδι κατατοξευθησεται, 𝕄 𝕍: ∅. **v.21** 𝕋 𝕂: μωσης, 𝕄 𝕍: μωυσης.

θατε σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος ἱερουσαλὴμ ἐπουρανίῳ
23 καὶ μυριάσιν ἀγγέλων ◦ πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων
ἐν˚ οὐρανοῖς ἀπογεγραμμένων καὶ κριτῇ θεῷ πάντων καὶ πνεύ-
24 μασιν δικαίων τετελειωμένων ◦ καὶ διαθήκης νέας μεσίτῃ ἰησοῦ
25 καὶ αἵματι ῥαντισμοῦ κρείττονα λαλοῦντι παρὰ τὸν ἄβελ ◦ βλέ-
πετε μὴ παραιτήσησθε τὸν λαλοῦντα εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον˚
τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα˚ πολλῷ μᾶλλον
26 ἡμεῖς οἱ τὸν ἀπ᾽ οὐρανῶν ἀποστρεφόμενοι ◦ οὗ ἡ φωνὴ τὴν γῆν
ἐσάλευσεν τότε νῦν δὲ ἐπήγγελται λέγων ἔτι ἅπαξ ἐγὼ σείω οὐ
27 μόνον τὴν γῆν ἀλλὰ καὶ τὸν οὐρανόν ◦ τὸ δέ ἔτι ἅπαξ δηλοῖ τῶν˚
σαλευομένων τὴν μετάθεσιν ὡς πεποιημένων ἵνα μείνῃ τὰ μὴ
28 σαλευόμενα ◦ διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχω-
μεν χάριν δι᾽ ἧς λατρεύωμεν εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς˚ καὶ
29 εὐλαβείας ◦ καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον ◦

13, 2 ἡ φιλαδελφία μενέτω ◦ τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε διὰ
3 ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους ◦ μιμνήσκεσθε τῶν
δεσμίων ὡς συνδεδεμένοι τῶν κακουχουμένων ὡς καὶ αὐτοὶ ὄν-
4 τες ἐν σώματι ◦ τίμιος ὁ γάμος ἐν πᾶσιν καὶ ἡ κοίτη ἀμίαντος
5 πόρνους δὲ˚ καὶ μοιχοὺς κρινεῖ ὁ θεός ◦ ἀφιλάργυρος ὁ τρόπος
ἀρκούμενοι τοῖς παροῦσιν αὐτὸς γὰρ εἴρηκεν οὐ μή σε ἀνῶ οὐδ᾽
6 οὐ μή σε ἐγκαταλίπω ◦ ὥστε θαρροῦντας ἡμᾶς λέγειν κύριος ἐ-
7 μοὶ βοηθὸς κἀι οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος ◦ μνη-
μονεύετε τῶν ἡγουμένων ὑμῶν οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον
τοῦ θεοῦ ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖ-
8 σθε τὴν πίστιν ◦ ἰησοῦς χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ
9 εἰς τοὺς αἰῶναϛ ◦ διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ πέριφέρεσθε
καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν οὐ βρώμασιν ἐν οἷς
10 οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες ◦ ἔχομεν θυσιαστήριον ἐξ
11 οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες ◦ ὧν
γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ
ἀρχιερέως τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς ◦
12 διὸ καὶ ἰησοῦς ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν ἔξω
13 τῆς πύλης ἔπαθεν ◦ τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς πα-

---

v.23 𝕋*: εν ουρανοις απογεγραμμενων, 𝕍: απογεγραμμενων εν ουρανοις. **v.24** 𝕋 𝕂: κρειττονα, 𝕄 𝕍: κρειττον. **v.24** 𝕋 𝕍: τον, 𝕄 𝕂: το. **v.25** 𝕋 𝕂: εφυγον τον επι της, 𝕄: εφυγον τον επι, 𝕍: εξεφυγον επι. **v.25** 𝕋*: χρηματιζοντα πολλω, 𝕍: τον χρηματιζοντα πολυ. **v.26** 𝕋*: σειω, 𝕍: σεισω. **v.27** 𝕋*: των σαλευομενων την, 𝕍: [την] των σαλευομενων. **v.28** 𝕋 𝕂 𝕍: λατρευωμεν, 𝕄: λατρευομεν. **v.28** 𝕋*: αιδους και ευλαβειας, 𝕍: ευλαβειας και δεους. **13.v.4** 𝕋*: δε, 𝕍: γαρ. **v.5** 𝔼: αρκουμενοι, 𝔓^{46c}: αρκουμενος. **v.5** 𝕋 𝕂 𝕍: εγκαταλιπω, 𝕄: εγκαταλειπω. **v.6** 𝕋*: και, 𝕍: [και], ℵ: ∅. **v.8** 𝕋*: χθες, 𝕍: εχθες. **v.8** 𝔼: αιωνας, **XXX**: αιωνας αμην. **v.9** 𝕋 𝕂: περιφερεσθε, 𝕄 𝕍: παραφερεσθε. **v.9** 𝕋*: περιπατησαντες, 𝕍: περιπατουντες. **v.10** 𝔼: εξουσιαν, **XXX**: ∅. **v.12** 𝔼: πυλης, 𝔓^{46}: παρεμβολης.

ρεμβολῆς τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες ⸰ οὐ γὰρ ἔχομεν ὧδε 14
μένουσαν πόλιν ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν ⸰ δι᾽ αὐτοῦ 15
οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ θεῷ τουτέστιν
καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ ⸰ τῆς δὲ εὐποι- 16
ΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε τοιαύταις γὰρ θυσίαις εὐα-
ρεστεῖται ὁ θεός ⸰ πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε 17
αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀπο-
δώσοντες ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν καὶ μὴ στενάζοντες ἀ-
λυσιτελὲς γὰρ ὑμῖν τοῦτο ⸰ προσεύχεσθε περὶ ἡμῶν πεποίθαμεν 18
γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσιν καλῶς θέλοντες ἀ-
ναστρέφεσθαι ⸰ περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι ἵνα 19
τάχιον ἀποκατασταθῶ ὑμῖν ⸰ ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ ἀναγαγὼν 20
ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι δια-
θήκης αἰωνίου τὸν κύριον ἡμῶν ἰησοῦν ⸰ καταρτίσαι ὑμᾶς ἐν 21
παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ ποιῶν ἐν
ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ ἰησοῦ χριστοῦ ᾧ ἡ δόξα
εἰς τοὺς αἰῶνας τῶν˚ αἰώνων ἀμήν ⸰ παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ 22
ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως καὶ γὰρ διὰ βραχέων ἐ-
πέστειλα ὑμῖν ⸰ γινώσκετε τὸν ἀδελφὸν τιμόθεον ἀπολελυμένον 23
μεθ᾽ οὗ ἐὰν τάχιον ἔρχηται ὄψομαι ὑμᾶς ⸰ ἀσπάσασθε πάντας 24
τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους ἀσπάζονται ὑ-
μᾶς οἱ ἀπὸ τῆς ἰταλίας ⸰ ἡ χάρις μετὰ πάντων ὑμῶν ἀμήν ⸰ Πρὸς˚ 25
ἑβραίους ἐγράφη ἀπὸ τῆς ἰταλίας διὰ τιμοθέου ⸰

---

v.15 $\mathbb{T}^*$: ουν, $\mathbb{V}$: [ουν], ℵ $\mathfrak{P}^{46}$: ∅. **v.15** $\mathbb{T}$: διαπαντος, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: δια παντος. **v.15** $\mathbb{T}$: τουτεστιν, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: τουτ εστιν. **v.16** $\mathbb{E}$: και, $\mathfrak{P}^{46}$: και της. **v.17** $\mathbb{E}$: αποδωσοντες, **XXX**: αποδωσονται περι υμων. **v.18** $\mathbb{E}$: περι, **XXX**: και περι. **v.18** $\mathbb{T}^*$: πεποιθαμεν, $\mathbb{V}$: πειθομεθα. **v.20** $\mathbb{E}$: ιησουν, **XXX**: ιησουν χριστον. **v.21** $\mathbb{T}^*$: εργω, $\mathbb{V}$: ∅. **v.21** $\mathbb{E}$: ποιων, ℵ A: αυτω ποιων, $\mathfrak{P}^{46}$: αυτο ποιων, **XXX**: αυτος ποιων. **v.21** $\mathbb{T}^*$: υμιν, $\mathbb{V}$: ημιν. **v.21** $\mathbb{T}^*$: των αιωνων, $\mathbb{V}$: [των αιωνων], $\mathfrak{P}^{46}$: ∅. **v.22** $\mathbb{E}$: ανεχεσθε, **XXX**: ανεχεσθαι. **v.23** $\mathbb{T}^*$: αδελφον, $\mathbb{V}$: αδελφον ημων. **v.24** $\mathbb{E}$: παντας, $\mathfrak{P}^{46}$: ∅. **v.25** $\mathbb{E}$: υμων, **XXX**: των αγιων. **v.25** $\mathbb{T}^*$: αμην, $\mathbb{V}$: ∅. **v.25** $\mathbb{T}$: Προς . . . τιμοθεου, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: ∅.

ΙΑΚΩΒΟΥ
ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ˚

1 ἰάκωβος θεοῦ καὶ κυρίου ἰησοῦ χριστοῦ δοῦλος ταῖς δώδεκα
2 φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν ⸰ πᾶσαν χαρὰν ἡγήσασθε
3 ἀδελφοί μου ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις ⸰ γινώσκον-
τες ὅτι τὸ δοκίμιὸν ὑμῶν˚ τῆς πίστεως κατεργάζεται ὑπομονήν ⸰
4 ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω ἵνα ἦτε τέλειοι καὶ ὁλόκλη-
5 ροι ἐν μηδενὶ λειπόμενοι ⸰ εἰ δέ τις ὑμῶν λείπεται σοφίας αἰτείτω
παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος καὶ
6 δοθήσεται αὐτῷ ⸰ αἰτείτω δὲ ἐν πίστει μηδὲν διακρινόμενος ὁ
γὰρ διακρινόμενος ἔοικεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ
7 ῥιπιζομένῳ ⸰ μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι
8 παρὰ τοῦ κυρίου ⸰ ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς
9 ὁδοῖς αὐτοῦ ⸰ καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει
10 αὐτοῦ ⸰ ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ ὅτι ὡς ἄνθος
11 χόρτου παρελεύσεται ⸰ ἀνέτειλεν γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι
καὶ ἐξήρανεν τὸν χόρτον καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν καὶ ἡ
εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο οὕτως καὶ ὁ πλού-
12 σιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται ⸰ μακάριος ἀνὴρ ὃς
ὑπομένει πειρασμὸν ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφα-
νον τῆς ζωῆς ὃν ἐπηγγείλατο ὁ˚ κύριος τοῖς ἀγαπῶσιν αὐτόν ⸰
13 μηδεὶς πειραζόμενος λεγέτω ὅτι ἀπὸ˚ τοῦ θεοῦ πειράζομαι ὁ
γὰρ θεὸς ἀπείραστός ἐστιν κακῶν πειράζει δὲ αὐτὸς οὐδένα ⸰ ἕ-
καστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ
15 δελεαζόμενος ⸰ εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν ἡ
16 δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον ⸰ μὴ πλανᾶσθε ἀ-
17 δελφοί μου ἀγαπητοί ⸰ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέ-
λειον ἄνωθέν ἐστιν κατάβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων παρ᾽
18 ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα ⸰ βουληθεὶς ἀπε-
κύησεν ἡμᾶς λόγῳ ἀληθείας εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα
19 τῶν αὐτοῦ κτισμάτων ⸰ ὥστε ἀδελφοί μου ἀγαπητοὶ ἔστω πᾶς
ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι βραδὺς εἰς τὸ λαλῆσαι βραδὺς

𝕋 𝕂: ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ, 𝕄 𝕍: ΙΑΚΩΒΟΥ. **1.v.1** 𝔼: θεου, **XXX**: θεου πατρος. **v.3** 𝔼: δοκιμιον, **XXX**: δοκιμον. **v.3** 𝔼: υμων της πιστεως, **XXX**: της πιστεως υμων. **v.5** 𝕋 𝕂 𝕍: μη, 𝕄: ουκ. **v.7** 𝕋*: ληψεται, 𝕍: λημψεται. **v.7** 𝔼: τι, **א**: ∅. **v.8** 𝔼: ανηρ, **XXX**: ανηρ γαρ. **v.9** 𝔼: εν, $\mathfrak{P}^{74}$: ∅. **v.11** 𝔼: αυτου, **XXX**: ∅. **v.11** 𝔼: αυτου, B: ∅. **v.12** 𝔼: ανηρ, A: ανθρωπος. **v.12** 𝔼: υπομενει, **XXX**: μενει. **v.12** 𝕋*: ληψεται, 𝕍: λημψεται. **v.12** 𝕋*: ο κυριος, 𝕍: ∅, **XXX**: ο θεος. **v.13** 𝕋 𝕂: απο του, 𝕄 𝕍: απο, **א**: υπο. **v.17** 𝔼: καταβαινον, **XXX**: κατερχομενον. **v.17** 𝔼: απο, **XXX**: παρα. **v.17** 𝔼: ενι, **א**: εστιν. **v.19** 𝕋*: ωστε, 𝕍: ιστε, A: ιστε δε. **v.19** 𝕋*: εστω, 𝕍: εστω δε.

εἰς ὀργήν ⸰ ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ˚ κατεργάζε- 20
ται ⸰ διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας ἐν 21
πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς
ψυχὰς ὑμῶν ⸰ γίνεσθε δὲ ποιηταὶ λόγου καὶ μὴ μόνον ἀκροαταὶ 22
παραλογιζόμενοι ἑαυτούς ⸰ ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶν καὶ 23
οὐ ποιητὴς οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς
γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ ⸰ κατενόησεν γὰρ ἑαυτὸν καὶ ἀπε- 24
λήλυθεν καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν ⸰ ὁ δὲ παρακύψας εἰς 25
νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ παραμείνας οὗτος οὐκ
ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλλὰ ποιητὴς ἔργου οὗτος
μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται ⸰ εἴ τις δοκεῖ θρῆσκος εἶναι 26
ἐν˚ ὑμῖν μὴ χαλιναγωγῶν γλῶσσαν ἀὐτοῦ ἀλλ᾽ ἀπατῶν καρδίαν
ἀὐτοῦ τούτου μάταιος ἡ θρησκεία ⸰ θρησκείᾳ καθαρὰ καὶ ἀμί- 27
αντος παρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη ἐστὶν ἐπισκέπτεσθαι ὀρφα-
νοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν ἄσπιλον˚ ἑαυτὸν τηρεῖν ἀπὸ
τοῦ κόσμου ⸰

ἀδελφοί μου μὴ ἐν προσωπολημψίαις ἔχετε τὴν πίστιν τοῦ **2**
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τῆς δόξης ⸰ ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν 2
συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ εἰ-
σέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι ⸰ καὶ˚ ἐπιβλέψητε ἐπὶ τὸν 3
φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ εἴπητε αὐτῷ σὺ κάθου
ὧδε καλῶς καὶ τῷ πτωχῷ εἴπητε σὺ στῆθι ἐκεῖ˚ ἢ κάθου ὧδε ὑπὸ
τὸ ὑποπόδιόν μου ⸰ κἀι οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε 4
κριταὶ διαλογισμῶν πονηρῶν ⸰ ἀκούσατε ἀδελφοί μου ἀγαπητοὶ 5
οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ˚ κόσμου τούτου πλου-
σίους ἐν πίστει καὶ κληρονόμους τῆς βαὁιλείας ἧς ἐπηγγείλατο
τοῖς ἀγαπῶσιν αὐτόν ⸰ ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχὸν οὐχ οἱ 6
πλούσιοι καταδυναστεύουσιν ὑμῶν καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς
εἰς κριτήρια ⸰ οὐκ αὐτοὶ βλασφημοῦσιν τὸ καλὸν ὄνομα τὸ ἐπι- 7
κληθὲν ἐφ᾽ ὑμᾶς ⸰ εἰ μέντοι νόμον˚ τελεῖτε βασιλικὸν κατὰ τὴν˚ 8

---

v.20 𝕋*: ου κατεργαζεται, 𝕍: ουκ εργαζεται. **v.21** 𝔼: πραυτητι, **XXX**: σοφιας. **v.21** 𝔼: υμων, **XXX**: ημων. **v.22** 𝔼: λογου, **XXX**: νομου. **v.23** 𝔼: οτι, A: ∅. **v.23** 𝔼: λογου, **XXX**: νομου. **v.23** 𝔼: γενεσεως, **XXX**: γνωσεως. **v.24** 𝔼: γαρ, **XXX**: δε. **v.25** 𝕋*: ουτος, 𝕍: ∅. **v.25** 𝔼: ποιητης, **XXX**: ακροατης νομου και ποιητης. **v.25** 𝔼: ουτος, 𝔓74: ∅. **v.26** 𝕋*: εν υμιν, 𝕍: ∅. **v.26** 𝔼: χαλιναγωγων, B: χαλινων. **v.26** 𝔼: αυτου, B: εαυτου. **v.26** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.27** 𝔼: θρησκεια, A: θρησκεια γαρ, **XXX**: θρησκεια δε. **v.27** 𝕋 𝕂 𝕍: τω, 𝕄: ∅. **v.27** 𝔼: ασπιλον εαυτον τηρειν, 𝔓74: υπερασπιζειν αυτους. **2.v.1** 𝕋*: προσωποληψιαις, 𝕍: προσωπολημψιαις. **v.2** 𝕋*: την, 𝕍: ∅. **v.3** 𝕋*: και επιβλεψητε, 𝕍: επιβλεψητε δε. **v.3** 𝕋*: αυτω, 𝕍: ∅. **v.3** 𝔼: εκει η καθου, B: η καθου εκει. **v.3** 𝕋*: ωδε, 𝕍: ∅. **v.4** 𝕋*: και, 𝕍: ∅. **v.5** 𝕋 𝕂: του κοσμου τουτου, 𝕄: του κοσμου, 𝕍: τω κοσμω. **v.5** 𝔼: βασιλειας, ℵ A: επαγγελιας. **v.6** 𝔼: ουχ, A: ουχι. **v.6** 𝔼: υμων, ℵ 𝔓74: υμας. **v.7** 𝔼: ουκ, A 𝔓74: και. **v.8** 𝔼: νομον τελειτε βασιλικον, **XXX**: λογον βασιλικον λαλειτε. **v.8** 𝔼: την γραφην, **XXX**: τας γραφας.

γραφὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν καλῶς ποιεῖτε ⸰
9 εἰ δὲ προσωποληπτεῖτε ἁμαρτίαν ἐργάζεσθε ἐλεγχόμενοι ὑπὸ
10 τοῦ νόμου ὡς παραβάται ⸰ ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει˚
11 πταίσει δὲ ἐν ἑνὶ γέγονεν πάντων ἔνοχος ⸰ ὁ γὰρ εἰπὼν μὴ μοι-
χεύσῃς εἶπεν καὶ μὴ φονεύσῃς εἰ δὲ οὐ μοιχεύσεις˚ φονεύσεις
12 δὲ γέγονας˚ παραβάτης νόμου ⸰ οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε
13 ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι ⸰ ἡ γὰρ κρίσις ἀ-
νίλεως τῷ μὴ ποιήσαντι ἔλεος κἀι κατακαυχᾶται ἔλεος κρίσεως ⸰
14 τί τὸ ὄφελος ἀδελφοί μου ἐὰν πίστιν λέγῃ˚ τις ἔχειν ἔργα δὲ μὴ
15 ἔχῃ μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν ⸰ ἐὰν δὲ˚ ἀδελφὸς ἢ ἀδελφὴ
γυμνοὶ ὑπάρχωσιν κἀι λειπόμενοι ὦσιν τῆς ἐφημέρου τροφῆς ⸰
16 εἴπῃ˚ δέ τις αὐτοῖς ἐξ ὑμῶν ὑπάγετε ἐν εἰρήνῃ θερμαίνεσθε καὶ
χορτάζεσθε μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος τί τὸ
17 ὄφελος ⸰ οὕτως καὶ ἡ πίστις ἐὰν μὴ ἔργα˚ ἔχῃ νεκρά ἐστιν καθ᾽
18 ἑαυτήν ⸰ ἀλλ᾽ ἐρεῖ τις σὺ πίστιν ἔχεις κἀγὼ ἔργα ἔχω δεῖξόν μοι
τὴν πίστιν σου ἐκ τῶν ἔργων σου κἀγὼ δείξω˚ σοι ἐκ τῶν ἔργων
19 μου τὴν πίστιν μοῦ ⸰ σὺ πιστεύεις ὅτι ὁ˚ θεὸς εἷς ἐστιν καλῶς
20 ποιεῖς καὶ τὰ δαιμόνια πιστεύουσιν καὶ φρίσσουσιν ⸰ θέλεις δὲ
γνῶναι ὦ ἄνθρωπε κενὲ ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά
21 ἐστιν ⸰ ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη ἀνενέγ-
22 κας ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ⸰ βλέπεις ὅτι ἡ
πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ καὶ ἐκ τῶν ἔργων˙ ἡ πίστις
23 ἐτελειώθη ⸰ καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα ἐπίστευσεν δὲ˚
ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην καὶ φίλος
24 θεοῦ ἐκλήθη ⸰ ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος
25 καὶ οὐκ ἐκ πίστεως μόνον ⸰ ὁμοίως˚ δὲ καὶ ῥαὰβ ἡ πόρνη οὐκ
ἐξ ἔργων ἐδικαιώθη ὑποδεξαμένη τοὺς ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ
26 ἐκβαλοῦσα ⸰ ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν
οὕτως καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν ⸰

v.9 𝕋*: προσωποληπτειτε, 𝕍: προσωπολημπτειτε. **v.10** 𝕋*: τηρησει πταισει, 𝕍: τηρηση πταιση, A: πληρωσει πταιση. **v.11** 𝕋 𝕂 𝕍: μοιχευσης, 𝕄: μοιχευσεις. **v.11** 𝕋 𝕂 𝕍: φονευσης, 𝕄: φονευσεις. **v.11** 𝕋*: μοιχευσεις φονευσεις, 𝕍: μοιχευεις φονευεις. **v.11** 𝔼: γεγονας παραβατης, A 𝔓74: εγενου αποστατης. **v.12** 𝔼: νομου, 𝔓74: λογου. **v.13** 𝕋 𝕂: ανιλεως, 𝕄 𝕍: ανελεος. **v.13** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.13** 𝔼: κατακαυχαται, A: κατακαυχασθω, **XXX**: κατακαυχασθε. **v.13** 𝕋 𝕂 𝕍: ελεος, 𝕄: ελεον. **v.14** 𝔼: το, B: ∅. **v.14** 𝔼: λεγη τις, A: τις λεγη, **XXX**: λεγεις. **v.14** 𝔼: εχη, **XXX**: σχη. **v.15** 𝕋*: δε, 𝕍: ∅, **XXX**: γαρ. **v.15** 𝔼: και, A: η, **XXX**: ∅. **v.15** 𝕋*: ωσιν, 𝕍: ∅. **v.16** 𝔼: ειπη δε, A: και ειπη. **v.16** 𝔼: το, B: ∅. **v.17** 𝕋*: εργα εχη, 𝕍: εχη εργα. **v.18** 𝔼: σου, 𝔓54: ∅. **v.18** 𝕋 𝕄: εκ, 𝕂 𝕍: χωρις. **v.18** 𝕋*: σου, 𝕍: ∅. **v.18** 𝕋*: δειξω σοι, 𝕍: σοι δειξω. **v.18** 𝕋*: μου, 𝕍: ∅. **v.19** 𝕋*: ο θεος εις εστιν, 𝕍: εις εστιν ο θεος, B: εις θεος εστιν, **XXX**: εστιν θεος. **v.20** 𝕋*: νεκρα, 𝕍: αργη, 𝔓74: κενη. **v.22** 𝔼: συνηργει, ℵ A: συνεργει. **v.22** 𝔼: εργων, **XXX**: εργων αυτου. **v.23** 𝔼: δε, 𝔓20: ∅. **v.23** 𝔼: φιλος, **XXX**: δουλος. **v.24** 𝕋*: τοινυν, 𝕍: ∅. **v.25** 𝔼: ομοιως δε, **XXX**: ουτως. **v.25** 𝔼: αγγελους, **XXX**: κατασκοπους. **v.26** 𝔼: γαρ, B: ∅, **XXX**: δε. **v.26** 𝔼: πνευματος, **XXX**: του πνευματος. **v.26** 𝕋*: των, 𝕍: ∅.

μὴ πολλοὶ διδάσκαλοι γίνεσθε ἀδελφοί μου εἰδότες ὅτι μεῖ- **3**
ζον κρίμα ληψόμεθα· πολλὰ γὰρ πταίομεν ἅπαντες εἴ τις ἐν 2
λόγῳ οὐ πταίει οὗτος τέλειος ἀνὴρ δυνατὸς χαλιναγωγῆσαι καὶ
ὅλον τὸ σῶμα· ἰδοὺ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα 3
βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν καὶ ὅλον τὸ σῶμα
αὐτῶν μετάγομεν· ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα καὶ ὑπὸ 4
σκληρῶν ἀνέμων ἐλαυνόμενα μετάγεται ὑπὸ ἐλαχίστου πηδα-
λίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούλῆται· οὕτως καὶ ἡ 5
γλῶσσα μικρὸν μέλος ἐστὶν καὶ μεγαλαυχεῖ ἰδοὺ ὀλίγον πῦρ
ἡλίκην ὕλην ἀνάπτει· καὶ ἡ γλῶσσα πῦρ ὁ κόσμος τῆς ἀδικίας 6
οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν ἡ σπιλοῦσα
ὅλον τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως καὶ φλο-
γιζομένη ὑπὸ τῆς γεέννης· πᾶσα γὰρ φύσις θηρίων τε καὶ πε- 7
τεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ
φύσει τῇ ἀνθρωπίνῃ· τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώ- 8
πων δαμάσαι ἀκατάσχετον κακὸν μεστὴ ἰοῦ θανατηφόρου· ἐν 9
αὐτῇ εὐλογοῦμεν τὸν θεὸν καὶ πατέρα καὶ ἐν αὐτῇ καταρώ-
μεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν θεοῦ γεγόνότας· ἐκ 10
τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα οὐ χρὴ ἀ-
δελφοί μου ταῦτα οὕτως γίνεσθαι· μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς 11
ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν· μὴ δύναται ἀδελφοί μου 12
συκῆ ἐλαίας ποιῆσαι ἢ ἄμπελος σῦκα οὕτως οὐδεμία πηγὴ
ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ· τίς σοφὸς καὶ ἐπιστήμων ἐν 13
ὑμῖν δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰ-
τητι σοφίας· εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐρίθειαν ἐν τῇ καρδίᾳ 14
ὑμῶν μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας· οὐκ 15
ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη ἀλλ' ἐπίγειος ψυχι-
κὴ δαιμονιώδης· ὅπου γὰρ ζῆλος καὶ ἐρίθεια ἐκεῖ ἀκαταστασία 16
καὶ πᾶν φαῦλον πρᾶγμα· ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁ- 17
γνή ἐστιν ἔπειτα εἰρηνικὴ ἐπιεικὴς εὐπειθὴς μεστὴ ἐλέους καὶ

3.v.1 𝕋*: ληψομεθα, 𝕍: λημψομεθα. **v.2** 𝔼: δυνατος, 𝔎: δυναμενος. **v.3** 𝕋 𝕂: ιδου, 𝕄: ιδε, 𝕍: ει δε. **v.3** 𝔼: τα στοματα, A 𝔓54: το στομα, **XXX**: στομα προς στοματα. **v.3** 𝕋*: προς, 𝕍: εις. **v.3** 𝔼: αυτους ημιν, A: ημιν αυτους. **v.3** 𝔼: αυτων μεταγομεν, A: μεταγομεν αυτων, **XXX**: μεταγομεν. **v.4** 𝔼: τηλικαυτα, B: τα τηλικαυτα. **v.4** 𝕋*: σκληρων ανεμων, 𝕍: ανεμων σκληρων. **v.4** 𝕋*: αν, 𝕍: ∅. **v.4** 𝕋*: βουληται, 𝕍: βουλεται. **v.5** 𝕋*: μεγαλαυχει, 𝕍: μεγαλα αυχει. **v.5** 𝕋*: ολιγον, 𝕍: ηλικον. **v.6** 𝔼: και, 𝔎: ∅. **v.6** 𝕋*: ουτως, 𝕍: ∅. **v.6** 𝔼: η, 𝔎: και. **v.6** 𝔼: γενεσεως, 𝔎: γενεσεως ημων. **v.7** 𝔼: δαμαζεται και δεδαμασται, 𝔓20: δεδαμασται και δαμαζεται, **XXX**: δαμαζεται. **v.8** 𝕋*: δυναται ανθρωπων δαμασαι ακατασχετον, 𝕍: δαμασαι δυναται ανθρωπων ακαταστατον. **v.9** 𝕋*: θεον, 𝕍: κυριον. **v.9** 𝔼: γεγονοτας, A: γεγενημενους, **XXX**: γενομενους. **v.11** 𝔼: πικρον, 𝔓74: αλυκον. **v.12** 𝕋*: ουτως ουδεμια πηγη αλυκον και, 𝕍: ουτε αλυκον. **v.13** 𝔼: τις, **XXX**: ει τις. **v.14** 𝔼: δε, A: δε αρα. **v.14** 𝔼: τη καρδια, 𝔎: ταις καρδιαις. **v.14** 𝔼: κατακαυχασθε, A: καυχασθε. **v.15** 𝕋*: αλλ, 𝕍: αλλα. **v.17** 𝔼: και, 𝔓74: μεστη.

18 καρπῶν ἀγαθῶν ἀδιάκριτος κἀι ἀνυπόκριτος ◦ καρπὸς δὲ τῆς
δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην ◦
4 πόθεν πόλεμοι κἀι μάχαι ἐν ὑμῖν οὐκ ἐντεῦθεν ἐκ τῶν ἡδο-
2 νῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν ◦ ἐπιθυμεῖτε
καὶ οὐκ ἔχετε φονεύετε καὶ ζηλοῦτε καὶ οὐ δύνασθε ἐπιτυχεῖν
μάχεσθε καὶ πολεμεῖτε οὐκ ἔχετε δὲ˚ διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς ◦
3 αἰτεῖτε κἀι οὐ λαμβάνετε διότι κακῶς αἰτεῖσθε ἵνα ἐν ταῖς ἡδο-
4 ναῖς ὑμῶν δαπανήσητε ◦ μοιχοὶ˚ καὶ μοιχαλίδες οὐκ οἴδατε ὅτι
ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ˚ θεοῦ ἐστιν ὃς ἂν οὖν βουληθῇ
5 φίλος εἶναι τοῦ κόσμου ἐχθρὸς τοῦ θεοῦ καθίσταται ◦ ἢ δοκεῖτε
ὅτι κενῶς ἡ γραφὴ λέγει πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα ὃ
6 κατῴκῆσεν ἐν ἡμῖν ◦ μείζονα δὲ δίδωσιν χάριν διὸ λέγει ὁ θεὸς
7 ὑπερηφάνοις ἀντιτάσσεται ταπεινοῖς δὲ δίδωσιν χάριν ◦ ὑποτά-
γητε οὖν τῷ θεῷ ἀντίστητε τῷ διαβόλῳ καὶ φεύξεται ἀφ᾽ ὑμῶν ◦
8 ἐγγίσατε τῷ θεῷ καὶ ἐγγιεῖ ὑμῖν καθαρίσατε χεῖρας ἁμαρτωλοὶ
9 καὶ ἁγνίσατε καρδίας δίψυχοι ◦ ταλαιπωρήσατε καὶ πενθήσατε
καὶ˚ κλαύσατε ὁ γέλως ὑμῶν εἰς πένθος μεταὸτραφήτω καὶ ἡ
10 χαρὰ εἰς κατήφειαν ◦ ταπεινώθητὲ ἐνώπιον τοῦ˚ κυρίου καὶ ὑ-
11 ψώσει ὑμᾶς ◦ μὴ καταλαλεῖτε ἀλλήλων ἀδελφοὶ ὁ˚ καταλαλῶν
ἀδελφοῦ κἀι κρίνων τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ
κρίνει νόμον εἰ δὲ νόμον κρίνεις οὐκ εἶ ποιητὴς νόμου ἀλλὰ
12 κριτής ◦ εἷς ἐστιν ὁ˚ νομοθέτης ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι
13 ὁὺ τίς εἶ ὃς˚ κρίνεις τὸν ἕτερον ◦ ἄγε νῦν οἱ λέγοντες σήμερον
καὶ˚ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν καὶ ποιήσωμεν
14 ἐκεῖ ἐνιαυτὸν ἕνα καὶ ἐμπορευσώμεθα˚ καὶ κερδήσωμεν ◦ οἵτινες
οὐκ ἐπίστασθε τὸ τῆς αὔριον ποία γὰρ ἡ ζωὴ ὑμῶν ἀτμὶς γάρ
15 ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη ἔπειτα δὲ˚ ἀφανιζομένη ◦ ἀντὶ
τοῦ λέγειν ὑμᾶς ἐὰν ὁ κύριος θελήσῃ καὶ ζήσωμεν˚ καὶ ποι-

---

v.17 𝔼: καρπων, **XXX**: καρπων εργων. **v.17** 𝕋*: και, 𝕍: ∅. **v.18** 𝕋*: της, 𝕍: ∅, ℵ: ο. **4.v.1** 𝕋*: και, 𝕍: και ποθεν. **v.2** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.3** 𝔼: και, 𝔓74: δε και. **v.4** 𝕋*: μοιχοι και, 𝕍: ∅. **v.4** 𝔼: κοσμου, ℵ: κοσμου τουτου. **v.4** 𝔼: του θεου εστιν, ℵ: εστιν τω θεω. **v.4** 𝕋*: αν, 𝕍: εαν. **v.5** 𝕋*: κατωκησεν, 𝕍: κατωκισεν. **v.7** 𝕋 𝕂: τω, 𝕄 𝕍: δε τω. **v.8** 𝔼: εγγιει, B: εγγισει. **v.9** 𝔼: και κλαυσατε, ℵ: κλαυσατε, **XXX**: ∅. **v.9** 𝕋*: μεταστραφητω, 𝕍: μετατραπητω. **v.10** 𝔼: ταπεινωθητε, ℵ: ταπεινωθητε ουν. **v.10** 𝕋*: του κυριου, 𝕍: κυριου, **XXX**: του θεου. **v.11** 𝔼: ο, **XXX**: ο γαρ. **v.11** 𝕋*: και, 𝕍: η. **v.11** 𝔼: ουκ, **XXX**: ουκετι. **v.12** 𝕋*: ο νομοθετης, 𝕍: [ο] νομοθετης και κριτης, 𝔓74: νομοθετης. **v.12** 𝕋 𝕂: συ, 𝕄 𝕍: συ δε. **v.12** 𝕋*: ος κρινεις τον ετερον, 𝕍: ο κρινων τον πλησιον, **XXX**: ος κρινεις τον ετερον οτι ουκ εν ανθρωπω αλλ εν θεω τα διαβηματα ανθρωπου κατευθυνεται. **v.13** 𝕋 𝕄: και αυριον πορευσωμεθα, 𝕂 𝕍: η αυριον πορευσομεθα. **v.13** 𝕋 𝕄: ποιησωμεν, 𝕂 𝕍: ποιησομεν. **v.13** 𝔼: εκει, A: ∅. **v.13** 𝕋*: ενα, 𝕍: ∅. **v.13** 𝕋 𝕄: εμπορευσωμεθα και κερδησωμεν, 𝕂 𝕍: εμπορευσομεθα και κερδησομεν. **v.14** 𝔼: επιστασθε, **XXX**: επισταναι. **v.14** 𝕋*: γαρ, 𝕍: ∅. **v.14** 𝔼: υμων, **XXX**: ημων. **v.14** 𝕋 𝕂: εστιν, 𝕄: εσται, 𝕍: εστε. **v.14** 𝕋 𝕂: δε, 𝕄: δε και, 𝕍: και, **XXX**: ∅. **v.15** 𝔼: θεληση, B: θελη. **v.15** 𝕋 𝕄: ζησωμεν και ποιησωμεν, 𝕂 𝕍: ζησομεν και ποιησομεν.

ἡσωμεν τοῦτο ἢ ἐκεῖνο· νῦν δὲ ϗαυχᾶσθε ἐν ταῖς ἀλαζονείαις 16
ὑμῶν ῥᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν· εἰδότι οὖν καλὸν 17
ποιεῖν καὶ μὴ ποιοῦντι ἁμαρτία αὐτῷ ἐστιν·

ἄγε νῦν οἱ πλούσιοι κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπω- **5**
ρίαις ὑμῶν ταῖς ἐπερχομέναις· ὁ πλοῦτος ὑμῶν σέσηπεν καὶ τὰ 2
ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν· ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος 3
κατίωται καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται καὶ φάγεται
τὰς σάρκας ὑμῶν ὡς πῦρ ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις·
ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν ὁ 4
ἀπεστερημένος ἀφ᾽ ὑμῶν κράζει καὶ αἱ βοαὶ τῶν θερισάντων
εἰς τὰ ὦτα κυρίου σαβαὼθ εἰσεληλύθασιν· ἐτρυφήσατε ἐπὶ τῆς 5
γῆς καὶ ἐσπαταλήσατε ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ
σφαγῆς· κατεδικάσατε ἐφονεύσατε τὸν δίκαιον οὐκ ἀντιτάσσε- 6
ται ὑμῖν· μακροθυμήσατε οὖν ἀδελφοὶ ἕως τῆς παρουσίας τοῦ 7
κυρίου ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς μα-
κροθυμῶν ἐπ᾽ αὐτῷ ἕως ἂν λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον·
μακροθυμήσατε καὶ ὑμεῖς στηρίξατε τὰς καρδίας ὑμῶν ὅτι ἡ 8
παρουσία τοῦ κυρίου ἤγγικεν· μὴ στενάζετε κατ᾽ ἀλλήλων ἀ- 9
δελφοὶ ἵνα μὴ κατακριθῆτε· ἰδοὺ κριτὴς πρὸ τῶν θυρῶν ἕστη-
κεν· ὑπόδειγμα λάβετε τῆς· κακοπαθείας ἀδελφοί μου καὶ τῆς 10
μακροθυμίας τοὺς προφήτας οἳ ἐλάλησαν τῷ ὀνόματι κυρίου·
ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας τὴν ὑπομονὴν ἰὼβ ἠκού- 11
σατε καὶ τὸ τέλος κυρίου εἴδετε ὅτι πολύσπλαγχνός ἐστιν ὁ·
κύριος καὶ οἰκτίρμων· πρὸ πάντων δὲ ἀδελφοί μου μὴ ὀμνύετε 12
μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν μήτε ἄλλον· τινὰ ὅρκον ἤτω δὲ
ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ ἵνα μὴ εἰς· ὑπόκρισιν πέσητε· κα- 13
κοπαθεῖ τις ἐν ὑμῖν προσευχέσθω εὐθυμεῖ τις ψαλλέτω· ἀσθενεῖ 14
τις ἐν ὑμῖν προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας
καὶ προσευξάσθωσαν ἐπ᾽ αὐτὸν ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ

v.16 𝔼: καυχασθε, ℵ: κατακαυχασθε. **v.16** 𝔼: πασα, ℵ: απασα, **XXX**: πασα ουν. **5.v.1** 𝔼: επερχομεναις, ℵ: επερχομεναις υμιν. **v.3** 𝔼: και ο αργυρος κατιωται, A: κατιωται και ο αργυρος. **v.3** 𝔼: ως, A: ο ιος ως. **v.4** 𝔼: απεστερημενος, ℵ B: αφυστερημενος. **v.4** 𝔼: εισεληλυθασιν, B: εισεληλυθαν. **v.5** 𝔼: και, A: ∅. **v.5** 𝔼: καρδιας, **XXX**: σαρκας. **v.5** 𝕋*: ως, 𝕍: ∅. **v.6** 𝔼: ουκ, **XXX**: και ουκ. **v.7** 𝕋 𝕂: αυτω εως αν λαβη υετον πρωιμον, 𝕄: αυτον εως λαβη υετον πρωιμον, 𝕍: αυτω εως λαβη προιμον. **v.8** 𝔼: και, ℵ 𝔓74: ουν και. **v.8** 𝔼: κυριου, **XXX**: κυριου ημων. **v.9** 𝕋*: κατ αλληλων αδελφοι, 𝕍: αδελφοι κατ αλληλων, **XXX**: κατ αλληλων. **v.9** 𝕋: κατακριθητε ιδου, 𝕂: κατακριθητε ιδου ο, 𝕄 𝕍: κριθητε ιδου ο. **v.10** 𝕋 𝕂: της κακοπαθειας αδελφοι μου, 𝕄: αδελφοι μου της κακοπαθειας, 𝕍: αδελφοι της κακοπαθιας. **v.10** 𝕋*: τω, 𝕍: εν τω. **v.10** 𝔼: κυριου, **XXX**: του κυριου. **v.11** 𝕋*: υπομενοντας, 𝕍: υπομειναντας. **v.11** 𝔼: τελος, **XXX**: ελεος. **v.11** 𝔼: ειδετε, A: ιδετε, **XXX**: οιδατε. **v.11** 𝔼: πολυσπλαγχνος, **XXX**: πολυεσπλαγχνος. **v.11** 𝕋 𝕂 𝕍: ο κυριος, 𝕄: ∅, B: κυριος. **v.12** 𝔼: αλλον τινα ορκον, A: αλλον ορκον τινα, **XXX**: τινα αλλον ορκον. **v.12** 𝔼: υμων, ℵ: ο λογος υμων. **v.12** 𝕋 𝕄: εις υποκρισιν, 𝕂 𝕍: υπο κρισιν. **v.14** 𝕋*: αυτον, 𝕍: [αυτον], B: ∅.

15 ὀνόματι τοῦ˚ κυρίου ⸰ καὶ ἡ ἐὐχὴ τῆς πίστεως σώσει τὸν κά-
μνοντα καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος κἂν ἁμαρτίας ᾖ πεποιηκὼς
16 ἀφεθήσεται αὐτῷ˙ ⸰ ἐξομολογεῖσθε˚ ἀλλήλοις τὰ παραπτώματα
καὶ ἐὔχεσθε ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε πολὺ ἰσχύει δέησις δι-
17 καίου ἐνεργουμένη ⸰ ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν καὶ
προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς
18 γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ ⸰ καὶ πάλιν προσηύξατο καὶ
ὁ οὐρανὸς ὑετὸν˚ ἔδωκεν καὶ ἡ γῆ ἐβλάστησεν τὸν καρπὸν αὐ-
19 τῆς ⸰ ἀδελφοί ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας καὶ
20 ἐπιστρέψῃ τις αὐτόν ⸰ γινωσκέτω˚ ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν
ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει
πλῆθος ἁμαρτιῶν ⸰

v.14 𝔼: του κυριου, A: κυριου, B: ∅, **XXX**: ιησου χριστου. **v.15** 𝔼: ευχη, **XXX**: προσευχη. **v.15** 𝔼: αφεθησεται, **XXX**: αφεθησονται. **v.16** 𝕋*: εξομολογεισθε αλληλοις τα παραπτωματα, 𝕍: εξομολογεισθε ουν αλληλοις τας αμαρτιας. **v.16** 𝔼: ευχεσθε, A B: προσευχεσθε. **v.16** 𝔼: πολυ, **XXX**: πολυ γαρ. **v.17** 𝔼: βρεξαι, **XXX**: βρεξαι υετον. **v.18** 𝔼: υετον εδωκεν, A: εδωκεν υετον. **v.19** 𝕋*: αδελφοι, 𝕍: αδελφοι μου. **v.20** 𝔼: γινωσκετω οτι, B: γινωσκετε οτι, 𝔓74: ∅, **XXX**: οτι. **v.20** 𝕋*: ψυχην, 𝕍: ψυχην αυτου, A: την ψυχην αυτου. **v.20** 𝔼: αμαρτιων, **XXX**: αμαρτιων αμην.

ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ
ΠΡΩΤΗ˚

πέτρος ἀπόστολος ἰησοῦ χριστοῦ ἐκλεκτοῖς ῥαρεπιδήμοις **1**
διασπορᾶς πόντου γαλατίας καππαδοκίας ἀσίας˚ καὶ βιθυνίας ⸰
κατὰ πρόγνωσιν θεοῦ πατρὸς ἐν ἁγιασμῷ πνεύματος εἰς ὑπακο- 2
ὴν καὶ ῥαντισμὸν αἵματος ἰησοῦ χριστοῦ χάρις ὑμῖν καὶ εἰρήνη
πληθυνθείη ⸰ εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν ἰη- 3
σοῦ χριστοῦ ὁ κατὰ τὸ πολὺ αὐτοῦ˚ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς
ἐλπίδα ζῶσαν δι᾽ ἀναστάσεως ἰησοῦ χριστοῦ ἐκ νεκρῶν ⸰ εἰς κλη- 4
ρονομίαν ἄφθαρτον καὶ ἀμίαντον˚ καὶ ἀμάραντον τετηρημένην
ἐν˚ οὐρανοῖς εἰς ἡμᾶς ⸰ τοὺς ἐν δυνάμει˚ θεοῦ φρουρουμένους 5
διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐ-
σχάτῳ ⸰ ἐν˚ ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι εἰ δέον ἐστὶν λυπηθέντες ἐν 6
ποικίλοις πειρασμοῖς ⸰ ἵνα τὸ δοκίμιον ὑμῶν˚ τῆς πίστεως πολὺ˚ 7
τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου διὰ˚ πυρὸς δὲ δοκιμαζο-
μένου εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν˚ καὶ δόξαν ἐν ἀποκαλύψει
ἰησοῦ χριστοῦ ⸰ ὃν οὐκ ἰδόντες ἀγαπᾶτε εἰς ὃν ἄρτι μὴ ὁρῶντες 8
πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ ⸰
κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν σωτηρίαν ψυχῶν ⸰ περὶ 9, 10
ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται οἱ περὶ τῆς
εἰς ὑμᾶς χάριτος προφητεύσαντες ⸰ ἐρευνῶντες εἰς τίνα ἢ ποῖον 11
καιρὸν ἐδήλου˚ τὸ ἐν αὐτοῖς πνεῦμα χριστοῦ προμαρτυρόμενον
τὰ εἰς χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας ⸰ οἷς ἀπεκα- 12
λύφθη ὅτι οὐχ ἑαυτοῖς ἡμῖν δὲ διηκόνουν αὐτὰ ἃ νῦν ἀνηγγέλη
ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν πνεύματι ἁγίῳ ἀποστα-
λέντι ἀπ᾽ οὐρανοῦ εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι ⸰ διὸ 13

𝕋: ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, 𝕂: ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ, 𝕄 𝕍: ΠΕΤΡΟΥ Α. **1.v.1** 𝔼: παρεπιδήμοις, 𝔎: και παρεπιδημοις. **v.1** 𝔼: ἀσίας καὶ βιθυνίας, Β*: ασιας, 𝔎*: και βιθυνιας, **XXX**: και ασιας και βιθυνιας. **v.3** 𝔼: τὸ, 𝔓72: ∅. **v.3** 𝔼: αὐτοῦ ἔλεος, 𝔓72: ελεος αυτου, **XXX**: ελεος. **v.3** 𝔼: ἡμᾶς, 𝔓72: ∅, **XXX**: υμας. **v.3** 𝔼: ἐλπίδα, 𝔓72: ελπιδαν. **v.3** 𝔼: ζῶσαν, **XXX**: ζωης. **v.4** 𝔼: ἀμίαντον καὶ ἀμάραντον, 𝔎: αμαραντον και αμιαντον, **XXX**: αμιαντον. **v.4** 𝔼: ἐν οὐρανοῖς, 𝔎: εν ουρανω, **XXX**: εν τοις ουρανοις. **v.4** 𝕋: ἡμᾶς, 𝕂 𝕄 𝕍: ὑμᾶς. **v.5** 𝔼: δυνάμει θεοῦ, 𝔓72: δυναμει, **XXX**: αγαπη θεου. **v.6** 𝔼: ἐν ᾧ ἀγαλλιᾶσθε, 𝔓72: αγαλλιασαντες, **XXX**: αγαλλιασθε. **v.6** 𝕋*: ἐστὶν, 𝕍: [ἐστὶν], 𝔎 Β: ∅. **v.6** 𝔼: λυπηθέντες, 𝔎: λυπηθεντας, **XXX**: ημας λυπηθεντας. **v.6** 𝔼: ποικίλοις, 𝔓72: πολλοις. **v.7** 𝔼: δοκίμιον, 𝔓72: δοκιμον. **v.7** 𝔼: ὑμῶν τῆς πίστεως, 𝔓72: της πιστεως υμων. **v.7** 𝕋*: πολὺ τιμιώτερον, 𝕍: πολυτιμότερον. **v.7** 𝔼: χρυσίου, Β: χρυσου. **v.7** 𝔼: διὰ πυρὸς δὲ, 𝔓72: και δια πυρος, **XXX**: δια πυρος. **v.7** 𝕋 𝕂: τιμὴν καὶ δόξαν, 𝕄: τιμὴν καὶ εἰς δόξαν, 𝕍: δόξαν καὶ τιμὴν. **v.8** 𝕋 𝕄: εἰδότες, 𝕂 𝕍: ἰδόντες. **v.8** 𝔼: ἀγαλλιᾶσθε, Β: αγαλλιατε. **v.9** 𝕋*: ὑμῶν, 𝕍: [ὑμῶν], Β: ∅, **XXX**: ημων. **v.10** 𝕋*: ἐξηρεύνησαν, 𝕍: ἐξηραύνησαν. **v.11** 𝕋*: ἐρευνῶντες, 𝕍: ἐραυνῶντες, 𝔓72: εραυνωτες. **v.11** 𝔼: ἐδήλου τὸ, **XXX**: εδηλουτο. **v.11** 𝔼: χριστοῦ, Β: ∅. **v.11** 𝔼: προμαρτυρόμενον, Α 𝔓72: προμαρτυρουμενον. **v.11** 𝔼: ταῦτα, 𝔓72: ταυτας. **v.12** 𝕋 𝕂: ἡμῖν, 𝕄 𝕍: ὑμῖν. **v.12** 𝔼: ὑμᾶς, 𝔓72: υμιν. **v.12** 𝕋*: ἐν, 𝕍: [ἐν], Α Β 𝔓72: ∅.

ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν νήφοντες τελείως
ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει ἰησοῦ
14 χριστοῦ ◦ ὡς τέκνα ὑπακοῆς μὴ συσχηματιζόμενοι ταῖς πρότε-
15 ρον ἐν˚ τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις ◦ ἀλλὰ κατὰ τὸν καλέσαντα
16 ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε ◦ διότι˚
17 γέγραπται ἅγιοι˚ γένεσθε ὅτι ἐγὼ ἅγιός εἰμι ◦ καὶ εἰ πατέρα
ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου
ἔργον ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε ◦
18 εἰδότες ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς
19 ματαίας ὑμῶν ἀναστροφῆς˚ πατροπαραδότου ◦ ἀλλὰ τιμίῳ αἵ-
20 ματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου χριστοῦ ◦ προεγνωσμένου
μὲν πρὸ καταβολῆς κόσμου φανερωθέντος δὲ ἐπ᾽ ἐσχάτων˚ τῶν
21 χρόνων δι᾽ ὑμᾶς ◦ τοὺς δι᾽ αὐτοῦ πιστεύοντας εἰς θεὸν τὸν ἐ-
γείραντα αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτῷ δόντα ὥστε τὴν πίστιν
22 ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς θεόν ◦ τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν
τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ˚ πνεύματος εἰς φιλαδελφίαν ἀνυ-
πόκριτον ἐκ καθαρᾶς˚ καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς ◦
23 ἀναγεγεννημένοι οὐκ ἐκ˚ σπορᾶς φθαρτῆς ἀλλὰ ἀφθάρτου διὰ
24 λόγου ζῶντος˚ θεοῦ καὶ μένοντος εἰς˚ τὸν αἰῶνα ◦ διότι πᾶσα σὰρξ
ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου ἐξηράνθη
25 ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν ◦ τὸ δὲ ῥῆμα κυρίου μέ-
νει εἰς τὸν αἰῶνα τοῦτο δέ ἐστιν τὸ˚ ῥῆμα τὸ εὐαγγελισθὲν˚ εἰς
ὑμᾶς ◦

2 ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑπο-
2 κρίσεις καὶ φθόνους καὶ πάσας˚ καταλαλιάς ◦ ὡς ἀρτιγέννητα
βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε ἵνα ἐν αὐτῷ αὐ-

---

v.14 𝔼: συσχηματιζόμενοι, 𝔓72: συνχηματιζομενοι. **v.14** 𝔼: ἐν τῇ, 𝔓72: ∅. **v.16** 𝔼: διότι γέγραπται, ℵ: διο γεγραπται, **XXX**: ∅. **v.16** 𝕋 𝕂: ἅγιοι γένεσθε, 𝕄: ἅγιοι γίνεσθε, 𝕍: [ὅτι] ἅγιοι ἔσεσθε. **v.16** 𝔼: ὅτι, 𝔓72: διοτι, **XXX**: καθως. **v.16** 𝕋*: εἰμι, 𝕍: [εἰμι], ℵ B A*: ∅. **v.17** 𝔼: ἐπικαλεῖσθε, 𝔓72: καλειτε, **XXX**: αιτεισθε. **v.17** 𝕋*: ἀπροσωπολήπτως, 𝕍: ἀπροσωπολήμπτως. **v.17** 𝔼: τὸν, 𝔓72: ουν το. **v.18** 𝔼: φθαρτοῖς, 𝔓72: φαρτοις. **v.18** 𝔼: ἀναστροφῆς πατροπαραδότου, **XXX**: πατροπαραδοτου αναστροφης. **v.19** 𝔼: τιμίῳ, **XXX**: τω τιμιω. **v.20** 𝔼: προεγνωσμένου, ℵ: ανεγνωσμενου, 𝔓72: προεγνωσαμενου. **v.20** 𝕋*: ἐσχάτων τῶν χρόνων, 𝕍: ἐσχάτου τῶν χρόνων, ℵ: εσχατου του χρονου, 𝔓72: εσχατων χρονω. **v.21** 𝕋*: πιστεύοντας, 𝕍: πιστοὺς, **XXX**: πιστευουσαντας. **v.21** 𝔼: ἐγείραντα, ℵ: εγειροντα. **v.21** 𝔼: ἐλπίδα, 𝔓72: την ελπιδα. **v.22** 𝕋*: διὰ πνεύματος, 𝕍: ∅. **v.22** 𝕋*: καθαρᾶς καρδίας, 𝕍: [καθαρᾶς] καρδίας, A B: καρδιας, **XXX**: καρδιας αληθινης. **v.23** 𝔼: ἀναγεγεννημένοι, 𝔓72: ως αναγεγεννημενοι. **v.23** 𝔼: ἐκ σπορᾶς, ℵ A: εκ φθορας, 𝔓72: σπορας. **v.23** 𝔼: ζῶντος θεοῦ, **XXX**: θεου ζωντος, **XXX**: ζωντος του θεου, **XXX**: θεου. **v.23** 𝕋*: εἰς τὸν αἰῶνα, 𝕍: ∅, **XXX**: εις τους αιωνας. **v.24** 𝔼: διότι, 𝔓72: οτι, **XXX**: διο. **v.24** 𝔼: ὡς, ℵ: ωσι, A: ∅. **v.24** 𝕋*: ἀνθρώπου, 𝕍: αὐτῆς, ℵ*: αυτου, **XXX**: ∅. **v.24** 𝔼: χόρτου, 𝔓72: ∅. **v.24** 𝕋*: αὐτοῦ, 𝕍: ∅. **v.25** 𝔼: τὸ ῥῆμα τὸ, A: ∅. **v.25** 𝔼: εὐαγγελισθὲν εἰς ὑμᾶς, 𝔓72: εις υμας ευαγγελισθεν. **2.v.1** 𝔼: πάντα, 𝔓72: παν. **v.1** 𝔼: ὑποκρίσεις, B: υποκρισιν. **v.1** 𝔼: φθόνους, B: φονους. **v.1** 𝔼: πάσας καταλαλιάς, A: καταλαλιας, ℵ*: πασαν καταλαλιαν. **v.2** 𝔼: ἄδολον, **XXX**: και αδολον.

ξηθῆτε· εἴπερ ἐγεύσασθε ὅτι χρηστὸς ὁ κύριος· πρὸς ὃν προ- 3, 4
σερχόμενοι λίθον ζῶντα ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμέ-
νον παρὰ δὲ θεῷ ἐκλεκτὸν ἔντιμον· καὶ αὐτοὶ ὡς λίθοι ζῶντες 5
οἰκοδομεῖσθε οἶκος πνευματικὸς ἱεράτευμα ἅγιον ἀνενέγκαι
πνευματικὰς θυσίας εὐπροσδέκτους τῷ θεῷ διὰ ἰησοῦ χριστοῦ·
διὸ καὶ περιέχει ἐν τῇ γραφῇ ἰδοὺ τίθημι ἐν σιὼν λίθον ἀ- 6
κρογωνιαῖον ἐκλεκτὸν ἔντιμον καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ
καταισχυνθῇ· ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν ἀπείθοῦσιν δὲ 7
λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κε-
φαλὴν γωνίας· καὶ λίθος προσκόμματος καὶ πέτρα σκανδάλου 8
οἳ προσκόπτουσιν τῷ λόγῳ ἀπειθοῦντες εἰς ὃ καὶ ἐτέθησαν· ὑ- 9
μεῖς δὲ γένος ἐκλεκτὸν βασίλειον ἱεράτευμα ἔθνος ἅγιον λαὸς
εἰς περιποίησιν ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους
ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· οἱ ποτὲ οὐ λαὸς 10
νῦν δὲ λαὸς θεοῦ οἱ οὐκ ἠλεημένοι νῦν δὲ ἐλεηθέντες· ἀγα- 11
πητοὶ παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι
τῶν σαρκικῶν ἐπιθυμιῶν αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς·
τὴν ἀναστροφὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλὴν ἵνα ἐν 12
ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν ἐκ τῶν καλῶν ἔργων ἐ-
ποπτεύοντες δοξάσωσιν τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς· ὑποτά- 13
γητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν κύριον εἴτε βασιλεῖ ὡς
ὑπερέχοντι· εἴτε ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδί- 14
κησιν μὲν κακοποιῶν ἔπαινον δὲ ἀγαθοποιῶν· ὅτι οὕτως ἐστὶν 15
τὸ θέλημα τοῦ θεοῦ ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρό-
νων ἀνθρώπων ἀγνωσίαν· ὡς ἐλεύθεροι καὶ μὴ ὡς ἐπικάλυμμα 16
ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν ἀλλ' ὡς δοῦλοι θεοῦ· πάν- 17
τας τιμήσατε τὴν ἀδελφότητα ἀγαπᾶτε τὸν θεὸν φοβεῖσθε τὸν

v.2 𝕋*: αὐξηθῆτε, 𝕍: αὐξηθῆτε εἰς σωτηρίαν, 𝔎: αυξηθηται εις σωτηριαν, 𝔓72: αυξηθητε ει σωτηριαν. **v.3** 𝕋*: εἴπερ, 𝕍: εἰ. **v.3** 𝔼: ἐγεύσασθε, 𝔓72: εγευσασθαι επιστευσατε, XXX: εγευσασθε και ιδετε. **v.3** 𝔼: χρηστὸς, 𝔓72: χριστος. **v.4** 𝔼: ὑπὸ, XXX: απο, XXX: υπερ. **v.5** 𝔼: ζῶντες, 𝔎: οντες. **v.5** 𝔼: οἰκοδομεῖσθε, 𝔎: εποικοδομεισθε. **v.5** 𝕋*: ἱεράτευμα, 𝕍: εἰς ἱεράτευμα. **v.5** 𝔼: πνευματικὰς θυσίας, 𝔓72: πνευματικας, 𝔎: θυσίας. **v.5** 𝕋*: τῷ, 𝕍: [τῷ], 𝔎* A B: ∅. **v.6** 𝕋 𝕂: διὸ καὶ, 𝕄 𝕍: διότι. **v.6** 𝕋*: ἐν τῇ, 𝕍: ἐν, XXX: η. **v.6** 𝔼: ἀκρογωνιαῖον ἐκλεκτὸν ἔντιμον, B: εκλεκτον ακρογωνιαιον εντιμον, XXX: ακρογωνιαιον εντιμον, XXX: εκλεκτον εντιμον. **v.6** 𝔼: αὐτῷ, 𝔎: αυτον. **v.7** 𝔼: ὑμῖν, 𝔎: ημιν. **v.7** 𝕋*: ἀπειθοῦσιν, 𝕍: ἀπιστοῦσιν. **v.7** 𝕋*: λίθον, 𝕍: λίθος. **v.8** 𝔼: πέτρα, 𝔎: πετραν. **v.8** 𝔼: ἀπειθοῦντες, B: απιστουντες, XXX: απειθουσιν, XXX: απειθουντι. **v.8** 𝔼: ὃ, XXX: ην παρεσκευασαν εαυτους ταξιν. **v.9** 𝔼: αὐτοῦ, 𝔓72: ∅. **v.11** 𝔼: ἀπέχεσθαι, A 𝔓72: απεχεσθε. **v.12** 𝔼: ὑμῶν, 𝔎: υμιν. **v.12** 𝕋 𝕂 𝕍: ἐν τοῖς ἔθνεσιν ἔχοντες καλὴν, 𝕄: ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν. **v.12** 𝔼: καταλαλοῦσιν, XXX: καταλαλωσιν, XXX: κακοποιουσιν. **v.12** 𝔼: ἔργων, XXX: υμων εργων. **v.12** 𝕋*: ἐποπτεύσαντες, 𝕍: ἐποπτεύοντες. **v.12** 𝔼: δοξάσωσιν, 𝔎: δοξασουσιν. **v.12** 𝔼: τὸν, 𝔓72: υμων τον. **v.13** 𝕋*: οὖν, 𝕍: ∅. **v.13** 𝔼: ἀνθρωπίνῃ κτίσει, 𝔎: κτισει, XXX: φυσει ανθρωπινη, XXX: κτισει ανθρωπινη. **v.14** 𝕋 𝕂: μὲν, 𝕄 𝕍: ∅. **v.14** 𝔼: ἔπαινον δὲ ἀγαθοποιῶν, XXX: ∅. **v.16** 𝕋*: δουλοι θεου, 𝕍: θεου δουλοι. **v.17** 𝕋 𝕂 𝕍: αγαπατε, 𝕄: αγαπησατε.

18 βασιλέα τιμᾶτε ◦ οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς
δεσπόταις οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν ἀλλὰ καὶ τοῖς
19 σκολιοῖς ◦ τοῦτο γὰρ χάρις εἰ διὰ συνείδησιν θεοῦ ὑποφέρει τις
20 λύπας πάσχων ἀδίκως ◦ ποῖον γὰρ κλέος εἰ ἁμαρτάνοντες καὶ
κολαφιζόμενοι ὑπομενεῖτε ἀλλ᾽ εἰ ἀγαθοποιοῦντες καὶ πάσχον-
21 τες ὑπομενεῖτε τοῦτο χάρις παρὰ θεῷ ◦ εἰς τοῦτο γὰρ ἐκλήθητε
ὅτι καὶ χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν˚ ἡμῖν ὑπολιμπάνων ὑπο-
22 γραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ ◦ ὃς ἁμαρτίαν
23 οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ ◦ ὃς λοιδο-
ρούμενος οὐκ ἀντελοιδόρει πάσχων οὐκ ἠπείλει παρεδίδου δὲ
24 τῷ κρίνοντι δικαίως ◦ ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν
τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι
25 τῇ δικαιοσύνῃ ζήσωμεν οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε ◦ ἦτε γὰρ ὡς
πρόβατα πλανώμενᾰ ἀλλ᾽ ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ
ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν ◦

3 ὁμοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν ἵνα
καὶ εἴ τινες ἀπειθοῦσιν τῷ λόγῳ διὰ τῆς τῶν γυναικῶν ἀναστρο-
2 φῆς ἄνευ λόγου κερδηθήσωνται ◦ ἐποπτεύσαντες τὴν ἐν φόβῳ
3 ἁγνὴν ἀναστροφὴν ὑμῶν ◦ ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τρι-
4 χῶν καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος ◦ ἀλλ᾽ ὁ
κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πρᾳέος καὶ
5 ἡσυχίου πνεύματος ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές ◦ οὕτως
γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ˚ τὸν θεὸν ἐκό-
6 σμουν ἑαυτὰς ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν ◦ ὡς σάρρα
ὑπήκουσεν τῷ ἀβραὰμ κύριον αὐτὸν καλοῦσα ἧς ἐγενήθητε
τέκνα ἀγαθοποιοῦσαι καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν ◦
7 οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν ὡς ἀσθενεστέρῳ
σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν ὡς καὶ συγκληρονόμοι
8 χάριτος ζωῆς εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν ◦ τὸ δὲ
τέλος πάντες ὁμόφρονες συμπαθεῖς φιλάδελφοι εὔσπλαγχνοι
9 φιλόφρονες ◦ μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν
ἀντὶ λοιδορίας τοὐναντίον δὲ εὐλογοῦντες εἰδότες ὅτι εἰς τοῦτο
10 ἐκλήθητε ἵνα εὐλογίαν κληρονομήσητε ◦ ὁ γὰρ θέλων ζωὴν ἀγα-
πᾷν καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ
11 κακοῦ καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον ◦ ἐκκλινάτω ἀ-

v.21 𝕋 𝕂: ημων ημιν, 𝕄: ημων υμιν, 𝕍: υμων υμιν. **v.24** 𝕋*: αυτου, 𝕍: ∅. **v.25** 𝕋*: πλανωμενα, 𝕍: πλανωμενοι. **v.25** 𝕋*: αλλ, 𝕍: αλλα. **3.v.1** 𝕋 𝕂: κερδηθησωνται, 𝕄 𝕍: κερδηθησονται. **v.4** 𝕋*: πραεος, 𝕍: πραεως. **v.5** 𝕋 𝕂: επι τον, 𝕄: επι, 𝕍: εις. **v.7** 𝕋*: συγκληρονομοι, 𝕍: συγκληρονομοις. **v.7** 𝕋 𝕂: εκκοπτεσθαι, 𝕄 𝕍: εγκοπτεσθαι. **v.8** 𝕋*: φιλοφρονες, 𝕍: ταπεινοφρονες. **v.9** 𝕋*: ειδοτες, 𝕍: ∅. **v.10** 𝕋*: αυτου, 𝕍: ∅. **v.11** 𝕋*: εκκλινατω, 𝕍: εκκλινατω δε.

πὸ κακοῦ καὶ ποιησάτω ἀγαθὸν ζητησάτω εἰρήνην καὶ διωξάτω
αὐτήν ⸰ ὅτι ὀἱ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους καὶ ὦτα αὐτοῦ εἰς 12
δέησιν αὐτῶν πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά ⸰ καὶ 13
τίς ὁ κακώσων ὑμᾶς ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε ⸰ ἀλλ᾽ εἰ 14
καὶ πάσχοιτε διὰ δικαιοσύνην μακάριοι τὸν δὲ φόβον αὐτῶν
μὴ φοβηθῆτε μηδὲ ταραχθῆτε ⸰ κύριον δὲ τὸν θεὸν ἁγιάσατε ἐν 15
ταῖς καρδίαις ὑμῶν ἕτοιμοι δὲ˚ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ
αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος μετὰ πραΰτητος
καὶ φόβου ⸰ συνείδησιν ἔχοντες ἀγαθὴν ἵνα ἐν ᾧ καταλαλῶσιν˚ 16
ὑμῶν ὡς κακοποιῶν καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν
ἀγαθὴν ἐν χριστῷ ἀναστροφήν ⸰ κρεῖττον γὰρ ἀγαθοποιοῦντας 17
εἰ θέλει τὸ θέλημα τοῦ θεοῦ πάσχειν ἢ κακοποιοῦντας ⸰ ὅτι καὶ 18
χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθεν δίκαιος ὑπὲρ ἀδίκων ἵνα
ἡμᾶς προσαγάγῃ τῷ θεῷ θανατωθεὶς μὲν σαρκὶ ζωοποιηθεὶς δὲ
τῷ πνεύματι ⸰ ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν πορευθεὶς 19
ἐκήρυξεν ⸰ ἀπειθήσασίν ποτε ὅτε ἅπαξ˚ ἐξεδέχετο ἡ τοῦ θεοῦ 20
μακροθυμία ἐν ἡμέραις νῶε κατασκευαζομένης κιβωτοῦ εἰς ἣν
ὀλίγαι τουτέστιν ὀκτὼ ψυχαὶ διεσώθησαν δι᾽ ὕδατος ⸰ ὃ˚ καὶ ἡ- 21
μᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα οὐ σαρκὸς ἀπόθεσις ῥύπου
ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς θεὸν δι᾽ ἀναστάσεως
ἰησοῦ χριστοῦ ⸰ ὅς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ πορευθεὶς εἰς οὐρα- 22
νὸν ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων ⸰

χριστοῦ οὖν παθόντος ὑπὲρ˚ ἡμῶν σαρκὶ καὶ ὑμεῖς τὴν αὐτὴν **4**
ἔννοιαν ὁπλίσασθε ὅτι ὁ παθὼν ἐν˙ σαρκὶ πέπαυται ἁμαρτίας ⸰
εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις ἀλλὰ θελήματι θεοῦ τὸν 2
ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον ⸰ ἀρκετὸς γὰρ ἡμῖν ὁ παρε- 3
ληλυθὼς χρόνος τοῦ˚ βίου τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι
πεπορευμένους ἐν ἀσελγείαις ἐπιθυμίαις οἰνοφλυγίαις κώμοις
πότοις καὶ ἀθεμίτοις εἰδωλολατρείαις ⸰ ἐν ᾧ ξενίζονται μὴ συν- 4
τρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν βλασφη-
μοῦντες ⸰ οἳ ἀποδώσουσιν λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας 5
καὶ νεκρούς ⸰ εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη ἵνα κριθῶ- 6
σιν μὲν κατὰ ἀνθρώπους σαρκὶ ζῶσιν δὲ κατὰ θεὸν πνεύματι ⸰

v.12 𝕋 𝕂: οι, 𝕄 𝕍: ∅. **v.13** 𝕋*: μιμηται, 𝕍: ζηλωται. **v.15** 𝕋*: θεον, 𝕍: χριστον. **v.15** 𝕋*: δε, 𝕍: ∅. **v.15** 𝕋*: μετα, 𝕍: αλλα μετα. **v.16** 𝕋*: καταλαλωσιν υμων ως κακοποιων, 𝕍: καταλαλεισθε. **v.17** 𝕋 𝕂: θελει, 𝕄 𝕍: θελοι. **v.18** 𝕋 𝕂: ημας, 𝕄 𝕍: υμας. **v.18** 𝕋 𝕂: τω, 𝕄 𝕍: ∅. **v.20** 𝕋 𝕂: απαξ εξεδεχετο, 𝕄 𝕍: απεξεδεχετο. **v.20** 𝕋*: ολιγαι, 𝕍: ολιγοι. **v.20** 𝕋: τουτεστιν, 𝕂 𝕄 𝕍: τουτ εστιν. **v.21** 𝕋: ο και ημας αντιτυπον νυν, 𝕂: ω και ημας αντιτυπον νυν, 𝕄: ο αντιτυπον νυν και ημας, 𝕍: ο και υμας αντιτυπον νυν. **4.v.1** 𝕋*: υπερ ημων, 𝕍: ∅. **v.1** 𝕋*: εν, 𝕍: ∅. **v.3** 𝕋 𝕂: ημιν, 𝕄: υμιν, 𝕍: ∅. **v.3** 𝕋*: του βιου το θελημα, 𝕍: το βουλημα. **v.3** 𝕋*: κατεργασασθαι, 𝕍: κατειργασθαι. **v.3** 𝕋*: ειδωλολατρειαις, 𝕍: ειδωλολατριαις.

πάντων δὲ τὸ τέλος ἤγγικεν σωφρονήσατε οὖν καὶ νήψατε εἰς
τὰς προσευχάς· πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ
ἔχοντες ὅτι ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν· φιλόξενοι εἰς ἀλ-
λήλους ἄνευ γογγυσμῶν· ἕκαστος καθὼς ἔλαβεν χάρισμα εἰς
ἑαυτοὺς αὐτὸ διακονοῦντες ὡς καλοὶ οἰκονόμοι ποικίλης χάρι-
τος θεοῦ· εἴ τις λαλεῖ ὡς λόγια θεοῦ εἴ τις διακονεῖ ὡς ἐξ ἰσχύος
ἧς χορηγεῖ ὁ θεὸς ἵνα ἐν πᾶσιν δοξάζηται ὁ θεὸς διὰ ἰησοῦ χρι-
στοῦ ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων
ἀμήν· ἀγαπητοὶ μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρα-
σμὸν ὑμῖν γινομένῃ ὡς ξένου ὑμῖν συμβαίνοντος· ἀλλὰ καθὸ
κοινωνεῖτε τοῖς τοῦ χριστοῦ παθήμασιν χαίρετε ἵνα καὶ ἐν τῇ
ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι· εἰ ὀνειδί-
ζεσθε ἐν ὀνόματι χριστοῦ μακάριοι ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ
θεοῦ πνεῦμα ἐφ᾽ ὑμᾶς ἀναπαύεται κατὰ μὲν αὐτοὺς βλασφη-
μεῖται κατὰ δὲ ὑμᾶς δοξάζεται· μὴ γάρ τις ὑμῶν πασχέτω ὡς
φονεὺς ἢ κλέπτης ἢ κακοποιὸς ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ
ὡς χριστιανὸς μὴ αἰσχυνέσθω δοξαζέτω δὲ τὸν θεὸν ἐν τῷ μέρει
τούτῳ· ὅτι ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ
θεοῦ εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ
θεοῦ εὐαγγελίῳ· καὶ εἰ ὁ δίκαιος μόλις σώζεται ὁ ἀσεβὴς καὶ ἁ-
μαρτωλὸς ποῦ φανεῖται· ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα
τοῦ θεοῦ ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς ἑαυτῶν
ἐν ἀγαθοποιΐᾳ·

5 πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ
μάρτυς τῶν τοῦ χριστοῦ παθημάτων ὁ καὶ τῆς μελλούσης ἀπο-
καλύπτεσθαι δόξης κοινωνός· ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον
τοῦ θεοῦ ἐπισκοποῦντες μὴ ἀναγκαστῶς ἀλλ᾽ ἑκουσίως μηδὲ
αἰσχροκερδῶς ἀλλὰ προθύμως· μηδ᾽ ὡς κατακυριεύοντες τῶν
κλήρων ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος
τοῦ ἀρχιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφα-
νον· ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις πάντες δὲ ἀλ-
λήλοις ὑποταῤῥόμενοι τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε ὅτι
ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται ταπεινοῖς δὲ δίδωσιν χάριν·
ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ ἵνα ὑμᾶς
ὑψώσῃ ἐν καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ᾽

v.7 $\mathbb{T}^*$: τας, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}^*$: δε, $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}$ $\mathbb{M}$ $\mathbb{V}$: οτι, $\mathbb{K}$: οτι η. **v.8** $\mathbb{T}^*$: καλυψει, $\mathbb{V}$: καλυπτει. **v.9** $\mathbb{T}^*$: γογγυσμων, $\mathbb{V}$: γογγυσμου. **v.11** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: ης, $\mathbb{M}$: ως. **v.14** $\mathbb{T}^*$: κατα . . . δοξαζεται, $\mathbb{V}$: ∅. **v.15** $\mathbb{T}^*$: αλλοτριοεπισκοπος, $\mathbb{V}$: αλλοτριεπισκοπος. **v.16** $\mathbb{T}^*$: μερει, $\mathbb{V}$: ονοματι. **v.19** $\mathbb{T}^*$: ως, $\mathbb{V}$: ∅. **v.19** $\mathbb{T}$ $\mathbb{K}$: εαυτων, $\mathbb{M}$ $\mathbb{V}$: αυτων. **5.v.1** $\mathbb{T}^*$: τους, $\mathbb{V}$: ουν. **v.2** $\mathbb{T}^*$: αλλ, $\mathbb{V}$: αλλα. **v.2** $\mathbb{T}^*$: εκουσιως, $\mathbb{V}$: εκουσιως κατα θεον. **v.3** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: μηδ, $\mathbb{M}$: μηδε. **v.5** $\mathbb{T}^*$: υποτασσομενοι, $\mathbb{V}$: ∅. **v.7** $\mathbb{T}^*$: επιρριψαντες, $\mathbb{V}$: επιριψαντες.

αὐτὸν ὅτι αὐτῷ μέλει περὶ ὑμῶν ⸰ νήψατε γρηγορήσατε ὅτι ὁ 8
ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν
τίνα˚ καταπίῃ ⸰ ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει εἰδότες τὰ αὐτὰ 9
τῶν παθημάτων τῇ ἐν˙ κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι ⸰ ὁ 10
δὲ θεὸς πάσης χάριτος ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ
δόξαν ἐν χριστῷ ἰησοῦ ὀλίγον παθόντας αὐτὸς καταρτίσαι˚ ὑμᾶς
στηρίξαι σθενώσαι θεμελιώσαι ⸰ αὐτῷ ἡ˚ δόξα καὶ τὸ κράτος εἰς 11
τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ⸰ διὰ σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ 12
ἀδελφοῦ ὡς λογίζομαι δι᾽ ὀλίγων ἔγραψα παρακαλῶν καὶ ἐπι-
μαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ θεοῦ εἰς ἣν ἑστήκατε ⸰
ἀσπάζεται ὑμᾶς ἡ ἐν βαβυλῶνι συνεκλεκτὴ καὶ μάρκος ὁ υἱ- 13
ός μου ⸰ ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης εἰρήνη ὑμῖν 14
πᾶσιν τοῖς ἐν χριστῷ ἰησοῦ˚ ἀμήν ⸰

v.8 𝕋 𝕂: οτι, 𝕄 𝕍: ∅. **v.8** 𝕋*: τινα καταπιη, 𝕍: [τινα] καταπιειν. **v.9** 𝕋*: εν, 𝕍: εν [τω]. **v.10** 𝕋 𝕂: ημας, 𝕄 𝕍: υμας. **v.10** 𝕋 𝕂: καταρτισαι υμας στηριξαι σθενωσαι θεμελιωσαι, 𝕄: καταρτισαι υμας στηριξει σθενωσει θεμελιωσει, 𝕍: καταρτισει στηριξει σθενωσει θεμελιωσει. **v.11** 𝕋*: η δοξα και το κρατος εις τους αιωνας των αιωνων, 𝕍: το κρατος εις τους αιωνας. **v.12** 𝕋*: εστηκατε, 𝕍: στητε. **v.14** 𝕋*: ιησου αμην, 𝕍: ∅.

ΕΠΙΣΤΟΛΗ ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ
ΔΕΥΤΕΡΑ˚

1 σὺμεὼν πέτρος δοῦλος καὶ ἀπόστολος ἰησοῦ χριστοῦ τοῖς ἰ-
σότιμον ἡμῖν λαχοῦσιν πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν καὶ
2 σωτῆροϛ ἰησοῦ χριστοῦ ⋄ χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν
3 ἐπιγνώσει τοῦ θεοῦ καὶ ἰησοῦ τοῦ κυρίου ἡμῶν ⋄ ὡς πάντα ἡμῖν
τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρη-
μένης διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ˚ δόξης καὶ
4 ἀρετῆς ⋄ δι᾽ ὧν τὰ μέγιστα˚ ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρη-
ται ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως ἀποφυγόντες
5 τῆς ἐν̓ κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς ⋄ καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν
πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν
6 ἀρετὴν ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν ⋄ ἐν δὲ τῇ γνώσει τὴν ἐγκρά-
τειαν ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονὴν ἐν δὲ τῇ ὑπομονῇ τὴν
7 εὐσέβειαν ⋄ ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν ἐν δὲ τῇ φιλαδελ-
8 φίᾳ τὴν ἀγάπην ⋄ ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα
οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡ-
9 μῶν ἰησοῦ χριστοῦ ἐπίγνωσιν ⋄ ᾧ̔ γὰρ μὴ πάρεστιν ταῦτα τυ-
φλός ἐστιν μυωπάζων λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι
10 αὐτοῦ ἁμαρτιῶν ⋄ διὸ μᾶλλον ἀδελφοὶ σπουδάσατε βεβαίαν ὑ-
μῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι ταῦτα γὰρ ποιοῦντες οὐ
11 μὴ πταίσητέ ποτε ⋄ οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑ-
μῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ
12 σωτῆρος ἰησοῦ χριστοῦ ⋄ διὸ οὐκ˚ ἀμελήσω ὑμᾶς˚ ἀεὶ ὑπομι-
μνήσκειν περὶ τούτων καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ
13 παρούσῃ ἀληθείᾳ ⋄ δίκαιον δὲ ἡγοῦμαι ἐφ᾽ ὅσον εἰμὶ ἐν τούτῳ
14 τῷ̔ σκηνώματι διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει ⋄ εἰδὼς ὅτι ταχινή
ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου καθὼς καὶ ὁ κύριος ἡ-
15 μῶν ἰησοῦς χριστὸς ἐδήλωσέν μοι ⋄ σπουδάσω δὲ καὶ ἑκάστοτε
ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι ⋄
16 οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν
ὑμῖν τὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ δύναμιν καὶ παρου-
17 σίαν ἀλλ᾽ ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος ⋄ λαβὼν
γὰρ παρὰ θεοῦ πατρὸς τιμὴν καὶ δόξαν φωνῆς ἐνεχθείσης αὐ-

1.v.1 𝕋 𝕄 𝕍: συμεων, 𝕂: σιμων. 𝕋: ΕΠΙΣΤΟΛΗ ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ, 𝕂: ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ, 𝕄 𝕍: ΠΕΤΡΟΥ Β. **v.1** 𝕋 𝕄 𝕍: σωτηρος, 𝕂: σωτηρος ημων. **v.3** 𝕋*: δια δοξης και αρετης, 𝕍: ιδια δοξη και αρετη. **v.4** 𝕋 𝕂: μεγιστα ημιν και τιμια, 𝕄: τιμια ημιν και μεγιστα, 𝕍: τιμια και μεγιστα ημιν. **v.4** 𝕋*: εν, 𝕍: εν τω. **v.12** 𝕋*: ουκ αμελησω, 𝕍: μελλησω. **v.12** 𝕋 𝕂: υμας αει, 𝕄 𝕍: αει υμας.

τῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης οὗτός˚ ἐστιν ὁ υἱός
μου ὁ ἀγαπητὸς εἰς ὃν ἐγὼ εὐδόκησα ◦ καὶ ταύτην τὴν φωνὴν 18
ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν σὺν αὐτῷ ὄντες ἐν τῷ
ὄρει˚ τῷ ἁγίῳ ◦ καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον 19
ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ
τόπῳ ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς
καρδίαις ὑμῶν ◦ τοῦτο πρῶτον γινώσκοντες ὅτι πᾶσα προφητεία 20
γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται ◦ οὐ γὰρ θελήματι ἀνθρώπου 21
ἠνέχθη ποτὲ˚ προφητεία ἀλλ᾽ ὑπὸ πνεύματος ἁγίου φερόμενοι
ἐλάλησαν οἱ˚ ἅγιοι θεοῦ ἄνθρωποι ◦

ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ ὡς καὶ ἐν ὑμῖν **2**
ἔσονται ψευδοδιδάσκαλοι οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπω-
λείας καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι ἐπά-
γοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν ◦ καὶ πολλοὶ ἐξακολουθήσου- 2
σιν αὐτῶν ταῖς ἀπωλείαις δι᾽ οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφη-
μηθήσεται ◦ καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύ- 3
σονται οἷς τὸ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ καὶ ἡ ἀπώλεια αὐ-
τῶν οὐ νυστάζει ◦ εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ 4
ἐφείσατο ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν
τετηρημένους ◦ καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο ἀλλ᾽ ὄγδοον 5
νῶε δικαιοσύνης κήρυκα ἐφύλαξεν κατακλυσμὸν κόσμῳ ἀσε-
βῶν ἐπάξας ◦ καὶ πόλεις σοδόμων καὶ γομόρρας τεφρώσας κα- 6
ταστροφῇ κατέκρινεν ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς ◦
καὶ δίκαιον λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελ- 7
γείᾳ ἀναστροφῆς ἐρρύσατο ◦ βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος 8
ἐγκατοικῶν ἐν αὐτοῖς ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνό-
μοις ἔργοις ἐβασάνιζεν ◦ οἶδεν κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ 9
ῥύεσθαι ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν ◦
μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομέ- 10
νους καὶ κυριότητος καταφρονοῦντας τολμηταὶ αὐθάδεις δόξας
οὐ τρέμουσιν βλασφημοῦντες ◦ ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει 11
μείζονες ὄντες οὐ φέρουσιν κατ᾽ αὐτῶν παρὰ κυρίῳ βλάσφημον
κρίσιν ◦ οὗτοι δὲ ὡς ἄλογα ζῶα φυσικὰ˚ γεγενημένα εἰς ἅλωσιν 12
καὶ φθορὰν ἐν οἷς ἀγνοοῦσιν βλασφημοῦντες ἐν τῇ φθορᾷ αὐτῶν

---

v.17 𝕋*: ουτος εστιν ο υιος μου ο αγαπητος, 𝕍: ο υιος μου ο αγαπητος μου ουτος εστιν. **v.18** 𝕋*: ορει τω αγιω, 𝕍: αγιω ορει. **v.21** 𝕋*: ποτε προφητεια αλλ, 𝕍: προφητεια ποτε αλλα. **v.21** 𝕋: οι αγιοι, 𝕂 𝕄: αγιοι, 𝕍: απο. **2.v.2** 𝕋 𝕂: απωλειαις, 𝕄 𝕍: ασελγειαις. **v.3** 𝕋 𝕂 𝕍: νυσταζει, 𝕄: νυσταξει. **v.4** 𝕋 𝕂: τετηρημενους, 𝕄 𝕍: τηρουμενους. **v.5** 𝕋*: αλλ, 𝕍: αλλα. **v.6** 𝕋*: ασεβειν, 𝕍: ασεβε[σ]ιν. **v.9** 𝕋 𝕄 𝕍: πειρασμου, 𝕂: πειρασμων. **v.11** 𝕋*: κυριω, 𝕍: κυριου. **v.12** 𝕋*: φυσικα γεγενημενα, 𝕍: γεγεννημενα φυσικα.

καὶαφθαρήσονται ⋄ κομιούμενοι μισθὸν ἀδικίας ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφὴν σπῖλοι καὶ μῶμοι ἐντρυφῶντες ἐν
ταῖς ἀπάταις αὐτῶν συνευωχούμενοι ὑμῖν ⋄ ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκαταπαύστους ἁμαρτίας δελεάζοντες ψυχὰς ἀστηρίκτους καρδίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες κατάρας τέκνα ⋄ καταλιπόντες˚ τὴν εὐθεῖαν ὁδὸν ἐπλανήθησαν ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ βαλαὰμ τοῦ βοσὸρ ὃς μισθὸν
ἀδικίας ἠγάπησεν ⋄ ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας ὑποζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσεν τὴν τοῦ
προφήτου παραφρονίαν ⋄ οὗτοί εἰσιν πηγαὶ ἄνυδροι νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι οἷς ὁ ζόφος τοῦ σκότους εἰς˚ αἰῶνα
τετήρηται ⋄ ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελγείαις˚ τοὺς ὄντως ἀποφυγόντας
τοὺς ἐν πλάνῃ ἀναστρεφομένους ⋄ ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς ᾧ γάρ τις ἥττηται
τούτῳ κἀὶ δεδούλωται ⋄ εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ κυρίοῦ καὶ σωτῆρος ἰησοῦ χριστοῦ τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται γέγονεν αὐτοῖς τὰ ἔσχατα
χείρονα τῶν πρώτων ⋄ κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης ἢ ἐπιγνοῦσιν ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς ⋄ συμβέβηκεν δὲ˚ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα καὶ
ὗς λουσαμένη εἰς κύλισμὰ βορβόρου ⋄

3 ταύτην ἤδη ἀγαπητοὶ δευτέραν ὑμῖν γράφω ἐπιστολὴν ἐν
αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν ⋄ μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς τοῦ κυρίου καὶ σωτῆρος ⋄
τοῦτο πρῶτον γινώσκοντες ὅτι ἐλεύσονται ἐπ᾽ ἐσχάτου˚ τῶν ἡμερῶν ἐμπαῖκται κατὰ τὰς ἰδίας αὐτῶν˚ ἐπιθυμίας πορευόμενοι ⋄
καὶ λέγοντες ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ ἀφ᾽ ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν πάντα οὕτως διαμένει ἀπ᾽ ἀρχῆς κτίσεως ⋄ λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι καὶ γῆ ἐξ ὕδατος καὶ δι᾽ ὕδατος συνεστῶσα τῷ

v.12 𝕋 𝕂: καταφθαρησονται, 𝕄: και καταφθαρησονται, 𝕍: και φθαρησονται. **v.13** 𝕋*: κομιουμενοι, 𝕍: αδικουμενοι. **v.14** 𝕋 𝕂: πλεονεξιαις, 𝕄 𝕍: πλεονεξιας. **v.15** 𝕋 𝕂: καταλιποντες την, 𝕄: καταλιποντες, 𝕍: καταλειποντες. **v.17** 𝕋*: νεφελαι, 𝕍: και ομιχλαι. **v.17** 𝕋*: εις αιωνα, 𝕍: ∅. **v.18** 𝕋 𝕄: ασελγειαις τους οντως αποφυγοντας, 𝕂: εν ασελγειαις τους οντως αποφυγοντας, 𝕍: ασελγειαις τους ολιγως αποφευγοντας. **v.19** 𝕋*: και, 𝕍: ∅. **v.20** 𝕋*: κυριου, 𝕍: κυριου [ημων]. **v.21** 𝕋*: επιστρεψαι, 𝕍: υποστρεψαι. **v.22** 𝕋*: δε, 𝕍: ∅. **v.22** 𝕋*: κυλισμα, 𝕍: κυλισμον. **3.v.2** 𝕋 𝕂: ημων, 𝕄 𝕍: υμων. **v.3** 𝕋*: εσχατου των ημερων, 𝕍: εσχατων των ημερων [εν] εμπαιγμονη. **v.3** 𝕋 𝕂: αυτων επιθυμιας, 𝕄 𝕍: επιθυμιας αυτων.

τοῦ θεοῦ λόγῳ ⸰ δι᾽ ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώ- 6
λετο ⸰ οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ αὐτοῦ˚ λόγῳ τεθησαυρισμένοι 7
εἰσὶν πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν
ἀσεβῶν ἀνθρώπων ⸰ ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς ἀγαπητοὶ 8
ὅτι μία ἡμέρα παρὰ κυρίῳ ὡς χίλια ἔτη καὶ χίλια ἔτη ὡς ἡμέρα
μία ⸰ οὐ βραδύνει ὁ˚ κύριος τῆς ἐπαγγελίας ὥς τινες βραδυ- 9
τῆτα ἡγοῦνται ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς μὴ βουλόμενός τινας
ἀπολέσθαι ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι ⸰ ἥξει δὲ ἡ˚ ἡ- 10
μέρα κυρίου ὡς κλέπτης ἐν νυκτὶ˚ ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν
παρελεύσονται στοιχεῖα δὲ καυσούμενα λυθήσὀνται καὶ γῆ καὶ
τὰ ἐν αὐτῇ ἔργα καἠακαήσεται ⸰ τούτων οὖν̓ πάντων λυομένων 11
ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσε-
βείαις ⸰ προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ 12
θεοῦ ἡμέρας δι᾽ ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται καὶ στοι-
χεῖα καυσούμενα τήκεται ⸰ καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν 13
κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν ἐν οἷς δικαιοσύνη κα-
τοικεῖ ⸰ διὸ ἀγαπητοὶ ταῦτα προσδοκῶντες σπουδάσατε ἄσπιλοι 14
καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ ⸰ καὶ τὴν τοῦ κυρίου 15
ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε καθὼς καὶ ὁ ἀγαπητὸς ἡ-
μῶν ἀδελφὸς παῦλος κατὰ τὴν αὐτῷ˚ δοθεῖσαν σοφίαν ἔγραψεν
ὑμῖν ⸰ ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περὶ 16
τούτων ἐν οἷς ἐστιν δυσνόητά τινα ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι
στρεβλοῦσιν ὡς καὶ τὰς λοιπὰς γραφὰς πρὸς τὴν ἰδίαν αὐτῶν ἀ-
πώλειαν ⸰ ὑμεῖς οὖν ἀγαπητοὶ προγινώσκοντες φυλάσσεσθε ἵνα 17
μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες ἐκπέσητε τοῦ ἰδίου
στηριγμοῦ ⸰ αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ κυρίου ἡμῶν 18
καὶ σωτῆρος ἰησοῦ χριστοῦ αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν
αἰῶνος ἀμήν ⸰

---

v.7 𝕋: αυτου, 𝕂 𝕍: τω αυτω, 𝕄: τω αυτου. **v.9** 𝕋*: ο, 𝕍: ∅. **v.9** 𝕋*: ημας, 𝕍: υμας. **v.10** 𝕋*: η, 𝕍: ∅. **v.10** 𝕋*: νυκτι εν, 𝕍: ∅. **v.10** 𝕋*: λυθησονται, 𝕍: λυθησεται. **v.10** 𝕋*: κατακαησεται, 𝕍: ευρεθησεται. **v.11** 𝕋*: ουν, 𝕍: ουτως. **v.15** 𝕋*: αυτω δοθεισαν, 𝕍: δοθεισαν αυτω. **v.16** 𝕋*: ταις, 𝕍: ∅. **v.16** 𝕋*: οις, 𝕍: αις.

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ
ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ˚

1 ὃ ἦν ἀπ᾽ ἀρχῆς ὃ ἀκηκόαμεν ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς
ἡμῶν ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ
2 λόγου τῆς ζωῆς ⋄ καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ μαρ-
τυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον ἥτις
3 ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν ⋄ ὃ ἑωράκαμεν καὶ ἀ-
κηκόαμεν ἀπαγγέλλομεν ὑμῖν ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε
μεθ᾽ ἡμῶν καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ
4 μετὰ τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χριστοῦ ⋄ καὶ ταῦτα γράφομεν ὑμῖν
5 ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη ⋄ καὶ αὕτη˚ ἐστὶν ἡ ἐπαγγε-
λία ἣν ἀκηκόαμεν ἀπ᾽ αὐτοῦ καὶ ἀναγγέλλομεν ὑμῖν ὅτι ὁ θεὸς
6 φῶς ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία ⋄ ἐὰν εἴπωμεν
ὅτι κοινωνίαν ἔχομεν μετ᾽ αὐτοῦ καὶ ἐν τῷ σκότει περιπατῶμεν
7 ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν ⋄ ἐὰν δὲ ἐν τῷ φωτὶ
περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ κοινωνίαν ἔχομεν μετ᾽
ἀλλήλων καὶ τὸ αἷμα ἰησοῦ χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει
8 ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας ⋄ ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔ-
9 χομεν ἑαυτοὺς πλανῶμεν καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν ⋄ ἐὰν
ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν πιστός ἐστιν καὶ δίκαιος ἵνα ἀ-
φῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας ⋄
10 ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν ψεύστην ποιοῦμεν αὐτὸν καὶ
ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν ⋄

2 τεκνία μου ταῦτα γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε καὶ ἐάν τις
ἁμάρτῃ παράκλητον ἔχομεν πρὸς τὸν πατέρα ἰησοῦν χριστὸν
2 δίκαιον ⋄ καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν οὐ
περὶ τῶν ἡμετέρων δὲ μόνον ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου ⋄
3 καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτὸν ἐὰν τὰς ἐντολὰς
4 αὐτοῦ τηρῶμεν ⋄ ὁ λέγων ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ
5 μὴ τηρῶν ψεύστης ἐστὶν καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν ⋄ ὃς
δ᾽ ἂν τηρῇ αὐτοῦ τὸν λόγον ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ
6 τετελείωται ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν ⋄ ὁ λέγων ἐν
αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησεν καὶ αὐτὸς οὕ-
7 τως περιπατεῖν ⋄ ἀδελφοὶ οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν ἀλλ᾽
ἐντολὴν παλαιὰν ἣν εἴχετε ἀπ᾽ ἀρχῆς ἡ ἐντολὴ ἡ παλαιά ἐστιν

𝕋: ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ, 𝕂: ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ, 𝕄 𝕍: ΙΩΑΝΝΟΥ Α. **1.v.3** 𝕋*: υμιν, 𝕍: και υμιν. **v.4** 𝕋*: υμιν, 𝕍: ημεις. **v.4** 𝕋 𝕄 𝕍: ημων, 𝕂: υμων. **v.5** 𝕋: αυτη εστιν η επαγγελια, 𝕂: αυτη εστιν η αγγελια, 𝕄 𝕍: εστιν αυτη η αγγελια. **v.7** 𝕋*: χριστου, 𝕍: ∅. **2.v.4** 𝕋*: λεγων, 𝕍: λεγων οτι. **v.7** 𝕋*: αδελφοι, 𝕍: αγαπητοι.

ὁ λόγος ὃν ἠκούσατε ἀπ᾽ ἀρχῆς· πάλιν ἐντολὴν καινὴν γράφω 8
ὑμῖν ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν ὅτι ἡ σκοτία παρά-
γεται καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει· ὁ λέγων ἐν τῷ φωτὶ 9
εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι·
ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ μένει καὶ σκάνδαλον 10
ἐν αὐτῷ οὐκ ἔστιν· ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ 11
ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ καὶ οὐκ οἶδεν ποῦ ὑπάγει ὅτι ἡ
σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ· γράφω ὑμῖν τεκνία 12
ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ· γράφω ὑ- 13
μῖν πατέρες ὅτι ἐγνώκατε τὸν ἀπ᾽ ἀρχῆς γράφω ὑμῖν νεανίσκοι
ὅτι νενικήκατε τὸν πονηρὸν ᾽γράφω ὑμῖν παιδία ὅτι ἐγνώκατε
τὸν πατέρα· ἔγραψα ὑμῖν πατέρες ὅτι ἐγνώκατε τὸν ἀπ᾽ ἀρχῆς 14
ἔγραψα ὑμῖν νεανίσκοι ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος τοῦ θεοῦ
ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν· μὴ ἀγαπᾶτε τὸν κό- 15
σμον μηδὲ τὰ ἐν τῷ κόσμῳ ἐάν τις ἀγαπᾷ τὸν κόσμον οὐκ ἔστιν
ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ ἡ ἐπιθυ- 16
μία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία
τοῦ βίου οὐκ ἔστιν ἐκ τοῦ πατρὸς ἀλλ᾽ ἐκ τοῦ κόσμου ἐστίν·
καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ ὁ δὲ ποιῶν τὸ 17
θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα· παιδία ἐσχάτη ὥρα ἐστὶν 18
καὶ καθὼς ἠκούσατε ὅτι ὁ᾽ ἀντίχριστος ἔρχεται καὶ νῦν ἀντίχρι-
στοι πολλοὶ γεγόνασιν ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν·
ἐξ ἡμῶν ἐξῆλθόν ἀλλ᾽ οὐκ ἦσαν ἐξ ἡμῶν εἰ γὰρ ἦσαν᾽ ἐξ ἡμῶν 19
μεμενήκεισαν ἂν μεθ᾽ ἡμῶν ἀλλ᾽ ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰ-
σὶν πάντες ἐξ ἡμῶν· καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου καὶ 20
οἴδατε πάντά· οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν 21
ἀλλ᾽ ὅτι οἴδατε αὐτὴν καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ
ἔστιν· τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνούμενος ὅτι ἰησοῦς οὐκ 22
ἔστιν ὁ χριστός οὗτός ἐστιν ὁ ἀντίχριστος ὁ ἀρνούμενος τὸν πα-
τέρα καὶ τὸν υἱόν· πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα 23
ἔχει· ὑμεῖς ὃ᾽ ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς ἐν ὑμῖν μενέτω ἐὰν ἐν 24
ὑμῖν μείνῃ ὃ ἀπ᾽ ἀρχῆς ἠκούσατε καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ
πατρὶ μενεῖτε· καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγεί- 25
λατο ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον· ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν 26
πλανώντων ὑμᾶς· καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ᾽ αὐτοῦ ἐν᾽ 27
ὑμῖν μένει καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς ἀλλ᾽ ὡς

v.7 𝕋*: απ αρχης, 𝕍: ∅. **v.13** 𝕋*: γραφω, 𝕍: εγραψα. **v.18** 𝕋*: ο, 𝕍: ∅. **v.19** 𝕋*: εξηλθον, 𝕍: εξηλθαν. **v.19** 𝕋*: ησαν εξ ημων, 𝕍: εξ ημων ησαν. **v.20** 𝕋*: παντα, 𝕍: παντες. **v.23** 𝕋 𝕄: εχει, 𝕂 𝕍: εχει ο ομολογων τον υιον και τον πατερα εχει. **v.24** 𝕋*: ουν, 𝕍: ∅. **v.27** 𝕋*: εν υμιν μενει, 𝕍: μενει εν υμιν.

τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων καὶ ἀληθές ἐστιν
καὶ οὐκ ἔστιν ψεῦδος καὶ καθὼς ἐδίδαξεν ὑμᾶς μενεῖτε ἐν αὐ-
28 τῷ ◦ καὶ νῦν τεκνία μένετε ἐν αὐτῷ ἵνα ὅταν˚ φανερωθῇ ἔχωμεν
παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐ-
29 τοῦ ◦ ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστιν γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν
δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται ◦

3 ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέκνα θεοῦ
κληθῶμεν˙ διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς ὅτι οὐκ ἔγνω
2 αὐτόν ◦ ἀγαπητοὶ νῦν τέκνα θεοῦ ἐσμεν καὶ οὔπω ἐφανερώθη τί
ἐσόμεθα οἴδαμεν δὲ˚ ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα ὅτι
3 ὀψόμεθα αὐτὸν καθώς ἐστιν ◦ καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην
4 ἐπ᾽ αὐτῷ ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐστιν ◦ πᾶς ὁ ποιῶν
τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνο-
5 μία ◦ καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας ἡμῶν
6 ἄρῃ καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν ◦ πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ
ἁμαρτάνει πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ ἔγνωκεν
7 αὐτόν ◦ τεκνία μηδεὶς πλανάτω ὑμᾶς ὁ ποιῶν τὴν δικαιοσύνην
8 δίκαιός ἐστιν καθὼς ἐκεῖνος δίκαιός ἐστιν ◦ ὁ ποιῶν τὴν ἁμαρ-
τίαν ἐκ τοῦ διαβόλου ἐστὶν ὅτι ἀπ᾽ ἀρχῆς ὁ διάβολος ἁμαρτάνει
εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ
9 διαβόλου ◦ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ
ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει καὶ οὐ δύναται ἁμαρτάνειν ὅτι
10 ἐκ τοῦ θεοῦ γεγέννηται ◦ ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ
θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην
οὐκ ἔστιν ἐκ τοῦ θεοῦ καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ◦
11 ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ᾽ ἀρχῆς ἵνα ἀγαπῶ-
12 μεν ἀλλήλους ◦ οὐ καθὼς κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν
τὸν ἀδελφὸν αὐτοῦ καὶ χάριν τίνος ἔσφαξεν αὐτὸν ὅτι τὰ ἔργα
13 αὐτοῦ πονηρὰ ἦν τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια ◦ μὴ θαυ-
14 μάζετε ἀδελφοί μου εἰ μισεῖ ὑμᾶς ὁ κόσμος ◦ ἡμεῖς οἴδαμεν ὅτι
μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν ὅτι ἀγαπῶμεν τοὺς
15 ἀδελφούς ὁ μὴ ἀγαπῶν τὸν˚ ἀδελφὸν μένει ἐν τῷ θανάτῳ ◦ πᾶς
ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστὶν καὶ οἴδατε ὅτι
πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν ◦
16 ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην˙ ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυ-

---

v.27 𝕋*: αυτο, 𝕍: αυτου. **v.27** 𝕋*: μενειτε, 𝕍: μενετε. **v.28** 𝕋*: οταν φανερωθη εχωμεν, 𝕍: εαν φανερωθη σχωμεν. **v.29** 𝕋*: οτι, 𝕍: οτι και. **3.v.1** 𝕋*: κληθωμεν, 𝕍: κληθωμεν και εσμεν. **v.1** 𝕋 𝕂 𝕍: ημας, 𝕄: υμας. **v.2** 𝕋*: δε, 𝕍: ∅. **v.5** 𝕋*: ημων, 𝕍: ∅. **v.13** 𝕋*: μη, 𝕍: [και] μη. **v.13** 𝕋*: μου, 𝕍: ∅. **v.14** 𝕋*: τον αδελφον, 𝕍: ∅. **v.15** 𝕋 𝕂 𝕍: αυτω, 𝕄: εαυτω. **v.16** 𝕋 𝕄 𝕍: αγαπην, 𝕂: αγαπην του θεου.

χὴν αὐτοῦ ἔθηκεν καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς
ψυχὰς ϊτιθέναι ◦ ὃς δ᾽ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ 17
τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐ-
τοῦ ἀπ᾽ αὐτοῦ πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ ◦ τεκνία 18
μοὺ μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ˚ ἀλλ᾽ ἔργῳ καὶ ἀληθείᾳ ◦
καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμὲν καὶ ἔμπρο- 19
σθεν αὐτοῦ πείσομεν τὰς˚ καρδίας ἡμῶν ◦ ὅτι ἐὰν καταγινώσκῃ 20
ἡμῶν ἡ καρδία ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν καὶ
γινώσκει πάντα ◦ ἀγαπητοὶ ἐὰν ἡ καρδία ἡμῶν μὴ˚ καταγινώ- 21
σκῃ ἡμῶν παρρησίαν ἔχομεν πρὸς τὸν θεόν ◦ καὶ ὃ ἐὰν αἰτῶμεν 22
λαμβάνομεν πάρ᾽ αὐτοῦ ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ
ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν ◦ καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐ- 23
τοῦ ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χριστοῦ
καὶ ἀγαπῶμεν ἀλλήλους καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν ◦ καὶ ὁ τη- 24
ρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ καὶ ἐν
τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν ἐκ τοῦ πνεύματος οὗ ἡμῖν
ἔδωκεν ◦

ἀγαπητοὶ μὴ παντὶ πνεύματι πιστεύετε ἀλλὰ δοκιμάζετε τὰ **4**
πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν ὅτι πολλοὶ ψευδοπροφῆται ἐξε-
ληλύθασιν εἰς τὸν κόσμον ◦ ἐν τούτῳ γινώσκετε˙ τὸ πνεῦμα τοῦ 2
θεοῦ πᾶν πνεῦμα ὃ ὁμολογεῖ ἰησοῦν χριστὸν ἐν σαρκὶ ἐληλυ-
θότα ἐκ τοῦ θεοῦ ἐστιν ◦ καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν˚ 3
ἰησοῦν χριστὸν ἐν˚ σαρκὶ ἐληλυθότα ἐκ τοῦ θεοῦ οὐκ ἔστιν καὶ
τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου ὃ ἀκηκόατε ὅτι ἔρχεται καὶ νῦν
ἐν τῷ κόσμῳ ἐστὶν ἤδη ◦ ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστε τεκνία καὶ νενι- 4
κήκατε αὐτούς ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ ◦ αὐτοὶ 5
ἐκ τοῦ κόσμου εἰσὶν διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν καὶ ὁ
κόσμος αὐτῶν ἀκούει ◦ ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν ὁ γινώσκων τὸν 6
θεὸν ἀκούει ἡμῶν ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ οὐκ ἀκούει ἡμῶν
ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα
τῆς πλάνης ◦ ἀγαπητοὶ ἀγαπῶμεν ἀλλήλους ὅτι ἡ ἀγάπη ἐκ τοῦ 7
θεοῦ ἐστιν καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται καὶ γι-
νώσκει τὸν θεόν ◦ ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεὸν ὅτι ὁ θεὸς 8
ἀγάπη ἐστίν ◦ ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν 9
ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν κό-

---

v.16 𝕋*: τιθεναι, 𝕍: θειναι. **v.18** 𝕋*: μου, 𝕍: ∅. **v.18** 𝕋 𝕂: γλωσση αλλ, 𝕄: τη γλωσση αλλ εν, 𝕍: τη γλωσση αλλα εν. **v.19** 𝕋*: γινωσκομεν, 𝕍: γνωσομεθα. **v.19** 𝕋*: τας καρδιας, 𝕍: την καρδιαν. **v.21** 𝕋*: μη καταγινωσκη ημων, 𝕍: [ημων] μη καταγινωσκη. **v.22** 𝕋*: παρ, 𝕍: απ. **v.23** 𝕋 𝕂 𝕍: ημιν, 𝕄: ∅. **4.v.2** 𝕋 𝕂 𝕍: γινωσκετε, 𝕄: γινωσκεται. **v.3** 𝕋 𝕂: τον ιησουν χριστον, 𝕄: ιησουν χριστον, 𝕍: τον ιησουν. **v.3** 𝕋*: εν σαρκι εληλυθοτα, 𝕍: ∅.

10 σμον ἵνα ζήσωμεν δι᾽ αὐτοῦ ⸰ ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη οὐχ ὅτι
ἡμεῖς ἠγαπήϲαμεν τὸν θεὸν ἀλλ᾽ ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ
ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν ⸰
11 ἀγαπητοί εἰ οὕτως ὁ θεὸς ἠγάπησεν ἡμᾶς καὶ ἡμεῖς ὀφείλομεν
12 ἀλλήλους ἀγαπᾶν ⸰ θεὸν οὐδεὶς πώποτε τεθέαται ἐὰν ἀγαπῶμεν
ἀλλήλους ὁ θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειω-
13 μένη˚ ἐστὶν ἐν ἡμῖν ⸰ ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν
καὶ αὐτὸς ἐν ἡμῖν ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν ⸰
14 καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκεν
15 τὸν υἱὸν σωτῆρα τοῦ κόσμου ⸰ ὃς ἂν ὁμολογήσῃ ὅτι ἰησοῦς ἐστιν
16 ὁ υἱὸς τοῦ θεοῦ ὁ θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ θεῷ ⸰ καὶ
ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς
ἐν ἡμῖν ὁ θεὸς ἀγάπη ἐστὶν καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ
17 μένει καὶ ὁ θεὸς ἐν αὐτῷ ⸰ ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ᾽
ἡμῶν ἵνα παρρησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὅτι καθὼς
18 ἐκεῖνός ἐστιν καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ ⸰ φόβος οὐκ
ἔστιν ἐν τῇ ἀγάπῃ ἀλλ᾽ ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον ὅτι
ὁ φόβος κόλασιν ἔχει ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγά-
19 πῃ ⸰ ἡμεῖς ἀγαπῶμεν αὐτὸν ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς ⸰
20 ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν θεὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ
ψεύστης ἐστὶν ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν
21 τὸν θεὸν ὃν οὐχ ἑώρακεν πῶς δύναται ἀγαπᾶν ⸰ καὶ ταύτην τὴν
ἐντολὴν ἔχομεν ἀπ᾽ αὐτοῦ ἵνα ὁ ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν
ἀδελφὸν αὐτοῦ ⸰

5 πᾶς ὁ πιστεύων ὅτι ἰησοῦς ἐστιν ὁ χριστὸς ἐκ τοῦ θεοῦ γε-
γέννηται καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γε-
2 γεννημένον ἐξ αὐτοῦ ⸰ ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ
τέκνα τοῦ θεοῦ ὅταν τὸν θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ
3 τηρῶμεν ⸰ αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ ἵνα τὰς ἐντολὰς
4 αὐτοῦ τηρῶμεν καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν ⸰ ὅτι πᾶν
τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον καὶ αὕτη ἐστὶν ἡ
5 νίκη ἡ νικήσασα τὸν κόσμον ἡ πίστις ἡμῶν ⸰ τίς ἐστιν ὁ νικῶν
τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ ⸰
6 οὗτός ἐστιν ὁ ἐλθὼν δι᾽ ὕδατος καὶ αἵματος ἰησοῦς ὁ˚ χριστὸς
οὐκ ἐν τῷ ὕδατι μόνον ἀλλ᾽ ἐν τῷ ὕδατι καὶ τῷ αἵματι καὶ τὸ
7 πνεῦμά ἐστιν τὸ μαρτυροῦν ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια ⸰ ὅτι

---

v.10 𝕋*: ηγαπησαμεν, 𝕍: ηγαπηκαμεν. **v.12** 𝕋*: τετελειωμενη εστιν εν ημιν, 𝕍: εν ημιν τετελειωμενη εστιν. **v.15** 𝕋*: αν, 𝕍: εαν. **v.16** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτω μενει. **v.19** 𝕋*: αυτον, 𝕍: ∅. **v.20** 𝕋*: πως, 𝕍: ου. **5.v.2** 𝕋*: τηρωμεν, 𝕍: ποιωμεν. **v.4** 𝕋 𝕂 𝕍: ημων, 𝕄: υμων. **v.5** 𝕋*: τις, 𝕍: τις [δε]. **v.6** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.6** 𝕋*: τω, 𝕍: εν τω.

τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν˚ τῷ οὐρανῷ ὁ πατὴρ ὁ λόγος καὶ
τὸ ἅγιον πνεῦμα καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν ⸰ καὶ˚ τρεῖς εἰσιν οἱ 8
μαρτυροῦντες ἐν τῇ γῇ τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα καὶ οἱ
τρεῖς εἰς τὸ ἕν εἰσιν ⸰ εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνο- 9
μεν ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστὶν ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία
τοῦ θεοῦ ἣν˙ μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ ⸰ ὁ πιστεύων εἰς 10
τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ ὁ μὴ πιστεύων
τῷ θεῷ ψεύστην πεποίηκεν αὐτὸν ὅτι οὐ πεπίστευκεν εἰς τὴν
μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ ⸰ καὶ 11
αὕτη ἐστὶν ἡ μαρτυρία ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεὸς καὶ
αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν ⸰ ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωὴν 12
ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει ⸰ ταῦτα ἔγραψα 13
ὑμῖν τοῖς˚ πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ ἵνα εἰδῆτε
ὅτι ζωὴν ἔχετε˚ αἰώνιον καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ
τοῦ θεοῦ ⸰ καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτὸν ὅτι 14
ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ ἀκούει ἡμῶν ⸰ καὶ ἐὰν 15
οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἂν˙ αἰτώμεθα οἴδαμεν ὅτι ἔχομεν τὰ
αἰτήματα ἃ ᾐτήκαμεν πάρ᾽ αὐτοῦ ⸰ ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐ- 16
τοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον αἰτήσει καὶ δώσει
αὐτῷ ζωὴν τοῖς ἁμαρτάνουσιν μὴ πρὸς θάνατον ἔστιν ἁμαρτία
πρὸς θάνατον οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ ⸰ πᾶσα ἀδικία 17
ἁμαρτία ἐστὶν καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον ⸰ οἴδαμεν ὅτι 18
πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει ἀλλ᾽ ὁ γεννηθεὶς
ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτὸν καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ ⸰ οἴ- 19
δαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ
κεῖται ⸰ οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν 20
διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν καί ἐσμεν ἐν τῷ ἀληθι-
νῷ ἐν τῷ υἱῷ αὐτοῦ ἰησοῦ χριστῷ οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς
καὶ ἡ˚ ζωὴ αἰώνιος ⸰ τεκνία φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων 21
ἀμήν ⸰

---

v.7 𝕋 𝕂: εν τω ουρανω ο πατηρ ο λογος και το αγιον πνευμα και ουτοι οι τρεις εν εισιν, 𝕄 𝕍: ∅. **v.8** 𝕋 𝕂: καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, 𝕄 𝕍 ℕ: ∅. **v.9** 𝕋*: ην, 𝕍: οτι. **v.10** 𝕋 𝕂 𝕍: εαυτω, 𝕄: αυτω. **v.13** 𝕋*: τοις πιστευουσιν εις το ονομα του υιου του θεου, 𝕍: ∅. **v.13** 𝕋 𝕂: εχετε αιωνιον και ινα πιστευητε, 𝕄: αιωνιον εχετε και ινα πιστευητε, 𝕍: εχετε αιωνιον τοις πιστευουσιν. **v.15** 𝕋 𝕂: αν, 𝕄 𝕍: εαν. **v.15** 𝕋*: παρ, 𝕍: απ. **v.18** 𝕋*: εαυτον, 𝕍: αυτον. **v.20** 𝕋 𝕂: η ζωη, 𝕄: η ζωη η, 𝕍: ζωη. **v.21** 𝕋 𝕂: εαυτους, 𝕄 𝕍: εαυτα. **v.21** 𝕋*: αμην, 𝕍: ∅.

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ
ΔΕΥΤΕΡΑ˚

1 ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς οὓς ἐγὼ
ἀγαπῶ ἐν ἀληθείᾳ καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πάντες οἱ ἐγνω-
2 κότες τὴν ἀλήθειαν ◦ διὰ˚ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν
3 καὶ μεθ᾽ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα ◦ ἔσται μεθ᾽ ἡμῶν χάρις ἔλεος
εἰρήνη παρὰ θεοῦ πατρὸς καὶ παρὰ˚ κυρίου ἰησοῦ χριστοῦ τοῦ
4 υἱοῦ τοῦ πατρὸς ἐν ἀληθείᾳ καὶ ἀγάπῃ ◦ ἐχάρην λίαν ὅτι εὗ-
ρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ καθὼς ἐν-
5 τολὴν ἐλάβομεν παρὰ τοῦ πατρός ◦ καὶ νῦν ἐρωτῶ σε κυρία οὐχ
ὡς ἐντολὴν γράφω˚ σοι καινὴν ἀλλὰ ἣν εἴχομεν ἀπ᾽ ἀρχῆς ἵνα
6 ἀγαπῶμεν ἀλλήλους ◦ καὶ αὕτη ἐστὶν ἡ ἀγάπη ἵνα περιπατῶμεν
κατὰ τὰς ἐντολὰς αὐτοῦ αὕτη ἐστὶν˚ ἡ ἐντολὴ καθὼς ἠκούσατε
7 ἀπ᾽ ἀρχῆς ἵνα ἐν αὐτῇ περιπατῆτε ◦ ὅτι πολλοὶ πλάνοι εἰσῆλθον
εἰς τὸν κόσμον οἱ μὴ ὁμολογοῦντες ἰησοῦν χριστὸν ἐρχόμενον
8 ἐν σαρκὶ οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ˚ ἀντίχριστος ◦ βλέπετε ἑ-
αυτοὺς ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα ἀλλὰ μισθὸν πλήρη
9 ἀπολάβωμεν ◦ πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ
χριστοῦ θεὸν οὐκ ἔχει ὁ μένων ἐν τῇ διδαχῇ τοῦ˚ χριστοῦ οὗτος
10 καὶ τὸν πατέρα˚ καὶ τὸν υἱὸν ἔχει ◦ εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ
ταύτην τὴν διδαχὴν οὐ φέρει μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν
11 καὶ χαίρειν αὐτῷ μὴ λέγετε ◦ ὁ γὰρ˚ λέγων αὐτῷ χαίρειν κοινω-
12 νεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς ◦ πολλὰ ἔχων ὑμῖν γράφειν
οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλανος ἀλλὰ˚ ἐλπίζω ἐλθεῖν
πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα λαλῆσαι ἵνα ἡ χαρὰ ἡμῶν˚
13 ᾖ πεπληρωμένη ◦ ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς
ἐκλεκτῆς ἀμήν ◦

𝕋: ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΔΕΥΤΕΡΑ, 𝕂: ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, 𝕄 𝕍: ΙΩΑΝΝΟΥ Β. **1.v.2** 𝔼: δια την αληθειαν, **XXX**: ∅. **v.2** 𝔼: μενουσαν, A: ενοικουσαν, **XXX**: ουσαν. **v.2** 𝔼: ημιν, **XXX**: υμιν. **v.2** 𝔼: ημων, **XXX**: υμων. **v.3** 𝕋 𝕄 𝕍: ημων, 𝕂: υμων. **v.3** 𝔼: ελεος, **XXX**: υμιν και. **v.3** 𝕋*: παρα κυριου, 𝕍: παρα, ℵ: κυριου. **v.3** 𝔼: πατρος, **XXX**: θεου. **v.4** 𝔼: ελαβομεν, ℵ: ελαβον. **v.5** 𝕋: γραφω σοι καινην, 𝕂 𝕄: γραφων σοι καινην, 𝕍: καινην γραφων σοι, **XXX**: καινην γραφω σοι. **v.6** 𝕋*: εστιν η εντολη, 𝕍: η εντολη εστιν, ℵ: εστιν η εντολη αυτου. **v.6** 𝔼: καθως, ℵ A: ινα καθως. **v.6** 𝔼: ινα, **XXX**: ∅. **v.7** 𝕋*: εισηλθον, 𝕍: εξηλθον. **v.7** 𝔼: ο, ℵ: ∅. **v.8** 𝕋*: απολεσωμεν, 𝕍: απολεσητε. **v.8** 𝔼: ειργασαμεθα, ℵ A: ειργασασθε. **v.8** 𝕋*: απολαβωμεν, 𝕍: απολαβητε. **v.9** 𝕋*: παραβαινων, 𝕍: προαγων. **v.9** 𝔼: διδαχη, **XXX**: αγαπη. **v.9** 𝕋*: του χριστου, 𝕍: ∅, **XXX**: αυτου. **v.9** 𝔼: πατερα και τον υιον, A: υιον και τον πατερα. **v.11** 𝕋*: γαρ λεγων αυτω, 𝕍: λεγων γαρ αυτω, **XXX**: γαρ λεγων. **v.12** 𝔼: εχων, ℵ A: εχω. **v.12** 𝔼: γραφειν, A: γραψαι. **v.12** 𝕋 𝕂: ηβουληθην, 𝕄 𝕍: εβουληθην. **v.12** 𝕋*: αλλα ελπιζω ελθειν, 𝕍: αλλα ελπιζω γενεσθαι, A: ελπιζω γαρ γενεσθαι. **v.12** 𝕋*: ημων η πεπληρωμενη, 𝕍: ημων πεπληρωμενη η, A: υμων η πεπληρωμενη. **v.13** 𝔼: εκλεκτης, **XXX**: εκκλησιας. **v.13** 𝕋*: αμην, 𝕍: ∅, **XXX**: η χαρις μετα σου αμην.

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ
ΤΡΙΤΗ˚

ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ ⸰ **1**
ἀγαπητὲ περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν κα- 2
θὼς εὐοδοῦταί σου ἡ ψυχή ⸰ ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελ- 3
φῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ καθὼς σὺ ἐν ἀληθείᾳ
περιπατεῖς ⸰ μειζοτέραν τούτων οὐκ ἔχω χαρὰν ἵνα ἀκούω τὰ ἐ- 4
μὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα ⸰ ἀγαπητὲ πιστὸν ποιεῖς ὃ 5
ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς˚ τοὺς ξένους ⸰ οἳ ἐμαρ- 6
τύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας οὓς καλῶς ποιή-
σεις προπέμψας ἀξίως τοῦ θεοῦ ⸰ ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλ- 7
θον μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν ⸰ ἡμεῖς οὖν ὀφείλομεν 8
ἀπολαμβάνειν τοὺς τοιούτους ἵνα συνεργοὶ γινώμεθα τῇ ἀλη-
θείᾳ ⸰ ἔγραψά τῇ ἐκκλησίᾳ ἀλλ᾽ ὁ φιλοπρωτεύων αὐτῶν διοτρε- 9
φὴς οὐκ ἐπιδέχεται ἡμᾶς ⸰ διὰ τοῦτο ἐὰν ἔλθω ὑπομνήσω αὐτοῦ 10
τὰ ἔργα ἃ ποιεῖ λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς καὶ μὴ ἀρκού-
μενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς καὶ τοὺς
βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει ⸰ ἀγαπητὲ 11
μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ
ἐστιν ὁ δὲ˚ κακοποιῶν οὐχ ἑώρακεν τὸν θεόν ⸰ δημητρίῳ μεμαρ- 12
τύρηται ὑπὸ πάντων καὶ ὑπ᾽ αὐτῆς τῆς ἀληθείας καὶ ἡμεῖς δὲ
μαρτυροῦμεν καὶ οἶδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστιν ⸰
πολλὰ εἶχον γράφειν ἀλλ᾽ οὐ θέλω διὰ μέλανος καὶ καλάμου 13
σοι γράψαι ⸰ ἐλπίζω δὲ εὐθέως ἰδεῖν˚ σε καὶ στόμα πρὸς στόμα 14
λαλήσομεν ⸰ εἰρήνη σοι ἀσπάζονταί σε οἱ φίλοι ἀσπάζου τοὺς 15
φίλους κατ᾽ ὄνομα ⸰

𝕋: ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗ, 𝕂: ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ, 𝕄 𝕍: ΙΩΑΝΝΟΥ Γ. **1.v.4** 𝕋*: εν, 𝕍: εν τη. **v.5** 𝕋*: εις τους, 𝕍: τουτο. **v.7** 𝕋 𝕄 𝕍: ονοματος, 𝕂: ονοματος αυτου. **v.7** 𝕋*: εθνων, 𝕍: εθνικων. **v.8** 𝕋*: απολαμβανειν, 𝕍: υπολαμβανειν. **v.9** 𝕋*: εγραψα, 𝕍: εγραψα τι. **v.11** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.12** 𝕋*: υπ, 𝕍: υπο. **v.12** 𝕋*: οιδατε, 𝕍: οιδας. **v.13** 𝕋*: γραφειν, 𝕍: γραψαι σοι. **v.13** 𝕋*: γραψαι, 𝕍: γραφειν. **v.14** 𝕋*: ιδειν σε, 𝕍: σε ιδειν.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΟΥΔΑ
ΚΑΘΟΛΙΚΗ˚

1 ἰούδας ἰησοῦ χριστοῦ δοῦλος ἀδελφὸς δὲ ἰακώβου τοῖς ἐν θε-
ῷ πατρὶ ἡγιαδμένοις καὶ˚ ἰησοῦ χριστῷ τετηρημένοις κλητοῖς ⸰
2, 3 ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη ⸰ ἀγαπητοὶ πᾶσαν
σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας ἀ-
νάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ
4 παραδοθείσῃ τοῖς ἁγίοις πίστει ⸰ παρεισέδυσαν γάρ τινες ἄν-
θρωποι οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα ἀσεβεῖς
τὴν τοῦ θεοῦ ἡμῶν χάριν˙ μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν
μόνον˙ δεσπότην θεὸν καὶ κύριον ἡμῶν˚ ἰησοῦν χριστὸν ἀρνού-
5 μενοι ⸰ ὑπομνῆσαι δὲ˚ ὑμᾶς βούλομαι εἰδότας ὑμᾶς˚ ἅπαξ τοῦτο
ὅτι ὁ κύριος λαὸν ἐκ γῆς αἰγύπτου σώσας τὸ δεύτερον τοὺς
6 μὴ πιστεύσαντας ἀπώλεσεν ⸰ ἀγγέλους τε τοὺς μὴ τηρήσαντας
τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς
κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν ⸰
7 ὡς σόδομα καὶ γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον
τούτοις˚ τρόπον ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρ-
κὸς ἑτέρας πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι ⸰
8 ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν
9 κυριότητα δὲ ἀθετοῦσιν δόξας δὲ βλασφημοῦσιν ⸰ ὁ δὲ μιχαὴλ
ὁ ἀρχάγγελος ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ
μωσέως σώματος οὐκ ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν βλασφημίας
10 ἀλλ᾽ εἶπεν ἐπιτιμήσαι σοι κύριος ⸰ οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδα-
σιν βλασφημοῦσιν ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται
11 ἐν τούτοις φθείρονται ⸰ οὐαὶ αὐτοῖς ὅτι τῇ ὁδῷ τοῦ κάϊν ἐπο-
ρεύθησαν καὶ τῇ πλάνῃ τοῦ βαλαὰμ μισθοῦ ἐξεχύθησαν καὶ

𝕋: ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗ, 𝕂: ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ, 𝕄 𝕍: ΙΟΥΔΑ. **1.v.1** 𝔼: τοις, **XXX**: τοις εθνεσιν. **v.1** 𝕋*: ηγιασμενοις, 𝕍: ηγαπημενοις. **v.1** 𝔼: και ιησου χριστω τετηρημενοις, **XXX**: ∅. **v.2** 𝔼: ειρηνη, **XXX**: ειρηνη εν κυριω. **v.3** 𝔼: ποιουμενος, 𝔓72: ποιησαμενος. **v.3** 𝔼: γραφειν, ℵ 𝔓72: του γραφειν. **v.3** 𝕋*: σωτηριας, 𝕍: ημων σωτηριας, ℵ: ημων σωτηριας και ζωης, **XXX**: υμων ζωης. **v.3** 𝔼: γραψαι, ℵ: γραφειν. **v.4** 𝔼: παρεισεδυσαν, B: παρεισεδυησαν. **v.4** 𝔼: το, 𝔓72*: ∅. **v.4** 𝔼: κριμα, **XXX**: κηρυγμα. **v.4** 𝕋*: χαριν, 𝕍: χαριτα. **v.4** 𝔼: μονον, 𝔓72: [νομον] ημων. **v.4** 𝕋*: θεον, 𝕍: ∅. **v.4** 𝔼: ημων ιησουν χριστον, 𝔓72: ιησουν χριστον ημων. **v.5** 𝔼: δε, **XXX**: ουν. **v.5** 𝔼: βουλομαι, 𝔓78: βουλομαι αδελφοι. **v.5** 𝕋*: υμας απαξ τουτο οτι ο κυριος, 𝕍: [υμας] παντα οτι [ο] κυριος απαξ, 𝔓72: απαξ παντας οτι θεος χριστος. **v.6** 𝔼: αιδιοις, **XXX**: αλυτοις και. **v.7** 𝕋*: τουτοις τροπον, 𝕍: τροπον τουτοις. **v.7** 𝔼: ετερας, 𝔓72: τερας. **v.7** 𝔼: υπεχουσαι, ℵ: υπεχουσιν, A: υπερεχουσαι, 𝔓78: επεχουσαι, **XXX**: υπαρχουσαι. **v.8** 𝔼: ομοιως, A: ομως. **v.9** 𝔼: μιχαηλ, 𝔓72: μιχαης. **v.9** 𝔼: οτε, B: τοτε. **v.9** 𝕋*: μωσεως, 𝕍: μωυσεως. **v.9** 𝕋*: αλλ, 𝕍: αλλα. **v.9** 𝔼: σοι, B: εν σοι. **v.9** 𝔼: κυριος, ℵ: ο θεος, **XXX**: κυριος διαβολε. **v.11** 𝔼: βαλααμ, 𝔓72: βαλαακ.

τῇ ἀντιλογίᾳ τοῦ κορὲ ἀπώλοντο ◦ οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις 12
ὑμῶν σπιλάδες συνευωχούμενοι ἀφόβως ἑαυτοὺς ποιμαίνοντες
νεφέλαι ἄνυδροι ὑπὸ ◦ ἀνέμων περιφερόμεναι δένδρα φθινοπω-
ρινὰ ἄκαρπα δὶς ἀποθανόντα ἐκριζωθέντα ◦ κύματα ἄγρια θα- 13
λάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας ἀστέρες πλανῆται οἷς
ὁ ◦ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται ◦ προεφήτευσεν δὲ 14
καὶ τούτοις ἕβδομος ἀπὸ ἀδὰμ ἐνὼχ λέγων ἰδοὺ ἦλθεν κύριος
ἐν μυριάσιν ◦ ἁγίαις αὐτοῦ ◦ ποιῆσαι κρίσιν κατὰ πάντων καὶ 15
ἐξελέγξαι πάντας ◦ τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων
ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν
ἐλάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς ◦ οὗτοί εἰσιν γογγυσταὶ 16
μεμψίμοιροι κατὰ ◦ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι καὶ τὸ
στόμα αὐτῶν λαλεῖ ὑπέρογκα θαυμάζοντες πρόσωπα ὠφελείας
χάριν ◦ ὑμεῖς δὲ ἀγαπητοὶ μνήσθητε τῶν ῥημάτων τῶν προειρη- 17
μένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ◦ ὅτι 18
ἔλεγον ὑμῖν ὅτι ◦ ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται κατὰ τὰς
ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν ◦ οὗτοί εἰσιν οἱ ἀ- 19
ποδιορίζοντες ψυχικοὶ πνεῦμα μὴ ἔχοντες ◦ ὑμεῖς δὲ ἀγαπητοὶ 20
τῇ ◦ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς ἐν πνεύ-
ματι ἁγίῳ προσευχόμενοι ◦ ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε 21
προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου ἡμῶν ◦ ἰησοῦ χριστοῦ εἰς
ζωὴν αἰώνιον ◦ καὶ οὓς μὲν ἐλεεῖτε ◦ διακρινόμενοι ◦ οὓς δὲ ἐν ◦ 22, 23
φόβῳ σώζετε ἐκ τοῦ πυρὸς ἁρπάζοντες μισοῦντες καὶ τὸν ἀ-
πὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα ◦ τῷ δὲ δυναμένῳ φυλάξαι ◦ 24

---

v.12 𝕋*: εισιν, 𝕍: εισιν οι, 𝔎: εισιν γογγυσται μεμψιμοιροι κατα τας επιθυμιας αυτων πορευομενοι. **v.12** 𝔼: αγαπαις, A: απαταις, **XXX**: ευωχιαις. **v.12** 𝔼: συνευωχουμενοι, 𝔓72: συνευχομενοι. **v.12** 𝕋 𝕄 𝕍: αφοβως, 𝕂: υμιν αφοβως. **v.12** 𝔼: εαυτους, 𝔓72*: αυτους. **v.12** 𝔼: υπο ανεμων, 𝔎: παντι ανεμω. **v.12** 𝕋 𝕂: περιφερομεναι, 𝕄 𝕍: παραφερομεναι, B 𝔓72*: παραφερομενοι. **v.13** 𝔼: επαφριζοντα, 𝔓72: απαφριζοντα. **v.13** 𝔼: πλανηται, B: πλανητης, 𝔓72: πλανητε. **v.13** 𝔼: ο, B 𝔓72: ∅. **v.13** 𝔼: του, B: ∅. **v.13** 𝕋 𝕂: τον, 𝕄 𝕍: ∅. **v.14** 𝔼: προεφητευσεν, B 𝔓72: επροφητευσεν. **v.14** 𝕋 𝕂: μυριασιν αγιαις αυτου, 𝕄 𝕍: αγιαις μυριασιν αυτου, 𝔓72: αγιων αγγελων μυριασιν. **v.15** 𝕋 𝕂: εξελεγξαι, 𝕄 𝕍: ελεγξαι. **v.15** 𝕋*: παντας τους ασεβεις αυτων, 𝕍: πασαν ψυχην. **v.15** 𝔼: σκληρων, 𝔎: σκληρων λογων. **v.16** 𝕋*: κατα τας επιθυμιας αυτων πορευομενοι, 𝕍: κατα τας επιθυμιας εαυτων πορευομενοι, 𝔓72: ∅. **v.17** 𝔼: μνησθητε, **XXX**: μνημονευετε. **v.18** 𝕋*: οτι εν εσχατω χρονω, 𝕍: [οτι] επ εσχατου [του] χρονου, 𝔓72: οτι επ εσχατου χρονου. **v.18** 𝔼: εσονται, A: ελευσονται, **XXX**: αναστησονται. **v.19** 𝕋 𝕄 𝕍: αποδιοριζοντες, 𝕂: αποδιοριζοντες εαυτους, 𝔓72: αποδιωριζοτες. **v.20** 𝕋*: τη αγιωτατη υμων πιστει εποικοδομουντες εαυτους, 𝕍: εποικοδομουντες εαυτους τη αγιωτατη υμων πιστει. **v.20** 𝔼: προσευχομενοι, 𝔓72: προσευχομενοι εαυτοις. **v.21** 𝔼: τηρησατε, B 𝔓72: τηρησωμεν, **XXX**: τηρησητε. **v.21** 𝔼: ημων ιησου χριστου εις ζωην, 𝔓72: εις ζοην ημων ιησου χριστου. **v.22** 𝕋*: ελεειτε διακρινομενοι, 𝕍: ελεατε διακρινομενους. **v.23** 𝕋 𝕂: εν φοβω σωζετε εκ του πυρος αρπαζοντες, 𝕄: εν φοβω σωζετε εκ πυρος αρπαζοντες, 𝕍: σωζετε εκ πυρος αρπαζοντες ους δε ελεατε εν φοβω. **v.24** 𝕋 𝕄: φυλαξαι αυτους απταιστους και στησαι κατενωπιον της δοξης αυτου αμωμους, 𝕂 𝕍: φυλαξαι υμας απταιστους και στησαι κατενωπιον της δοξης αυτου αμωμους, 𝔓72: στηριξαι ασπειλους αμωμους αγνευομενους απεναντι της δοξης αυτου.

αὐτοὺς ἀπταίστους καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀ-
μώμους ἐν ἀγαλλιάσει ⸰ μόνῳ σοφῷ θεῷ σωτῆρι ἡμῶν δόξα˚ καὶ
μεγαλωσύνη κράτος καὶ ἐξουσία καὶ νῦν καὶ εἰς πάντας˚ τοὺς
αἰῶνας ἀμήν ⸰

v.25 $\mathbb{T}^*$: σοφω, $\mathbb{V}$: ∅. **v.25** $\mathbb{T}^*$: δοξα και, $\mathbb{V}$: δια ιησου χριστου του κυριου ημων δοξα. **v.25** $\mathbb{T}^*$: εξουσια, $\mathbb{V}$: εξουσια προ παντος του αιωνος. **v.25** $\mathbb{E}$: παντας τους αιωνας, $\mathfrak{P}^{72}$: τους παντας εωνας, **XXX**: παντας τους αιωνας των αιωνων.

ΑΠΟΚΑΛΥΨΙΣ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ˚

ἀποκάλυψις ἰησοῦ χριστοῦ ἣν ἔδωκεν αὐτῷ ὁ θεὸς δεῖξαι τοῖς **1**
δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει καὶ ἐσήμανεν ἀποστείλας
διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ ἰωάννῃ ◦ ὃς ἐμαρτύρη- 2
σεν τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν ἰησοῦ χριστοῦ ὅσα τε
εἶδεν ◦ μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες τοὺς λόγους 3
τῆς προφητείας καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα ὁ γὰρ
καιρὸς ἐγγύς ◦ ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ ἀσίᾳ χά- 4
ρις ὑμῖν καὶ εἰρήνη ἀπὸ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος καὶ
ἀπὸ τῶν ἑπτὰ πνευμάτων ἃ ἐνώπιον τοῦ θρόνου αὐτοῦ ◦
καὶ ἀπὸ ἰησοῦ χριστοῦ ὁ μάρτυς ὁ πιστὸς ὁ πρωτότοκος ἐκ τῶν 5
νεκρῶν καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς τῷ ἀγαπήσαντι ἡμᾶς
καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ ◦
καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς˚ καὶ ἱερεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ 6
αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ◦
ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς 7
καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ
φυλαὶ τῆς γῆς ναὶ ἀμήν ◦ ἐγώ εἰμι τὸ ἅ καὶ τὸ ω ἀρχὴ˚ καὶ τέλος 8
λέγει ὁ˚ κύριος ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος ὁ παντοκράτωρ ◦
ἐγὼ ἰωάννης ὁ κἀι ἀδελφὸς ὑμῶν καὶ συγκοινωνὸς ἐν τῇ θλίψει 9
καὶ ἐν˚ τῇ βασιλείᾳ καὶ ὑπομονῇ ἰησοῦ˚ χριστοῦ ἐγενόμην ἐν τῇ
νήσῳ τῇ καλουμένῃ πάτμῳ διὰ τὸν λόγον τοῦ θεοῦ καὶ διὰ˚ τὴν
μαρτυρίαν ἰησοῦ χριὀτοῦ ◦ ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ 10
ἡμέρᾳ καὶ ἤκουσα ὀπίσω˚ μου φωνὴν μεγάλην ὡς σάλπιγγος ◦
λεγούσης ἐγώ˚ εἰμι τὸ α καὶ τὸ ω ὁ πρῶτος καὶ ὁ ἔσχατος καὶ ὅ 11
βλέπεις γράψον εἰς βιβλίον καὶ πέμψον ταῖς ἐκκλησίαις˚ ταῖς ἐν
ἀσίᾳ εἰς ἔφεσον καὶ εἰς σμύρναν καὶ εἰς πέργαμον καὶ εἰς θυά-
τειρα καὶ εἰς σάρδεις καὶ εἰς φιλαδέλφειαν καὶ εἰς λαοδίκειαν ◦
κἀι ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάληὀεν μετ᾽ ἐμοῦ καὶ 12

𝕋: ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ, 𝕂: ΑΠΟΚΑΛΥΨΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ, 𝕄: ΑΠΟΚΑΛΥΨΙΣ, 𝕍: ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ. **1.v.2** 𝕋 𝕂: τε, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂: του, 𝕄: θεου, 𝕍: ∅. **v.4** 𝕋 𝕂: εστιν, 𝕄 𝕍: ∅. **v.5** 𝕋 𝕂: εκ, 𝕄 𝕍: ∅. **v.5** 𝕋 𝕂: αγαπησαντι, 𝕄 𝕍: αγαπωντι. **v.5** 𝕋*: λουσαντι, 𝕍: λυσαντι. **v.5** 𝕋*: απο, 𝕍: εκ. **v.6** 𝕋 𝕂: βασιλεις και, 𝕄 𝕍: βασιλειαν. **v.8** 𝕋 𝕂: α, 𝕄 𝕍: αλφα. **v.8** 𝕋 𝕂: αρχη και τελος, 𝕄 𝕍: ∅. **v.8** 𝕋 𝕂: ο κυριος, 𝕄 𝕍: κυριος ο θεος. **v.9** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.9** 𝕋 𝕂 𝕍: συγκοινωνος, 𝕄: κοινωνος. **v.9** 𝕋 𝕂: εν τη, 𝕄 𝕍: ∅. **v.9** 𝕋 𝕂: ιησου χριστου, 𝕄: εν χριστω ιησου, 𝕍: εν ιησου. **v.9** 𝕋*: δια, 𝕍: ∅. **v.9** 𝕋*: χριστου, 𝕍: ∅. **v.10** 𝕋 𝕂 𝕍: οπισω μου φωνην, 𝕄: φωνην οπισω μου. **v.11** 𝕋 𝕂: εγω ειμι το α και το ω ο πρωτος και ο εσχατος και, 𝕄 𝕍: ∅. **v.11** 𝕋: εκκλησιαις ταις εν ασια, 𝕂: επτα εκκλησιαις ταις εν ασια, 𝕄 𝕍: επτα εκκλησιαις. **v.12** 𝕋 𝕂 𝕍: και, 𝕄: και εκει. **v.12** 𝕋 𝕂: ελαλησεν, 𝕄 𝕍: ελαλει.

13 ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς ⸰ καὶ ἐν μέσῳ τῶν ἑπτὰ
λυχνιῶν ὅμοιον υἱῷ˚ ἀνθρώπου ἐνδεδυμένον ποδήρη καὶ περιε-
14 ζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν ⸰ ἡ δὲ κεφαλὴ αὐτοῦ
καὶ αἱ τρίχες λευκαὶ ὡσεὶ ἔριον λευκὸν ὡς χιὼν καὶ οἱ ὀφθαλμοὶ
15 αὐτοῦ ὡς φλὸξ πυρός ⸰ καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ
ὡς ἐν καμίνῳ πεπυρωμένοι καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων
16 πολλῶν ⸰ καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ˚ χειρὶ ἀστέρας ἑπτὰ καὶ
ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη
17 καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ ⸰ καὶ
ὅτε εἶδον αὐτὸν ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρὸς καὶ
ἐπέθηκεν τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπ᾽ ἐμὲ λέγων μοι μὴ φοβοῦ
18 ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος ⸰ καὶ ὁ ζῶν καὶ ἐγενόμην νε-
κρὸς καὶ ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμὴν καὶ
19 ἔχω τὰς κλεῖς τοῦ˚ ᾅδου καὶ τοῦ θανάτου ⸰ γράψον ἃ εἶδες καὶ ἅ
20 εἰσιν καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα ⸰ τὸ μυστήριον τῶν ἑπτὰ
ἀστέρων ὧν εἶδες ἐπὶ τῆς δεξιᾶς μου καὶ τὰς ἑπτὰ λυχνίας τὰς
χρυσᾶς οἱ ἑπτὰ ἀστέρες ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσιν καὶ
αἱ˚ ἑπτὰ λυχνίαι ἃς˚ εἶδες ἑπτὰ ἐκκλησίαι εἰσίν ⸰

2 τῷ ἀγγέλῳ τῆς ἐφεσίνης ἐκκλησίας γράψον τάδε λέγει ὁ κρα-
τῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ ὁ περιπατῶν ἐν μέσῳ
2 τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν ⸰ οἶδα τὰ ἔργα σου καὶ τὸν κόπον
σου καὶ τὴν ὑπομονήν σου καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακοὺς
καὶ ἐπειράσω˚ τοὺς φάσκοντας εἶναι ἀποστόλους καὶ οὐκ εἰσὶν
3 καὶ εὗρες αὐτοὺς ψευδεῖς ⸰ καὶ ἐβάστασας˚ καὶ ὑπομονὴν ἔχεις
4 καὶ διὰ τὸ ὄνομά μου κεκοπίακας˚ καὶ οὐ κέκμηκας ⸰ ἀλλ᾽ ἔχω
5 κατὰ σοῦ ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκάς ⸰ μνημόνευε
οὖν πόθεν ἐκπέπτωκας καὶ μετανόησον καὶ τὰ πρῶτα ἔργα ποί-
ησον εἰ δὲ μή ἔρχομαί σοι τάχεῖ καὶ κινήσω τὴν λυχνίαν σου
6 ἐκ τοῦ τόπου αὐτῆς ἐὰν μὴ μετανοήσῃς ⸰ ἀλλὰ τοῦτο ἔχεις ὅτι
7 μισεῖς τὰ ἔργα τῶν νικολαϊτῶν ἃ κἀγὼ μισῶ ⸰ ὁ ἔχων οὖς ἀ-

---

v.13 𝕋*: επτα, 𝕍: ∅. **v.13** 𝕋 𝕂: υιω, 𝕄 𝕍: υιον. **v.13** 𝕋*: χρυσην, 𝕍: χρυσαν. **v.14** 𝕋 𝕂: ωσει, 𝕄: και ως, 𝕍: ως. **v.15** 𝕋*: πεπυρωμενοι, 𝕍: πεπυρωμενης. **v.16** 𝕋*: αυτου χειρι, 𝕍: χειρι αυτου. **v.17** 𝕋 𝕂: επεθηκεν, 𝕄 𝕍: εθηκεν. **v.17** 𝕋 𝕂: χειρα, 𝕄 𝕍: ∅. **v.17** 𝕋 𝕂: μοι, 𝕄 𝕍: ∅. **v.18** 𝕋*: αμην, 𝕍: ∅. **v.18** 𝕋 𝕂 𝕍: κλεις, 𝕄: κλειδας. **v.18** 𝕋 𝕂: του αδου και του θανατου, 𝕄 𝕍: του θανατου και του αδου. **v.19** 𝕋 𝕂: γραψον, 𝕄 𝕍: γραψον ουν. **v.19** 𝕋*: γινεσθαι, 𝕍: γενεσθαι. **v.20** 𝕋*: ων, 𝕍: ους. **v.20** 𝕋 𝕂: αι επτα λυχνιαι, 𝕄 𝕍: αι λυχνιαι αι επτα. **v.20** 𝕋 𝕂: ας ειδες, 𝕄 𝕍: ∅. **2.v.1** 𝕋 𝕂: εφεσινης, 𝕄 𝕍: εν εφεσω. **v.2** 𝕋*: σου, 𝕍: ∅. **v.2** 𝕋 𝕂: επειρασω τους φασκοντας ειναι αποστολους, 𝕄: επειρασας τους λεγοντας εαυτους αποστολους ειναι, 𝕍: επειρασας τους λεγοντας εαυτους αποστολους. **v.3** 𝕋 𝕂: εβαστασας και υπομονην εχεις και, 𝕄 𝕍: υπομονην εχεις και εβαστασας. **v.3** 𝕋 𝕂: κεκοπιακας και ου κεκμηκας, 𝕄: και ουκ εκοπιασας, 𝕍: και ου κεκοπιακες. **v.4** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.4** 𝕋*: αφηκας, 𝕍: αφηκες. **v.5** 𝕋 𝕂: εκπεπτωκας, 𝕄 𝕍: πεπτωκας. **v.5** 𝕋: ταχει, 𝕂 𝕄: ταχυ, 𝕍: ∅.

κουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις τῷ νικῶντι δώσω
αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς ὅ ἐστιν ἐν μέσῳ τοῦ πα-
ραδείσου τοῦ θεοῦ· καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας σμυρναίων 8
γράψον τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος ὃς ἐγένετο νεκρὸς
καὶ ἔζησεν· οἶδά σου τὰ ἔργα καὶ τὴν θλίψιν καὶ τὴν πτωχείαν 9
πλούσιος δὲ εἶ καὶ τὴν βλασφημίαν τῶν λεγόντων ἰουδαίους
εἶναι ἑαυτοὺς καὶ οὐκ εἰσὶν ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ· μη- 10
δὲν φοβοῦ ἃ μέλλεις πάσχειν ἰδοὺ μέλλει βαλεῖν ἐξ ὑμῶν ὁ
διάβολος εἰς φυλακὴν ἵνα πειρασθῆτε καὶ ἕξετε θλίψιν ἡμερῶν
δέκα γίνου πιστὸς ἄχρι θανάτου καὶ δώσω σοι τὸν στέφανον
τῆς ζωῆς· ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλη- 11
σίαις ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου·
καὶ τῷ ἀγγέλῳ τῆς ἐν περγάμῳ ἐκκλησίας γράψον τάδε λέγει 12
ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν· οἶδα τὰ ἔργα 13
σου καὶ ποῦ κατοικεῖς ὅπου ὁ θρόνος τοῦ σατανᾶ καὶ κρατεῖς
τὸ ὄνομά μου καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου κἀὶ ἐν ταῖς ἡ-
μέραις ἐν αἷς ἀντίπας ὁ μάρτυς μου ὁ πιστὸς ὃς ἀπεκτάνθη
παρ' ὑμῖν ὅπου κατοικεῖ ὁ σατανᾶς· ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα 14
ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν βαλαὰμ ὃς ἐδίδασκεν ἐν
τῷ βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν ἰσραὴλ φαγεῖν
εἰδωλόθυτα καὶ πορνεῦσαι· οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν 15
διδαχὴν τῶν νικολαϊτῶν ὃ μισῶ· μετανόησον εἰ δὲ μὴ ἔρχομαί 16
σοι ταχὺ καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός
μου· ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις 17
τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ κεκρυμμένου
καὶ δώσω αὐτῷ ψῆφον λευκὴν καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν
γεγραμμένον ὃ οὐδεὶς ἔγνω εἰ μὴ ὁ λαμβάνων· καὶ τῷ ἀγγέλῳ 18
τῆς ἐν θυατείροις ἐκκλησίας γράψον τάδε λέγει ὁ υἱὸς τοῦ θεοῦ
ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρὸς καὶ οἱ πόδες
αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ· οἶδά σου τὰ ἔργα καὶ τὴν ἀγάπην 19
καὶ τὴν διακονίαν καὶ τὴν πίστιν καὶ τὴν ὑπομονήν σου καὶ τὰ

v.7 𝕋 𝕂: μεσω του παραδεισου, 𝕄 𝕍: τω παραδεισω. **v.7** 𝕋 𝕂 𝕍: θεου, 𝕄: θεου μου. **v.8** 𝕋 𝕂: εκκλησιας σμυρναιων, 𝕄 𝕍: εν σμυρνη εκκλησιας. **v.9** 𝕋*: τα εργα και, 𝕍: ∅. **v.9** 𝕋 𝕂: πλουσιος δε, 𝕄 𝕍: αλλα πλουσιος. **v.9** 𝕋 𝕂: των, 𝕄 𝕍: εκ των. **v.10** 𝕋 𝕂 𝕍: πασχειν, 𝕄: παθειν. **v.10** 𝕋 𝕂 𝕍: μελλει, 𝕄: δη μελλει. **v.10** 𝕋*: βαλειν, 𝕍: βαλλειν. **v.10** 𝕋 𝕂: εξ υμων ο διαβολος, 𝕄 𝕍: ο διαβολος εξ υμων. **v.10** 𝔼: εξετε, C: εχετε, **XXX**: εχητε. **v.10** 𝕋 𝕂 𝕍: ημερων, 𝕄: ημερας. **v.13** 𝕋*: τα εργα σου και, 𝕍: ∅. **v.13** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.13** 𝕋 𝕂: εν αις, 𝕄: αις, 𝕍: ∅. **v.13** 𝕋*: πιστος, 𝕍: πιστος μου. **v.13** 𝕋 𝕂: κατοικει ο σατανας, 𝕄 𝕍: ο σατανας κατοικει. **v.14** 𝕋 𝕂 𝕍: αλλ, 𝕄: αλλα. **v.14** 𝕋 𝕂 𝕍: εδιδασκεν, 𝕄: εδιδαξε. **v.14** 𝕋: εν τω, 𝕂 𝕄: τον, 𝕍: τω. **v.14** 𝕋 𝕂 𝕍: φαγειν, 𝕄: και φαγειν. **v.15** 𝕋 𝕂: των, 𝕄: ∅, 𝕍: [των]. **v.15** 𝕋 𝕂: ο μισω, 𝕄 𝕍: ομοιως. **v.16** 𝕋 𝕂: μετανοησον, 𝕄 𝕍: μετανοησον ουν. **v.17** 𝕋 𝕂: φαγειν απο, 𝕄 𝕍: ∅. **v.17** 𝕋 𝕂: εγνω, 𝕄 𝕍: οιδεν. **v.19** 𝕋 𝕂: διακονιαν και την πιστιν, 𝕄 𝕍: πιστιν και την διακονιαν.

ἔργα σου καὶ τὰ ἔσχατα πλείονα τῶν πρώτων ◦ ἀλλ᾽ ἔχω κατὰ σοῦ ὀλίγα˚ ὅτι ἐᾷς τὴν γυναῖκα Ἰεζαβὴλ τὴν λέγουσαν ἑαυτὴν προφῆτιν διδάσκειν˚ καὶ πλανᾶσθαι ἐμοὺς δούλους πορνεῦσαι καὶ εἰδωλόθυτα˚ φαγεῖν ◦ καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ ἐκ˚ τῆς πορνείας αὐτῆς καὶ οὐ μετενόησεν ◦ ἰδοὺ ἐγὼ βάλλω αὐτὴν εἰς κλίνην καὶ τοὺς μοιχεύοντας μετ᾽ αὐτῆς εἰς θλῖψιν μεγάλην ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῶν˙ ◦ καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρεῦνῶν νεφροὺς καὶ καρδίας καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν ◦ ὑμῖν δὲ λέγω καὶ λοιποῖς τοῖς ἐν Θυατείροις ὅσοι οὐκ ἔχουσιν τὴν διδαχὴν ταύτην καὶ οἵτινες οὐκ ἔγνωσαν τὰ βάθη τοῦ˚ σατανᾶ ὡς λέγουσιν οὐ βάλῶ ἐφ᾽ ὑμᾶς ἄλλο βάρος ◦ πλὴν ὃ ἔχετε κρατήσατε ἄχριȣ οὗ ἂν ἥξω ◦ καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν ◦ καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίβεται ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου ◦ καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν ◦ ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις ◦

3 καὶ τῷ ἀγγέλῳ τῆς ἐν σάρδεσιν ἐκκλησίας γράψον τάδε λέγει ὁ ἔχων τὰ ῾πνεύματα τοῦ θεοῦ καὶ τοὺς ἑπτὰ ἀστέρας οἶδά σου τὰ ἔργα ὅτι τὸ ὄνομα ἔχεις ὅτι ζῇς καὶ νεκρὸς εἶ ◦ γίνου γρηγορῶν καὶ στήριξον τὰ λοιπὰ ἃ μέλλει ἀποθανεῖν οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ θεοῦ ◦ μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας καὶ τήρει καὶ μετανόησον ἐὰν οὖν μὴ γρηγορήσῃς ἥξω ἐπί˚ σε ὡς κλέπτης καὶ οὐ μὴ γνῷς˚ ποίαν ὥραν ἥξω ἐπί σε ◦ ἔχεις˚ ὀλίγα ὀνόματα καὶ ἐν σάρδεσιν ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν καὶ περιπατήσουσιν μετ᾽ ἐμοῦ ἐν λευκοῖς ὅτι ἄξιοί εἰσιν ◦ ὁ νικῶν οὗτος περιβαλεῖται ἐν ἱματίοις

---

v.19 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.20** 𝕋 𝕂: αλλ, 𝕄 𝕍: αλλα. **v.20** 𝕋 𝕂: ολιγα οτι εας την γυναικα ιεζαβηλ την λεγουσαν, 𝕄: οτι αφεις την γυναικα σου ιεζαβελ η λεγει, 𝕍: οτι αφεις την γυναικα ιεζαβελ η λεγουσα. **v.20** 𝕋 𝕂: διδασκειν και πλανασθαι, 𝕄 𝕍: και διδασκει και πλανα τους. **v.20** 𝕋 𝕂: ειδωλοθυτα φαγειν, 𝕄 𝕍: φαγειν ειδωλοθυτα. **v.21** 𝕋 𝕂: εκ της πορνειας αυτης και ου μετενοησεν, 𝕄 𝕍: και ου θελει μετανοησαι εκ της πορνειας αυτης. **v.22** 𝕋 𝕂: εγω, 𝕄 𝕍: ∅. **v.22** 𝔼: κλινην, A: φυλακην, **XXX**: κλιβανον. **v.22** 𝔼: μετανοησωσιν, ℵ A: μετανοησουσιν. **v.22** 𝕋 𝕂: αυτων, 𝕄 𝕍: αυτης. **v.23** 𝔼: και, A: ∅. **v.23** 𝕋*: ερευνων, 𝕍: εραυνων. **v.23** 𝔼: υμων, **XXX**: αυτου. **v.24** 𝕋 𝕂: και, 𝕄 𝕍: τοις, **XXX**: και τοις. **v.24** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.24** 𝕋 𝕂: βαθη, 𝕄 𝕍: βαθεα. **v.24** 𝔼: του σατανα, **XXX**: του θεου αλλα του σατανα. **v.24** 𝕋 𝕂: βαλω, 𝕄 𝕍: βαλλω. **v.25** 𝕋*: αχρις, 𝕍: αχρι[ς], ℵ: αχρι, A: εως. **v.27** 𝕋 𝕂 𝕍: συντριβεται, 𝕄: συντριβησεται. **3.v.1** 𝕋: πνευματα, 𝕂 𝕄 𝕍: επτα πνευματα. **v.1** 𝕋 𝕂: το, 𝕄 𝕍: ∅. **v.1** 𝕋 𝕂 𝕍: οτι, 𝕄: και. **v.2** 𝕋 𝕂: στηριξον, 𝕄: τηρησον, 𝕍: στηρισον. **v.2** 𝕋 𝕂: μελλει, 𝕄: εμελλες, 𝕍: εμελλον. **v.2** 𝕋 𝕂 𝕍: αποθανειν, 𝕄: αποβαλλειν. **v.2** 𝕋 𝕂: θεου, 𝕄 𝕍: θεου μου. **v.3** 𝕋*: επι σε, 𝕍: ∅. **v.3** 𝕋 𝕂 𝕍: γνως, 𝕄: γνωση. **v.4** 𝕋 𝕂: εχεις ολιγα, 𝕄: αλλ ολιγα εχεις, 𝕍: αλλα εχεις ολιγα. **v.4** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.5** 𝕋*: ουτος, 𝕍: ουτως.

λευκοῖς καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς
ζωῆς καὶ ἐξομολογήσομαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός
μου καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ ⸎ ὁ ἔχων οὖς ἀκουσάτω τί 6
τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις ⸎ καὶ τῷ ἀγγέλῳ τῆς ἐν φιλα- 7
δελφείᾳ ἐκκλησίας γράψον τάδε λέγει ὁ ἅγιος ὁ ἀληθινὸς ὁ
ἔχων τὴν κλεῖδα τοῦ˚ δαβὶδ ὁ ἀνοίγων καὶ οὐδεὶς κλείει˚ καὶ
κλείει καὶ οὐδεὶς ἀνοίγει ⸎ οἶδά σου τὰ ἔργα ἰδοὺ δέδωκα ἐνώ- 8
πιόν σου θύραν ἀνεῳγμένην κἀι οὐδεὶς δύναται κλεῖσαι αὐτὴν
ὅτι μικρὰν ἔχεις δύναμιν καὶ ἐτήρησάς μου τὸν λόγον καὶ οὐκ
ἠρνήσω τὸ ὄνομά μου ⸎ ἰδοὺ δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σα- 9
τανᾶ τῶν λεγόντων ἑαυτοὺς ἰουδαίους εἶναι καὶ οὐκ εἰσὶν ἀλλὰ
ψεύδονται ἰδοὺ ποιήσω αὐτοὺς ἵνα ἥξωσιν καὶ προσκυνήσωσιν
ἐνώπιον τῶν ποδῶν σου καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά σε ⸎ ὅτι ἐ- 10
τήρησας τὸν λόγον τῆς ὑπομονῆς μου κἀγώ σε τηρήσω ἐκ τῆς
ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμέ-
νης ὅλης πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ⸎ ἰδοὺ ἔρχομαι 11
ταχὺ κράτει ὃ ἔχεις ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου ⸎ ὁ νικῶν 12
ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ θεοῦ μου καὶ ἔξω οὐ μὴ
ἐξέλθῃ ἔτι καὶ γράψω ἐπ᾽ αὐτὸν τὸ ὄνομα τοῦ θεοῦ μου καὶ τὸ
ὄνομα τῆς πόλεως τοῦ θεοῦ μου τῆς καινῆς ἱερουσαλὴμ ἡ κα-
ταβαίνουσα ἐκ˙ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ μου καὶ τὸ ὄνομά
μου τὸ καινόν ⸎ ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς 13
ἐκκλησίαις ⸎ καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας˚ λαοδικέων γράψον 14
τάδε λέγει ὁ ἀμὴν ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς ἡ ἀρχὴ τῆς
κτίσεως τοῦ θεοῦ ⸎ οἶδά σου τὰ ἔργα ὅτι οὔτε ψυχρὸς εἶ οὔτε 15
ζεστὸς ὄφελον ψυχρὸς ἦῖης ἢ ζεστός ⸎ οὕτως ὅτι χλιαρὸς εἶ καὶ 16
οὔτε˚ ψυχρὸς οὔτε ζεστὸς μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός
μου ⸎ ὅτι λέγεις ὅτι πλούσιός εἰμι καὶ πεπλούτηκα καὶ οὐδενὸς 17
χρείαν ἔχω καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος κἀι ἐλεεινὸς
καὶ πτωχὸς καὶ τυφλὸς καὶ γυμνός ⸎ συμβουλεύω σοι ἀγορά- 18
σαι παρ᾽˚ ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρὸς ἵνα πλουτήσῃς
καὶ ἱμάτια λευκὰ ἵνα περιβάλῃ καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς

---

v.5 𝕋 𝕂: εξομολογησομαι, 𝕄 𝕍: ομολογησω. **v.7** 𝕋 𝕂: κλειδα, 𝕄 𝕍: κλειν. **v.7** 𝕋*: του δαβιδ, 𝕍: δαυιδ. **v.7** 𝕋 𝕂: κλειει και κλειει και ουδεις ανοιγει, 𝕄: κλεισει αυτην ει μη ο ανοιγων και ουδεις ανοιξει, 𝕍: κλεισει και κλειων και ουδεις ανοιγει. **v.8** 𝕋*: ανεωγμενην, 𝕍: ηνεωγμενην. **v.8** 𝕋 𝕂: και, 𝕄 𝕍: ην. **v.9** 𝕋*: διδωμι, 𝕍: διδω. **v.9** 𝕋*: ηξωσιν, 𝕍: ηξουσιν. **v.9** 𝕋*: προσκυνησωσιν, 𝕍: προσκυνησουσιν. **v.9** 𝕋 𝕂 𝕍: εγω, 𝕄: ∅. **v.11** 𝕋 𝕂: ιδου, 𝕄 𝕍: ∅. **v.12** 𝕋 𝕍: καταβαινουσα, 𝕂 𝕄: καταβαινει. **v.12** 𝕋 𝕂 𝕍: εκ, 𝕄: απο. **v.14** 𝕋 𝕂: εκκλησιας λαοδικεων, 𝕄 𝕍: εν λαοδικεια εκκλησιας. **v.15** 𝕋 𝕂: ειης, 𝕄 𝕍: ης. **v.16** 𝕋 𝕂: ουτε ψυχρος ουτε ζεστος, 𝕄: ου ζεστος ουτε ψυχρος, 𝕍: ουτε ζεστος ουτε ψυχρος. **v.17** 𝕋 𝕂 𝕍: οτι, 𝕄: ∅. **v.17** 𝕋*: ουδενος, 𝕍: ουδεν. **v.17** 𝕋 𝕂 𝕍: και, 𝕄: και ο. **v.18** 𝕋 𝕂 𝕍: παρ εμου χρυσιον, 𝕄: χρυσιον παρ εμου.

γυμνότητός σου καὶ κολλούριον˚ ἔγχρισον τοὺς ὀφθαλμούς σου
19 ἵνα βλέπῃς ⸰ ἐγὼ ὅσους ἐὰν φιλῶ ἐλέγχω καὶ παιδεύω ζήλωσον
20 οὖν καὶ μετανόησον ⸰ ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω ἐάν
τις ἀκούσῃ τῆς φωνῆς μου καὶ ἀνοίξῃ τὴν θύραν ἐἰσελεύσομαι
21 πρὸς αὐτὸν καὶ δειπνήσω μετ᾽ αὐτοῦ καὶ αὐτὸς μετ᾽ ἐμοῦ ⸰ ὁ νι-
κῶν δώσω αὐτῷ καθίσαι μετ᾽ ἐμοῦ ἐν τῷ θρόνῳ μου ὡς κἀγὼ
ἐνίκησα καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ ⸰
22 ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις ⸰

4 μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ θύρα ἠνεῳγμένη ἐν τῷ οὐρανῷ καὶ
ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ᾽ ἐμοῦ
λέγουσα ἀνάβα ὧδε καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα ⸰
2 καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι καὶ ἰδοὺ θρόνος ἔκειτο ἐν τῷ
3 οὐρανῷ καὶ ἐπὶ τοῦ˚ θρόνου καθήμενος ⸰ καὶ˚ ὁ καθήμενος ἦν
ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίνῳ καὶ ἶρις κυκλόθεν τοῦ
4 θρόνου ὅμοιός ὁράσει˚ σμαραγδίνῳ ⸰ καὶ κυκλόθεν τοῦ θρόνου
θρόνοι εἴκοσι καὶ τέσσαρες καὶ ἐπὶ τοὺς θρόνους εἶδον˚ τοὺς εἴ-
κοσι καὶ τέσσαρας πρεσβυτέρους καθημένους περιβεβλημένους
ἐν ἱματίοις λευκοῖς καὶ ἔσχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους
5 χρυσοῦς ⸰ καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ καὶ βρον-
ταὶ˚ καὶ φωναὶ καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον
6 τοῦ θρόνου ἅἵ εἰσιν τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ ⸰ καὶ ἐνώπιον
τοῦ θρόνου θάλασσα ὑαλίνη ὁμοία κρυστάλλῳ καὶ ἐν μέσῳ τοῦ
θρόνου καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν
7 ἔμπροσθεν καὶ ὄπισθεν ⸰ καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι
καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ καὶ τὸ τρίτον ζῶον ἔχὸν
τὸ˚ πρόσωπον ὡς ἄνθρωπος καὶ τὸ τέταρτον ζῶὸν ὅμοιον ἀετῷ
8 πετωμένῳ ⸰ καὶ τέσσαρα ζῶα ἓν καθ᾽ ἑαυτὸ˚ εἶχον ἀνὰ πτέρυγας
ἓξ κυκλόθεν καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν καὶ ἀνάπαυσιν οὐκ
ἔχουσιν ἡμέρας καὶ νυκτὸς λέγοντἀ ἅγιος˚ ἅγιος ἅγιος κύριος

v.18 𝕋 𝕂: κολλουριον εγχρισον, 𝕄: κολλυριον ινα εγχριση, 𝕍: κολλ[ο]υριον εγχρισαι. **v.19** 𝕋 𝕂: ζηλωσον, 𝕄 𝕍: ζηλευε. **v.20** 𝕋 𝕂: εισελευσομαι, 𝕄: και εισελευσομαι, 𝕍: [και] εισελευσομαι. **4.v.1** 𝕋 𝕂 𝕍: ηνεωγμενη, 𝕄: ανεωγμενη. **v.1** 𝕋 𝕂: λεγουσα, 𝕄 𝕍: λεγων. **v.2** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.2** 𝕋 𝕂: του θρονου, 𝕄 𝕍: τον θρονον. **v.3** 𝕋 𝕂 𝕍: και ο καθημενος, 𝕄: ∅. **v.3** 𝕋 𝕂: ην, 𝕄 𝕍: ∅. **v.3** 𝕋 𝕂: σαρδινω, 𝕄 𝕍: σαρδιω. **v.3** 𝕋 𝕍: ομοιος, 𝕂: ομοια, 𝕄: ομοιως. **v.3** 𝕋 𝕂 𝕍: ορασει σμαραγδινω, 𝕄: ορασις σμαραγδινων. **v.4** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.4** 𝕋*: θρονοι, 𝕍: θρονους. **v.4** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂: ειδον τους, 𝕄: τους, 𝕍: ∅. **v.4** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂: εσχον, 𝕄 𝕍: ∅. **v.5** 𝕋 𝕂: βρονται και φωναι, 𝕄 𝕍: φωναι και βρονται. **v.5** 𝕋 𝕂: αι, 𝕄: αυτου αι, 𝕍: α. **v.5** 𝕋 𝕂 𝕍: τα, 𝕄: ∅. **v.6** 𝕋 𝕂: θαλασσα, 𝕄 𝕍: ως θαλασσα. **v.7** 𝕋*: εχον, 𝕍: εχων. **v.7** 𝕋 𝕂: το προσωπον ως ανθρωπος, 𝕄: προσωπον ανθρωπου, 𝕍: το προσωπον ως ανθρωπου. **v.7** 𝕋 𝕂 𝕍: ζωον, 𝕄: ∅. **v.7** 𝕋 𝕂: πετωμενω, 𝕄 𝕍: πετομενω. **v.8** 𝕋 𝕂: και, 𝕄 𝕍: και τα. **v.8** 𝕋 𝕂: εαυτο ειχον, 𝕄: εν εχον, 𝕍: εν αυτων εχων. **v.8** 𝕋 𝕂: γεμοντα, 𝕄 𝕍: γεμουσιν. **v.8** 𝕋 𝕂: λεγοντα, 𝕄 𝕍: λεγοντες. **v.8** 𝕋 𝕂 𝕍: αγιος αγιος αγιος, 𝕄: αγιος αγιος αγιος αγιος αγιος αγιος αγιος αγιος (9 times, other mss 8 times).

ὁ θεὸς ὁ παντοκράτωρ ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος ⸰ καὶ ὅταν 9
δώσουσιν τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ καθημένῳ
ἐπὶ τοῦ˙ θρόνου τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων ⸰ πεσοῦνται 10
οἱ εἴκοσι κἀὶ τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ
τοῦ θρόνου καὶ προσκυνοῦσιν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰ-
ώνων καὶ βάλλουσιν τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου
λέγοντες ⸰ ἄξιος εἶ˙ κύριε λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν 11
δύναμιν ὅτι σὺ ἔκτισας τὰ πάντα καὶ διὰ τὸ θέλημά σου ἦσὶν
καὶ ἐκτίσθησαν ⸰

καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου **5**
βιβλίον γεγραμμένον ἔσωθεν καὶ ὄπισθεν κατεσφραγισμένον
σφραγῖσιν ἑπτά ⸰ καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα φωνῇ 2
μεγάλῃ τίς ἐστιν˙ ἄξιος ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς σφρα-
γῖδας αὐτοῦ ⸰ καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ οὐδὲ ἐπὶ τῆς 3
γῆς οὐδὲ ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον οὐδὲ βλέπειν αὐ-
τό ⸰ καὶ ἐγὼ ἔκλαιον πολλὰ ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι καὶ˙ 4
ἀναγνῶναι τὸ βιβλίον οὔτε βλέπειν αὐτό ⸰ καὶ εἷς ἐκ τῶν πρε- 5
σβυτέρων λέγει μοι μὴ κλαῖε ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ὢν ἐκ τῆς
φυλῆς ἰούδα ἡ ῥίζα δαβὶδ ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς ἑπτὰ
σφραγῖδας αὐτοῦ ⸰ καὶ εἶδον καὶ˙ ἰδοὺ ἐν μέσῳ τοῦ θρόνου καὶ 6
τῶν τεσσάρων ζώων καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων ἀρνίον ἑστη-
κὸς ὡς ἐσφαγμένον ἔχὸν κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς ἑπτὰ ὅἵ
εἰσιν τὰ ἑπτὰ τοῦ˙ θεοῦ πνεύματα τὰ ἀπεσταλμένα εἰς πᾶσαν
τὴν γῆν ⸰ καὶ ἦλθεν καὶ εἴληφεν τὸ˙ βιβλίον ἐκ τῆς δεξιᾶς τοῦ 7
καθημένου ἐπὶ τοῦ θρόνου ⸰ καὶ ὅτε ἔλαβεν τὸ βιβλίον τὰ τέσ- 8
σαρα ζῶα καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσὸν ἐνώπιον
τοῦ ἀρνίου ἔχοντες ἕκαστος κιθάραν καὶ φιάλας χρυσᾶς γεμούσας
θυμιαμάτων αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων ⸰ καὶ ᾄδουσιν 9
ᾠδὴν καινὴν λέγοντες ἄξιος εἶ˙ λαβεῖν τὸ βιβλίον καὶ ἀνοῖξαι τὰς
σφραγῖδας αὐτοῦ ὅτι ἐσφάγης καὶ ἠγόρασας τῷ θεῷ ἡμᾶς ἐν τῷ

---

v.9 𝕋 𝕂 𝕍: δωσουσιν, 𝕄: δωσι. **v.9** 𝕋*: του θρονου, 𝕍: τω θρονω. **v.10** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.10** 𝕋 𝕂: προσκυνουσιν, 𝕄 𝕍: προσκυνησουσιν. **v.10** 𝕋 𝕂: βαλλουσιν, 𝕄 𝕍: βαλουσιν. **v.11** 𝕋 𝕂: κυριε, 𝕄: ο κυριος και ο θεος ημων ο αγιος, 𝕍: ο κυριος και ο θεος ημων. **v.11** 𝕋 𝕂 𝕍: τα, 𝕄: ∅. **v.11** 𝕋 𝕂: εισιν, 𝕄 𝕍: ησαν. **5.v.1** 𝕋 𝕂 𝕍: οπισθεν, 𝕄: εξωθεν. **v.2** 𝕋 𝕂: φωνη, 𝕄 𝕍: εν φωνη. **v.2** 𝕋 𝕂: εστιν αξιος, 𝕄: αξιος εστιν, 𝕍: αξιος. **v.3** 𝕋 𝕂: ηδυνατο, 𝕄 𝕍: εδυνατο. **v.3** 𝕋 𝕂 𝕍: ουδε, 𝕄: ανω ουτε. **v.3** 𝕋 𝕂 𝕍: ουδε, 𝕄: ουτε. **v.3** 𝕋 𝕂: ουδε, 𝕄 𝕍: ουτε. **v.4** 𝕋*: εγω, 𝕍: ∅. **v.4** 𝕋 𝕂: πολλα, 𝕄 𝕍: πολυ. **v.4** 𝕋 𝕂: και αναγνωναι, 𝕄 𝕍: ∅. **v.5** 𝕋 𝕂: ων, 𝕄 𝕍: ∅. **v.5** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.5** 𝕋 𝕂 𝕍: ανοιξαι, 𝕄: ο ανοιγων. **v.5** 𝕋 𝕂: λυσαι, 𝕄 𝕍: ∅. **v.6** 𝕋 𝕂: και ιδου, 𝕄 𝕍: ∅. **v.6** 𝕋*: εχον, 𝕍: εχων. **v.6** 𝕋 𝕂 𝕍: οι, 𝕄: α. **v.6** 𝕋 𝕂: του θεου πνευματα τα απεσταλμενα, 𝕄: πνευματα του θεου αποστελλομενα, 𝕍: πνευματα του θεου απεσταλμενοι. **v.7** 𝕋 𝕂: το βιβλιον, 𝕄 𝕍: ∅. **v.8** 𝕋 𝕂: εικοσιτεσσαρες, 𝕄 𝕍: εικοσι τεσσαρες. **v.8** 𝕋*: επεσον, 𝕍: επεσαν. **v.8** 𝕋 𝕂: κιθαρας, 𝕄 𝕍: κιθαραν. **v.8** 𝕋 𝕂 𝕍: αι, 𝕄: ∅. **v.9** 𝕋*: ημας, 𝕍: ∅.

αἵματί σου ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους ⸰
10 καὶ ἐποίησας ἡμᾶς τῷ θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς καὶ βασι-
11 λεύσομεν ἐπὶ τῆς γῆς ⸰ καὶ εἶδον καὶ ἤκουσα φωνὴν ἀγγέλων
πολλῶν κυκλόθεν τοῦ θρόνου καὶ τῶν ζώων καὶ τῶν πρεσβυτέ-
12 ρων καὶ χιλιάδες˚ χιλιάδων ⸰ λέγοντες φωνῇ μεγάλῃ ἄξιόν ἐστιν
τὸ ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν καὶ πλοῦτον καὶ
13 σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ δόξαν καὶ εὐλογίαν ⸰ καὶ πᾶν
κτίσμα ὅ ἐστιν ἐν τῷ οὐρανῷ καὶ ἐν˚ τῇ γῇ καὶ ὑποκάτω τῆς γῆς
καὶ ἐπὶ τῆς θαλάσσης ἅ˚ ἐστιν καὶ τὰ ἐν αὐτοῖς πάντά ἤκουσα
λέγοντας τῷ καθημένῳ ἐπὶ τοῦ˚ θρόνου καὶ τῷ ἀρνίῳ ἡ εὐλογία
καὶ ἡ τιμὴ καὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰ-
14 ώνων ⸰ καὶ τὰ τέσσαρα ζῶα ἔλεγον ἀμὴν καὶ οἱ εἰκοσιτέσσαρες
πρεσβύτεροι ἔπεσαν καὶ προσεκύνησαν ζῶντι˚ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ⸰

6 καὶ εἶδον ὅτε ἤνοιξεν τὸ ἀρνίον μίαν ἐκ τῶν ὀφραγίδων καὶ
ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος ὡς φωνῆς βρον-
2 τῆς ἔρχου καὶ˚ βλέπε ⸰ καὶ˚ εἶδον καὶ ἰδοὺ ἵππος λευκὸς καὶ
ὁ καθήμενος ἐπ᾽ αὐτῷ ἔχων τόξον καὶ ἐδόθη αὐτῷ στέφανος
3 καὶ ἐξῆλθεν νικῶν καὶ ἵνα νικήσῃ ⸰ καὶ ὅτε ἤνοιξεν τὴν˚ δευτέ-
ραν σφραγῖδα ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος ἔρχου καὶ˚
4 βλέπε ⸰ καὶ ἐξῆλθεν ἄλλος ἵππος πυρρὸς καὶ τῷ καθημένῳ ἐπ᾽
αὐτῷ ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς καὶ ἵνα ἀλ-
5 λήλους σφάξῶσιν καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη ⸰ καὶ ὅτε ἤ-
νοιξεν τὴν˚ τρίτην σφραγῖδα ἤκουσα τοῦ τρίτου ζώου λέγοντος
ἔρχου καὶ βλέπε˚ καὶ εἶδον καὶ ἰδοὺ ἵππος μέλας καὶ ὁ κα-
6 θήμενος ἐπ᾽ αὐτῷ ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ ⸰ καὶ ἤκουσα
φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν χοῖνιξ σίτου δηνα-
ρίου καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου καὶ τὸ ἔλαιον καὶ τὸν
7 οἶνον μὴ ἀδικήσῃς ⸰ καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν τετάρτην

---

v.10 𝕋 𝕂: ημας, 𝕄 𝕍: αυτους. **v.10** 𝕋*: βασιλεις, 𝕍: βασιλειαν. **v.10** 𝕋 𝕂: βασιλευσομεν, 𝕄 𝕍: βασιλευσουσιν. **v.11** 𝕋 𝕂 𝕍: φωνην, 𝕄: ως φωνην. **v.11** 𝕋 𝕂: κυκλοθεν, 𝕄 𝕍: κυκλω. **v.11** 𝕋: χιλιαδες χιλιαδων, 𝕂 𝕄 𝕍: ην ο αριθμος αυτων μυριαδες μυριαδων και χιλιαδες χιλιαδων. **v.12** 𝕋 𝕂 𝕍: πλουτον, 𝕄: τον πλουτον. **v.13** 𝕋 𝕂: εστιν, 𝕄 𝕍: ∅. **v.13** 𝕋 𝕂: εν τη γη, 𝕄 𝕍: επι της γης. **v.13** 𝕋 𝕂: α εστιν, 𝕄: εστιν, 𝕍: ∅. **v.13** 𝕋 𝕂 𝕍: παντα, 𝕄: παντας. **v.13** 𝕋 𝕂: του θρονου, 𝕄 𝕍: τω θρονω. **v.13** 𝕋 𝕂 𝕍: αιωνων, 𝕄: αιωνων αμην. **v.14** 𝕋 𝕂 𝕍: ελεγον, 𝕄: λεγοντα το. **v.14** 𝕋 𝕂: εικοσιτεσσαρες, 𝕄 𝕍: ∅. **v.14** 𝕋 𝕂 𝕍: επεσαν, 𝕄: επεσον. **v.14** 𝕋 𝕂: ζωντι εις τους αιωνας των αιωνων, 𝕄 𝕍: ∅. **6.v.1** 𝕋 𝕂 𝕍: οτε, 𝕄: οτι. **v.1** 𝕋 𝕂: σφραγιδων, 𝕄 𝕍: επτα σφραγιδων. **v.1** 𝕋 𝕂: φωνης, 𝕄 𝕍: φωνη. **v.1** 𝕋 𝕂: και βλεπε, 𝕄: και ιδε, 𝕍: ∅. **v.2** 𝕋 𝕂 𝕍: και ειδον, 𝕄: ∅. **v.2** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτον. **v.3** 𝕋*: την δευτεραν σφραγιδα, 𝕍: την σφραγιδα την δευτεραν. **v.3** 𝕋 𝕂: και βλεπε, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂 𝕍: πυρρος, 𝕄: πυρος. **v.4** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτον. **v.4** 𝕋 𝕂: απο, 𝕄 𝕍: εκ. **v.4** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.4** 𝕋*: σφαξωσιν, 𝕍: σφαξουσιν. **v.5** 𝕋 𝕂: την τριτην σφραγιδα, 𝕄 𝕍: την σφραγιδα την τριτην. **v.5** 𝕋 𝕂: βλεπε και ειδον, 𝕄: ιδε, 𝕍: ειδον. **v.5** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτον. **v.6** 𝕋*: φωνην, 𝕍: ως φωνην. **v.6** 𝕋*: κριθης, 𝕍: κριθων.

ἤκουσα φωνὴν τοῦ τετάρτου ζώου λέγουσαν ἔρχου καὶ˚ βλέπε ⸰
καὶ˚ εἶδον καὶ ἰδοὺ ἵππος χλωρὸς καὶ ὁ καθήμενος ἐπάνω αὐ- 8
τοῦ ὄνομα αὐτῷ ὁ θάνατος καὶ ὁ ἅδης ἀκολουθεῖ μετ˚ αὐτοῦ
καὶ ἐδόθη αὐτοῖς ἐξουσία ἀποκτεῖναι˚ ἐπὶ τὸ τέταρτον τῆς γῆς
ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ καὶ ὑπὸ τῶν θηρίων τῆς
γῆς ⸰ καὶ ὅτε ἤνοιξεν τὴν πέμπτην σφραγῖδα εἶδον ὑποκάτω τοῦ 9
θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ θε-
οῦ καὶ διὰ τὴν μαρτυρίαν ἣν εἶχον ⸰ καὶ ἔκραζον φωνῇ˚ μεγάλῃ 10
λέγοντες ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ˚ ἀληθινὸς οὐ κρί-
νεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν κατοικούντων ἐπὶ τῆς
γῆς ⸰ καὶ ἐδόθησαν˚ ἑκάστοις στολαὶ λευκαὶ καὶ ἐρρέθη αὐτοῖς 11
ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν˚ ἕως οὗ πληρώσονται καὶ
οἱ σύνδουλοι αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν οἱ μέλλοντες ἀπο-
κτείνεσθαι ὡς καὶ αὐτοί ⸰ καὶ εἶδον ὅτε ἤνοιξεν τὴν σφραγῖδα 12
τὴν ἕκτην καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο καὶ ὁ ἥλιος ἐγένετο˚
μέλας ὡς σάκκος τρίχινος καὶ ἡ σελήνη ἐγένετο ὡς αἷμα ⸰ καὶ οἱ 13
ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν γῆν ὡς συκῆ βάλλει τοὺς
ὀλύνθους αὐτῆς ὑπὸ μεγάλου˚ ἀνέμου σειομένη ⸰ καὶ ὁ οὐρανὸς 14
ἀπεχωρίσθη ὡς βιβλίον εἰλισσόμενον καὶ πᾶν ὄρος καὶ νῆσος
ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν ⸰ καὶ οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ 15
μεγιστᾶνες καὶ οἱ πλούσιοι˚ καὶ οἱ χιλίαρχοι καὶ οἱ δυνατοὶ καὶ
πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπή-
λαια καὶ εἰς τὰς πέτρας τῶν ὀρέων ⸰ καὶ λέγουσιν τοῖς ὄρεσιν καὶ 16
ταῖς πέτραις πέσετε ἐφ᾽ ἡμᾶς καὶ κρύψατε ἡμᾶς ἀπὸ προσώπου
τοῦ καθημένου ἐπὶ τοῦ˚ θρόνου καὶ ἀπὸ τῆς ὀργῆς τοῦ ἀρνίου ⸰
ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ καὶ τίς δύναται 17
σταθῆναι ⸰

---

v.7 𝕋 𝕂 𝕍: φωνην, 𝕄: ∅. **v.7** 𝕋 𝕂: λεγουσαν, 𝕄 𝕍: λεγοντος. **v.7** 𝕋 𝕂: και βλεπε, 𝕄: και ιδε, 𝕍: ∅. **v.8** 𝕋 𝕂 𝕍: και ειδον, 𝕄: ∅. **v.8** 𝔼: θανατος, 𝔸: αθανατος. **v.8** 𝕋: ἄδης, 𝕂 𝕄 𝕍: ᾅδης. **v.8** 𝕋 𝕂: ακολουθει, 𝕄 𝕍: ηκολουθει. **v.8** 𝕋 𝕂 𝕍: μετ αυτου, 𝕄: αυτω. **v.8** 𝕋 𝕂 𝕍: αυτοις, 𝕄: αυτω. **v.8** 𝕋 𝕂: αποκτειναι επι το τεταρτον της γης, 𝕄 𝕍: επι το τεταρτον της γης αποκτειναι. **v.9** 𝕋 𝕂 𝕍: μαρτυριαν, 𝕄: μαρτυριαν του αρνιου. **v.10** 𝕋 𝕂: εκραζον, 𝕄 𝕍: εκραξαν. **v.10** 𝕋 𝕂 𝕍: φωνη μεγαλη, 𝕄: φωνην μεγαλην. **v.10** 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.10** 𝕋 𝕂: απο, 𝕄 𝕍: εκ. **v.11** 𝕋 𝕂: εδοθησαν εκαστοις στολαι λευκαι, 𝕄: εδοθη αυτοις στολη λευκη, 𝕍: εδοθη αυτοις εκαστω στολη λευκη. **v.11** 𝕋*: αναπαυσωνται, 𝕍: αναπαυσονται. **v.11** 𝕋 𝕂: μικρον εως ου πληρωσονται, 𝕄: εως πληρωσωσι, 𝕍: μικρον εως πληρωθωσιν. **v.11** 𝕋 𝕂 𝕍: οι, 𝕄: και οι. **v.11** 𝕋 𝕂: αποκτεινεσθαι, 𝕄: αποκτενεσθαι, 𝕍: αποκτεννεσθαι. **v.12** 𝕋 𝕂: ιδου, 𝕄 𝕍: ∅. **v.12** 𝕋 𝕂 𝕍: εγενετο μελας, 𝕄: μελας εγενετο. **v.12** 𝕋 𝕂: σεληνη, 𝕄 𝕍: σεληνη ολη. **v.13** 𝕋 𝕂 𝕍: επεσαν, 𝕄: επεσον. **v.13** 𝕋 𝕂 𝕍: βαλλει, 𝕄: βαλουσα. **v.13** 𝕋 𝕂: μεγαλου ανεμου, 𝕄 𝕍: ανεμου μεγαλου. **v.14** 𝕋 𝕂: ουρανος, 𝕄 𝕍: ο ουρανος. **v.14** 𝕋 𝕂: ειλισσομενον, 𝕄: ελισσομενος, 𝕍: ελισσομενον. **v.15** 𝕋 𝕂: πλουσιοι και οι χιλιαρχοι και οι δυνατοι, 𝕄 𝕍: χιλιαρχοι και οι πλουσιοι και οι ισχυροι. **v.15** 𝕋 𝕂: πας, 𝕄 𝕍: ∅. **v.16** 𝕋 𝕂 𝕍: του θρονου, 𝕄: τω θρονω. **v.17** 𝕋*: αυτου, 𝕍: αυτων.

7 καὶ μετὰ τᾶῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς
τέσσαρας γωνίας τῆς γῆς κρατοῦντας τοὺς τέσσαρας ἀνέμους
τῆς γῆς ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς μήτε ἐπὶ τῆς θαλάσσης
2 μήτε ἐπὶ ᾱπᾶν δένδρον ⸰ καὶ εἶδον ἄλλον ἄγγελον ἀναβάντα ἀπὸ
ἀνατολῆς ἡλίου ἔχοντα σφραγῖδα θεοῦ ζῶντος καὶ ἔκραξεν φω-
νῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι
3 τὴν γῆν καὶ τὴν θάλασσαν ⸰ λέγων μὴ ἀδικήσητε τὴν γῆν μήτε
τὴν θάλασσαν μήτε τὰ δένδρα ἄχρις˚ οὗ σφραγίζωμεν τοὺς δού-
4 λους τοῦ θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν ⸰ καὶ ἤκουσα τὸν
ἀριθμὸν τῶν ἐσφραγισμένων $\overline{ρμδ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ
5 πάσης φυλῆς υἱῶν ἰσραήλ ⸰ ἐκ φυλῆς ἰούδα $\overline{ιβ}$˚ χιλιάδες ἐσφρα-
γισμένοι ἐκ φυλῆς ῥουβὴν $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ φυλῆς
6 γὰδ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ⸰ ἐκ φυλῆς ἀσὴρ $\overline{ιβ}$˚ χιλιάδες ἐ-
σφραγισμένοι ἐκ φυλῆς νεφθαλεὶμ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι
7 ἐκ φυλῆς μανασσῆ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ⸰ ἐκ φυλῆς συ-
μεὼν $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ φυλῆς λευῒ $\overline{ιβ}$˚ χιλιάδες
ἐσφραγισμένοι ἐκ φυλῆς ἰσαχὰρ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ⸰
8 ἐκ φυλῆς ζαβουλὼν $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ φυλῆς ἰω-
σὴφ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ φυλῆς βενιαμὶν $\overline{ιβ}$˚ χιλιάδες
9 ἐσφραγισμένοι ⸰ μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ ὄχλος πολὺς ὃν ἀ-
ριθμῆσαι αὐτὸν οὐδεὶς ἠδύνατο ἐκ παντὸς ἔθνους καὶ φυλῶν
καὶ λαῶν καὶ γλωσσῶν ἑστῶτες ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον
τοῦ ἀρνίου περιβεβλημένοι στολὰς λευκὰς καὶ φοίνικες ἐν ταῖς
10 χερσὶν αὐτῶν ⸰ καὶ κράζοντες φωνῇ μεγάλῃ λέγοντες ἡ σωτηρία
τῷ καθημένῳ˚ ἐπὶ τοῦ θρόνου τοῦ θεοῦ ἡμῶν καὶ τῷ ἀρνίῳ ⸰
11 καὶ πάντες οἱ ἄγγελοι ἑστήκεσαν κύκλῳ τοῦ θρόνου καὶ τῶν
πρεσβυτέρων καὶ τῶν τεσσάρων ζώων καὶ ἔπεσον ἐνώπιον τοῦ
12 θρόνου ἐπὶ πρόσωπον αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ ⸰ λέγον-

7.v.1 $\mathbb{T}^*$: και, $\mathbb{V}$: ∅. **v.1** $\mathbb{T}$ $\mathbb{K}$: ταυτα, $\mathbb{M}$ $\mathbb{V}$: τουτο. **v.1** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: παν, $\mathbb{M}$: τι. **v.2** $\mathbb{T}$: αναβαντα, $\mathbb{K}$ $\mathbb{M}$ $\mathbb{V}$: αναβαινοντα. **v.3** $\mathbb{T}$: αχρις ου σφραγιζωμεν, $\mathbb{K}$ $\mathbb{M}$: αχρις ου σφραγισωμεν, $\mathbb{V}$: αχρι σφραγισωμεν. **v.4** $\mathbb{T}$ $\mathbb{K}$: $\overline{ρμδ}$, $\mathbb{M}$: εκατον και τεσσαρακοντα τεσσαρες, $\mathbb{V}$: εκατον τεσσερακοντα τεσσαρες. **v.4** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: εσφραγισμενοι, $\mathbb{M}$: εσφραγισμενων. **v.5** $\mathbb{T}$ $\mathbb{K}$: $\overline{ιβ}$, $\mathbb{M}$ $\mathbb{V}$: δωδεκα. **v.5** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: εσφραγισμενοι, $\mathbb{M}$: εσφραγισμεναι. **v.5** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: ρουβην, $\mathbb{M}$: ρουβιμ. **v.5** $\mathbb{T}$ $\mathbb{K}$: εσφραγισμενοι, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.5** $\mathbb{T}$ $\mathbb{K}$: εσφραγισμενοι, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.6** $\mathbb{T}$ $\mathbb{K}$: $\overline{ιβ}$, $\mathbb{M}$ $\mathbb{V}$: δωδεκα. **v.6** $\mathbb{T}$ $\mathbb{K}$: εσφραγισμενοι, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.6** $\mathbb{T}^*$: νεφθαλειμ, $\mathbb{V}$: νεφθαλιμ. **v.7** $\mathbb{T}$ $\mathbb{K}$: $\overline{ιβ}$, $\mathbb{M}$ $\mathbb{V}$: δωδεκα. **v.7** $\mathbb{T}$ $\mathbb{K}$: εσφραγισμενοι, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.7** $\mathbb{T}^*$: ισαχαρ, $\mathbb{V}$: ισσαχαρ. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: $\overline{ιβ}$, $\mathbb{M}$ $\mathbb{V}$: δωδεκα. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: εσφραγισμενοι, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}$ $\mathbb{K}$: εσφραγισμενοι, $\mathbb{M}$ $\mathbb{V}$: ∅. **v.8** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: εσφραγισμενοι, $\mathbb{M}$: εσφραγισμεναι. **v.9** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: αυτον, $\mathbb{M}$: ∅. **v.9** $\mathbb{T}$ $\mathbb{K}$: ηδυνατο, $\mathbb{M}$ $\mathbb{V}$: εδυνατο. **v.9** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: εστωτες, $\mathbb{M}$: εστωτας. **v.9** $\mathbb{T}$ $\mathbb{K}$: περιβεβλημενοι, $\mathbb{M}$ $\mathbb{V}$: περιβεβλημενους. **v.9** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: φοινικες, $\mathbb{M}$: φοινικας. **v.10** $\mathbb{T}$ $\mathbb{K}$: κραζοντες, $\mathbb{M}$ $\mathbb{V}$: κραζουσιν. **v.10** $\mathbb{T}$: καθημενω επι του θρονου του θεου ημων, $\mathbb{K}$: θεω ημων τω καθημενω επι του θρονου, $\mathbb{M}$ $\mathbb{V}$: θεω ημων τω καθημενω επι τω θρονω. **v.11** $\mathbb{T}$ $\mathbb{K}$: εστηκεσαν, $\mathbb{M}$ $\mathbb{V}$: ειστηκεισαν. **v.11** $\mathbb{T}^*$: επεσον, $\mathbb{V}$: επεσαν. **v.11** $\mathbb{T}$ $\mathbb{K}$ $\mathbb{V}$: θρονου, $\mathbb{M}$: θρονου αυτου. **v.11** $\mathbb{T}$ $\mathbb{K}$: προσωπον, $\mathbb{M}$ $\mathbb{V}$: τα προσωπα.

τες ἀμὴν ἡ εὐλογία καὶ ἡ δόξα καὶ ἡ σοφία καὶ ἡ εὐχαριστία
καὶ ἡ τιμὴ καὶ ἡ δύναμις καὶ ἡ ἰσχὺς τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰ-
ῶνας τῶν αἰώνων ἀμήν ◦ καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων 13
λέγων μοι οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς λευκὰς τίνες
εἰσὶν καὶ πόθεν ἦλθον ◦ καὶ εἴρηκα αὐτῷ κύριέ σὺ οἶδας καὶ εἶ- 14
πέν μοι οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης
καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν καὶ ἐλεύκαναν στολὰς˚ αὐτῶν ἐν
τῷ αἵματι τοῦ ἀρνίου ◦ διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ 15
θεοῦ καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐ-
τοῦ καὶ ὁ καθήμενος ἐπὶ τοῦ˚ θρόνου σκηνώσει ἐπ᾽ αὐτούς ◦ οὐ 16
πεινάσουσιν ἔτι οὐδὲ διψήσουσιν ἔτι οὐδὲ μὴ πέσῃ ἐπ᾽ αὐτοὺς ὁ
ἥλιος οὐδὲ πᾶν καῦμα ◦ ὅτι τὸ ἀρνίον τὸ ἀναμέσον τοῦ θρόνου 17
ποιμανεῖ αὐτοὺς καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζώας πηγὰς ὑδάτων
καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν ◦

καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν ἑβδόμην ἐγένετο σιγὴ ἐν **8**
τῷ οὐρανῷ ὡς ἡμιώριον ◦ καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους οἳ ἑνώ- 2
πιον τοῦ θεοῦ ἑστήκασιν καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες ◦
καὶ ἄλλος ἄγγελος ἦλθεν καὶ ἐστάθη ἐπὶ τὸ˚ θυσιαστήριον ἔχων 3
λιβανωτὸν χρυσοῦν καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλὰ ἵνα δώσῃ
ταῖς προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυ-
σοῦν τὸ ἐνώπιον τοῦ θρόνου ◦ καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμά- 4
των ταῖς προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον
τοῦ θεοῦ ◦ καὶ εἴληφεν ὁ ἄγγελος τὸ λιβανωτὸν καὶ ἐγέμισεν 5
αὐτὸ ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου καὶ ἔβαλεν εἰς τὴν γῆν καὶ
ἐγένοντο φωναὶ˚ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ σεισμός ◦ καὶ οἱ 6
ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ σάλπιγγας ἡτοίμασαν ἑαυτοὺς
ἵνα σαλπίσωσιν ◦ καὶ ὁ πρῶτος ἄγγελος ἐσάλπισεν καὶ ἐγένετο 7
χάλαζα καὶ πῦρ μεμιγμένα αἵματι καὶ ἐβλήθη εἰς τὴν γῆν καὶ
τὸ τρίτον τῶν δένδρων κατεκάη καὶ πᾶς χόρτος χλωρὸς κατε-
κάη ◦ καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισεν καὶ ὡς ὄρος μέγα πυρὶ 8
καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν καὶ ἐγένετο τὸ τρίτον τῆς
θαλάσσης αἷμα ◦ καὶ ἀπέθανεν τὸ τρίτον τῶν κτισμάτων τῶν ἐν τῇ 9

---

v.14 𝕋 𝕂 𝕍: ειρηκα, 𝕄: ειπον. **v.14** 𝕋 𝕂: κυριε, 𝕄 𝕍: κυριε μου. **v.14** 𝕋: στολας αυτων, 𝕂 𝕍: αυτας, 𝕄: ∅. **v.15** 𝕋 𝕂 𝕍: του θρονου, 𝕄: τω θρονω. **v.16** 𝕋 𝕂 𝕍: ουδε, 𝕄: ουδ ου. **v.17** 𝕋: αναμεσον, 𝕂 𝕄 𝕍: ανα μεσον. **v.17** 𝕋 𝕂 𝕍: ποιμανει, 𝕄: ποιμαινει. **v.17** 𝕋 𝕂 𝕍: οδηγησει, 𝕄: οδηγει. **v.17** 𝕋 𝕂: ζωσας, 𝕄 𝕍: ζωης. **v.17** 𝕋 𝕂: απο, 𝕄 𝕍: εκ. **8.v.1** 𝕋*: οτε, 𝕍: οταν. **v.3** 𝕋 𝕂: το θυσιαστηριον, 𝕄 𝕍: του θυσιαστηριου. **v.3** 𝕋 𝕂: δωση, 𝕄 𝕍: δωσει. **v.5** 𝕋 𝕂: το, 𝕄 𝕍: τον. **v.5** 𝕋 𝕂: αυτο, 𝕄 𝕍: αυτον. **v.5** 𝕋 𝕂: φωναι και βρονται, 𝕄 𝕍: βρονται και φωναι. **v.6** 𝕋: εχοντες, 𝕂 𝕄 𝕍: οι εχοντες. **v.6** 𝕋*: εαυτους, 𝕍: αυτους. **v.7** 𝕋 𝕂: αγγελος, 𝕄 𝕍: ∅. **v.7** 𝕋 𝕂: αιματι, 𝕄 𝕍: εν αιματι. **v.7** 𝕋 𝕂: γην, 𝕄 𝕍: γην και το τριτον της γης κατεκαη. **v.8** 𝕋 𝕂 𝕍: πυρι, 𝕄: ∅. **v.9** 𝕋 𝕂 𝕍: των, 𝕄: ∅.

θαλάσσῃ τὰ ἔχοντα ψυχὰς καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρῃ ⸰
10 καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισεν καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀ-
στὴρ μέγας καιόμενος ὡς λαμπὰς καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν
11 ποταμῶν καὶ ἐπὶ τὰς πηγὰς ὑδάτων ⸰ καὶ τὸ ὄνομα τοῦ ἀστέρος
λέγεται ἄψινθος καὶ γίνεται τὸ˚ τρίτον εἰς ἄψινθον καὶ πολλοὶ
12 ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων ὅτι ἐπικράνθησαν ⸰ καὶ ὁ
τέταρτος ἄγγελος ἐσάλπισεν καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου καὶ
τὸ τρίτον τῆς σελήνης καὶ τὸ τρίτον τῶν ἀστέρων ἵνα σκοτισθῇ
τὸ τρίτον αὐτῶν καὶ ἡ˚ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς καὶ ἡ
13 νὺξ ὁμοίως ⸰ καὶ εἶδον καὶ ἤκουσα ἑνὸς ἀγγέλου˚ πετωμένου ἐν
μεσουρανήματι λέγοντος φωνῇ μεγάλῃ οὐαὶ οὐαὶ οὐαὶ τοῖς˚ κα-
τοικοῦσιν ἐπὶ τῆς γῆς ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν
τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν ⸰

9 καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισεν καὶ εἶδον ἀστέρα ἐκ τοῦ
οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ
2 φρέατος τῆς ἀβύσσου ⸰ καὶ ἤνοιξεν τὸ φρέαρ τῆς ἀβύσσου καὶ
ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου μεγάλης καὶ
3 ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος ⸰ καὶ
ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν καὶ ἐδόθη αὐταῖς
4 ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς ⸰ καὶ ἐρρέθη
αὐταῖς ἵνα μὴ ἀδικήσωσιν τὸν χόρτον τῆς γῆς οὐδὲ πᾶν χλωρὸν
οὐδὲ πᾶν δένδρον εἰ μὴ τοὺς ἀνθρώπους μόνους οἵτινες οὐκ
5 ἔχουσιν τὴν σφραγῖδα τοῦ θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν ⸰ καὶ ἐ-
δόθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτοὺς ἀλλ᾽ ἵνα βασανισθῶσιν
μῆνας πέντε καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου
6 ὅταν παίσῃ ἄνθρωπον ⸰ καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσου-
σιν οἱ ἄνθρωποι τὸν θάνατον καὶ οὐχ εὑρήσουσιν αὐτὸν καὶ
ἐπιθυμήσουσιν ἀποθανεῖν καὶ φεύξεται ὁ˚ θάνατος ἀπ᾽ αὐτῶν ⸰
7 καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς
πόλεμον καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέφανοι ὅμοιοι˚ χρυ-
8 σῷ καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων ⸰ καὶ εἶχον
τρίχας ὡς τρίχας γυναικῶν καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦ-

---

v.9 𝕋*: διεφθαρη, 𝕍: διεφθαρησαν. **v.10** 𝕋 𝕂: υδατων, 𝕄 𝕍: των υδατων. **v.11** 𝕋 𝕂: αψινθος, 𝕄 𝕍: ο αψινθος. **v.11** 𝕋 𝕂: γινεται, 𝕄 𝕍: εγενετο. **v.11** 𝕋: το τριτον, 𝕂 𝕄 𝕍: το τριτον των υδατων. **v.11** 𝕋 𝕂: ανθρωπων, 𝕄 𝕍: των ανθρωπων. **v.12** 𝕋 𝕂: η ημερα μη φαινη το τριτον αυτης, 𝕄: το τριτον αυτης μη φανη η ημερα, 𝕍: η ημερα μη φανη το τριτον αυτης. **v.13** 𝕋 𝕂: αγγελου πετωμενου, 𝕄 𝕍: αετου πετομενου. **v.13** 𝕋 𝕂: τοις κατοικουσιν, 𝕄 𝕍: τους κατοικουντας. **9.v.2** 𝕋 𝕂 𝕍: μεγαλης, 𝕄: καιομενης. **v.2** 𝕋*: εσκοτισθη, 𝕍: εσκοτωθη. **v.4** 𝕋*: αδικησωσιν, 𝕍: αδικησουσιν. **v.4** 𝕋 𝕂: μονους, 𝕄 𝕍: ∅. **v.4** 𝕋*: αυτων, 𝕍: ∅. **v.5** 𝕋*: αυταις, 𝕍: αυτοις. **v.5** 𝕋*: βασανισθωσιν, 𝕍: βασανισθησονται. **v.6** 𝕋 𝕂: ουχ, 𝕄 𝕍: ου μη. **v.6** 𝕋*: φευξεται, 𝕍: φευγει. **v.6** 𝕋 𝕂 𝕍: ο θανατος απ αυτων, 𝕄: απ αυτων ο θανατος. **v.7** 𝕋 𝕂 𝕍: ομοιοι χρυσω, 𝕄: χρυσοι.

σαν ⸰ καὶ εἶχον θώρακας ὡς θώρακας σιδηροῦς καὶ ἡ φωνὴ τῶν 9
πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόντων εἰς
πόλεμον ⸰ καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις καὶ κέντρα ἦν ἐν 10
ταῖς οὐραῖς αὐτῶν καὶ˚ ἡ ἐξουσία αὐτῶν ἀδικῆσαι τοὺς ἀνθρώ-
πους μῆνας πέντε ⸰ καὶ˚ ἔχουσιν ἐφ᾽ αὐτῶν βασιλέα τὸν ἄγγελον 11
τῆς ἀβύσσου ὄνομα αὐτῷ ἑβρα�ϊστὶ ἀβαδδὼν καὶ˚ ἐν τῇ ἑλληνικῇ
ὄνομα ἔχει ἀπολλύων ⸰ ἡ οὐαὶ ἡ μία ἀπῆλθεν ἰδοὺ ἔρχονται ἔτι 12
δύο οὐαὶ μετὰ ταῦτα ⸰ καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισεν καὶ ἤ- 13
κουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου
τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ θεοῦ ⸰ λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ 14
ὃς˚ εἶχε τὴν σάλπιγγα λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δε-
δεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ εὐφράτῃ ⸰ καὶ ἐλύθησαν οἱ 15
τέσσαρες ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ˚ ἡμέραν καὶ
μῆνα καὶ ἐνιαυτὸν ἵνα ἀποκτείνωσιν τὸ τρίτον τῶν ἀνθρώπων ⸰
καὶ ὁ ἀριθμὸς στρατευμάτων˚ τοῦ ἱππικοῦ δύο μυριάδες μυ- 16
ριάδων καὶ ἤκουσα τὸν ἀριθμὸν αὐτῶν ⸰ καὶ οὕτως εἶδον τοὺς 17
ἵππους ἐν τῇ ὁράσει καὶ τοὺς καθημένους ἐπ᾽ αὐτῶν ἔχοντας
θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις καὶ αἱ κεφα-
λαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων καὶ ἐκ τῶν στομάτων αὐτῶν
ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον ⸰ ὑπὸ τῶν τριῶν τούτων 18
ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων ἐκ τοῦ πυρὸς καὶ ἐκ τοῦ
καπνοῦ καὶ ἐκ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων
αὐτῶν ⸰ αἱ˚ γὰρ ἐξουσίαι αὐτῶν ἐν τῷ στόματι αὐτῶν εἰσιν αἱ γὰρ 19
οὐραὶ αὐτῶν ὅμοιαι ὄφεσιν ἔχουσαι κεφαλὰς καὶ ἐν αὐταῖς ἀ-
δικοῦσιν ⸰ καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ ἀπεκτάνθησαν ἐν 20
ταῖς πληγαῖς ταύταις οὔτε μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν
αὐτῶν ἵνα μὴ προσκυνήσωσιν τὰ δαιμόνια κἀι εἴδωλα τὰ χρυσᾶ
καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα ἃ οὔτε
βλέπειν δύναται οὔτε ἀκούειν οὔτε περιπατεῖν ⸰ καὶ οὐ μετενόη- 21
σαν ἐκ τῶν φόνων αὐτῶν οὔτε ἐκ τῶν φαρμακείων αὐτῶν οὔτε

v.10 𝕋 𝕂: ην, 𝕄 𝕍: και. **v.10** 𝕋 𝕂: και η εξουσια αυτων, 𝕄: εξουσιαν εχουσι του, 𝕍: η εξουσια αυτων. **v.11** 𝕋: και εχουσιν ἐφ᾽ αὐτῶν βασιλεα τον, 𝕂: και εχουσιν ἐπ᾽ αὐτῶν βασιλεα τον, 𝕄: εχουσαι βασιλεα ἐπ᾽ αὐτῶν, 𝕍: εχουσιν ἐπ᾽ αὐτῶν βασιλεα τον. **v.11** 𝕋 𝕂 𝕍: αβαδδων, 𝕄: αββαδων, **XXX**: βαττων. **v.11** 𝕋 𝕂 𝕍: και εν, 𝕄: εν δε. **v.12** 𝕋 𝕂: ερχονται, 𝕄 𝕍: ερχεται. **v.14** 𝕋 𝕂: λεγουσαν, 𝕄: λεγοντος, 𝕍: λεγοντα. **v.14** 𝕋 𝕂: ος ειχε, 𝕄 𝕍: ο εχων. **v.15** 𝕋 𝕂 𝕍: και ημεραν, 𝕄: και εις την ημεραν, 𝔄: ∅. **v.15** 𝔼: ινα, 𝔄: ινα μη. **v.16** 𝕋 𝕂: στρατευματων του ιππικου δυο μυριαδες μυριαδων και, 𝕄: των στρατευματων του ιππου μυριαδες μυριαδων, 𝕍: των στρατευματων του ιππικου δισμυριαδες μυριαδων. **v.18** 𝕋*: υπο, 𝕍: απο. **v.18** 𝕋 𝕂: τουτων, 𝕄 𝕍: πληγων τουτων. **v.18** 𝕋 𝕂 𝕍: εκ, 𝕄: απο. **v.18** 𝕋 𝕂: εκ, 𝕄: εκ, 𝕄 𝕍: ∅. **v.18** 𝕋 𝕂: εκ, 𝕄 𝕍: ∅. **v.19** 𝕋: αι γαρ εξουσιαι, 𝕂 𝕄 𝕍: η γαρ εξουσια. **v.19** 𝕋 𝕂: αυτων, 𝕄 𝕍: των ιππων. **v.19** 𝕋: εισιν, 𝕂 𝕄 𝕍: εστιν και εν ταις ουραις αυτων. **v.19** 𝕋 𝕂 𝕍: οφεσιν, 𝕄: οφεων. **v.20** 𝕋: ουτε, 𝕂 𝕄: ου, 𝕍: ουδε. **v.20** 𝕋*: προσκυνησωσιν, 𝕍: προσκυνησουσιν. **v.20** 𝕋 𝕂: και, 𝕄 𝕍: και τα. **v.20** 𝕋*: δυναται, 𝕍: δυνανται. **v.21** 𝕋 𝕂: φαρμακειων, 𝕄 𝕍: φαρμακων.

ἐκ τῆς πορνείας αὐτῶν οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν ⸰
10 καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐ-
ρανοῦ περιβεβλημένον νεφέλην καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς καὶ
τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος καὶ οἱ πόδες αὐτοῦ ὡς στύλοι
2 πυρός ⸰ καὶ εἶχὲν ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον ἀνεῳγμένον καὶ
ἔθηκεν τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τὴν˚ θάλασσαν τὸν δὲ
3 εὐώνυμον ἐπὶ τὴν˚ γῆν ⸰ καὶ ἔκραξεν φωνῇ μεγάλῃ ὥσπερ λέων
μυκᾶται καὶ ὅτε ἔκραξεν ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν
4 φωνάς ⸰ καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς˚ φωνὰς ἑαυτῶν
ἔμελλον γράφειν καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσάν
μοὶ σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ καὶ μὴ ταῦτα γρά-
5 ψῃς ⸰ καὶ ὁ ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ
6 τῆς γῆς ἦρεν τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανόν ⸰ καὶ ὤμοσεν ἐν
τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ
τὰ ἐν αὐτῷ καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ καὶ τὴν θάλασσαν καὶ
7 τὰ ἐν αὐτῇ ὅτι χρόνος οὐκ˚ ἔσται ἔτι ⸰ ἀλλὰ ἐν ταῖς ἡμέραις τῆς
φωνῆς τοῦ ἑβδόμου ἀγγέλου ὅταν μέλλῃ σαλπίζειν καὶ ἐτελεσθῇ
τὸ μυστήριον τοῦ θεοῦ ὡς εὐηγγέλισεν τοῖς˚ ἑαυτοῦ δούλοις
8 τοῖς προφήταις ⸰ καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ πάλιν
λαλοῦσά μετ᾽ ἐμοῦ καὶ λέγουσά ὕπαγε λάβε τὸ βιβλαρίδιον τὸ
ἠνεῳγμένον ἐν τῇ χειρὶ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης
9 καὶ ἐπὶ τῆς γῆς ⸰ καὶ ἀπῆλθὸν πρὸς τὸν ἄγγελον λέγων αὐτῷ δός
μοι τὸ βιβλαρίδιον καὶ λέγει μοι λάβε καὶ κατάφαγε αὐτὸ καὶ
πικρανεῖ σου τὴν κοιλίαν ἀλλ᾽ ἐν τῷ στόματί σου ἔσται γλυκὺ
10 ὡς μέλι ⸰ καὶ ἔλαβον τὸ βιβλαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου
καὶ κατέφαγον αὐτὸ καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυκὺ
11 καὶ ὅτε ἔφαγον αὐτὸ ἐπικράνθη ἡ κοιλία μου ⸰ καὶ λέγει μοι δεῖ
σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς καὶ ἔθνεσιν καὶ γλώσσαις καὶ
βασιλεῦσιν πολλοῖς ⸰
11 καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ λέγων˚ ἔγειραι καὶ

10.v.1 𝕋 𝕂 𝕍: αλλον, 𝕄: ∅. **v.1** 𝕋 𝕂: ιρις, 𝕄 𝕍: η ιρις. **v.1** 𝕋 𝕂: κεφαλης, 𝕄 𝕍: κεφαλης αυτου. **v.2** 𝕋 𝕂: ειχεν, 𝕄 𝕍: εχων. **v.2** 𝕋 𝕂 𝕍: βιβλαριδιον, 𝕄: βιβλιον. **v.2** 𝕋*: ανεωγμενον, 𝕍: ηνεωγμενον. **v.2** 𝕋 𝕂: την θαλασσαν, 𝕄 𝕍: της θαλασσης. **v.2** 𝕋 𝕂: την γην, 𝕄 𝕍: της γης. **v.4** 𝕋 𝕂: τας φωνας εαυτων εμελλον, 𝕄: εμελλον, 𝕍: ημελλον. **v.4** 𝕋 𝕂: μοι, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂: ταυτα, 𝕄 𝕍: αυτα. **v.5** 𝕋 𝕂: αυτου, 𝕄 𝕍: αυτου την δεξιαν. **v.6** 𝕋 𝕂 𝕍: εν, 𝕄: ∅. **v.6** 𝕋 𝕂: ουκ εσται ετι, 𝕄 𝕍: ουκετι εσται. **v.7** 𝕋 𝕂: αλλα, 𝕄 𝕍: αλλ. **v.7** 𝕋 𝕂: τελεσθη, 𝕄 𝕍: ετελεσθη. **v.7** 𝕋 𝕂: τοις εαυτου δουλοις τοις προφηταις, 𝕄: τους δουλους αυτου τους προφητας, 𝕍: τους εαυτου δουλους τους προφητας. **v.8** 𝕋*: λαλουσα, 𝕍: λαλουσαν. **v.8** 𝕋*: λεγουσα, 𝕍: λεγουσαν. **v.8** 𝕋 𝕂: βιβλαριδιον, 𝕄: βιβλιδαριον, 𝕍: βιβλιον. **v.8** 𝕋 𝕂 𝕍: ηνεωγμενον, 𝕄: ανεωγμενον. **v.8** 𝕋 𝕂: αγγελου, 𝕄 𝕍: του αγγελου. **v.9** 𝕋*: απηλθον, 𝕍: απηλθα. **v.9** 𝕋 𝕂: δος, 𝕄 𝕍: δουναι. **v.9** 𝕋 𝕂 𝕍: βιβλαριδιον, 𝕄: βιβλιδαριον. **v.10** 𝕋 𝕂 𝕍: βιβλαριδιον, 𝕄: βιβλιον. **v.11** 𝕋 𝕂: λεγει, 𝕄 𝕍: λεγουσιν. **v.11** 𝕋 𝕂 𝕍: και, 𝕄: και επι. **11.v.1** 𝕋: λεγων εγειραι, 𝕂: και ο αγγελος εισηκει λεγων εγειραι, 𝕄 𝕍: λεγων εγειρε.

μέτρησον τὸν ναὸν τοῦ θεοῦ καὶ τὸ θυσιαστήριον καὶ τοὺς προ-
σκυνοῦντας ἐν αὐτῷ· καὶ τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ ναοῦ ἔκ- 2
βαλε ἔξω καὶ μὴ αὐτὴν μετρήσῃς ὅτι ἐδόθη τοῖς ἔθνεσιν καὶ
τὴν πόλιν τὴν ἁγίαν πατήσουσιν μῆνας τεσσαράκοντα˚ δύο· καὶ 3
δώσω τοῖς δυσὶν μάρτυσίν μου καὶ προφητεύσουσιν ἡμέρας χι-
λίας διακοσίας ἑξήκοντα περιβεβλημένοι σάκκους· οὗτοί εἰσιν 4
αἱ δύο ἐλαῖαι καὶ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ θεοῦ τῆς γῆς ἑ-
στῶσαι· καὶ εἴ τις αὐτοὺς θέλῃ˚ ἀδικῆσαι πῦρ ἐκπορεύεται ἐκ 5
τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν καὶ εἴ
τις αὐτοὺς˚ θέλῃ ἀδικῆσαι οὕτως δεῖ αὐτὸν ἀποκτανθῆναι· οὗ- 6
τοι ἔχουσιν ἐξουσίαν˚ κλεῖσαι τὸν οὐρανὸν ἵνα μὴ βρέχῃ˚ ὑετὸς
ἐν ἡμέραις αὐτῶν τῆς προφητείας καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν
ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα καὶ πατάξαι τὴν γῆν πάσῃ˚ πλη-
γῇ ὁσάκις ἐὰν θελήσωσιν· καὶ ὅταν τελέσωσιν τὴν μαρτυρίαν 7
αὐτῶν τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει πόλε-
μον˚ μετ᾽ αὐτῶν καὶ νικήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐτούς· καὶ 8
τὰ˚ πτώματα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης ἥτις
καλεῖται πνευματικῶς σόδομα καὶ αἴγυπτος ὅπου καὶ ὁ κύριος
ἡμῶν ἐσταυρώθη· καὶ βλέψουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ 9
γλωσσῶν καὶ ἐθνῶν τὰ˚ πτώματα αὐτῶν ἡμέρας τρεῖς καὶ ἥμισυ
καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσιν τεθῆναι εἰς μνήματα·
καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαροῦσιν ἐπ᾽ αὐτοῖς καὶ εὐ- 10
φρανθήσονται καὶ δῶρα πέμψουσιν ἀλλήλοις ὅτι οὗτοι οἱ δύο
προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς· καὶ μετὰ 11
τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ εἰσῆλθεν
ἐπ᾽˚ αὐτοὺς καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν καὶ φόβος μέ-
γας ἔπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς· καὶ ἤκουσαν φωνὴν˚ 12
μεγάλην ἐκ τοῦ οὐρανοῦ λέγουσαν αὐτοῖς ἀνάβητε ὧδε καὶ ἀ-

---

v.2 𝕋 ℵ: εσωθεν, 𝕂 𝕄 𝕍: εξωθεν. **v.2** 𝕋*: εξω, 𝕍: εξωθεν. **v.2** 𝕋 𝕂: τεσσαρακοντα, 𝕄: τεσσαρακοντα και, 𝕍: τεσσερακοντα [και]. **v.4** 𝕋: δυο, 𝕂 𝕄 𝕍: αι δυο. **v.4** 𝕋 𝕂: θεου, 𝕄 𝕍: κυριου. **v.4** 𝕋 𝕂: εστωσαι, 𝕄 𝕍: εστωτες. **v.5** 𝕋 𝕂: θελη, 𝕄 𝕍: θελει. **v.5** 𝕋 𝕂: αυτους θελη, 𝕄: θελει αυτους, 𝕍: θεληση αυτους. **v.6** 𝕋 𝕂: εξουσιαν κλεισαι τον ουρανον, 𝕄: τον ουρανον εξουσιαν κλεισαι, 𝕍: την εξουσιαν κλεισαι τον ουρανον. **v.6** 𝕋 𝕂: βρεχη υετος εν ημεραις αυτων της προφητειας, 𝕄 𝕍: υετος βρεχη τας ημερας της προφητειας αυτων. **v.6** 𝕋 𝕂: παση πληγη οσακις εαν θελησωσιν, 𝕄: οσακις εαν θελησωσιν εν παση πληγη, 𝕍: εν παση πληγη οσακις εαν θελησωσιν. **v.7** 𝕋 𝕂: πολεμον μετ αυτων, 𝕄 𝕍: μετ αυτων πολεμον. **v.8** 𝕋 𝕂: τα πτωματα, 𝕄 𝕍: το πτωμα. **v.8** 𝕋 𝕂: πολεως, 𝕄 𝕍: της πολεως. **v.8** 𝕋 𝕂: ημων, 𝕄 𝕍: αυτων. **v.9** 𝕋 𝕂: βλεψουσιν, 𝕄 𝕍: βλεπουσιν. **v.9** 𝕋 𝕂: τα πτωματα, 𝕄 𝕍: το πτωμα. **v.9** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.9** 𝕋*: αφησουσιν, 𝕍: αφιουσιν. **v.9** 𝕋 𝕂: μνηματα, 𝕄 𝕍: μνημα. **v.10** 𝕋 𝕂: χαρουσιν, 𝕄 𝕍: χαιρουσιν. **v.10** 𝕋*: ευφρανθησονται, 𝕍: ευφραινονται. **v.10** 𝕋 𝕂 𝕍: πεμψουσιν, 𝕄: δωσουσιν. **v.11** 𝕋 𝕂: επ αυτους, 𝕄: εις αυτους, 𝕍: εν αυτοις. **v.11** 𝕋*: επεσεν, 𝕍: επεπεσεν. **v.12** 𝔼: ηκουσαν, **XXX**: ηκουσα. **v.12** 𝕋*: φωνην μεγαλην, 𝕍: φωνης μεγαλης. **v.12** 𝕋*: λεγουσαν, 𝕍: λεγουσης. **v.12** 𝕋*: αναβητε, 𝕍: αναβατε.

νέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ καὶ ἐθεώρησαν αὐτοὺς οἱ
13 ἐχθροὶ αὐτῶν ⸰ καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς μέγας καὶ
τὸ δέκατον τῆς πόλεως ἔπεσεν καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ
ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτὰ καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγέ-
14 νοντο καὶ ἔδωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ ⸰ ἡ οὐαὶ ἡ δευτέρα
15 ἀπῆλθεν ἰδοὺ˚ ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ ⸰ καὶ ὁ ἕβδομος ἄγ-
γελος ἐσάλπισεν καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ λέ-
γουσαι˚ ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου τοῦ κυρίου ἡμῶν καὶ
τοῦ χριστοῦ αὐτοῦ καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων ⸰
16 καὶ οἱ εἴκοσι κἀι τέσσαρες πρεσβύτεροι οἱ ἐνώπιον τοῦ˚ θεοῦ κα-
θήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν ἔπεσἀν ἐπὶ τὰ πρόσωπα αὐτῶν
17 καὶ προσεκύνησαν τῷ θεῷ ⸰ λέγοντες εὐχαριστοῦμέν σοι κύριε
ὁ θεὸς ὁ παντοκράτωρ ὁ ὢν καὶ ὁ ἦν καὶ˚ ὁ ἐρχόμενος ὅτι εἴλη-
18 φας τὴν δύναμίν σου τὴν μεγάλην καὶ ἐβασίλευσας ⸰ καὶ τὰ ἔθνη
ὠργίσθησαν καὶ ἦλθεν ἡ ὀργή σου καὶ ὁ καιρὸς τῶν νεκρῶν κρι-
θῆναι καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις
καὶ τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου τοῖς˚ μικροῖς
καὶ τοῖς μεγάλοις καὶ διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν ⸰
19 καὶ ἠνοίγη ὁ ναὸς τοῦ θεοῦ ἐν̓ τῷ οὐρανῷ καὶ ὤφθη ἡ κιβωτὸς
τῆς διαθήκης αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ καὶ ἐγένοντο ἀστραπαὶ
καὶ φωναὶ καὶ βρονταὶ καὶ˚ σεισμὸς καὶ χάλαζα μεγάλη ⸰

12 καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ γυνὴ περιβεβλημένη
τὸν ἥλιον καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς καὶ ἐπὶ
2 τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα ⸰ καὶ ἐν γαστρὶ
3 ἔχουσα κρᾶζει ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν ⸰ καὶ ὤφθη
ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ καὶ ἰδοὺ δράκων μέγας˚ πυρρὸς ἔ-
χων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ
4 διαδήματα˚ ἑπτά ⸰ καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων
τοῦ οὐρανοῦ καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν καὶ ὁ δράκων ἕστη-
κεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν ἵνα ὅταν τέκῃ τὸ
5 τέκνον αὐτῆς καταφάγῃ ⸰ καὶ ἔτεκεν υἱὸν ἄρρενα ὃς μέλλει ποι-
μαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ καὶ ἡρπάσθη τὸ τέκνον

---

v.13 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.13** 𝕋 𝕂 𝕍: ωρα, 𝕄: ημερα. **v.14** 𝕋 𝕍: ιδου η ουαι η τριτη, 𝕂: και ιδου η ουαι η τριτη, 𝕄: η ουαι η τριτη ιδου. **v.15** 𝕋 𝕂: λεγουσαι εγενοντο αι βασιλειαι, 𝕄 𝕍: λεγοντες εγενετο η βασιλεια. **v.16** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.16** 𝕋 𝕂 𝕍: του θεου καθημενοι, 𝕄: του θρονου του θεου οι καθηνται. **v.16** 𝕋 𝕂 𝕍: επεσαν, 𝕄: επεσον. **v.17** 𝕋 𝕂: και ο ερχομενος, 𝕄 𝕍: ∅. **v.18** 𝕋*: τοις μικροις και τοις μεγαλοις, 𝕍: τους μικρους και τους μεγαλους. **v.18** 𝔼: διαφθειροντας, C: διαφθειραντας. **v.19** 𝕋 𝕂 𝕍: ηνοιγη, 𝕄: ηνοιχθη. **v.19** 𝕋*: εν, 𝕍: ο εν. **v.19** 𝕋 𝕂 𝕍: αυτου, 𝕄: του κυριου. **v.19** 𝕋 𝕂 𝕍: και σεισμος, 𝕄: ∅. **12.v.2** 𝕋 𝕂: κραζει, 𝕄: εκραζεν, 𝕍: και κραζει. **v.3** 𝕋 𝕂 𝕍: μεγας πυρρος, 𝕄: πυρος μεγας. **v.3** 𝕋 𝕂: διαδηματα επτα, 𝕄 𝕍: επτα διαδηματα. **v.5** 𝕋*: αρρενα, 𝕍: αρσεν.

αὐτῆς πρὸς τὸν θεὸν καὶ τὸν θρόνον αὐτοῦ ⸫ καὶ ἡ γυνὴ ἔφυγεν 6
εἰς τὴν ἔρημον ὅπου ἔχει τόπον ἡτοιμασμένον ἀπὸ τοῦ θεοῦ ἵνα
ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα ⸫ καὶ ἐ- 7
γένετο πόλεμος ἐν τῷ οὐρανῷ ὁ μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ
ἐπολέμησαν˚ κατὰ τοῦ δράκοντος καὶ ὁ δράκων ἐπολέμησεν
καὶ οἱ ἄγγελοι αὐτοῦ ⸫ καὶ οὐκ ἴσχυσαν˚ οὐτε τόπος εὑρέθη αὐ- 8
τῶν ἔτι ἐν τῷ οὐρανῷ ⸫ καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας ὁ ὄφις ὁ 9
ἀρχαῖος ὁ καλούμενος διάβολος καὶ ὁ˚ σατανᾶς ὁ πλανῶν τὴν
οἰκουμένην ὅλην ἐβλήθη εἰς τὴν γῆν καὶ οἱ ἄγγελοι αὐτοῦ μετ᾽
αὐτοῦ ἐβλήθησαν ⸫ καὶ ἤκουσα φωνὴν μεγάλην λέγουσαν˚ ἐν τῷ 10
οὐρανῷ ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία
τοῦ θεοῦ ἡμῶν καὶ ἡ ἐξουσία τοῦ χριστοῦ αὐτοῦ ὅτι κατέβλήθη
ὁ κατήγορὸς τῶν ἀδελφῶν ἡμῶν ὁ κατηγορῶν αὐτῶν ἐνώπιον
τοῦ θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός ⸫ καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν 11
διὰ τὸ αἷμα τοῦ ἀρνίου καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν
καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου ⸫ διὰ τοῦτο 12
εὐφραίνεσθε οἱ οὐρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες οὐαὶ τοῖς˚
κατοικοῦσιν τὴν γῆν καὶ τὴν θάλασσαν ὅτι κατέβη ὁ διάβολος
πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει ⸫ καὶ 13
ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν ἐδίωξεν τὴν γυναῖκα
ἥτις ἔτεκεν τὸν ἄρρενα ⸫ καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες 14
τοῦ ἀετοῦ τοῦ μεγάλου ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον
αὐτῆς ὅπου˚ τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιρο-
ῦ ἀπὸ προσώπου τοῦ ὄφεως ⸫ καὶ ἔβαλεν ὁ ὄφις ὀπίσω˚ τῆς 15
γυναικὸς ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ ὡς ποταμὸν ἵνα ταύτην
ποταμοφόρητον ποιήσῃ ⸫ καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικὶ καὶ ἤ- 16
νοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιεν τὸν ποταμὸν ὃν ἔβαλεν
ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ ⸫ καὶ ὠργίσθη ὁ δράκων ἐπὶ 17
τῇ γυναικὶ καὶ ἀπῆλθεν ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ
σπέρματος αὐτῆς τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ καὶ ἐ-
χόντων τὴν μαρτυρίαν τοῦ˚ ἰησοῦ χριστοῦ ⸫ καὶ ἐστάθην ἐπὶ τὴν 18
ἄμμον τῆς θαλάσσης ⸫

---

v.5 𝕋 𝕂: τον, 𝕄 𝕍: προς τον. **v.6** 𝕋 𝕂: εχει, 𝕄 𝕍: εχει εκει. **v.6** 𝕋 𝕂 𝕍: απο, 𝕄: υπο. **v.6** 𝕋 𝕂 𝕍: τρεφωσιν, 𝕄: εκτρεφωσιν. **v.7** 𝕋 𝕂: επολεμησαν κατα, 𝕄: πολεμησαι μετα, 𝕍: του πολεμησαι μετα. **v.8** 𝕋 𝕂: ισχυσαν ουτε, 𝕄 𝕍: ισχυσεν ουδε. **v.8** 𝕋 𝕂 𝕍: αυτων, 𝕄: αυτω. **v.9** 𝕋 𝕂 𝕍: ο, 𝕄: ∅. **v.10** 𝕋 𝕂: λεγουσαν εν τω ουρανω, 𝕄 𝕍: εν τω ουρανω λεγουσαν. **v.10** 𝕋 𝕂: κατεβληθη, 𝕄 𝕍: εβληθη. **v.10** 𝕋*: κατηγορος, 𝕍: κατηγωρ. **v.10** 𝕋*: αυτων, 𝕍: αυτους. **v.12** 𝕋 𝕂 𝕍: οι, 𝕄: ∅. **v.12** 𝕋 𝕂: τοις κατοικουσιν την γην και την θαλασσαν, 𝕄: τη γη και τη θαλασση, 𝕍: την γην και την θαλασσαν. **v.13** 𝕋*: αρρενα, 𝕍: αρσενα. **v.14** 𝕋*: δυο, 𝕍: αι δυο. **v.14** 𝕋 𝕂 𝕍: οπου τρεφεται, 𝕄: οπως τρεφηται. **v.15** 𝕋 𝕂: οπισω της γυναικος εκ του στοματος αυτου, 𝕄 𝕍: εκ του στοματος αυτου οπισω της γυναικος. **v.15** 𝕋 𝕂: ταυτην, 𝕄 𝕍: αυτην. **v.17** 𝕋 𝕂: του ιησου χριστου, 𝕄 𝕍: ιησου.

13 καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον ἔχον κεφαλὰς˚ ἑπτὰ καὶ κέρατα δέκα καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα
2 διαδήματα καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὄνομά βλασφημίας ⸰ καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος καὶ ἔδωκεν αὐτῷ
ὁ δράκων τὴν δύναμιν αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν
3 μεγάλην ⸰ καὶ εἶδον˙ μίαν τῶν κεφαλῶν αὐτοῦ ὡς˙ ἐσφαγμένην εἰς θάνατον καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη καὶ ἐθαυ-
4 μάσθη˚ ἐν ὅλη τῇ γῇ ὀπίσω τοῦ θηρίου ⸰ καὶ προσεκύνησαν τὸν˚ δράκοντα ὃς ἔδωκεν ἐξουσίαν τῷ θηρίῳ καὶ προσεκύνησαν τὸ˚ θηρίον λέγοντες τίς ὅμοιος τῷ θηρίῳ τίς δύναται πολεμῆσαι μετ᾽
5 αὐτοῦ ⸰ καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίας˙
6 καὶ ἐδόθη αὐτῷ ἐξουσία ποιῆσαι μῆνας τεσσαράκοντα δύο ⸰ καὶ ἤνοιξεν τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν˙ πρὸς τὸν θεὸν βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ καὶ τὴν σκηνὴν αὐτοῦ κὰι τοὺς ἐν τῷ οὐ-
7 ρανῷ σκηνοῦντας ⸰ καὶ ἐδόθη αὐτῷ πόλεμον˚ ποιῆσαι μετὰ τῶν ἁγίων καὶ νικῆσαι αὐτοὺς καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν
8 φυλὴν˙ καὶ γλῶσσαν καὶ ἔθνος ⸰ καὶ προσκυνήσουσιν αὐτῷ˙ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς ὧν˚ οὐ γέγραπται τὰ ὀνόματα ἐν τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου ἐσφαγμένου ἀπὸ καταβολῆς
9, 10 κόσμου ⸰ εἴ τις ἔχει οὖς ἀκουσάτω ⸰ εἴ τις αἰχμαλωσίαν˚ συνάγει εἰς αἰχμαλωσίαν ὑπάγει εἴ τις ἐν˚ μαχαίρᾳ ἀποκτενεῖ δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν
11 ἁγίων ⸰ καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς καὶ εἶχεν
12 κέρατα δύο ὅμοια ἀρνίῳ καὶ ἐλάλει ὡς δράκων ⸰ καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς κατοικοῦντας˚ ἐν αὐτῇ ἵνα προσκυνήσῶσιν τὸ θηρίον τὸ πρῶτον οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ⸰

13.v.1 𝕋 𝕂: κεφαλας επτα και κερατα δεκα, 𝕄 𝕍: κερατα δεκα και κεφαλας επτα. **v.1** 𝕋 𝕂: ονομα, 𝕄: ονοματα, 𝕍: ονομα[τα]. **v.2** 𝕋 𝕂: αρκτου, 𝕄 𝕍: αρκου. **v.3** 𝕋 𝕂: ειδον, 𝕄 𝕍: ∅. **v.3** 𝕋 𝕂: των, 𝕄 𝕍: εκ των. **v.3** 𝕋 𝕂 𝕍: ως, 𝕄: ωσει. **v.3** 𝕋: εθαυμασθη εν, 𝕂 𝕄: εθαυμασεν, 𝕍: εθαυμασθη. **v.3** 𝕋: τη, 𝕂 𝕄 𝕍: η. **v.4** 𝕋 𝕂: τον δρακοντα ος εδωκεν, 𝕄: τω δρακοντι τω δεδωκοτι την, 𝕍: τω δρακοντι οτι εδωκεν την. **v.4** 𝕋 𝕂: το θηριον, 𝕄 𝕍: τω θηριω. **v.4** 𝕋*: τις, 𝕍: και τις. **v.4** 𝕋 𝕂 𝕍: δυναται, 𝕄: δυνατος. **v.5** 𝕋 𝕂 𝕍: βλασφημιας, 𝕄: βλασφημιαν. **v.5** 𝕋 𝕂 𝕍: ποιησαι, 𝕄: πολεμον ποιησαι. **v.5** 𝕋*: τεσσαρακοντα, 𝕍: τεσσερακοντα [και]. **v.6** 𝕋*: βλασφημιαν, 𝕍: βλασφημιας. **v.6** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.7** 𝕋 𝕂: πολεμον ποιησαι, 𝕄 𝕍: ποιησαι πολεμον. **v.7** 𝕋 𝕂: φυλην, 𝕄 𝕍: φυλην και λαον. **v.8** 𝕋 𝕂: αυτω, 𝕄 𝕍: αυτον. **v.8** 𝕋 𝕂: ων ου γεγραπται τα ονοματα εν τη βιβλω, 𝕄: ων ου γεγραπται το ονομα εν τω βιβλιω, 𝕍: ου ου γεγραπται το ονομα αυτου εν τω βιβλιω. **v.8** 𝕋 𝕂: εσφαγμενου, 𝕄 𝕍: του εσφαγμενου. **v.10** 𝕋 𝕂: αιχμαλωσιαν συναγει εις αιχμαλωσιαν υπαγει, 𝕄: εχει αιχμαλωσιαν υπαγει, 𝕍: εις αιχμαλωσιαν εις αιχμαλωσιαν υπαγει. **v.10** 𝕋 𝕂: εν μαχαιρα αποκτενει δει αυτον εν μαχαιρα αποκτανθηναι, 𝕄: εν μαχαιρα δει αυτον αποκτανθηναι, 𝕍: εν μαχαιρη αποκτανθηναι αυτον εν μαχαιρη αποκτανθηναι. **v.12** 𝕋 𝕂 𝕍: ποιει, 𝕄: εποιει. **v.12** 𝕋 𝕂: κατοικουντας εν αυτη, 𝕄 𝕍: εν αυτη κατοικουντας. **v.12** 𝕋*: προσκυνησωσιν, 𝕍: προσκυνησουσιν.

καὶ ποιεῖ σημεῖα μεγάλα ἵνα˚ καὶ πῦρ ποιῇ καταβαίνειν ἐκ τοῦ 13
οὐρανοῦ εἰς τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων ⸰ καὶ πλανᾷ τοὺς˚ 14
κατοικοῦντας ἐπὶ τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι
ἐνώπιον τοῦ θηρίου λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι
εἰκόνα τῷ θηρίῳ ὃ˚ ἔχει τὴν πληγὴν τῆς μαχαίρας καὶ ἔζησεν ⸰
καὶ ἐδόθη αὐτῷ δοῦναι˚ πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου ἵνα καὶ 15
λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου καὶ ποιήσῃ ὅσοι˚ ἂν μὴ προσκυ-
νήσωσιν τὴν˚ εἰκόνα τοῦ θηρίου ἵνα ἀποκτανθῶσιν ⸰ καὶ ποιεῖ 16
πάντας τοὺς μικροὺς καὶ τοὺς μεγάλους καὶ τοὺς πλουσίους
καὶ τοὺς πτωχοὺς καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους ἵνα
δώσῃ αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς ἢ ἐπὶ
τῶν˚ μετώπων αὐτῶν ⸰ καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆ- 17
σαι εἰ μὴ ὁ ἔχων τὸ χάραγμα ἢ˚ τὸ ὄνομα τοῦ θηρίου ἢ τὸν
ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ ⸰ ὧδε ἡ σοφία ἐστίν ὁ ἔχων τὸν˚ 18
νοῦν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου ἀριθμὸς γὰρ ἀνθρώ-
που ἐστὶν καὶ˚ ὁ ἀριθμὸς αὐτοῦ $\overline{χξϛ}$˚ ⸰

καὶ εἶδον καὶ ἰδοὺ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος σιὼν καὶ μετ᾽ **14**
αὐτοῦ ἑκατὸν˚ τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄ-
νομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν ⸰
καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν 2
καὶ ὡς φωνὴν βροντῆς μεγάλης καὶ φωνὴν˚ ἤκουσα κιθαρῳ-
δῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν ⸰ καὶ ᾄδουσιν ὡς᾽ ᾠδὴν 3
καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζώων καὶ
τῶν πρεσβυτέρων καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ
ἑκατὸν˚ τεσσαράκοντα τέσσαρες χιλιάδες οἱ ἠγορασμένοι ἀπὸ
τῆς γῆς ⸰ οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν παρ- 4
θένοι γάρ εἰσιν οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου

---

v.13 𝕋 𝕂: ινα και πυρ ποιη καταβαινειν εκ του ουρανου εις, 𝕄: και πυρ ινα εκ του ουρανου καταβαινη επι, 𝕍: ινα και πυρ ποιη εκ του ουρανου καταβαινειν εις. **v.14** 𝕋 𝕂 𝕍: τους κατοικουντας, 𝕄: τους εμους τους κατοικουντας. **v.14** 𝕋 𝕂: ο εχει την πληγην της μαχαιρας και εζησεν, 𝕄: ο ειχε πληγην και εζησε απο της μαχαιρας, 𝕍: ος εχει την πληγην της μαχαιρης και εζησεν. **v.15** 𝕋 𝕂 𝕍: δουναι πνευμα, 𝕄: πνευμα δουναι. **v.15** 𝕋 𝕂: οσοι αν, 𝕄: οσοι εαν, 𝕍: [ινα] οσοι εαν. **v.15** 𝕋 𝕂: την εικονα, 𝕄 𝕍: τη εικονι. **v.15** 𝕋 𝕂: ινα, 𝕄 𝕍: ∅. **v.16** 𝕋 𝕂: δωση, 𝕄: δωσωσιν, 𝕍: δωσιν. **v.16** 𝕋 𝕂 𝕍: χαραγμα, 𝕄: χαραγματα. **v.16** 𝕋 𝕂: των μετωπων, 𝕄 𝕍: το μετωπον. **v.17** 𝕋: μητις, 𝕂 𝕄 𝕍: μη τις. **v.17** 𝕋 𝕂 𝕍: δυνηται, 𝕄: δυναται. **v.17** 𝕋 𝕂: η, 𝕄 𝕍: ∅. **v.18** 𝕋 𝕂: τον νουν, 𝕄 𝕍: νουν, 𝔓47: ουν, ℵ*: ους. **v.18** 𝕋 𝕂 𝕍: και ο αριθμος αυτου, 𝕄: ο αριθμος αυτου, ℵ: ∅, 𝔓47: εστιν δε. **v.18** 𝕋*: $\overline{χξϛ}$, 𝕍: εξακοσιοι εξηκοντα εξ, ℵ: εξακοσιαι εξηκοντα εξ, C: εξακοσιαι δεκα εξ, **XXX**: εξακοσια εξηκοντα πεντε, **XXX**: εξακοσιοι τεσσαρακοντα εξ. **14.v.1** 𝕋 𝕂: αρνιον, 𝕄 𝕍: το αρνιον. **v.1** 𝕋*: εστηκος, 𝕍: εστος. **v.1** 𝕋: εκατον τεσσαρακοντα τεσσαρες, 𝕂: εκατον τεσσαρακοντατεσσαρες, 𝕄: αριθμος $\overline{ρμδ}$, 𝕍: εκατον τεσσερακοντα τεσσαρες. **v.1** 𝕋 𝕂: το, 𝕄 𝕍: το ονομα αυτου και το. **v.2** 𝕋 𝕂: φωνην ηκουσα, 𝕄 𝕍: η φωνη ην ηκουσα ως. **v.3** 𝕋 𝕂: ως, 𝕄: ∅, 𝕍: [ως]. **v.3** 𝕋 𝕂: ηδυνατο, 𝕄 𝕍: εδυνατο. **v.3** 𝕋: εκατον τεσσαρακοντα τεσσαρες, 𝕂: εκατον τεσσαρακοντατεσσαρες, 𝕄: $\overline{ρμδ}$, 𝕍: εκατον τεσσερακοντα τεσσαρες. **v.4** 𝕋*: εισιν, 𝕍: ∅.

ἀν̓ ὑπάγῃ οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ
5 θεῷ καὶ τῷ ἀρνίῳ ⸰ καὶ ἐν˚ τῷ στόματι αὐτῶν οὐχ εὑρέθη δό-
6 λος˚ ἄμωμοι γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ ⸰ καὶ εἶδον
ἄλλον̓ ἄγγελον πετώμενον ἐν μεσουρανήματι ἔχοντα εὐαγγέ-
λιον αἰώνιον εὐαγγελίσαι τοὺς˚ κατοικοῦντας ἐπὶ τῆς γῆς καὶ
7 πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν ⸰ λέγοντα ἐν φωνῇ
μεγάλῃ φοβήθητε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν ὅτι ἦλθεν ἡ ὥρα
τῆς κρίσεως αὐτοῦ καὶ προσκυνήσατε τῷ˚ ποιήσαντι τὸν οὐρα-
8 νὸν καὶ τὴν γῆν καὶ θάλασσαν καὶ πηγὰς ὑδάτων ⸰ καὶ ἄλλος
ἄγγελος ἠκολούθησεν λέγων ἔπεσεν ἔπεσεν βαβυλὼν ἡ˚ πόλις
ἡ μεγάλη ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πε-
9 πότικεν πάντα ἔθνη ⸰ καὶ τρίτος˚ ἄγγελος ἠκολούθησεν αὐτοῖς
λέγων ἐν φωνῇ μεγάλῃ εἴ τις τὸ˚ θηρίον προσκυνεῖ καὶ τὴν εἰ-
κόνα αὐτοῦ καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ
10 ἐπὶ τὴν χεῖρα αὐτοῦ ⸰ καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ
τοῦ θεοῦ τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς
αὐτοῦ καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν˚ ἁγίων
11 ἀγγέλων καὶ ἐνώπιον τοῦ ἀρνίου ⸰ καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ
αὐτῶν ἀναβαίνει˚ εἰς αἰῶνας αἰώνων καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν
ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα
12 αὐτοῦ καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ ⸰ ὧδε
ὑπομονὴ τῶν ἁγίων ἐστὶν ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ
13 καὶ τὴν πίστιν ἰησοῦ ⸰ καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης
μοί γράψον μακάριοι οἱ νεκροὶ οἱ ἐν κυρίῳ ἀποθνήσκοντες
ἀπάρτι ναὶ˚ λέγει τὸ πνεῦμα ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων
14 αὐτῶν τὰ δὲ˚ ἔργα αὐτῶν ἀκολουθεῖ μετ̓ αὐτῶν ⸰ καὶ εἶδον καὶ
ἰδοὺ νεφέλη λευκὴ καὶ ἐπὶ τὴν νεφέλην καθήμενος˚ ὅμοιος υἱῷ
ἀνθρώπου ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν καὶ
15 ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ ⸰ καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ

v.4 𝕋 𝕂 𝕍: αν, 𝕄: εαν. **v.4** 𝕋 𝕂 𝕍: ουτοι, 𝕄: ουτοι υπο ιησου. **v.5** 𝕋 𝕂 𝕍: εν τω στοματι αυτων ουχ ευρεθη, 𝕄: ουχ ευρεθη εν τω στοματι αυτων. **v.5** 𝕋 𝕂: δολος αμωμοι γαρ εισιν ενωπιον του θρονου του θεου, 𝕄: ψευδος αμωμοι γαρ εισι, 𝕍: ψευδος αμωμοι εισιν. **v.6** 𝕋 𝕂 𝕍: αλλον, 𝕄: ∅. **v.6** 𝕋 𝕂: πετωμενον, 𝕄 𝕍: πετομενον. **v.6** 𝕋 𝕂: τους κατοικουντας, 𝕄: τους καθημενους, 𝕍: επι τους καθημενους. **v.6** 𝕋 𝕂: παν, 𝕄 𝕍: επι παν. **v.7** 𝕋 𝕂: λεγοντα, 𝕄 𝕍: λεγων. **v.7** 𝕋 𝕂 𝕍: θεον, 𝕄: κυριον. **v.7** 𝕋 𝕂 𝕍: τω ποιησαντι, 𝕄: αυτον τον ποιησαντα. **v.7** 𝕋 𝕍: θαλασσαν, 𝕂 𝕄: την θαλασσαν. **v.8** 𝕋 𝕂: αγγελος, 𝕄: δευτερος αγγελος, 𝕍: αγγελος δευτερος. **v.8** 𝕋 𝕂 𝕍: επεσεν, 𝕄: ∅. **v.8** 𝕋 𝕂: η πολις η μεγαλη, 𝕄 𝕍: η μεγαλη. **v.8** 𝕋 𝕂: οτι, 𝕄: ∅, 𝕍: η. **v.8** 𝕋 𝕂: εθνη, 𝕄 𝕍: τα εθνη. **v.9** 𝕋 𝕂: τριτος αγγελος, 𝕄 𝕍: αλλος αγγελος τριτος. **v.9** 𝕋 𝕂: το θηριον προσκυνει, 𝕄 𝕍: προσκυνει το θηριον. **v.10** 𝕋*: των αγιων αγγελων, 𝕍: αγγελων αγιων. **v.11** 𝕋 𝕂: αναβαινει εις αιωνας αιωνων, 𝕄 𝕍: εις αιωνας αιωνων αναβαινει. **v.12** 𝕋 𝕂: υπομονη, 𝕄 𝕍: η υπομονη. **v.12** 𝕋 𝕂: ωδε, 𝕄 𝕍: ∅. **v.13** 𝕋 𝕂: μοι, 𝕄 𝕍: ∅. **v.13** 𝕋: απαρτι, 𝕂 𝕄 𝕍: απ αρτι. **v.13** 𝕋 𝕂 𝕍: ναι λεγει, 𝕄: λεγει ναι. **v.13** 𝕋*: αναπαυσωνται, 𝕍: αναπαησονται. **v.13** 𝕋*: δε, 𝕍: γαρ. **v.14** 𝕋 𝕂: καθημενος ομοιος υιω, 𝕄 𝕍: καθημενον ομοιον υιον.

τοῦ ναοῦ κράζων ἐν μεγάλῃ˚ φωνῇ τῷ καθημένῳ ἐπὶ τῆς νεφέ-
λης πέμψον τὸ δρέπανόν σου καὶ θέρισον ὅτι ἦλθέν σοι˚ ἡ ὥρα
τοῦ θερίσαι ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς ⸰ καὶ ἔβαλεν ὁ κα- 16
θήμενος ἐπὶ τὴν˚ νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ
ἐθερίσθη ἡ γῆ ⸰ καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν 17
τῷ οὐρανῷ ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ ⸰ καὶ ἄλλος ἄγγελος 18
ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρὸς καὶ
ἐφώνησεν κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ λέγων
πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ καὶ τρύγησον τοὺς βότρυας
τῆς˚ γῆς ὅτι ἥκμασαν˚ αἱ σταφυλαὶ αὐτῆς ⸰ καὶ ἔβαλεν ὁ ἄγγε- 19
λος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν καὶ ἐτρύγησεν τὴν ἄμπελον
τῆς γῆς καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ τὴν˚ με-
γάλην ⸰ καὶ ἐπατήθη ἡ ληνὸς ἔξω τῆς πόλεως καὶ ἐξῆλθεν αἷμα 20
ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων ἀπὸ σταδίων χιλίων
ἑξακοσίων ⸰

καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστὸν **15**
ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας ὅτι ἐν αὐταῖς
ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ ⸰ καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην 2
μεμιγμένην πυρὶ καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰ-
κόνος αὐτοῦ καὶ ἐκ˚ τοῦ χαράγματος αὐτοῦ ἐκ τοῦ ἀριθμοῦ τοῦ
ὀνόματος αὐτοῦ ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην ἔχοντας
κιθάρας τοῦ θεοῦ ⸰ καὶ ᾄδουσιν τὴν ᾠδὴν μωσέως δούλου τοῦ 3
θεοῦ καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου λέγοντες μεγάλα καὶ θαυμαστὰ
τὰ ἔργα σου κύριε ὁ θεὸς ὁ παντοκράτωρ δίκαιαι καὶ ἀληθι-
ναὶ αἱ ὁδοί σου ὁ βασιλεὺς τῶν ἁγίων ⸰ τίς οὐ μὴ φοβηθῇ σε 4
κύριε καὶ δοξάσῃ τὸ ὄνομά σου ὅτι μόνος ὅσιος ὅτι πάντα˚ τὰ
ἔθνη ἥξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου ὅτι τὰ δικαιώ-
ματά σου ἐφανερώθησαν ⸰ καὶ μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ ἠνοίγη 5
ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ ⸰ καὶ ἐξῆλθον 6
οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ πληγὰς ἐκ˚ τοῦ ναοῦ ἐνδεδυ-
μένοι λίνον καθαρὸν καὶ λαμπρὸν καὶ περιεζωσμένοι περὶ τὰ
στήθη ζώνας χρυσᾶς ⸰ καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων ἔδωκεν τοῖς 7

---

v.15 𝕋 𝕂: μεγαλη φωνη, 𝕄 𝕍: φωνη μεγαλη. **v.15** 𝕋 𝕂: σοι η ωρα του, 𝕄 𝕍: η ωρα. **v.16** 𝕋*: την νεφεληv, 𝕍: της νεφελης. **v.18** 𝕋*: εχων, 𝕍: [ο] εχων. **v.18** 𝕋 𝕂: κραυγη, 𝕄: εν κραυγη, 𝕍: φωνη. **v.18** 𝕋: της γης, 𝕂 𝕄 𝕍: της αμπελου της γης. **v.18** 𝕋 𝕂 𝕍: ηκμασαν αι σταφυλαι αυτης, 𝕄: ηκμασεν η σταφυλη της γης. **v.19** 𝕋 𝕂 𝕍: εβαλεν, 𝕄: εξεβαλεν. **v.19** 𝕋 𝕂: την μεγαλην, 𝕄 𝕍: τον μεγαν. **v.20** 𝕋 𝕂: εξω, 𝕄 𝕍: εξωθεν. **15.v.2** 𝕋 𝕂: εκ του χαραγματος αυτου, 𝕄 𝕍: ∅. **v.2** 𝕋 𝕂 𝕍: κιθαρας, 𝕄: τας κιθαρας. **v.3** 𝕋 𝕂: μωσεως, 𝕄 𝕍: μωυσεως. **v.3** 𝕋: δουλου, 𝕂 𝕄 𝕍: του δουλου. **v.3** 𝕋 𝕂: αγιων, 𝕄 𝕍: εθνων, **xxx**: αιωνων. **v.4** 𝕋*: σε, 𝕍: ∅. **v.4** 𝕋*: δοξαση, 𝕍: δοξασει. **v.4** 𝕋 𝕂 𝕍: οσιος, 𝕄: αγιος. **v.4** 𝕋 𝕂 𝕍: παντα τα εθνη, 𝕄: παντες. **v.5** 𝕋 𝕂: ιδου, 𝕄 𝕍: ∅. **v.6** 𝕋 𝕂: εχοντες, 𝕄: οι εχοντες, 𝕍: [οι] εχοντες. **v.6** 𝕋 𝕂 𝕍: εκ του ναου, 𝕄: οι ησαν. **v.6** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅.

ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς γεμούσας τοῦ θυμοῦ τοῦ
8 θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ⸰ καὶ ἐγεμίσθη ὁ
ναὸς κἀπνοῦ ἐκ τῆς δόξης τοῦ θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ
καὶ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι τελεσθῶσιν αἱ
ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων ⸰

16 καὶ ἤκουσα φωνῆς˚ μεγάλης ἐκ τοῦ ναοῦ λεγούσης τοῖς ἑ-
πτὰ ἀγγέλοις ὑπάγετε καὶ ἐκχέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ
2 θεοῦ εἰς τὴν γῆν ⸰ καὶ ἀπῆλθεν ὁ πρῶτος καὶ ἐξέχεεν τὴν φιά-
λην αὐτοῦ ἐπὶ τὴν γῆν καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν
ἐἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου καὶ
3 τοὺς τῇ˚ εἰκόνι αὐτοῦ προσκυνοῦντας ⸰ καὶ ὁ δεύτερος ἄγγελος
ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν καὶ ἐγένετο αἷμα
4 ὡς νεκροῦ καὶ πᾶσα ψυχὴ ζῶσα˚ ἀπέθανεν ἐν τῇ θαλάσσῃ ⸰ καὶ
ὁ τρίτος ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς
5 καὶ ἐἰς τὰς πηγὰς τῶν ὑδάτων καὶ ἐγένετο αἷμα ⸰ καὶ ἤκουσα
τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος δίκαιος κύριε εἶ ὁ ὢν καὶ
6 ὁ ἦν καὶ˚ ὁ ὅσιος ὅτι ταῦτα ἔκρινας ⸰ ὅτι αἷμα ἁγίων καὶ προ-
φητῶν ἐξέχεαν καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν ἄξιοι γάρ εἰσιν ⸰
7 καὶ ἤκουσα ἄλλου˚ ἐκ τοῦ θυσιαστηρίου λέγοντος ναὶ κύριε
ὁ θεὸς ὁ παντοκράτωρ ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου ⸰
8 καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥ-
λιον καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς˚ ἀνθρώπους ἐν πυρί ⸰
9 καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα καὶ ἐβλασφή-
μησαν˙ τὸ ὄνομα τοῦ θεοῦ τοῦ ἔχοντος ἐξοὐσίαν ἐπὶ τὰς πληγὰς
10 ταύτας καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν ⸰ καὶ ὁ πέμπτος
ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου
καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη καὶ ἐμαὸσῶντο τὰς
11 γλώσσας αὐτῶν ἐκ τοῦ πόνου ⸰ καὶ ἐβλασφήμησαν τὸν θεὸν τοῦ
οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν καὶ οὐ
12 μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν ⸰ καὶ ὁ ἕκτος ἄγγελος ἐξέχεεν
τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν τὸν εὐφράτην καὶ

---

v.8 𝕋 𝕂 𝕍: καπνου, 𝕄: εκ του καπνου. **v.8** 𝕋 𝕂: ηδυνατο, 𝕄 𝕍: εδυνατο. **16.v.1** 𝕋*: φωνης μεγαλης, 𝕍: μεγαλης φωνης. **v.1** 𝕋*: εκχεατε, 𝕍: εκχεετε. **v.1** 𝕋 𝕂: φιαλας, 𝕄 𝕍: επτα φιαλας. **v.2** 𝕋 𝕂: επι, 𝕄 𝕍: εις. **v.2** 𝕋 𝕂: εις, 𝕄 𝕍: επι. **v.2** 𝕋 𝕂: τη εικονι αυτου προσκυνουντας, 𝕄 𝕍: προσκυνουντας τη εικονι αυτου. **v.3** 𝕋*: αγγελος, 𝕍: ∅. **v.3** 𝕋 𝕂: ζωσα απεθανεν, 𝕄: απεθανεν, 𝕍: ζωης απεθανεν τα. **v.4** 𝕋 𝕂: αγγελος, 𝕄 𝕍: ∅. **v.4** 𝕋*: εις, 𝕍: ∅. **v.5** 𝕋 𝕂: κυριε, 𝕄 𝕍: ∅. **v.5** 𝕋: και ο οσιος, 𝕂: και ο εσομενος, 𝕄: οσιος, 𝕍: ο οσιος. **v.6** 𝕋*: εδωκας, 𝕍: [δ]εδωκας. **v.6** 𝕋 𝕂: γαρ, 𝕄 𝕍: ∅. **v.7** 𝕋 𝕂: αλλου εκ, 𝕄 𝕍: ∅. **v.8** 𝕋 𝕂: αγγελος, 𝕄 𝕍: ∅. **v.8** 𝕋 𝕂 𝕍: τους ανθρωπους εν πυρι, 𝕄: εν πυρι τους ανθρωπους. **v.9** 𝕋 𝕂 𝕍: εβλασφημησαν, 𝕄: εβλασφημησαν οι ανθρωποι. **v.9** 𝕋*: εξουσιαν, 𝕍: την εξουσιαν. **v.10** 𝕋 𝕂: αγγελος, 𝕄 𝕍: ∅. **v.10** 𝕋 𝕂: εμασσωντο, 𝕄 𝕍: εμασωντο. **v.12** 𝕋 𝕂: αγγελος, 𝕄 𝕍: ∅. **v.12** 𝕋 𝕂 𝕍: τον, 𝕄: ∅.

ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων
τῶν ἀπὸ ἀνατολῶν ἡλίου ⸰ καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δρά- 13
κοντος καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ ἐκ τοῦ στόματος τοῦ
ψευδοπροφήτου πνεύματα τρία˚ ἀκάθαρτα ὅμοια˚ βατράχοις ⸰
εἰσὶν γὰρ πνεύματα δαιμόνων ποιοῦντα σημεῖα ἐκπορεύεσθαι 14
ἐπὶ τοὺς βασιλεῖς τῆς˚ γῆς καὶ τῆς οἰκουμένης ὅλης συναγα-
γεῖν αὐτοὺς εἰς πόλεμον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ
θεοῦ τοῦ παντοκράτορος ⸰ ἰδοὺ ἔρχομαι ὡς κλέπτης μακάριος 15
ὁ γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ ἵνα μὴ γυμνὸς περι-
πατῇ καὶ βλέπωσιν τὴν ἀσχημοσύνην αὐτοῦ ⸰ καὶ συνήγαγεν 16
αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον ἑβραϊστὶ ἁρμαγεδδών ⸰
καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα 17
καὶ ἐξῆλθεν φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ˚ οὐρανοῦ ἀπὸ τοῦ
θρόνου λέγουσα γέγονεν ⸰ καὶ ἐγένοντο φωναὶ˚ καὶ βρονταὶ καὶ 18
ἀστραπαὶ καὶ σεισμὸς ἐγένετο μέγας οἷος οὐκ ἐγένετο ἀφ˚ οὗ
οἱ˚ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς τηλικοῦτος σεισμὸς οὕτως
μέγας ⸰ καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη καὶ αἱ πό- 19
λεις τῶν ἐθνῶν ἔπεσὸν καὶ βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον
τοῦ θεοῦ δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς
ὀργῆς αὐτοῦ ⸰ καὶ πᾶσα νῆσος ἔφυγεν καὶ ὄρη οὐχ εὑρέθησαν ⸰ 20
καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ 21
ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν
ἐκ τῆς πληγῆς τῆς χαλάζης ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς˚
σφόδρα ⸰

καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιά- **17**
λας καὶ ἐλάλησεν μετ˚ ἐμοῦ λέγων μοὶ δεῦρο δείξω σοι τὸ κρίμα
τῆς πόρνης τῆς μεγάλης τῆς καθημένης ἐπὶ τῶν ὑδάτων τῶν
πολλῶν ⸰ μεθ˚ ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς καὶ ἐμεθύσθη- 2
σαν ἐκ˚ τοῦ οἴνου τῆς πορνείας αὐτῆς οἱ κατοικοῦντες τὴν γῆν ⸰
καὶ ἀπήνεγκέν με εἰς ἔρημον ἐν˚ πνεύματι καὶ εἶδον γυναῖκα 3

---

v.12 𝕋 𝕂: ανατολων, 𝕄 𝕍: ανατολης. **v.13** 𝕋 𝕂 𝕍: τρια ακαθαρτα, 𝕄: ακαθαρτα τρια. **v.13** 𝕋 𝕂: ομοια βατραχοις, 𝕄 𝕍: ως βατραχοι. **v.14** 𝕋 𝕂: δαιμονων, 𝕄 𝕍: δαιμονιων. **v.14** 𝕋: εκπορευεσθαι, 𝕂 𝕄 𝕍: α εκπορευεται. **v.14** 𝕋 𝕂: της γης και της οικουμενης, 𝕄 𝕍: της οικουμενης. **v.14** 𝕋: πολεμον, 𝕂 𝕄 𝕍: τον πολεμον. **v.14** 𝕋*: εκεινης, 𝕍: ∅. **v.16** 𝔼: τον, 𝔎: ∅. **v.16** 𝕋 𝕂: ἁρμαγεδδών, 𝕄: μαγεδών, 𝕍: ἁρμαγεδών, **XXX**: μαγεδδων. **v.17** 𝕋 𝕂: αγγελος, 𝕄 𝕍: ∅. **v.17** 𝕋 𝕂: εις, 𝕄 𝕍: επι. **v.17** 𝔼: μεγαλη, A: ∅. **v.17** 𝕋*: απο, 𝕍: εκ. **v.17** 𝕋*: του ουρανου, 𝕍: ∅. **v.18** 𝕋 𝕂: φωναι και βρονται και αστραπαι, 𝕄: αστραπαι και βρονται και φωναι, 𝕍: αστραπαι και φωναι και βρονται. **v.18** 𝕋 𝕂 𝕍: εγενετο, 𝕄: ∅. **v.18** 𝕋*: οι ανθρωποι εγενοντο, 𝕍: ανθρωπος εγενετο. **v.19** 𝕋*: επεσον, 𝕍: επεσαν. **v.21** 𝕋 𝕂 𝕍: αυτης, 𝕄: αυτη. **17.v.1** 𝔼: εκ, 𝔎: ∅. **v.1** 𝕋 𝕂: μοι, 𝕄 𝕍: ∅. **v.1** 𝕋*: των, 𝕍: ∅. **v.2** 𝔼: επορνευσαν, 𝔎: εποιησαν πορνειαν. **v.2** 𝕋 𝕂: εκ του οινου της πορνειας αυτης οι κατοικουντες την γην, 𝕄 𝕍: οι κατοικουντες την γην εκ του οινου της πορνειας αυτης. **v.3** 𝔼: εν, **XXX**: ∅.

καθημένην ἐπὶ θηρίον κόκκινον γέμον˚ ὀνομάτων βλασφημίας
4 ἔχὸν κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα ◦ καὶ ἡ γυνὴ ἦ˚ περιβεβλη-
μένη πορφύρᾳ˚ καὶ κόκκινῳ καὶ κεχρυσωμένη χρυσῷ καὶ λίθῳ
τιμίῳ καὶ μαργαρίταις ἔχουσα χρυσοῦν˚ ποτήριον ἐν τῇ χειρὶ
αὐτῆς γέμον βδελυγμάτων καὶ ἀκἀθάρτητος πορνείας αὐτ̈ῆς ◦
5 καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον μυστήριον βα-
βυλὼν ἡ μεγάλη ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων
6 τῆς γῆς ◦ καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ˚ τοῦ αἵματος τῶν
ἁγίων κἀὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων ἰηὁοῦ καὶ ἐθαύμασα
7 ἰδὼν αὐτὴν θαῦμα μέγα ◦ καὶ εἶπέν μοι ὁ ἄγγελος διατ̈ὶ ἐθαύμα-
σας ἐγώ σοι˚ ἐρῶ τὸ μυστήριον τῆς γυναικὸς καὶ τοῦ θηρίου τοῦ
βαστάζοντος αὐτὴν τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα
8 κέρατα ◦ θἠρίον ὃ εἶδες ἦν καὶ οὐκ ἔστιν καὶ μέλλει ἀναβαίνειν
ἐκ τῆς ἀβύσσου καὶ εἰς ἀπώλειαν ὑπάγειν̈ καὶ θαυμάσὀνται οἱ
κατοικοῦντες ἐπὶ˚ τῆς γῆς ὧν οὐ γέγραπται τὰ˚ ὀνόματα ἐπὶ τὸ˚
βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου βλέποντες˚ τὸ θηρίον
9 ὅ τι ἦν καὶ οὐκ ἔστιν καίπερ˚ ἐστίν ◦ ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν
αἱ ἑπτὰ κεφαλαὶ ὄρη˚ εἰσὶν ἑπτὰ ὅπου ἡ γυνὴ κάθηται ἐπ᾽ αὐ-
10 τῶν ◦ καὶ βασιλεῖς ἑπτά˚ εἰσιν οἱ πέντε ἔπεσἀν κἀὶ ὁ εἷς ἔστιν
ὁ ἄλλος οὔπω ἦλθεν καὶ ὅταν ἔλθῃ ὀλίγον αὐτὸν˚ δεῖ μεῖναι ◦
11 καὶ τὸ θηρίον ὃ ἦν καὶ οὐκ ἔστιν καὶ ἀὐτὸς ὄγδοός ἐστιν καὶ
12 ἐκ τῶν ἑπτά ἐστιν καὶ εἰς ἀπώλειαν ὑπάγει ◦ καὶ τὰ δέκα κέρατα
ἃ εἶδες δέκα βασιλεῖς εἰσιν οἵτινες βασιλείαν οὔπω ἔλαβον ἀλλ᾽
ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσιν μετὰ τοῦ θηρίου ◦
13 οὗτοι μίαν γνώμην˚ ἔχουσιν καὶ τὴν δύναμιν καὶ τὴν˚ ἐξουσίαν
14 ἑαυτῶν τῷ θηρίῳ διἀδιδώσουσιν ◦ οὗτοι μετὰ τοῦ ἀρνίου πολε-
μήσουσιν καὶ τὸ ἀρνίον νικήσει αὐτοὺς ὅτι κύριος κυρίων ἐστὶν
καὶ βασιλεὺς βασιλέων καὶ οἱ μετ᾽ αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ

---

v.3 𝕋 𝕂 𝕍: κοκκινον, 𝕄: το κοκκινον. **v.3** 𝕋 𝕂: γεμον ονοματων, 𝕄: γεμον ονοματα, 𝕍: γεμον[τα] ονοματα. **v.3** 𝕋*: εχον, 𝕍: εχων. **v.4** 𝕋: ἡ, 𝕂 𝕄 𝕍: ἦν. **v.4** 𝕋 𝕂: πορφυρα και κοκκινω και κεχρυσωμενη χρυσω, 𝕄: πορφυρουν και κοκκινον κεχρυσωμενη χρυσιω, 𝕍: πορφυρουν και κοκκινον και κεχρυσωμενη χρυσιω. **v.4** 𝕋 𝕂: χρυσουν ποτηριον, 𝕄 𝕍: ποτηριον χρυσουν. **v.4** 𝕋 𝕂: ακαθαρτητος, 𝕄 𝕍: τα ακαθαρτα της. **v.4** 𝕋 𝕂 𝕍: αυτης, 𝕄: της γης, ℵ: αυτης και της γης. **v.6** 𝕋 𝕂 𝕍: εκ του αιματος, 𝕄: του αιματος, ℵ: τω αιματι. **v.6** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.6** 𝔼: ιησου, **XXX**: ∅. **v.7** 𝕋 𝕂: διατι, 𝕄 𝕍: δια τι. **v.7** 𝕋 𝕂: σοι ερω, 𝕄 𝕍: ερω σοι. **v.8** 𝕋: θηριον, 𝕂 𝕄 𝕍: το θηριον. **v.8** 𝕋*: υπαγειν, 𝕍: υπαγει. **v.8** 𝕋*: θαυμασονται, 𝕍: θαυμασθησονται. **v.8** 𝕋 𝕂 𝕍: επι της γης, 𝕄: την γην. **v.8** 𝕋 𝕂: τα ονοματα, 𝕄 𝕍: το ονομα. **v.8** 𝕋 𝕂 𝕍: το βιβλιον, 𝕄: του βιβλιου. **v.8** 𝕋 𝕂: βλεποντες το θηριον ο τι ην, 𝕄: βλεποντων οτι ην το θηριον, 𝕍: βλεποντων το θηριον οτι ην. **v.8** 𝕋 𝕂: καιπερ εστιν, 𝕄 𝕍: και παρεσται. **v.9** 𝕋 𝕂: ορη εισιν επτα, 𝕄 𝕍: επτα ορη εισιν. **v.10** 𝕋 𝕂 𝕍: επτα εισιν, 𝕄: εισιν επτα. **v.10** 𝕋 𝕂 𝕍: επεσαν, 𝕄: επεσον. **v.10** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.10** 𝕋 𝕂 𝕍: αυτον δει, 𝕄: δει αυτον. **v.11** 𝕋 𝕂 𝕍: αυτος, 𝕄: ουτος. **v.12** 𝕋*: αλλ, 𝕍: αλλα. **v.13** 𝕋 𝕂 𝕍: γνωμην εχουσιν, 𝕄: εχουσιν γνωμην. **v.13** 𝕋 𝕂: την εξουσιαν εαυτων, 𝕄 𝕍: εξουσιαν αυτων. **v.13** 𝕋 𝕂: διαδιδωσουσιν, 𝕄 𝕍: διδοασιν.

καὶ πιστοί· καὶ λέγει μοι τὰ ὕδατα ἃ εἶδες οὗ ἡ πόρνη κάθηται 15
λαοὶ καὶ ὄχλοι εἰσὶν καὶ ἔθνη καὶ γλῶσσαι· καὶ τὰ δέκα κέρατα 16
ἃ εἶδες ἐπὶ τὸ θηρίον οὗτοι μισήσουσιν τὴν πόρνην καὶ ἠρη-
μωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνὴν καὶ τὰς σάρκας αὐτῆς
φάγονται καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί· ὁ γὰρ θεὸς ἔδωκεν 17
εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ καὶ ποιῆσαι
μίαν˚ γνώμην καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ ἄχρι τε-
λεσθῇ˚ τὰ ῥήματα τοῦ θεοῦ· καὶ ἡ γυνὴ ἣν εἶδες ἔστιν ἡ πόλις 18
ἡ μεγάλη ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς·

18 καὶ μετὰ ταῦτα εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ
ἔχοντα ἐξουσίαν μεγάλην καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐ-
τοῦ· καὶ ἔκραξεν ἐν˚ ἰσχύϊ φωνῇ μεγάλῃ λέγων ἔπεσεν ἔπεσεν 2
βαβυλὼν ἡ μεγάλη καὶ ἐγένετο κατοικητήριον δαιμόνων καὶ φυ-
λακὴ παντὸς πνεύματος ἀκαθάρτου καὶ φυλακὴ παντὸς ὀρνέου
ἀκαθάρτου καὶ μεμισημένου· ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς 3
πορνείας αὐτῆς πέπωκεν πάντα τὰ ἔθνη καὶ οἱ βασιλεῖς τῆς γῆς
μετ᾽ αὐτῆς ἐπόρνευσαν καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως
τοῦ στρήνους αὐτῆς ἐπλούτησαν· καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ 4
τοῦ οὐρανοῦ λέγουσαν ἐξέλθετε ἐξ˚ αὐτῆς ὁ λαός μου ἵνα μὴ
συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς καὶ ἵνα˚ μὴ λάβητε ἐκ
τῶν πληγῶν αὐτῆς· ὅτι ἠκολούθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι 5
τοῦ οὐρανοῦ καὶ ἐμνημόνευσεν ὁ θεὸς τὰ ἀδικήματα αὐτῆς·
ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν καὶ διπλώσατε αὐτῇ 6
διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς ἐν τῷ ποτηρίῳ ᾧ ἐκέρασεν κεράσατε
αὐτῇ διπλοῦν· ὅσα ἐδόξασεν ἑαυτὴν καὶ ἐστρηνίασεν τοσοῦτον 7
δότε αὐτῇ βασανισμὸν καὶ πένθος ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει
κάθημαι βασίλισσα καὶ χήρα οὐκ εἰμὶ καὶ πένθος οὐ μὴ ἴδω·
διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς θάνατος καὶ 8
πένθος καὶ λιμὸς καὶ ἐν πυρὶ κατακαυθήσεται ὅτι ἰσχυρὸς κύ-
ριος ὁ θεὸς ὁ κρίνων αὐτήν· καὶ κλαύσονται˚ αὐτὴν καὶ κόψον- 9

---

v.16 𝕋 𝕂: επι, 𝕄 𝕍: και. **v.16** 𝕋 𝕂 𝕍: γυμνην, 𝕄: γυμνην ποιησουσιν αυτην. **v.17** 𝕋 𝕂 𝕍: μιαν γνωμην, 𝕄: γνωμην μιαν. **v.17** 𝕋 𝕂: τελεσθη τα ρηματα, 𝕄: τελεσθωσιν οι λογοι, 𝕍: τελεσθησονται οι λογοι. **v.18** 𝕋 𝕂 𝕍: της, 𝕄: επι της. **18.v.1** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.1** 𝕋: αγγελον, 𝕂 𝕄 𝕍: αλλον αγγελον. **v.2** 𝕋 𝕂: εν ισχυι, 𝕄: ισχυρα, 𝕍: εν ισχυρα. **v.2** 𝕋 𝕂: μεγαλη, 𝕄 𝕍: ∅. **v.2** 𝕋 𝕂 𝕍: επεσεν, 𝕄: ∅. **v.2** 𝕋*: δαιμονων, 𝕍: δαιμονιων. **v.2** 𝕋*: ακαθαρτου, 𝕍: ακαθαρτου [και φυλακη παντος θηριου ακαθαρτου]. **v.3** 𝕋 𝕂: πεπωκεν, 𝕄: πεπωκασι, 𝕍: πεπωκαν. **v.4** 𝕋 𝕂: εξελθετε, 𝕄: εξελθε, 𝕍: εξελθατε. **v.4** 𝕋*: εξ αυτης ο λαος μου, 𝕍: ο λαος μου εξ αυτης. **v.4** 𝕋 𝕂: ινα μη λαβητε εκ των πληγων αυτης, 𝕄 𝕍: εκ των πληγων αυτης ινα μη λαβητε. **v.5** 𝕋: ηκολουθησαν, 𝕂 𝕄 𝕍: εκολληθησαν. **v.5** 𝕋 𝕂 𝕍: εμνημονευσεν, 𝕄: εμνημονευσεν αυτης. **v.6** 𝕋 𝕂: υμιν, 𝕄 𝕍: ∅. **v.6** 𝕋 𝕂: αυτη διπλα, 𝕄: τα διπλα ως και αυτη και, 𝕍: τα διπλα. **v.6** 𝕋 𝕂 𝕍: ποτηριω, 𝕄: ποτηριω αυτης. **v.7** 𝕋 𝕂: εαυτην, 𝕄 𝕍: αυτην. **v.7** 𝕋 𝕂: λεγει, 𝕄 𝕍: λεγει οτι. **v.8** 𝕋 𝕂 𝕍: και, 𝕄: ∅. **v.8** 𝕋 𝕂: κρινων, 𝕄 𝕍: κρινας. **v.9** 𝕋 𝕂: κλαυσονται αυτην, 𝕄 𝕍: κλαυσουσιν.

ται ἐπ᾽ αὐτ῍ῇ οἱ βασιλεῖς τῆς γῆς οἱ μετ᾽ αὐτῆς πορνεύσαντες καὶ
στρηνιάσαντες ὅταν βλέπωσιν τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς ⸰
10 ἀπὸ μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς
λέγοντες οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη βαβυλὼν ἡ πόλις ἡ ἰσχυ-
11 ρὰ ὅτι ἐν᾽ μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου ⸰ καὶ οἱ ἔμποροι τῆς γῆς
κλα῍ίουσιν καὶ πενθο῍ῦσιν ἐπ᾽ αὐτ῍ῇ ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς
12 ἀγοράζει οὐκ᾽ ἔτι ⸰ γόμον χρυσοῦ καὶ ἀργύρου καὶ λίθου τιμίου
καὶ μαργαρίτο῍υ καὶ βύσσο῍υ καὶ πορφύρᾶς καὶ σῆρικοῦ καὶ
κοκκίνου καὶ πᾶν ξύλον θύϊνον καὶ πᾶν σκεῦος ἐλεφάντινον
καὶ πᾶν σκεῦος ἐκ ξύλο῍υ τιμιωτάτου καὶ χαλκοῦ καὶ σιδήρου
13 καὶ μαρμάρου ⸰ καὶ κιν᾽άμωμον καὶ θυμιάματα καὶ μύρον καὶ
λίβανον καὶ οἶνον καὶ ἔλαιον καὶ σεμίδαλιν καὶ σῖτον καὶ κτήνη᾽
καὶ πρόβατα καὶ ἵππων καὶ ῥε῍δῶν καὶ σωμάτων καὶ ψυχὰς ἀν-
14 θρώπων ⸰ καὶ ἡ ὀπώρα τῆς᾽ ἐπιθυμίας τῆς ψυχῆς σου ἀπῆλθεν
ἀπὸ σοῦ καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπ῍ῆλθεν ἀπὸ
15 σοῦ καὶ οὐκ᾽ ἔτι οὐ᾽ μὴ εὑρήσῃς αὐτά ⸰ οἱ ἔμποροι τούτων οἱ
πλουτήσαντες ἀπ᾽ αὐτῆς ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φό-
16 βον τοῦ βασανισμοῦ αὐτῆς κ῍λαίοντες καὶ πενθοῦντες ⸰ κ῍αὶ λέ-
γοντες οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη ἡ περιβεβλημένη βύσσι῍νον
καὶ πορφυροῦν καὶ κόκκινον καὶ κεχρυσωμένη ἐν᾽ χρυσῷ᾽ καὶ
17 λίθῳ τιμί῍ῳ καὶ μαργαρίτ῍αις ⸰ ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος
πλοῦτος καὶ πᾶς κυβερνήτης καὶ πᾶς ἐπὶ᾽ τῶν πλοίων ὁ ὅμιλος
καὶ ναῦται καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται ἀπὸ μακρόθεν
18 ἔστησαν ⸰ καὶ ἔκραζον ὁ῍ρῶντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς
19 λέγοντες τίς ὁμοία τ῍ῇ πόλει τ῍ῇ μεγάλῃ ⸰ καὶ ἔβαλον χοῦν ἐπὶ τὰς
κεφαλὰς αὐτῶν καὶ ἔκραζον κλαίοντες καὶ πενθοῦντες λέ῍γοντες
οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη ἐν ᾗ᾽ ἐπλούτησαν πάντες οἱ ἔχον-
τες π῍λοῖα ἐν τ῍ῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς ὅτι μιᾷ ὥρᾳ
20 ἠρημώθη ⸰ εὐφραίνου ἐπ᾽ αὐτ῍ῇ οὐρανὲ καὶ οἱ ἅγιοι ἀπ῍όστολοι
21 καὶ οἱ προφῆται ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς ⸰ καὶ

---

v.9 𝕋 𝕂: αυτη, 𝕄 𝕍: αυτην. **v.10** 𝕋 𝕂: εν, 𝕄 𝕍: ∅. **v.11** 𝕋 𝕂 𝕍: κλαιουσιν, 𝕄: κλαυσουσιν. **v.11** 𝕋 𝕂 𝕍: πενθουσιν, 𝕄: πενθησουσιν. **v.11** 𝕋*: αυτη, 𝕍: αυτην. **v.11** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.12** 𝕋*: μαργαριτου, 𝕍: μαργαριτων. **v.12** 𝕋 𝕂: βυσσου, 𝕄 𝕍: βυσσινου. **v.12** 𝕋 𝕂 𝕍: πορφυρας, 𝕄: πορφυρου. **v.12** 𝕋*: σηρικου, 𝕍: σιρικου. **v.12** 𝔼: ξυλου, 𝔸: λιθου. **v.13** 𝕋*: κιναμωμον, 𝕍: κινναμωμον και αμωμον. **v.13** 𝕋 𝕂 𝕍: κτηνη και προβατα, 𝕄: προβατα και κτηνη. **v.13** 𝕋 𝕂 𝕍: ρεδων, 𝕄: ραιδων. **v.14** 𝕋*: της επιθυμιας της ψυχης σου, 𝕍: σου της επιθυμιας της ψυχης. **v.14** 𝕋 𝕂: απηλθεν, 𝕄 𝕍: απωλετο. **v.14** 𝕋: ουκ ετι, 𝕂 𝕄 𝕍: ουκετι. **v.14** 𝕋 𝕂: ου μη ευρησης αυτα, 𝕄: αυτα ου μη ευρης, 𝕍: ου μη αυτα ευρησουσιν. **v.15** 𝕋 𝕂 𝕍: κλαιοντες, 𝕄: και κλαιοντες. **v.16** 𝕋*: και, 𝕍: ∅. **v.16** 𝕋 𝕂 𝕍: βυσσινον, 𝕄: βυσσον. **v.16** 𝕋 𝕂: εν χρυσω, 𝕄: χρυσιω, 𝕍: [εν] χρυσιω. **v.16** 𝕋*: μαργαριταις, 𝕍: μαργαριτη. **v.17** 𝕋 𝕂: επι των πλοιων ο ομιλος, 𝕄 𝕍: ο επι τοπον πλεων. **v.18** 𝕋 𝕂: ορωντες, 𝕄 𝕍: βλεποντες. **v.19** 𝕋 𝕂 𝕍: λεγοντες, 𝕄: και λεγοντες. **v.19** 𝕋 𝕂: πλοια, 𝕄 𝕍: τα πλοια. **v.20** 𝕋 𝕂: αυτην, 𝕄 𝕍: αυτη. **v.20** 𝕋 𝕂: αποστολοι, 𝕄 𝕍: και οι αποστολοι.

ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλὸν μέγαν καὶ ἔβαλεν εἰς
τὴν θάλασσαν λέγων οὕτως ὁρμήματι βληθήσεται βαβυλὼν ἡ
μεγάλη πόλις καὶ οὐ μὴ εὑρεθῇ ἔτι ◦ καὶ φωνὴ κιθαρῳδῶν καὶ 22
μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ
ἔτι καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι καὶ
φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι ◦ καὶ φῶς λύχνου οὐ μὴ 23
φανῇ ἐν σοὶ ἔτι καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ
ἐν σοὶ ἔτι ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς ὅτι ἐν
τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη ◦ καὶ ἐν αὐτῇ 24
αἱμὰ προφητῶν καὶ ἁγίων εὑρέθη καὶ πάντων τῶν ἐσφαγμένων
ἐπὶ τῆς γῆς ◦

κἀι μετὰ ταῦτα ἤκουσα φωνὴν˚ ὄχλου πολλοῦ μεγάλην ἐν τῷ **19**
οὐρανῷ λέγοντὸς ἀλληλούϊα ἡ σωτηρία καὶ ἡ δόξα˚ καὶ ἡ τιμὴ
καὶ ἡ δύναμις κυρίῳ τῷ θεῷ ἡμῶν ◦ ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ 2
κρίσεις αὐτοῦ ὅτι ἔκρινεν τὴν πόρνην τὴν μεγάλην ἥτις ἔφθειρεν
τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς καὶ ἐξεδίκησεν τὸ αἷμα τῶν δούλων
αὐτοῦ ἐκ ἧς χειρὸς αὐτῆς ◦ καὶ δεύτερον εἴρηκἀν ἀλληλούϊα 3
καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων ◦ καὶ 4
ἔπεσἀν οἱ πρεσβύτεροι οἱ εἴκοσι κἀι τέσσαρες καὶ τὰ τέσσαρα
ζῶα καὶ προσεκύνησαν τῷ θεῷ τῷ καθημένῳ ἐπὶ τοῦ˚ θρόνου
λέγοντες ἀμὴν ἀλληλούϊα ◦ καὶ φωνὴ ἐκ̀ τοῦ θρόνου ἐξῆλθεν 5
λέγουσα αἰνεῖτε τὸν˚ θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ καὶ οἱ
φοβούμενοι αὐτὸν κἀι οἱ μικροὶ καὶ οἱ μεγάλοι ◦ καὶ ἤκουσα 6
ὡς φωνὴν ὄχλου πολλοῦ καὶ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς
φωνὴν βροντῶν ἰσχυρῶν λέγοντἀς ἀλληλούϊα ὅτι ἐβασίλευσεν
κύριος ὁ θεὸς ὁ παντοκράτωρ ◦ χαίρωμεν καὶ ἀγαλλιώμεθα˚ καὶ 7
δῶμεν τὴν δόξαν αὐτῷ ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου καὶ ἡ γυ-
νὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν ◦ καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται 8
βύσσινον καθαρὸν˚ καὶ λαμπρὸν τὸ γὰρ βύσσινον τὰ δικαιώμα-
τά ἐστιν˚ τῶν ἁγίων ◦ καὶ λέγει μοι γράψον μακάριοι οἱ εἰς τὸ 9
δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι καὶ λέγει μοι οὗτοι

---

v.21 𝕋*: μυλον, 𝕍: μυλινον. **v.23** 𝕋 𝕂 𝕍: οτι, 𝕄: ∅. **v.24** 𝕋 𝕂 𝕍: αιμα, 𝕄: αιματα. **19.v.1** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.1** 𝕋 𝕂: φωνην οχλου πολλου μεγαλην, 𝕄 𝕍: ως φωνην μεγαλην οχλου πολλου. **v.1** 𝕋 𝕂: λεγοντος, 𝕄 𝕍: λεγοντων. **v.1** 𝕋 𝕂: δοξα και η τιμη και η δυναμις κυριω τω θεω, 𝕄: δυναμις και η δοξα του θεου, 𝕍: δοξα και η δυναμις του θεου. **v.2** 𝕋 𝕂 𝕍: εφθειρεν, 𝕄: διεφθειρε. **v.2** 𝕋 𝕂: της, 𝕄 𝕍: ∅. **v.3** 𝕋 𝕂 𝕍: ειρηκαν, 𝕄: ειρηκεν. **v.4** 𝕋 𝕂 𝕍: επεσαν, 𝕄: επεσον. **v.4** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂: του θρονου, 𝕄 𝕍: τω θρονω. **v.5** 𝕋 𝕂: εκ, 𝕄 𝕍: απο. **v.5** 𝕋*: τον θεον, 𝕍: τω θεω. **v.5** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.6** 𝕋 𝕂: λεγοντας, 𝕄: λεγοντες, 𝕍: λεγοντων. **v.6** 𝕋 𝕂: θεος, 𝕄: θεος ημων, 𝕍: θεος [ημων]. **v.7** 𝕋*: αγαλλιωμεθα και δωμεν, 𝕍: αγαλλιωμεν και δωσωμεν. **v.8** 𝕋 𝕂: καθαρον και λαμπρον, 𝕄: λαμπρον και καθαρον, 𝕍: λαμπρον καθαρον. **v.8** 𝕋 𝕂: εστιν των αγιων, 𝕄 𝕍: των αγιων εστιν. **v.9** 𝕋 𝕂 𝕍: το, 𝕄: τον.

10 οἱ λόγοι ἀληθινοί εἰσιν˚ τοῦ θεοῦ ⸓ καὶ ἔπεσὸν ἔμπροσθεν τῶν
ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ καὶ λέγει μοι ὅρα μὴ σύνδου-
λός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν
τοῦ ἰησοῦ τῷ θεῷ προσκύνησον ἡ γὰρ μαρτυρία τοῦ ἰησοῦ ἐστιν
11 τὸ πνεῦμα τῆς προφητείας ⸓ καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον
καὶ ἰδοὺ ἵππος λευκὸς καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν καλούμενος
12 πιστὸς καὶ ἀληθινὸς καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ ⸓ οἱ
δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς̣ φλὸξ πυρὸς καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ
διαδήματα πολλὰ ἔχων ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ
13 μὴ αὐτός ⸓ καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι καὶ
14 κἀλεῖται τὸ ὄνομα αὐτοῦ ὁ λόγος τοῦ θεοῦ ⸓ καὶ τὰ στρατεύματα
ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐφ᾽ ἵπποις λευκοῖς ἐνδεδυμένοι
15 βύσσινον λευκὸν κἀι καθαρόν ⸓ καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκ-
πορεύεται ῥομφαίἀ ὀξεῖα ἵνα ἐν αὐτῇ πατάσῃ τὰ ἔθνη καὶ αὐ-
τὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ καὶ αὐτὸς πατεῖ τὴν ληνὸν
τοῦ οἴνου τοῦ θυμοῦ κἀι τῆς ὀργῆς τοῦ θεοῦ τοῦ παντοκράτο-
16 ρος ⸓ καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ τὸ ὄνομα
17 γεγραμμένον βασιλεὺς βασιλέων καὶ κύριος κυρίων ⸓ καὶ εἶδον
ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ καὶ ἔκραξεν φωνῇ μεγάλῃ λέγων
πᾶσιν τοῖς ὀρνέοις τοῖς πετωμένοις ἐν μεσουρανήματι δεῦτε καὶ˚
18 συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ˚ μεγάλου θεοῦ ⸓ ἵνα φάγητε σάρ-
κας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν καὶ
σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ᾽ αὐτῶν καὶ σάρκας πάντων
19 ἐλευθέρων κἀι δούλων καὶ μικρῶν κἀι μεγάλων ⸓ καὶ εἶδον τὸ
θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύματα αὐτῶν συ-
νηγμένα ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου
20 καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ ⸓ καὶ ἐπιάσθη τὸ θηρίον καὶ
μετὰ˚ τούτου ὁ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον
αὐτοῦ ἐν οἷς ἐπλάνησεν τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου
καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ ζῶντες ἐβλήθησαν οἱ
21 δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν˚ καιομένην ἐν τῷ θείῳ ⸓ καὶ

---

v.9 𝕋 𝕂: εισιν του θεου, 𝕄 𝕍: του θεου εισιν. **v.10** 𝕋 𝕂: επεσον, 𝕄 𝕍: επεσα. **v.10** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.10** 𝕋*: του, 𝕍: ∅. **v.11** 𝕋*: ανεωγμενον, 𝕍: ηνεωγμενον. **v.12** 𝕋 𝕂: ως, 𝕄: ∅, 𝕍: [ως]. **v.12** 𝕋 𝕂 𝕍: ονομα, 𝕄: ονοματα γεγραμμενα και ονομα. **v.13** 𝔼: βεβαμμενον, **xxx**: ερραντισμενον. **v.13** 𝕋 𝕂: καλειται, 𝕄 𝕍: κεκληται. **v.14** 𝕋: εν, 𝕂 𝕄: τα εν, 𝕍: [τα] εν. **v.14** 𝕋 𝕂 𝕍: εφ, 𝕄: επι. **v.14** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.15** 𝕋 𝕂 𝕍: ρομφαια, 𝕄: ρομφαια διστομος. **v.15** 𝕋 𝕂: παταση, 𝕄 𝕍: παταξη. **v.15** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.16** 𝕋: το, 𝕂 𝕄 𝕍: ∅. **v.17** 𝕋 𝕂 𝕍: ενα, 𝕄: ∅. **v.17** 𝕋 𝕂: φωνη, 𝕄: εν φωνη, 𝕍: [εν] φωνη. **v.17** 𝕋 𝕂: πετωμενοις, 𝕄 𝕍: πετομενοις. **v.17** 𝕋 𝕂: και συναγεσθε, 𝕄 𝕍: συναχθητε. **v.17** 𝕋 𝕂 𝕍: το, 𝕄: τον. **v.17** 𝕋 𝕂: του μεγαλου, 𝕄: τον μεγαν του, 𝕍: το μεγα του. **v.18** 𝕋: και, 𝕂 𝕄 𝕍: τε και. **v.18** 𝕋 𝕂 𝕍: και, 𝕄: τε και. **v.19** 𝕋 𝕂: πολεμον, 𝕄 𝕍: τον πολεμον. **v.20** 𝕋 𝕂: μετα τουτου ο, 𝕄: ο μετ αυτου, 𝕍: μετ αυτου ο. **v.20** 𝕋*: την καιομενην, 𝕍: της καιομενης. **v.20** 𝕋 𝕂: τω, 𝕄 𝕍: ∅.

οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ
ἵππου τῇ ἐκπορευομένῃ ἐκ τοῦ στόματος αὐτοῦ καὶ πάντα τὰ
ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν ◦

καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ ἔχοντα τὴν **20**
κλεῖδα τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ ◦
καὶ ἐκράτησεν τὸν δράκοντα τὸν˚ ὄφιν τὸν ἀρχαῖον ὅς ἐστιν διά- 2
βολος καὶ σατανᾶς καὶ ἔδησεν αὐτὸν χίλια ἔτη ◦ καὶ ἔβαλεν αὐ- 3
τὸν εἰς τὴν ἄβυσσον καὶ ἔκλεισεν αὐτὸν καὶ ἐσφράγισεν ἐπάνω
αὐτοῦ ἵνα μὴ πλανήσῃ˚ τὰ ἔθνη ἔτι ἄχρι τελεσθῇ τὰ χίλια ἔτη
κἀι μετὰ ταῦτα δεῖ αὐτὸν˚ λυθῆναι μικρὸν χρόνον ◦ καὶ εἶδον 4
θρόνους καὶ ἐκάθισαν ἐπ᾽ αὐτοὺς καὶ κρίμα ἐδόθη αὐτοῖς καὶ
τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν ἰησοῦ καὶ
διὰ τὸν λόγον τοῦ θεοῦ καὶ οἵτινες οὐ προσεκύνησαν τῷ˚ θη-
ριῷ οὔτε τὴν εἰκόνα αὐτοῦ καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ
μέτωπον αὐτῶν καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν καὶ ἔζησαν καὶ ἐβασί-
λευσαν μετὰ χριστοῦ τὰ χίλια ἔτη ◦ οἱ˚ δὲ λοιποὶ τῶν νεκρῶν οὐκ 5
ἀνέζησαν˚ ἕως τελεσθῇ τὰ χίλια ἔτη αὕτη ἡ ἀνάστασις ἡ πρώτη ◦
μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ ἐπὶ 6
τούτων ὁ˚ θάνατος ὁ δεύτερος οὐκ ἔχει ἐξουσίαν ἀλλ᾽ ἔσονται
ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ χριστοῦ καὶ βασιλεύσουσιν μετ᾽ αὐτοῦ
χίλια ἔτη ◦ καὶ ὅταν˚ τελεσθῇ τὰ χίλια ἔτη λυθήσεται ὁ σατανᾶς 7
ἐκ τῆς φυλακῆς αὐτοῦ ◦ καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ 8
ἐν ταῖς τέσσαρσιν γωνίαις τῆς γῆς τὸν γὼγ καὶ τὸν μαγὼγ συ-
ναγαγεῖν αὐτοὺς εἰς πόλεμον ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς
θαλάσσης ◦ καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς καὶ ἐκύκλωσαν 9
τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην καὶ
κατέβη πῦρ ἀπὸ˚ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐ-
τούς ◦ καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην 10
τοῦ πυρὸς καὶ θείου ὅπου τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης καὶ
βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων ◦ καὶ εἶδον θρόνον λευκὸν˚ μέγαν καὶ τὸν καθήμενον ἐπ᾽ 11

---

v.21 𝕋 𝕂: εκπορευομενη, 𝕄 𝕍: εξελθουση. **20.v.1** 𝕋 𝕂: κλειδα, 𝕄 𝕍: κλειν. **v.2** 𝕋*: τον οφιν τον αρχαιον, 𝕍: ο οφις ο αρχαιος. **v.2** 𝕋 𝕂: σατανας, 𝕄: ο σατανας ο πλανων την οικουμενην ολην, 𝕍: ο σατανας. **v.3** 𝕋 𝕂: αυτον, 𝕄 𝕍: ∅. **v.3** 𝕋 𝕂: πλανηση τα εθνη ετι, 𝕄: πλανα ετι τα εθνη, 𝕍: πλανηση ετι τα εθνη. **v.3** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.3** 𝕋 𝕂: αυτον λυθηναι, 𝕄 𝕍: λυθηναι αυτον. **v.4** 𝕋 𝕂: τω θηριω ουτε, 𝕄 𝕍: το θηριον ουδε. **v.4** 𝕋 𝕂: αυτων, 𝕄 𝕍: ∅. **v.4** 𝕋 𝕂: χριστου, 𝕄 𝕍: του χριστου. **v.4** 𝕋 𝕄: τα, 𝕂 𝕍: ∅. **v.5** 𝕋 𝕂: οι δε, 𝕄: και οι, 𝕍: οι. **v.5** 𝕋 𝕂: ανεζησαν εως, 𝕄 𝕍: εζησαν αχρι. **v.6** 𝕋 𝕂: ο θανατος ο δευτερος, 𝕄 𝕍: ο δευτερος θανατος. **v.6** 𝕋*: χιλια, 𝕍: [τα] χιλια. **v.7** 𝕋 𝕂 𝕍: οταν τελεσθη, 𝕄: μετα. **v.8** 𝕋*: τον, 𝕍: ∅. **v.8** 𝕋 𝕂: πολεμον, 𝕄 𝕍: τον πολεμον. **v.8** 𝕋 𝕂: αριθμος, 𝕄 𝕍: αριθμος αυτων. **v.9** 𝕋 𝕂: εκυκλωσαν, 𝕄 𝕍: εκυκλευσαν. **v.9** 𝕋 𝕂: απο του θεου εκ του ουρανου, 𝕄: εκ του ουρανου απο του θεου, 𝕍: εκ του ουρανου. **v.10** 𝕋 𝕂: το, 𝕄 𝕍: και το. **v.11** 𝕋 𝕂: λευκον μεγαν, 𝕄 𝕍: μεγαν λευκον.

αὐτὸῦ οὗ ἀπὸ ῥροσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανὸς καὶ τόπος
12 οὐχ εὑρέθη αὐτοῖς ◦ καὶ εἶδον τοὺς νεκροὺς μικροὺς˚ καὶ με-
γάλους ἑστῶτας ἐνώπιον τοῦ θεοῦ καὶ βιβλία ἠνε῾ῴχθησαν καὶ
βιβλίον˚ ἄλλο ἠνε῾ῴχθη ὅ ἐστιν τῆς ζωῆς καὶ ἐκρίθησαν οἱ νεκροὶ
13 ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν ◦ καὶ
ἔδωκεν ἡ θάλασσα τοὺς˚ ἐν αὐτῇ νεκροὺς καὶ ὁ θάνατος καὶ ὁ
ᾅδης ἔδωκαν τοὺς˚ ἐν αὐτοῖς νεκροὺς καὶ ἐκρίθησαν ἕκαστος
14 κατὰ τὰ ἔργα αὐτῶ῎ν ◦ καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς
15 τὴν λίμνην τοῦ πυρὸς οὗτός˚ ἐστιν ὁ δεύτερος θάνατος ◦ καὶ εἴ
τις οὐχ εὑρέθη ἐν τῇ˚ βίβλῳ τῆς ζωῆς γεγραμμένος ἐβλήθη εἰς
τὴν λίμνην τοῦ πυρός ◦

21 καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινὴν ὁ γὰρ πρῶτος οὐ-
ρανὸς καὶ ἡ πρώτη γῆ ᾔπαρῆλθεν καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι ◦
2 καὶ ἐγὼ˚ ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν ἱερουσαλὴμ καινὴν
καταβαίνουσαν ἀπὸ˚ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ ἡτοιμασμένην
3 ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς ◦ καὶ ἤκουσα φωνῆς
μεγάλης ἐκ τοῦ οὐῤανοῦ λεγούσης ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ
τῶν ἀνθρώπων καὶ σκηνώσει μετ᾽ αὐτῶν καὶ αὐτοὶ λαοὶ αὐτοῦ
4 ἔσονται καὶ αὐτὸς ὁ θεὸς ἔσται˚ μετ᾽ αὐτῶν θεὸς αὐτῶν ◦ καὶ ἐ-
ξαλείψει ὁ˚ θεὸς πᾶν δάκρυον ἀῆ῎ὸ τῶν ὀφθαλμῶν αὐτῶν καὶ
ὁ θάνατος οὐκ ἔσται ἔτι οὔτε πένθος οὔτε κραυγὴ οὔτε πόνος
5 οὐκ ἔσται ἔτι ὅτι τὰ πρῶῖα ἀπῆλθόν ◦ καὶ εἶπεν ὁ καθήμενος
ἐπὶ τοῦ˚ θρόνου ἰδοὺ καινὰ˚ πάντα ποιῶ καὶ λέγει μοὶ γρά-
6 ψον ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ˚ καὶ πιστοί εἰσιν ◦ καὶ εἶπέν μοι
γέγονεν˚ ἐγώ εἰμι τὸ ἅ καὶ τὸ ω ἡ˚ ἀρχὴ καὶ τὸ τέλος ἐγὼ τῷ δι-
7 ψῶντι δώσῶ ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν ◦ ὁ νικῶν
κληρονομήσει ῆπάντα καὶ ἔσομαι αὐτῷ θεὸς καὶ αὐτὸς ἔσται μοι

---

v.11 𝕋 𝕂: αυτου, 𝕄 𝕍: αυτον. **v.11** 𝕋*: προσωπου, 𝕍: του προσωπου. **v.12** 𝕋 𝕂: μικρους και μεγαλους, 𝕄 𝕍: τους μεγαλους και τους μικρους. **v.12** 𝕋 𝕂: θεου, 𝕄 𝕍: θρονου. **v.12** 𝕋 𝕂: ηνεωχθησαν, 𝕄: ηνοιξαν, 𝕍: ηνοιχθησαν. **v.12** 𝕋 𝕂: βιβλιον αλλο, 𝕄 𝕍: αλλο βιβλιον. **v.12** 𝕋*: ηνεωχθη, 𝕍: ηνοιχθη. **v.13** 𝕋 𝕂: τους εν αυτη νεκρους, 𝕄 𝕍: τους νεκρους τους εν αυτη. **v.13** 𝕋 𝕂: τους εν αυτοις νεκρους, 𝕄 𝕍: τους νεκρους τους εν αυτοις. **v.13** 𝕋 𝕂 𝕍: αυτων, 𝕄: αυτου. **v.14** 𝕋 𝕂: ουτος εστιν ο δευτερος θανατος, 𝕄 𝕍: ουτος ο θανατος ο δευτερος εστιν η λιμνη του πυρος. **v.15** 𝕋 𝕂 𝕍: τη βιβλω, 𝕄: τω βιβλιω. **21.v.1** 𝕋 𝕂: παρηλθεν, 𝕄: απηλθον, 𝕍: απηλθαν. **v.2** 𝕋 𝕂: εγω ιωαννης ειδον την πολιν την αγιαν ιερουσαλημ καινην, 𝕄 𝕍: την πολιν την αγιαν ιερουσαλημ καινην ειδον. **v.2** 𝕋 𝕂: απο του θεου εκ του ουρανου, 𝕄 𝕍: εκ του ουρανου απο του θεου. **v.3** 𝕋*: ουρανου, 𝕍: θρονου. **v.3** 𝕋 𝕂 𝕍: λαοι, 𝕄: λαος. **v.3** 𝕋 𝕂: εσται μετ αυτων θεος αυτων, 𝕄: μετ αυτων εσται, 𝕍: μετ αυτων εσται [αυτων θεος]. **v.4** 𝕋 𝕂: ο θεος, 𝕄: απ αυτων, 𝕍: ∅. **v.4** 𝕋*: απο, 𝕍: εκ. **v.4** 𝔼: πρωτα, **XXX**: προβατα. **v.4** 𝕋 𝕂: απηλθον, 𝕄: απηλθεν, 𝕍: απηλθαν. **v.5** 𝕋 𝕂: του θρονου, 𝕄 𝕍: τω θρονω. **v.5** 𝕋 𝕂: καινα παντα ποιω, 𝕄: παντα καινα ποιω, 𝕍: καινα ποιω παντα. **v.5** 𝕋 𝕂: μοι, 𝕄 𝕍: ∅. **v.5** 𝕋 𝕂: αληθινοι και πιστοι, 𝕄: πιστοι και αληθινοι του θεου, 𝕍: πιστοι και αληθινοι. **v.6** 𝕋 𝕂: γεγονεν εγω ειμι, 𝕄: γεγονα, 𝕍: γεγοναν εγω [ειμι]. **v.6** 𝕋 𝕂: α, 𝕄 𝕍: αλφα. **v.6** 𝕋 𝕂 𝕍: η, 𝕄: και η. **v.6** 𝕋 𝕂 𝕍: δωσω, 𝕄: δωσω αυτω. **v.7** 𝕋 𝕂 𝕍: κληρονομησει, 𝕄: δωσω αυτω. **v.7** 𝕋 𝕂: παντα, 𝕄 𝕍: ταυτα.

ὁ˚ υἱός ⸰ δειλοῖς˚ δὲ καὶ ἀπίστοις καὶ ἐβδελυγμένοις καὶ φονεῦ- 8
σιν καὶ πόρνοις καὶ φαρμακεῦσιν καὶ εἰδωλολάτραις καὶ πᾶσιν
τοῖς ψευδέσιν τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ
θείῳ ὅ ἐστιν δεύτερος˚ θάνατος ⸰ καὶ ἦλθεν πρός˚ με εἷς τῶν ἑπτὰ 9
ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας τὰς˚ γεμούσας τῶν ἑπτὰ
πληγῶν τῶν ἐσχάτων καὶ ἐλάλησεν μετ᾽ ἐμοῦ λέγων δεῦρο δείξω
σοι τὴν˚ νύμφην τοῦ ἀρνίου τὴν γυναῖκα ⸰ καὶ ἀπήνεγκέν με ἐν 10
πνεύματι ἐπ᾽ ὄρος μέγα καὶ ὑψηλὸν καὶ ἔδειξέν μοι τὴν πόλιν
τὴν˚ μεγάλην τὴν ἁγίαν ἱερουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ οὐ-
ρανοῦ ἀπὸ τοῦ θεοῦ ⸰ ἔχουσαν τὴν δόξαν τοῦ θεοῦ κἀὶ ὁ φωστὴρ 11
αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι ⸰
ἔχουσάν τε τεῖχος μέγα καὶ ὑψηλὸν ἔχουσαν πυλῶνας δώδεκα 12
καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα καὶ ὀνόματα ἐπιγεγραμ-
μένα ἅ ἐστιν τῶν˚ δώδεκα φυλῶν τῶν υἱῶν ἰσραήλ ⸰ ἀπ᾽˚ ἀνατο- 13
λῆς πυλῶνες τρεῖς ἀπὸ βορρᾶ πυλῶνες τρεῖς ἀπὸ νότου πυλῶνες
τρεῖς ἀπὸ δυσμῶν πυλῶνες τρεῖς ⸰ καὶ τὸ τεῖχος τῆς πόλεως ἔχὸν 14
θεμελίους δώδεκα καὶ ἐν˚ αὐτοῖς ὀνόματα τῶν δώδεκα ἀποστό-
λων τοῦ ἀρνίου ⸰ καὶ ὁ λαλῶν μετ᾽ ἐμοῦ εἶχεν ϗάλαμον χρυσοῦν 15
ἵνα μετρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖχος
αὐτῆς ⸰ καὶ ἡ πόλις τετράγωνος κεῖται καὶ τὸ μῆκος αὐτῆς το- 16
σοῦτόν˚ ἐστιν ὅσον καὶ τὸ πλάτος καὶ ἐμέτρησεν τὴν πόλιν τῷ
καλάμῳ ἐπὶ σταδίων˚ δώδεκα χιλιάδων τὸ μῆκος καὶ τὸ πλά-
τος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστίν ⸰ καὶ ἐμέτρησεν τὸ τεῖχος αὐτῆς 17
ἑκατὸν τεσσαράκοντα˚ τεσσάρων πηχῶν μέτρον ἀνθρώπου ὅ ἐ-
στιν ἀγγέλου ⸰ καὶ ἦν˚ ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴασπις καὶ 18
ἡ πόλις χρυσίον καθαρὸν ὁμοία˚ ὑάλῳ καθαρῷ˜ ⸰ κἀὶ οἱ θεμέλιοι 19
τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι ὁ θεμέ-
λιος ὁ πρῶτος ἴασπις ὁ δεύτερος σάπφειρος ὁ τρίτος χαλκηδὼν

v.7 𝕋 𝕂: ο, 𝕄 𝕍: ∅. **v.8** 𝕋 𝕂: δειλοις δε, 𝕄 𝕍: τοις δε δειλοις. **v.8** 𝕋 𝕂 𝕍: εβδελυγμενοις, 𝕄: αμαρτωλοις και εβδελυγμενοις. **v.8** 𝕋 𝕂: φαρμακευσιν, 𝕄 𝕍: φαρμακοις. **v.8** 𝕋 𝕂: δευτερος θανατος, 𝕄 𝕍: ο θανατος ο δευτερος. **v.9** 𝕋 𝕂: προς με εις, 𝕄 𝕍: εις εκ. **v.9** 𝕋 𝕂: τας γεμουσας, 𝕄: γεμουσας, 𝕍: των γεμοντων. **v.9** 𝕋 𝕂: την νυμφην του αρνιου την γυναικα, 𝕄: την γυναικα την νυμφην του αρνιου, 𝕍: την νυμφην την γυναικα του αρνιου. **v.10** 𝕋*: επ, 𝕍: επι. **v.10** 𝕋 𝕂: την μεγαλην, 𝕄 𝕍: ∅. **v.10** 𝕋 𝕂 𝕍: απο, 𝕄: εκ. **v.11** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.12** 𝕋 𝕂: εχουσαν, 𝕄 𝕍: εχουσα. **v.12** 𝕋 𝕂: τε, 𝕄 𝕍: ∅. **v.12** 𝕋 𝕂 𝕍: δωδεκα, 𝕄: δεκαδυο. **v.12** 𝕋 𝕂: των δωδεκα φυλων των υιων, 𝕄: ονοματα των δωδεκα φυλων υιων, 𝕍: [τα ονοματα] των δωδεκα φυλων υιων. **v.13** 𝕋 𝕂: απ ανατολης, 𝕄: απο ανατολων, 𝕍: απο ανατολης. **v.13** 𝕋 𝕂: απο, 𝕄 𝕍: και απο. **v.13** 𝕋 𝕂: απο, 𝕄 𝕍: και απο. **v.13** 𝕋: απο, 𝕂 𝕄 𝕍: και απο. **v.14** 𝕋*: εχον, 𝕍: εχων. **v.14** 𝕋 𝕂: εν αυτοις, 𝕄 𝕍: επ αυτων δωδεκα. **v.15** 𝕋 𝕂: καλαμον, 𝕄 𝕍: μετρον καλαμον. **v.16** 𝕋 𝕂: τοσουτον εστιν οσον και, 𝕄: οσον, 𝕍: οσον [και]. **v.16** 𝕋 𝕂 𝕍: σταδιων δωδεκα χιλιαδων, 𝕄: σταδιους δεκαδυο χιλιαδων δωδεκα. **v.17** 𝕋 𝕂 𝕍: εμετρησεν, 𝕄: ∅. **v.17** 𝕋 𝕄: τεσσαρακοντα τεσσαρων, 𝕂: τεσσαρακοντατεσσαρων, 𝕍: τεσσερακοντα τεσσαρων. **v.18** 𝕋*: ην η ενδομησις, 𝕍: η ενδωμησις. **v.18** 𝕋 𝕂: ομοια υαλω, 𝕄: ομοιον υελω, 𝕍: ομοιον υαλω. **v.19** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.19** 𝕋*: σαπφειρος, 𝕍: σαπφιρος.

20 ὁ τέταρτος σμάραγδος ◦ ὁ πέμπτος σαρδόνυξ ὁ ἕκτος σάρδιος
ὁ ἕβδομος χρυσόλιθος ὁ ὄγδοος βήρυλλος ὁ ἔνατος τοπάζιον
ὁ δέκατος χρυσόπρασος ὁ ἑνδέκατος ὑάκινθος ὁ δωδέκατος ἀ-
21 μέθυστος ◦ καὶ οἱ δώδεκα πυλῶνες δώδεκα μαργαρῖται ἀνὰ εἷς
ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου καὶ ἡ πλατεῖα τῆς
22 πόλεως χρυσίον καθαρὸν ὡς ὕαλος˚ διαφανής ◦ καὶ ναὸν οὐκ
εἶδον ἐν αὐτῇ ὁ γὰρ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ναὸς αὐ-
23 τῆς ἐστιν καὶ τὸ ἀρνίον ◦ καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου
οὐδὲ τῆς σελήνης ἵνα φαίνωσιν ἐν αὐτῇ ἡ˚ γὰρ δόξα τοῦ θεοῦ
24 ἐφώτισεν αὐτὴν καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον ◦ καὶ τὰ˚ ἔθνη τῶν
σωζομένων ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσιν καὶ οἱ βασιλεῖς
τῆς γῆς φέρουσιν τὴν˚ δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν ◦
25 καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας νὺξ γὰρ οὐκ
26 ἔσται ἐκεῖ ◦ καὶ οἴσουσιν τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς
27 αὐτήν˚ ◦ καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸῦν καὶ ποιοῦν
βδέλυγμα καὶ ψεῦδος εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς
ζωῆς τοῦ ἀρνίου ◦

22 καὶ ἔδειξέν μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς
κρύσταλλον ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ καὶ τοῦ
2 ἀρνίου ◦ ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν
καὶ ἐντεῦθεν ξύλον ζωῆς ποιοῦν καρποὺς δώδεκα κατὰ μῆνα
ἕνα ἕκαστον˚ ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ καὶ τὰ φύλλα τοῦ
3 ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν ◦ καὶ πᾶν κατανάθεμα οὐκ ἔσται
ἔτι καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται καὶ
4 οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ ◦ καὶ ὄψονται τὸ πρόσωπον
5 αὐτοῦ καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν ◦ καὶ νὺξ οὐκ
ἔσται ἐκεῖ καὶ χρείαν˚ οὐκ ἔχουσιν λύχνου καὶ φωτὸς ἡλίου ὅτι
κύριος ὁ θεὸς φωτίζει αὐτοὺς καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶ-
6 νας τῶν αἰώνων ◦ καὶ εἶπέν μοι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοὶ
καὶ κύριος ὁ θεὸς τῶν˚ ἁγίων προφητῶν ἀπέστειλεν τὸν ἄγγε-

---

v.20 𝕋 𝕂: σαρδιος, 𝕄 𝕍: σαρδιον. **v.20** 𝕋 𝕄 𝕍: ενατος, 𝕂: εννατος. **v.20** 𝕋 𝕂 𝕍: αμεθυστος, 𝕄: αμεθυσος. **v.21** 𝕋 𝕂: υαλος διαφανης, 𝕄: υελος διαυγης, 𝕍: υαλος διαυγης. **v.23** 𝕋 𝕂: εν, 𝕄 𝕍: ∅. **v.23** 𝕋 𝕂 𝕍: η γαρ, 𝕄: γαρ η. **v.24** 𝕋 𝕂: τα εθνη των σωζομενων εν τω φωτι αυτης περιπατησουσιν, 𝕄 𝕍: περιπατησουσι τα εθνη δια του φωτος αυτης. **v.24** 𝕋 𝕂: την δοξαν και την τιμην, 𝕄: αυτω δοξαν και τιμην, 𝕍: την δοξαν. **v.24** 𝕋 𝕂 𝕍: αυτων, 𝕄: των εθνων. **v.26** 𝕋 𝕂 𝕍: αυτην, 𝕄: αυτην ινα εισελθωσι. **v.27** 𝕋 𝕂: κοινουν, 𝕄 𝕍: κοινον. **v.27** 𝕋 𝕂: ποιουν, 𝕄: ο ποιων, 𝕍: [ο] ποιων. **22.v.1** 𝕋 𝕂: καθαρον, 𝕄 𝕍: ∅. **v.2** 𝕋 𝕂: εντευθεν, 𝕄 𝕍: εκειθεν. **v.2** 𝕋 𝕂: ενα, 𝕄 𝕍: ∅. **v.2** 𝕋 𝕂 𝕍: εκαστον αποδιδουν, 𝕄: αποδιδους εκαστον. **v.3** 𝕋 𝕂: καταναθεμα, 𝕄 𝕍: καταθεμα. **v.3** 𝕋 𝕂 𝕍: λατρευσουσιν, 𝕄: λατρευουσιν. **v.5** 𝕋 𝕂: εκει, 𝕄: ∅, 𝕍: ετι. **v.5** 𝕋 𝕂: χρειαν ουκ εχουσιν, 𝕄: ου χρεια, 𝕍: ουκ εχουσιν χρειαν φωτος. **v.5** 𝕋 𝕂 𝕍: ηλιου, 𝕄: ∅. **v.5** 𝕋 𝕂: φωτιζει, 𝕄: φωτιει, 𝕍: φωτισει επ. **v.6** 𝕋 𝕂 𝕍: ειπεν, 𝕄: λεγει. **v.6** 𝕋*: κυριος, 𝕍: ο κυριος. **v.6** 𝕋 𝕂: των αγιων, 𝕄 𝕍: των πνευματων των.

λον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει ⸰
ἰδοὺ ἔρχομαι ταχὺ μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφη- 7
τείας τοῦ βιβλίου τούτου ⸰ καὶ ἐγὼ ἰωάννης ὁ βλέπων ταῦτα 8
καὶ ἀκούων καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα ἔπεσα προσκυνῆσαι
ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα ⸰
καὶ λέγει μοι ὅρα μὴ σύνδουλός σου γάρ εἰμι καὶ τῶν ἀδελφῶν 9
σου τῶν προφητῶν καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου
τούτου τῷ θεῷ προσκύνησον ⸰ καὶ λέγει μοι μὴ σφραγίσῃς τοὺς 10
λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου ὅτι ὁ καιρὸς ἐγγύς
ἐστιν ⸰ ὁ ἀδικῶν ἀδικησάτω ἔτι καὶ ὁ ῥυπῶν ῥυπωσάτω ἔτι καὶ 11
ὁ δίκαιος δικαιωθήτω ἔτι καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι ⸰ κἀὶ ἰδοὺ 12
ἔρχομαι ταχὺ καὶ ὁ μισθός μου μετ' ἐμοῦ ἀποδοῦναι ἑκάστῳ
ὡς τὸ ἔργον αὐτοῦ ἔσται ⸰ ἐγώ εἰμὶ τὸ ἀ καὶ τὸ ω ἀρχὴ καὶ 13
τέλος ὁ πρῶτος καὶ ὁ ἔσχατος ⸰ μακάριοι οἱ ποιοῦντες τὰς ἐντο- 14
λὰς αὐτοῦ ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς καὶ
τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν ⸰ ἔξω δὲ οἱ κύνες καὶ οἱ 15
φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ
πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος ⸰ ἐγὼ ἰησοῦς ἔπεμψα τὸν ἄγγε- 16
λόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις ἐγώ εἰμι ἡ
ῥίζα καὶ τὸ γένος τοῦ δαβὶδ ὁ ἀστὴρ ὁ λαμπρὸς καὶ ὀρθρινός ⸰
καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν ἐλθὲ καὶ ὁ ἀκούων εἰ- 17
πάτω ἐλθὲ καὶ ὁ διψῶν ἐλθέτω κἀὶ ὁ θέλων λαμβανέτω τὸ ὕδωρ
ζωῆς δωρεάν ⸰ συμμαρτυροῦμαι γὰρ παντὶ ἀκούοντι τοὺς λό- 18
γους τῆς προφητείας τοῦ βιβλίου τούτου ἐάν τις ἐπιτιθῇ πρὸς
ταῦτα ἐπιθήσει ὁ θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς γεγραμμέ-
νας ἐν βιβλίῳ τούτῳ ⸰ καὶ ἐάν τις ἀφαιρῇ ἀπὸ τῶν λόγων βίβλου 19
τῆς προφητείας ταύτης ἀφαιρήσει ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ
βίβλου τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας κἀὶ τῶν γεγραμμέ-

---

v.7 𝕋 𝕂: ιδου, 𝕄 𝕍: και ιδου. **v.8** 𝕋 𝕂: και εγω, 𝕄 𝕍: καγω. **v.8** 𝕋 𝕂: βλεπων ταυτα και ακουων, 𝕄 𝕍: ακουων και βλεπων ταυτα. **v.8** 𝕋 𝕂 𝕍: εβλεψα επεσα, 𝕄: οτε ειδον επεσον. **v.8** 𝕋 𝕂 𝕍: δεικνυοντος, 𝕄: δεικνυντος. **v.9** 𝕋 𝕂: γαρ, 𝕄 𝕍: ∅. **v.10** 𝕋 𝕂: οτι ο καιρος, 𝕄 𝕍: ο καιρος γαρ. **v.11** 𝕋 𝕂: ρυπων ρυπωσατω, 𝕄: ρυπαρος ρυπαρευθητω, 𝕍: ρυπαρος ρυπανθητω. **v.11** 𝕋 𝕂: δικαιωθητω, 𝕄 𝕍: δικαιοσυνην ποιησατω. **v.12** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.12** 𝕋 𝕂: αυτου εσται, 𝕄: εσται αυτου, 𝕍: εστιν αυτου. **v.13** 𝕋 𝕂: ειμι, 𝕄 𝕍: ∅. **v.13** 𝕋 𝕂: α, 𝕄 𝕍: αλφα. **v.13** 𝕋 𝕂: αρχη και τελος ο πρωτος και ο εσχατος, 𝕄 𝕍: ο πρωτος και ο εσχατος η αρχη και το τελος. **v.14** 𝕋*: ποιουντες τας εντολας αυτου, 𝕍: πλυνοντες τας στολας αυτων. **v.15** 𝕋 𝕂: δε, 𝕄 𝕍: ∅. **v.15** 𝕋*: ο, 𝕍: ∅. **v.16** 𝕋 𝕂: του, 𝕄 𝕍: ∅. **v.16** 𝕋*: δαβιδ, 𝕍: δαυιδ. **v.16** 𝕋 𝕂: και ορθρινος, 𝕄 𝕍: ο πρωινος. **v.17** 𝕋 𝕂: ελθε, 𝕄 𝕍: ερχου. **v.17** 𝕋 𝕂: ελθετω, 𝕄 𝕍: ερχεσθω. **v.17** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅. **v.17** 𝕋 𝕂: λαμβανετω το, 𝕄 𝕍: λαβετω. **v.18** 𝕋 𝕂: συμμαρτυρουμαι γαρ, 𝕄 𝕍: μαρτυρω εγω. **v.18** 𝕋 𝕂: ακουοντι, 𝕄 𝕍: τω ακουοντι. **v.18** 𝕋 𝕂: επιτιθη προς ταυτα, 𝕄 𝕍: επιθη επ αυτα. **v.18** 𝕋 𝕂 𝕍: επιθησει, 𝕄: επιθησαι. **v.18** 𝕋 𝕂: βιβλιω, 𝕄 𝕍: τω βιβλιω. **v.19** 𝕋 𝕂: αφαιρη, 𝕄 𝕍: αφελη. **v.19** 𝕋 𝕂: βιβλου, 𝕄 𝕍: του βιβλιου. **v.19** 𝕋 𝕂: αφαιρησει, 𝕄: αφελοι, 𝕍: αφελει. **v.19** 𝕋 𝕂: βιβλου, 𝕄 𝕍: του ξυλου. **v.19** 𝕋 𝕂: και, 𝕄 𝕍: ∅.

20 νων ἐν βιβλίῳ τούτῳ ⸎ λέγει ὁ μαρτυρῶν ταῦτα ναὶ ἔρχομαι ταχύ·
21 ἀμὴν ναὶ ἔρχου κύριε ἰησοῦ ⸎ ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ μετὰ πάντων ὑμῶν˙ ἀμήν ⸎

ΤΕΛΟΣ.

v.19 𝕋 𝕂: βιβλιω, 𝕄 𝕍: τω βιβλιω. **v.20** 𝕋* : ναι, 𝕍: ∅. **v.21** 𝕋 𝕂: ημων, 𝕄 𝕍: ∅. **v.21** 𝕋* : χριστου, 𝕍: ∅. **v.21** 𝕋 𝕂: υμων αμην, 𝕄: των αγιων αμην, 𝕍: ∅.